ΟΜΗΡΟΥ ΙΛΙΑΣ

(ed. D. B. Monro and T. W. Allen. Oxford, 1920)

Μετάφραση: Ν. Καζαντζάκη - Ἰ. Θ. Κακριδῆ

http://www.phys.uoa.gr/~nektar/arts/tributes/omhros/il.htm

---

1. -Α- **Λοιμός. Μήνις** - *Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος*
Ἡ φιλονικία Ἀγαμέμνονα καὶ Ἀχιλλέα, δίπλα στὰ πλοῖα

2. -Β- **Ὄνειρος. Διάπειρα. Βοιωτία, κατάλογος πλοίων** - *Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ*
Τὸ ὄνειρο τοῦ Ἀγαμέμνονα καὶ ὁ Κατάλογος τῶν Πλοίων

3. -Γ- **Ἀλεξάνδρου καὶ Μενελάου μονομαχία** - *Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι,*
Πάρις, Μενέλαος, Ἑλένη

4. -Δ- **Ὅρκίων σύγχυσις. Ἀγαμέμνονος ἐπιπώλησις** - *Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο*
Ἡ σύγκρουση τῶν στρατευμάτων

5. -Ε- **Διομήδους ἀριστεία** - *Ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη*
Ὁ Διομήδης μπαίνει στὴ μάχη

6. -Ζ- **Ἕκτορος καὶ Ἀνδρομάχης συνομιλία** - *Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν*
Ἕκτωρ καὶ Ἀνδρομάχη

7. -Η- **Ἕκτορος καὶ Αἴαντος μονομαχία. Νεκρῶν αναίρεσις** - *ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ,*
Μονομαχία Ἕκτορα καὶ Αἴαντα

8. -Θ- **Μάχη** - *Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,*
Οἱ Τρῶες ἔχουν ἐπιτυχίες στὴν μάχη

9. -Ι- **Πρεσβεία πρὸς Ἀχιλλέα. Λιταί** - *ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιούς*
Προσφορὲς εἰρήνευσης στὸν Ἀχιλλέα ἀπὸ τὸν Ἀγαμέμνονα

10. -Κ- **Δολώνεια** - *ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν*
Βραδυνὴ ἐπιδρομή

11. -Λ- **Ἀγαμέμνονος ἀριστεία** - *ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο*
Οἱ Ἀχαιοὶ ἀντιμέτωποι μὲ τὴν καταστροφή

12. -Μ- **Τειχομαχία** - *ὣς ὅ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς*
Μάχες στὰ τείχη

13. -Ν- **Μάχη ἐπὶ ταῖς ναυσίν** - *Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,*
Ἡ μάχη στὰ πλοῖα

14. -Ξ- **Διός απάτη** - *Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.*
Ὁ Ζεὺς ἐξαπατᾶται ἀπὸ τὴν θεὰ Ἥρα καὶ τὸν Ὕπνο

15. -Ο- **Παλίωξις παρὰ τῶν νεῶν** - *αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν*
Μάχες στὰ πλοῖα

16. -Π- **Πατρόκλεια** - *ὣς οἵ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·*
Ὁ Πάτροκλος μπαίνει στὴ μάχη καὶ σκοτώνεται

17. -Ρ- **Μενελάου ἀριστεία** - *οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν ἀρηΐφιλον Μενέλαον*
Ἡ μάχη πάνω ἀπὸ τὸ νεκρὸ σῶμα τοῦ Πατρόκλου

18. -Σ- **Ἀχιλλέως πανοπλία** - *ὣς οἵ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο,*
Ἡ πανοπλία τοῦ Ἀχιλλέα

19. -Τ- **Μήνιδος ἀπόρρησις** - *Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων*
Ἀχιλλέας καὶ Ἀγαμέμνων

20. -Υ- **Θεομαχία** - *ὣς οἵ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο*
Ὁ Ἀχιλλέας ἐπιστρέφει στὴν μάχη

21. -Φ- **Μάχη παραποτάμιος** - *ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο*
Ὁ Αχιλλέας μάχεται τὸν ποταμό Σκάμανδρο

22. -Χ- **Ἕκτορος αναίρεσις** - *ὣς οἵ μὲν κατὰ ἄστυ πεφυζότες ἠΰτε νεβροὶ*
Ὁ Ἀχιλλέας φονεύει τὸν Ἕκτορα

23. -Ψ- **Ἆθλα ἐπὶ Πατρόκλῳ** - *ὣς οἵ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ*
Ἀθλητικοὶ ἀγῶνες πρὸς τιμὴν τοῦ νεκροῦ Πατρόκλου

24. -Ω- **Ἕκτορος λύτρα** - *λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι*
Ἀχιλλέας καὶ Πρίαμος

Μετάφραση: Ν. Καζαντζάκη - Ἰ. Θ. Κακριδῆ

Στὴ μνήμη τοῦ Ἀλέξαντρου Πάλλη

ΠΡΟΛΟΓΟΣ ΜΕΤΑΦΡΑΣΤΩΝ

Παραδίνουμε σήμερα στὰ χέρια τῶν Ἑλλήνων μεταφρασμένη τὴν Ἰλιάδα τοῦ Ὁμήρου, τὸ πιὸ παλιὸ ἑλληνικὸ ποιητικὸ κείμενο, γραμμένο ἐδῶ καὶ εἰκοσιοχτὼ αἰῶνες, καὶ ὅμως πάντα ἀγέραστο σε ὀμορφιὰ καὶ σὲ δύναμη. Ὅταν στὰ 1942, μέσα στὶς σκοτεινὲς μέρες τῆς κατοχῆς, παίρναμε τὴν ἀπόφαση νὰ συνεργαστοῦμε γιὰ τὸ ἔργο αὐτό, δὲ φανταζόμαστε πὼς θὰ ἔπρεπε νὰ περάσουν τόσα χρόνια ἐπίμονης κοινῆς προσπάθειας ἀπὸ τὴ στιγμὴ ποὺ θὰ τὸ θεωρούσαμε ἄξιο νὰ δεῖ τὸ φῶς. Μὰ ἡ ἐπίγνωση τῆς εὐθύνης ἦταν μεγάλη, μεγάλη καὶ ἡ χαρὰ τῆς μεταφραστικῆς δημιουργίας, καὶ ἔτσι μέσα στὰ δεκατέσσερα αὐτὰ χρόνια οἱ μεταφραστὲς δὲν ἔνιωσαν οὔτε γιὰ μία στιγμὴ νὰ τοὺς λιγοστεύει ὁ πόθος νὰ δουλέψουν καὶ νὰ ξαναδουλέψουν τοὺς ἀθάνατους στίχους. Πάλευαν καὶ στοῦ Ὁμήρου τὴν τέχνη νὰ βαθύνουν περισσότερο καὶ τὶς ἐκφραστικὲς δυνατότητες τῆς νεοελληνικῆς γλώσσας νὰ γνωρίσουν καὶ νὰ χρησιμοποιήσουν καλύτερα, ὅση πεῖρα κι ἂν εἶχαν ἀπὸ τὴ μεταφραστική τους προσπάθεια σὲ ἀλλὰ κείμενα. Ἡ μετάφραση εἶναι πάντα μία συνθηκολόγηση· ὑποκειμενικὲς καὶ ἀντικειμενικὲς δυσκολίες σὲ ἐμποδίζουν νὰ καλύψεις μὲ τὴ μετάφρασή σου ἀπόλυτα τὸ πρωτότυπο. Μὰ ὅταν συνθηκολογεῖς ὑστέρα ἀπὸ τόσον ἀγῶνα, νὰ μὴν προδώσεις ἕνα ἔργο ποὺ πολὺ ἀγάπησες, ἔχεις τὸ δικαίωμα, νομίζουμε, νὰ μὴν ντρέπεσαι γιὰ τὸ ἀποτέλεσμα τοῦ ἀγῶνα σου.

Τὸ ἑλληνικὸ κοινό, αὐτὸ ποὺ δὲν μπορεῖ νὰ χαρεῖ τὴν Ἴλιαδα στὸ πρωτότυπο, τὴν ἔχει γνωρίσει ἀπὸ τὴ μετάφραση τοῦ Ἀλέξαντρου Πάλλη - ἡ μετάφραση τοῦ Πολυλᾶ, μὲ πολλὴ εὐγένεια στὸ λόγο, μὰ ψυχρὴ καὶ ἀλύγιστη, ἔχει πολὺ πιὸ λίγο βοηθήσει τοὺς Ἕλληνες νὰ γνωρίσουν τὸν Ὅμηρο. Τοῦ Πάλλη ἡ Ἰλιάδα ἐκδόθηκε στὰ 1904, καὶ στάθηκε ἕνα ἀπὸ τὰ πιὸ σημαντικὰ ἔργα τῆς ἐποχῆς· καὶ σήμερα ἀκόμα κρατάει ὅλη της τὴν ἀξία. Ἀπὸ τότε ὅμως πέρασε μισὸς αἰώνας· στὸ διάστημα αὐτὸ ἡ γνώση τῆς ὁμηρικῆς ζωῆς καὶ γλώσσας πλήθυνε, καὶ ἡ νεοελληνικὴ γλῶσσα δουλεύτηκε πιὸ πολὺ καὶ μελετήθηκε καλύτερα. Ἦταν λοιπὸν καιρὸς νὰ δοκιμαστεῖ ἄλλη μιὰ φορὰ ἡ δύναμη καὶ ἡ ὀμορφιά της πάνω στὸ ἀκατάλυτο κλασικὸ κείμενο.

Ὁ Πάλλης, ἀκολουθώντας θεωρίες κυρίαρχες στὸν καιρό του, ποὺ νόθευαν πλῆθος στίχους, σκηνὲς καὶ ραψῳδίες ὁλόκληρές της Ἰλιάδας, τάχα πῶς τὶς εἶχαν πλάσει ὑστερότεροι διασκευαστὲς καὶ ραψῳδοί, παράλειψε πάνω ἀπὸ τρεῖς χιλιάδες στίχους. Ἡ σημερινὴ μετάφραση δίνει ὅλη τὴν Ἰλιάδα, ἔξω ἀπὸ τοὺς 384 στίχους τῆς δεύτερης

ραψῳδίας ποὺ περιέχουν τὸν Κατάλογο τῶν Καραβιῶν*. Οἱ μεταφραστὲς λυποῦνται γιὰ τὴν παράλειψη· γιατὶ δὲν εἶναι ποὺ δὲν πιστεύουν τὸν κατάλογο ὁμηρικό· εἶναι ποὺ θεωροῦν ἀκατόρθωτο νὰ ἀποδοθεῖ ἱκανοποιητικὰ τὸ ἀπόσπασμα αὐτό, γεμάτο ὀνόματα ἀπὸ ἥρωες, πολιτεῖες καὶ χῶρες. Γιὰ νὰ μποῦν στὸ στίχο τὰ ἀτέλειωτα αὐτὰ κύρια ὀνόματα, θὰ ἔπρεπε νὰ μετασχηματιστοῦν αὐθαίρετα, πρᾶγμα ποὺ οἱ μεταφραστὲς τὸ ἀπόφυγαν συστηματικὰ σὲ ὅλο τὸ ἄλλο ἔργο.

«Κάθε φορὰν ποὺ ὁ Ὅμηρος ἀναζῇ εἰς τὴν γλῶσσαν ἑνὸς λαοῦ, ἕνα γεγονὸς ἀνυπολογίστου σημασίας τελεῖται διὰ τὸν λαὸν αὐτὸν καὶ ἕνας τίτλος πολιτισμοῦ προστίθεται εἰς τὴν ἱστορίαν καὶ τὴν ζωήν του.» Μὲ τὰ λόγια αὐτὰ προλόγιζε πρὶν ἀπὸ πενήντα χρόνια ἕνας κριτικὸς τὸ ἄρθρο του γιὰ τὴ μετάφραση τοῦ Πάλλῃ. Φυσικά, τὸ ζήτημα εἶναι ἂν κατορθώνεται ἡ ἀναβίωση. Οἱ ἴδιοι οἱ μεταφραστὲς δὲν μποροῦν βέβαια νὰ εἶναι ἀντικειμενικοὶ κριτὲς τοῦ ἔργου τους, νομίζουν ὡστόσο πῶς καὶ στὸ δικό τους τὸ κείμενο ὁ Ὅμηρος ξαναζεῖ, καὶ μὲ τὴν ὁμορφιὰ τῆς γλώσσας του καὶ μὲ τὴ μεγαλοπρέπεια τοῦ στίχου του καὶ μὲ τὸν πλοῦτο τῆς ψυχῆς του τὸν ἀνεξάντλητο· ξαναζεῖ καὶ ὅλος ὁ ἡρωικὸς κόσμος μὲ τὶς ἀρετές του καὶ μὲ τὰ πάθη του, ἕνας κόσμος τόσο μακρινὸς χρονικά, μὰ καὶ τόσο κοντὰ στὴν ψυχή μας.

Ὁ ἀναγνώστης δὲν εἶναι ἀπίθανο ἐδῶ κι ἐκεῖ νὰ σκοντάψει σὲ μία λέξη, εἴτε γιατί δὲν ξέρει τὸ πρᾶγμα ποὺ σημαίνει - ὅταν μάλιστα ἀναφέρεται στὴν ὁμηρικὴ ζωή - εἴτε γιατί ἡ ἴδια ἡ λέξη τοῦ εἶναι ἄγνωστη. Μὰ πόσοι μποροῦν νὰ ξέρουν ὅλο τὸν πλοῦτο τῆς δημοτικῆς μας γλώσσας; Καὶ ποιὸς ὅμως θὰ εἶχε τὸ κουράγιο νὰ ἰσχυριστεῖ πὼς βρῆκε ἀπόλυτα ἱκανοποιητικὴ λύση σὲ ὅλα τὰ μεταφραστικὰ προβλήματα ποῦ ὑψώνουν οἱ δεκαπέντε χιλιάδες στίχοι τῆς Ἰλιάδας;

Δυὸ λόγια ἀκόμα· ὁ ἀναγνώστης ξέρει τώρα πόσα χρόνια καὶ πόσους κόπους χρειάστηκε γιὰ νὰ πάρει, προσωρινά, τελικὴ μορφὴ ἡ μετάφραση τούτη, μπορεῖ λοιπὸν νὰ φανταστεῖ πόσες γραφὲς ἀπαιτήθηκε νὰ γίνουν, πόσες φορὲς ὁ κάθε στίχος νὰ χυθεῖ καὶ νὰ ξαναχυθεῖ. Ἐκεῖνο ὡστόσο ποὺ εὐχόμαστε εἶναι ἀπὸ τὸ μόχθο αὐτό, καθὼς θὰ διαβάζει τὴ μετάφραση, νὰ μὴν καταλάβει τίποτα· μοναχὰ ἂν νιώσει τοὺς στίχους νὰ κυλοῦν ἄνετα καὶ ἀβίαστα, σὰν νὰ πρωτοχύθηκαν ἀπὸ τὸν ποιητὴ τὸν ἴδιο κάτω ἀπὸ τὴν ἔνθεη πνοὴ τῆς Μούσας, μοναχὰ τότε θὰ πεῖ, θὰ ποῦμε κι ἐμεῖς μαζί του, πῶς ἡ μετάφραση ἔχει πετύχει.

Σημείωση: ἡ ἀπόδοση στὴ νέα ἑλληνικὴ τοῦ τμήματος Κατάλογος τῶν Πλοίων (Β 473-879) ἔγινε ἀπὸ τὴν Ὄλγα Κομνηνοῦ-Κακριδῆ.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Α-

-Α- Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος
οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε,
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν

οἰωνοῖσί τε πᾶσι· Διὸς δ᾽ ἐτελείετο βουλή,
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.
Τίς τ᾽ ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆϊ χολωθεὶς

νοῦσον ἀνὰ στρατὸν ὄρσε κακήν, ὀλέκοντο δὲ λαοί,
οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα
Ἀτρεΐδης· ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
λυσόμενός τε θύγατρα φέρων τ᾽ ἀπερείσι᾽ ἄποινα,
στέμματ᾽ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος

χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν·
«Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ᾽ ἔχοντες
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ᾽ οἴκαδ᾽ ἱκέσθαι·

παῖδα δ᾽ ἐμοὶ λύσαιτε φίλην, τὰ δ᾽ ἄποινα δέχεσθαι,
ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.»
Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ᾽ ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ᾽ οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,

ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·
«Μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω
ἢ νῦν δηθύνοντ᾽ ἢ ὕστερον αὖτις ἰόντα,
μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο·
τὴν δ᾽ ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν

ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν Ἄργεϊ, τηλόθι πάτρης,
ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν·
ἀλλ᾽ ἴθι, μή μ᾽ ἐρέθιζε, σαώτερος ὥς κε νέηαι.»

Ὣς ἔφατ᾽, ἔδεισεν δ᾽ ὁ γέρων καὶ ἐπείθετο μύθῳ·
βῆ δ᾽ ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης·

πολλὰ δ᾽ ἔπειτ᾽ ἀπάνευθε κιὼν ἠρᾶθ᾽ ὁ γεραιὸς
Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·
«Κλῦθί μευ ἀργυρότοξ᾽, ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλαν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,
Σμινθεῦ, εἴ ποτέ τοι χαρίεντ᾽ ἐπὶ νηὸν ἔρεψα,

Τη μάνητα, θεά, τραγουδά μας του ξακουστού Αχιλλέα,
ανάθεμα τη, πίκρες που 'δωκε στους Αχαιούς περίσσιες
και πλήθος αντρειωμένες έστειλε ψυχές στον Άδη κάτω
παλικαριών, στους σκύλους ρίχνοντας να φανέ τα κορμιά τους
και στα όρνια ολούθε —έτσι το θέλησε να γίνει τότε ο Δίας—
απ᾽ τη στιγμή που πρωτοπιάστηκαν και χώρισαν οι δυο τους,
του Ατρέα ο γιος ο στρατοκράτορας κι ο μέγας Αχιλλέας.
Ποιος τάχα απ᾽ τους θεούς τους έσπρωξε να μπούνε σ᾽ έτοια
αμάχη;
Του Δία και της Λητώς τους έσπρωξεν ο γιος, που με το ρήγα

χολιάζοντας κακιά εξεσήκωσεν αρρώστια και πέθαιναν
στρατός πολύς᾽ τι δε σεβάστηκεν ο γιος του Ατρέα το Χρύση,
του θεού το λειτουργό· στ᾽ Αργίτικα γοργά καράβια είχε έρθει
με λύτρα αρίφνητα, την κόρη του να ξαγοράσει πίσω,
του μακροσαγιτάρη Απόλλωνα κρατώντας τα στεφάνια
πα στο χρυσό ραβδί, και πρόσπεφτε μπρος στους Αργίτες όλους,
ξεχωριστά στους δυο πολέμαρχους υγιούς του Ατρέα γυρνώντας:
« Του Ατρέα βλαστάρια κι αποδέλοιποι καλαντρειωμένοι Αργίτες,
σε σας οι θεοί που ζουν στον Όλυμπο να δώσουν να πατήστε
του Πρίαμου το καστρί, με το καλό να γύρτε στην πατρίδα'

λυτρώστε όμως κι εμέ την κόρη μου, την ξαγορά δεχτείτε
κι ευλαβηθείτε τον Απόλλωνα το μακροσαγιτάρη.»
Οι Αργίτες οι άλλοι ευτύς με μια φωνή να σεβαστούν έκραξαν
το λειτουργό, και τα περίλαμπρα ν᾽ αποδεχτούνε δώρα·
όμως του Ατρείδη του Αγαμέμνονα δεν άρεσε η βουλή τους,
μον᾽ τον κακόδιωχνε, και του 'ριχνε βαριά φοβέρα ακόμα:
«Το νου σου, εγώ μη σ᾽ έβρω, γέροντα, στα βαθουλά καράβια,
για τώρα εδώ να κοντοστέκεσαι για να διαγέρνεις πάλε,
μη ουδέ ραβδί κι ουδέ και στέφανα του Φοίβου σε γλιτώσουν.
Δε λευτερώνω εγώ την κόρη σου, πριν μου γεράσει πρώτα

στο Άργος, μακριά από την πατρίδα της, στο αρχοντικό μου μέσα,
στον αργαλειό τη μέρα, ταίρι μου τη νύχτα στο κρεβάτι.
Μον᾽ τράβα, μη μου ανάβεις τα αίματα, γερός αν θες να φύγεις.»
Είπε, κι ο γέροντας φοβήθηκε κι υπάκουσε στο λόγο᾽
πήρε βουβός του πολυτάραχου γιαλού τον άμμον άμμο,
κι ως μάκρυνε, το ρήγα Απόλλωνα, της ομορφομαλλούσας
Λητώς το γιο, με θέρμη ο γέροντας ν᾽ ανακαλιέται επήρε:
« Επάκουσέ μου, ασημοδόξαρε, που κυβερνάς τη Χρύσα
και την τρισάγια Κίλλα, κι άσφαλτα την Τένεδο αφεντεύεις,
Ποντικοδαίμονα, αν σου στέγασα ναό χαριτωμένο

ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί᾽ ἔκηα
ταύρων ἠδ᾽ αἰγῶν, τὸ δέ μοι κρήηνον ἐέλδωρ·
τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.»
Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων χωόμενος κῆρ,

τόξ᾽ ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην·
ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο,
αὐτοῦ κινηθέντος· ὁ δ᾽ ἤϊε νυκτὶ ἐοικώς.
ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε νεῶν, μετὰ δ᾽ ἰὸν ἧκε·
δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο·

οὐρῆας μὲν πρῶτον ἐπᾠχετο καὶ κύνας ἀργούς,
αὐτὰρ ἔπειτ᾽ αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς
βάλλ᾽· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.

Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,
τῇ δεκάτῃ δ᾽ ἀγορὴν δὲ καλέσσατο λαὸν Ἀχιλλεύς·

τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·
κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνῄσκοντας ὁρᾶτο.
οἳ δ᾽ ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τε γένοντο,
τοῖσι δ᾽ ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Ἀτρεΐδη νῦν ἄμμε παλιμπλαγχθέντας οἴω

ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς·
ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν,
ὅς κ᾽ εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,

εἴτ᾽ ἄρ᾽ ὅ γ᾽ εὐχωλῆς ἐπιμέμφεται ἠδ᾽ ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.»
Ἦτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη
Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ᾽ ἄριστος,

ὃς ᾔδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,
καὶ νήεσσ᾽ ἡγήσατ᾽ Ἀχαιῶν Ἴλιον εἴσω
ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
«Ὦ Ἀχιλεῦ, κέλεαί με, Διΐ φίλε, μυθήσασθαι

μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος·
τοὶ γὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν·
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί·

κάποτε ως τώρα εγώ, για αν σου 'καψα παχιά μεριά ποτέ μου,
γιδίσια για ταυρίσια, επάκουσε, και δώσε να πλερώσουν
οι Δαναοί με τις σαγίτες σου τα δάκρυα που 'χω χύσει!»
Είπε, και την ευκή του επάκουσεν ο Απόλλωνας ο Φοίβος,
κι απ᾽ την κορφή του Ολύμπου εχύθηκε θυμό γεμάτος, κι είχε
δοξάρι και κλειστό στις πλάτες του περάσει σαϊτολόγο'
κι αντιβροντούσαν οι σαγίτες του στις πλάτες, μανιασμένος
καθώς τραβούσε· και κατέβαινε σαν τη νυχτιά τη μαύρη.
Κάθισε αλάργα απ᾽ τα πλεούμενα κι ευτύς σαγίτα ρίχνει,
και το ασημένιο του αντιδόνησε τρομαχτικά δοξάρι.

Τις μούλες πρώτα πρώτα δόξευε και τους γοργούς τους σκύλους,
μετά τις μυτερές του ρίχνοντας σαγίτες τους ανθρώπους
σαγίτευε᾽ κι άναβαν άπαυτα για τους νεκρούς οι φλόγες.
Μέρες εννιά απολιόταν πάνω τους το θείο σαγιτοβόλι,
κι απά στις δέκα πια τη σύναξη συγκάλεσε ο Αχιλλέας'
η Ήρα, η θεά η κρουσταλλοβράχιονη, τον είχε λέω φωτίσει,
περίσσια που γνοιαζόταν, βλέποντας οι Αργίτες να πεθαίνουν.
Κι εκείνοι τότε αφού μαζώχτηκαν κι όλοι μαζί βρέθηκαν,
πήρε ο Αχιλλέας ο φτεροπόδαρος κι ορθός μιλούσε ομπρός τους:
«Ατρείδη, τώρα θα γυρίσουμε λέω στην πατρίδα πίσω

με άδεια τα χέρια, αν ξεγλιτώσουμε μονάχα από το Χάρο,
καθώς η λοιμική κι ο πόλεμος μαζί μας ξεκληρίζουν.
Μον᾽ έλα, κάποιον να ρωτήσουμε για λειτουργό για μάντη,
για ονειροκρίτη ακόμα—τ᾽ όνειρο, κι εκείνο ο Δίας το στέλνει—
να πει, γιατί μαθές ο Απόλλωνας σε τόση οργή μας έχει;
Μήνα κανένα τάμα του 'λειψε, μήνα τρανή θυσία;
Μπας και την κνίσα από αψεγάδιαστα γίδια κι αρνιά θελήσει
να προσδεχτεί κι απ᾽ τα κεφάλια μας το χαλασμό να διώξει.»
Είπε και κάθισε· του Θέστορα σηκώθη ο γιος, ο Κάλχας,
τότε μπροστά τους, που απ᾽ τους μάντηδες ο πιο τρανός λογιόταν,

και όλα τα κάτεχε, μελλούμενα και τωρινά και πρώτα᾽
της Τροίας το δρόμο με την τέχνη του τη μαντική, το δώρο
του Φοίβου Απόλλωνα, στ᾽ Αργίτικα καράβια είχε ορμηνέψει.
και τότε μίλησε καλόγνωμος άναμεσό τους κι εϊπε:
« Αρχοντικέ Αχιλλέα, προστάζεις με να σας ξηγήσω τώρα .
του ρήγα Απόλλωνα τη μάνητα του μακροσαγιτάρη.
Ναι, θα μιλήσω, μα στοχάσου το και συ πιο πριν κι ορκίσου
με λόγια και με χέρια πρόθυμα πώς θα με διαφεντέψεις.
Φοβάμαι, θα θυμώσω κάποιον μας, πού τους Αργίτες όλους
περίσσια ξεπερνά στη δύναμη και του αγρικοϋν το λόγο'

κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
ἐν στήθεσσιν ἑοῖσι· σὺ δὲ φράσαι εἴ με σαώσεις.»
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·

«Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα·
οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧ τε σὺ Κάλχαν
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσί βαρείας χεῖρας ἐποίσει

συμπάντων Δαναῶν, οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς,
ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.»
Καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων·
«Οὔ τ᾽ ἄρ ὅ γ᾽ εὐχωλῆς ἐπιμέμφεται οὐδ᾽
ἑκατόμβης,
ἀλλ᾽ ἕνεκ᾽ ἀρητῆρος ὃν ἠτίμησ᾽ Ἀγαμέμνων,

οὐδ᾽ ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ᾽ ἄποινα,
τοὔνεκ᾽ ἄρ᾽ ἄλγε᾽ ἔδωκεν ἑκηβόλος ἠδ᾽ ἔτι δώσει·
οὐδ᾽ ὅ γε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει
πρίν γ᾽ ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
ἀπριάτην ἀνάποινον, ἄγειν θ᾽ ἱερὴν ἑκατόμβην

ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.»
Ἦτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη
ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι
πίμπλαντ᾽, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην·

Κάλχαντα πρώτιστα κάκ᾽ ὀσσόμενος προσέειπε·
«Μάντι κακῶν, οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας·
αἰεί τοι τὰ κάκ᾽ ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,
ἐσθλὸν δ᾽ οὔτέ τί πω εἶπας ἔπος οὔτ᾽ ἐτέλεσσας·
καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις

ὡς δὴ τοῦδ᾽ ἕνεκά σφιν ἑκηβόλος ἄλγεα τεύχει,
οὕνεκ᾽ ἐγὼ κούρης Χρυσηΐδος ἀγλὰ᾽ ἄποινα
οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλα
κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,

οὐ δέμας οὐδὲ φυήν, οὔτ᾽ ἄρ φρένας οὔτέ τι ἔργα.
ἀλλὰ καὶ ὥς ἐθέλω δόμεναι πάλιν εἰ τό γ᾽ ἄμεινον·
βούλομ᾽ ἐγὼ λαὸν σῶν ἔμμεναι ἢ ἀπολέσθαι·
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ᾽ ἑτοιμάσατ᾽ ὄφρα μὴ οἷος
Ἀργείων ἀγέραστος ἕω, ἐπεὶ οὐδὲ ἔοικε·

τι αλί στον αχαμνό που τα 'βαλε τρανός μαζί του ρήγας!
Κι αν καταπιεί μαθές τη μάνητα προσώρας και σωπάσει,
όμως καιρό κρατάει το χόλιασμα, ξεγδικιωμό ως να πάρει,
βαθιά στα φρένα᾽ τώρα λόγιασε καΐ συ αν θα με γλιτώσεις.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
« Κουράγιο, κι άφοβα φανέρωσε τη θεία βουλή πού ξέρεις·
τι άκου, ποτέ, μα τον Απόλλωνα, που εσύ για τους Αργίτες
ανακαλιέσαι, ξεδιαλύνοντας τις θείες βουλές του, Κάλχα,
ποτέ όσο ζω κι όσο τα μάτια μου τη γη θωρούν ετούτη,
κανένας Δαναός απάνω σου δε θα σηκώσει χέρι

βαρύ στα βαθουλά καράβια μας, κι ακόμα αν νοματίσεις
τον Αγαμέμνονα, που πέτεται πώς είναι απ᾽ όλους πρώτος.»
Κι ο άψεγος μάντης ξεθαρρεύοντας απηλογήθη τότε:
« Μήτε κανένα τάμα του 'λειψε μηδέ τρανή θυσία,
χολιάζει μόνο που ο Αγαμέμνονας το Χρύση δε σεβάστη,
κι ουδέ λευτέρωσε την κόρη του κι ουδέ τα λύτρα εδέχτη.
Γι᾽ αυτό με συφορές μας έδειρε και θα μας δείρει ακόμα
ο Μακρορίχτης, κι ουδ᾽ απ᾽ τ᾽ άπρεπο κακό θα μας γλιτώσει,
προτού την αστρομάτα δώσουμε την κορασιά στον κύρη
πίσω, ξαπλέρωτη, ξαγόραστη, κι ιερή στη Χρύσα πάμε

θυσία τρανή· να τον γλυκάνουμε, μπορεί ν᾽ αλλάξει γνώμη.»
Ως είπε εκείνος τούτα, κάθισε, και τότε ασκώθη ομπρός τους
ο πρωταφέντης Αγαμέμνονας, ο γαύρος γιος του Ατρέα,
χολή γεμάτος, και ξεχείλιζαν τα σκοτεινά του σπλάχνα
από το πάθος, και τα μάτια του σαν τη φωτιά ξαστράφταν.
Στον Κάλχα πρώτα αγριοκοιτώντας τον γυρνά κι απολογιέται:
« Μάντη κακέ, που λόγο πρόσχαρο δε μου 'χεις πει ποτέ σου!
Πάντα η καρδιά σου εσένα χαίρεται κακό να προφητεύει'
εσύ καλό μηδέ ξεστόμισες μηδ᾽ έκαμες ποτέ σου.
Έτσι και τώρα ξεδιαλύνοντας τις θείες βουλές φωνάζεις

μπρος στους Αργίτες πως τα πάθη τους τα στέλνει ο Μακρορίχτης,
γιατί το πλούσιο εγώ ξαντίμεμα της κόρης απ᾽ τη Χρύσα
δεν εστρεξα, μονάχα θέλησα να την κρατώ κοντά μου·
τι κι απ᾽ την ίδια τη γυναίκα μου, την Κλυταιμήστρα, κάλλιο
μου αρέσει αλήθεια᾽ τι χειρότερη δεν είναι τούτη μήτε
στην ελικιά μηδέ στο ανάριμμα μηδέ στο νου ή στα χέρια.
Κι όμως, αν πρέπει, παίρνω απόφαση και τήνε δίνω πίσω'
να μην αφανιστεί το ασκέρι μας, να μείνει ακέριο θέλω.
Μα γι᾽ άλλο αρχοντομοίρι γρήγορα γνοιαστείτε᾽ δεν ταιριάζει
δίχως μοιράδι τώρα απ᾽ όλους μας να μένω εγώ μονάχα'

λεύσσετε γὰρ τό γε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλῃ.»
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
«Ἀτρεΐδη κύδιστε, φιλοκτεανώτατε πάντων,
πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·

ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
λαοὺς δ᾽ οὐκ ἐπέοικε παλίλλογα ταῦτ᾽ ἐπαγείρειν.
ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῇ τετραπλῇ τ᾽ ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.»

Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
«Μὴ δ᾽ οὕτως ἀγαθός περ ἐὼν, θεοείκελ᾽ Ἀχιλλεῦ,
κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις ὄφρ᾽ αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ᾽ αὖτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ᾽ ἀποδοῦναι;

ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ
ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσιν ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
ἄξω ἑλών· ὃ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι.

ἀλλ᾽ ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
νῦν δ᾽ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
ἐν δ᾽ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ᾽ ἑκατόμβην
θείομεν, ἂν δ᾽ αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,

ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς
ἠὲ σὺ, Πηλεΐδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν,
ὄφρ᾽ ἥμιν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.»
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Ὤ μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,

πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν
ἢ ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ᾽ ἤλυθον αἰχμητάων
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν·
οὐ γὰρ πώποτ᾽ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,

οὐδέ ποτ᾽ ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ᾽, ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοί, ὦ μέγ᾽ ἀναιδές, ἅμ᾽ ἑσπόμεθ᾽ ὄφρα σὺ χαίρῃς,
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα,

τι φεύγει αλλού το αρχοντομοίρι μου, το βλέπετε κι ατοί σας.»
Τότε ο Αχιλλέας ο γοργοπόδαρος του απηλογήθη κι είπε:
«Υγιέ του Ατρέα τρανέ κι απ᾽ όλους μας ο πιο συφερτολόγος,
και πώς οι Αργίτες οι τρανόψυχοι να βρουν αρχοντομοίρι
να σου το δώσουν; Βιος αμοίραστο δεν έχουμε, όσο ξέρω'
τι όσα απ᾽ τα κάστρα διαγουμίσαμε, τα μοιραστήκαμε όλα,
κι ούτε θα ταίριαζε το ασκέρι μας να τα μαζέψει πάλε.
Μα τώρα τούτη εσύ λευτέρωσε για του θεού τη χάρη,
κι εμείς διπλά να σε ξοφλήσουμε και τρίδιπλα, αν μια μέρα
μας δώσει ο Δίας η καλοτείχιστη να γίνει Τροία δική μας.»

Μα ο πρωταφέντης Αγαμέμνονας γυρνώντας του άποκρίθη:
«Παλικαριά, Αχιλλέα θεόμορφε, τρανή κι αν έχεις, όχι,
δε με γελάς κι ουδέ πλανεύουμαι κι ουδέ μου αλλάζεις γνώμη.
Να 'χεις εσύ το αρχοντομοίρι σου κι εγώ να μένω θέλεις
με ολάδεια χέρια, κι ορμηνεύεις με να δώσω ετούτη πίσω;
Τώρα αν οι Αργίτες οι τρανόψυχοι καινούργιο αρχοντομοίρι,
της αρεσκιάς μου, μου ξεδιάλεγαν, να σοζυγιάζει το άλλο...
Μ᾽ αν δε μου δώσουνε μονάχοι τους μοιράδι, θα 'ρθω ατός μου
για το δικό σου για και του Αίαντα για του Οδυσσέα να πάρω'
κι όποιος με ιδεί μπροστά του, σίγουρα βαρύ πολύ θα του 'ρθει!

Όμως για τούτα δε βιαζόμαστε, τα ξαναλέμε᾽ τώρα
μαύρο στην άγια, ελάτε, θάλασσα να ρίξουμε καράβι,
και κουπολάτες να μαζώξουμε ξεδιαλεχτούς, κι ακόμα
μέσα τρανή θυσία να βάλουμε᾽ κι ας ανεβεί κι ατή της
η Χρυσοπούλα η ροδομάγουλη, κι απ᾽ τους ρηγάδες ένας
για ο Ιδομενέας για κι ο Αίας κύβερνος για κι ο Οδυσσέας ας γένει,
για, αν θες, κι εσύ, Αχιλλέα, ν᾽ ανέβαινες, που τρέμει ο κόσμος όλος'
μπορεί με τις θυσίες να μέρωνες το Μακροσαγιτάρη.»
Κι είπε ο Αχιλλέας ο γοργοπόδαρος ταυροκοιτάζοντάς τον:
«Ωχού μου, από κορφής ξαδιάντροπε και συφεροντονούση!

Αργίτης πως κανείς στο λόγο σου με προθυμία ν᾽ ακούσει
και να κινήσει, για στον πόλεμο να βγει παλικαρίσια;
Δεν τα 'χω εγώ με τους αντρόψυχους τους Τρώες αλήθεια, που
'ρθα
να πολεμήσω εδώ᾽ σε τίποτα δε μου 'φταιξαν εμένα'
δε μου άρπαξαν ποτέ τα βόδια μου κι ουδέ τ᾽ αλόγατά μου,
κι ουδέ στη Φθία την παχιοχώματη, την ανθρωποθροφούσα,
ποτέ τους τα σπαρτά μου ερήμαξαν, τι πλήθια ανάμεσα μας
βουνά βρίσκονται μακρογίσκιωτα και θάλασσα όλο λάλο.
Μον 'σένα, αδιάντροπε, άκλουθήξαμε, να χαίρεται η καρδιά σου,
που του Μενέλαου διαφεντεύουμε και τη δικιά σου, σκύλε,

πρὸς Τρώων· τῶν οὔ τι μετατρέπῃ οὐδ᾽ ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ᾧ ἔπι πολλὰ μόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας ὁππότ᾽ Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ᾽ εὖ ναιόμενον πτολίεθρον·

ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ᾽· ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ᾽ ὀλίγον τε φίλον τε
ἔρχομ᾽ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ᾽ εἶμι Φθίηνδ᾽, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν

οἴκαδ᾽ ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ᾽ οἴω
ἐνθάδ᾽ ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.»
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Φεῦγε μάλ᾽, εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ᾽ ἔγωγε
λίσσομαι εἵνεκ᾽ ἐμεῖο μένειν· πάρ᾽ ἔμοιγε καὶ ἄλλοι

οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·
εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό γ᾽ ἔδωκεν·
οἴκαδ᾽ ἰὼν σὺν νηυσί τε σῇς καὶ σοῖς ἑτάροισι

Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ᾽ ἐγὼ οὐκ ἀλεγίζω,
οὐδ᾽ ὄθομαι κοτέοντος· ἀπειλήσω δέ τοι ὧδε·
ὡς ἔμ᾽ ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
τὴν μὲν ἐγὼ σὺν νηΐ τ᾽ ἐμῇ καὶ ἐμοῖς ἑτάροισι
πέμψω, ἐγὼ δέ κ᾽ ἄγω Βρισηΐδα καλλιπάρῃον

αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας, ὄφρ᾽ ἐῢ εἰδῇς
ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην.»
Ὣς φάτο· Πηλεΐωνι δ᾽ ἄχος γένετ᾽, ἐν δέ οἱ ἦτορ
στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,

ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
τοὺς μὲν ἀναστήσειεν, ὃ δ᾽ Ἀτρεΐδην ἐναρίζοι,
ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.
ἧος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἕλκετο δ᾽ ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ᾽ Ἀθήνη

οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
στῆ δ᾽ ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα
οἴῳ φαινομένη· τῶν δ᾽ ἄλλων οὔ τις ὁρᾶτο·
θάμβησεν δ᾽ Ἀχιλεύς, μετὰ δ᾽ ἐτράπετ᾽, αὐτίκα δ᾽ ἔγνω

τιμή. Μα εσύ γι'αυτά δε γνοιάζεσαι, δεν τα ψηφάς, κι ατός σου
πίσω να πάρεις το μοιράδι μου με φοβερίζεις τώρα,
που οι Αργίτες μου 'δωκαν και μόχτησα βαριά να το κερδέψω.
Ποτέ δεν είν᾽ τοό αρχοντομοίρι μου σαν το δικό σου, σύντας
κάποιο πολύψυχο πατήσουμε των Τρωών οι Αργίτες κάστρο'
μα η πιο βαριά του πολυτάραχου πολέμου μπόρα πέφτει
στα χέρια ετούτα, κι όταν υστέρα στη μοιρασιά βρεθούμε,
πάντα δικό σου το τρανότερο, κι εγώ στα πλοία διαγέρνω
μικρό κρατώντας, μα καλόδεχτο, σα ρέψω πια απ᾽ τη μάχη.
Τώρα στη Φθία θα πάω᾽ καλύτερα χίλιες φορές αλήθεια

να γύρω σπίτι μου με τ᾽ άρμενα, κι ουδέ στο νου μου το 'χω
αψήφιστος να μένω εδώ, αγαθά και βιος να σου σωριάζω.»
Κι ο πρωταφέντης Αγαμέμνονας του απηλογήθη τότε:
«Και δε μισεύεις πίσω, αν σ᾽ έπιασε του μισεμού λαχτάρα!
Δε σου προσπέφτω εγώ, για χάρη μου να μείνεις᾽ έχω κι άλλους
να με τιμήσουν, το βαθύγνωμο το Δία πιο πάνω απ᾽ όλους.
Εσένα πιο βαριά σε οχτρεύομαι μες στους τρανούς ρηγάδες,
τι πάντα πόλεμοι σου αρέσουνε, συνερισιές κι αμάχες'
και λέω, κι αν είσαι τόσο αντρόκαρδος, από θεού 'ναι δώρο.
Τράβα στον τόπο σου με τ᾽ άρμενα και τους συντρόφους σου
όλους,

κι εκεί στους Μυρμιδόνες όριζε᾽ δε σε ψηφώ καθόλου,
κι ούτε με νοιάζει που μου θύμωσες, μόν᾽ τή φοβέρα μου άκου:
Όπως μου παίρνει πίσω ο Απόλλωνας τη Χρυσοπούλα τώρα
και θα τη στείλω εγώ με ανθρώπους μου και με άρμενο δικό μου,
όμοια κι εγώ τη ροδομάγουλη τη Βρισοπούλα ατός μου,
το μερτικό σου, στην καλύβα σου θα 'ρθω να πάρω, πόσο
να μάθεις στέκω εγώ πιο πάνω σου, και να φοβάται κι άλλος
να μου μιλάει σαν ίσιος κι όμοιος μου, σύντας βρεθεί μπροστά
μου.»
Έτσι είπε, κι ο Αχιλλέας συχύστηκε᾽ στα δασωμένα στήθια
διχόγνωμη η καρδιά του εδούλευε, κι αναρωτιόταν, τάχα

το κοφτερό σπαθί που εκρέμουνταν πλάι στο μερί να σύρει,
κι ως διασκορπίσει όλη τη σύναξη, το γιο του Ατρέα να σφάξει,
για να μερώσει το άγριο πάθος του και το θυμό να πνίξει;
Κι ως τούτα ανάδευε στα φρένα του βαθιά και στην καρδιά του
και το τρανό σπαθί του ανάσερνε, να τη η Αθηνά απ᾽ τα ουράνια'
η Ήρα μαθές η κρουσταλλόχερη την είχε ξαποστείλει,
που και τους δυο παρόμοια νοιάζουνταν κι ίδια τους είχε αγάπη.
Πίσω του εστάθη και τον άρπαξε απ᾽ τα ξανθά μαλλιά του'
άλλος κανείς δεν την ξεχώριζε, μόνο ο Αχιλλέας μπορούσε.
Σάστισε αυτός, τα πίσω στράφηκε, κι ευτύς αναγνωρίζει

Παλλάδ᾽ Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
«Τίπτ᾽ αὖτ᾽, αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·

ᾗσ᾽ ὑπεροπλίῃσι τάχ᾽ ἄν ποτε θυμὸν ὀλέσσῃ.»
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
«Ἦλθον ἐγὼ παύσουσα τὸ σὸν μένος, αἴ κε πίθεαι,
οὐρανόθεν· πρὸ δέ μ᾽ ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·

ἀλλ᾽ ἄγε λῆγ᾽ ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·
ἀλλ᾽ ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ·
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
ὕβριος εἵνεκα τῆσδε· σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν.»

Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Χρὴ μὲν σφωΐτερον γε, θεά, ἔπος εἰρύσασθαι
καὶ μάλα περ θυμῷ κεχωλομένον· ὧς γὰρ ἄμεινον·
ὅς κε θεοῖσ᾽ ἐπιπείθηται, μάλα τ᾽ ἔκλυον αὐτοῦ.»
Ἦ καὶ ἐπ᾽ ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν,

ἂψ δ᾽ ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ᾽ ἀπίθησε
μύθῳ Ἀθηναίης· ἡ δ᾽ Οὔλυμπόνδε βεβήκει
δώματ᾽ ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.
Πηλεΐδης δ᾽ ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρεΐδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο·

«Οἰνοβαρές, κυνὸς ὄμματ᾽ ἔχων, κραδίην δ᾽ ἐλάφοιο,
οὔτέ ποτ᾽ ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχον δ᾽ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώϊτόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν

δῶρ᾽ ἀποαιρεῖσθαι ὅς τις σέθεν ἀντίον εἴπῃ·
δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.
ἀλλ᾽ ἔκ τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους

φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ᾽ ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·

την Αθηνά Παλλάδα—κι άστραφταν φριχτά τα δυο της μάτια—
και κράζοντας τη με ανεμάρπαστα της συντυχαίνει λόγια:
« Τέκνο του Δία του βροντοσκούταρου, γιατί ήρθες τώρα πάλε;
Για τον υγιό του Ατρέα μην έτρεξες, να δεις την ξιπασιά του;
Εγώ ένα λόγο ωστόσο θα 'λεγα, που θα γενεί, λογιάζω:
με τ᾽ άπρεπα του αυτά καμώματα θα γοργοθανατίσει.»
Τότε η Αθηνά, η θεά η γλαυκόματη, του απηλογήθη κι είπε:
«Ήρθα να πάψω εγώ την όργητα που σε κρατεί, αν μ᾽ ακούσεις,
σταλμένη απ᾽ την κρουσταλλοβράχιονη την Ήρα από τα ουράνια,
που και τους δυο σας ίδια νοιάζεται κι ίδια σας έχει αγάπη.

Μον᾽ έλα, σκόλνα τα μαλώματα και το σπαθί μη σέρνεις᾽
με λόγια ωστόσο, αν θέλεις, βρίσε τον, κι όπου σε βγάλει η γλώσσα!
Κι εγώ ένα λόγο τώρα θα 'λεγα, που σίγουρα θα γένει:
τρίδιπλα τόσα δώρα ατίμητα μια μέρα θα σου δώσουν
γι᾽ αυτό το ντρόπιασμα, μόν᾽ άκου μας και το θυμό σου κράτα.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος απηλογιά της δίνει:
«Δεν πρέπει αλήθεια την ορμήνια σας, θεά, να παρακούσω,
κι ας πνίγει η οργή βαθιά τα σπλάχνα μου᾽ το πιο συφέρο αυτό 'ναι.
Που τους θεούς γρικάει, με προθυμία τον συνακούν κι εκείνοι.»
Είπε, και το τρανό ξανάσπρωξε σπαθί του στο θηκάρι,

στη βαριά φούχτα το χερόλαβο κρατώντας το ασημένιο,
στης Αθηνάς τα λόγια ακούγοντας᾽ κι εκείνη στο παλάτι
πετάει και πάει του Δία, στον Όλυμπο, με τους θεούς τους άλλους.
Ωστόσο το θυμό δε σκόλαζε τότε ο Αχιλλέας, μόν᾽ πήρε
φαρμακεμένα λόγια κι έλεγε στο γιο του Ατρέα γυρνώντας:
«Μεθύστακα, με μάτια εσύ σκυλιού και με καρδιά αλαφίνας!
Πότε η καρδιά σου εσένα βάστηξε ν᾽ αρματωθείς και να 'βγεις
με τα φουσάτα μας στον πόλεμο; Πότε να πας να στήσεις
καρτέρι με τους πιο αντρειωμένους μας; το τρέμεις σαν το Χάρο!
Αλήθεια, πιο καλά στ᾽ απλόχωρα των Αχαιών λημέρια

όποιου μιλήσει αντρίκεια αντίκρυ σου ν᾽ αρπάζεις το μοιράδι!
Χαρά στο λαοφαγά τον άρχοντα, πού ορίζει τιποτένιους!
Αλλιώς, Ατρείδη, λέω δε θα 'σωνες άλλη αδικία να κάνεις.
Μ᾽ άκου τα λόγια μου, πού απάνω τους όρκο τρανό θα ομώσω:
Μα τούτο το ραβδί—σ᾽ τ᾽ ορκίζομαι—που φύλλα πια και κλωνιά
δε θα πετάξει, αφού παράτησε στο λόγγο τον κορμό του,
κι ουδέ θ᾽ ανοίξει πια, τι ολόγυρα του 'χει ο χαλκός θερίσει
φύλλα και φλούδα, και στα χέρια τους οι Αργίτες κρισολόγοι
τώρα το σφίγγουν διαφεντεύοντας τη δικαιοσύνη πάντα,
ως το 'χει ορίσει ο Δίας—τον άκουσες τον όρκο τον τρανό μου!

ἦ ποτ᾽ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ᾽ οὔ τι δυνήσεαι ἀχνύμενός περ
χραισμεῖν, εὖτ᾽ ἂν πολλοὶ ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο
θνῄσκοντες πίπτωσι· σὺ δ᾽ ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος ὅ τ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.»

Θα 'ρθεί καιρός αλήθεια που όλοι τους θ᾽ αποζητούν οι Αργίτες
τον Αχιλλέα, και τότε μ᾽ όλο σου δε θα μπορείς τον πόνο
να τους συντρέξεις, απ᾽ τον Έχτορα καθώς τον αντροφόνο
νεκροί θα πέφτουν και θα σκίζεται τότε η καρδιά σου εσένα
απ᾽ τον καημό, που παραψήφησες των Αχαιών τον πρώτο.»

Ὣς φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ᾽ αὐτός·
Ἀτρεΐδης δ᾽ ἐτέρωθεν ἐμήνιε· τοῖσι δὲ Νέστωρ
ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής,
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·

Είπε ο Αχιλλέας, και σφεντονίζοντας στο χώμα το ραβδί του,
το πλουμισμένο με χρυσόκαρφα, στη θέση του διαγέρνει.
Χώρια κι ο γιος του Ατρέα ξεφρένιαζε. Πετάχτη τότε ομπρός τους
ο Νέστορας, ο γλυκομίλητος αγορητής της Πύλος,
που πιο γλυκά άπ᾽ το μέλι ανάβρυζαν τα λόγια του απ᾽ το στόμα.

τῷ δ᾽ ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
ἐφθίαθ᾽, οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ᾽ ἐγένοντο
ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισιν ἄνασσεν·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
«Ὤ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει·

Δυο είχαν ιδεί τα μάτια του γενιές ως τώρα να πεθαίνουν
θνητών ανθρώπων, πού γεννήθηκαν και τράνεψαν πιο πρώτα
στην άγια Πύλο, και βασίλευε πια στη γενιά την τρίτη.
και τότε μίλησε καλόγνωμος αναμεσό τους κι είπε:
« Ωχού, τρανό κακό που πλάκωσε των Αχαιών τη χώρα!

ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες
ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ᾽ ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ᾽· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο·

Ο Πρίαμος πόσο θ᾽ αναγάλλιαζε κι οι γιοι του Πριάμου τώρα,
πόσο βαθιά κ᾽ οι Τρώες οι επίλοιποι θα χαίρουνταν αλήθεια,
τούτα για σας τους δυο να μάθαιναν, πώς αρπαχτήκατε έτσι,
οι πρώτοι Αργίτες, και στη φρόνεψη και στο κοντάρι οι πρώτοι.
Μα τώρα ακουστέ μου! Τα χρόνια μου κανένας σας δεν τα 'χει.

ἤδη γάρ ποτ᾽ ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ᾽ οἵ γ᾽ ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ᾽ Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον

Εγώ είχα σμίξει με άντρες κάποτε πολύ τρανότερούς σας
—χρόνια παλιά—κι αυτοί τα λόγια μου δεν τ᾽ αψηφούσαν, όχι.
Άντρες παρόμοιους δεν αντάμωσα κι ουδέ και θ᾽ ανταμώσω,
σαν τον Πειρίθο ή τον Πολύφημο, που ίδια θεός λογιόταν,
σαν τον Εξάδιο, σαν το Δρύαντα, σαν τον Καινέα το ρήγα,

Θησέα τ᾽ Αἰγεΐδην, ἐπιείκελον ἀθανάτοισιν·
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο
φηρσὶν ὀρεσκῴοισι καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν

σαν το Θησέα, στην όψη που 'μοιαζε θεός, το γιο του Αιγέα.
Πολλά αντρειωμένοι εκείνοι εστάθηκαν στης γης τους άντρες μέσα,
πολλά αντρειωμένοι, και πολέμησαν και με πολλά αντρειωμένους'
με του βουνού τους δράκους τα 'βαλαν και τους χάλασαν όλους.
Μ᾽ αυτούς εγώ συναπαντήθηκα, φτασμένος απ᾽ την Πύλο,

τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί·
καὶ μαχόμην κατ᾽ ἔμ᾽ αὐτὸν ἐγώ· κείνοισι δ᾽ ἂν οὔ τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο·
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθῳ·
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·

πέρα, από τόπο αλαργοτάξιδο᾽ τι ατοί τους με κάλεσαν,
και χώρια, για δικού μου, αμάχουμουν. Απ᾽ όσους θρέφει τώρα
η γη, κανείς δε θα 'χε ανάκαρα να χτυπηθεί μαζί τους.
Κι ωστόσο παίρναν και τη γνώμη μου και μου άκουγαν το λόγο.
Λοιπόν κι εσείς, ελάτε, ακούστε μου, χαρά σ᾽ αυτόν που ακούει.

μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
ἀλλ᾽ ἔα ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σὺ Πηλείδη ἔθελ᾽ ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην, ἐπεὶ οὔ ποθ᾽ ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.

και μήτε εσύ, κι ας έχεις δύναμη, την κόρη να του πάρεις,
μόν᾽ άφησέ τη, ως του την έδωκαν αποξαρχής οι Αργίτες᾽
μήτε κι εσύ, Αχιλλέα, να ρίχνεσαι του βασιλιά μας τώρα
σαν ίσια κι όμοιος· τι δεν έλαχε την ίδια με τους άλλους
τιμή ένας ρήγας πρωτοστάτορας, που ο Δίας τον μεγαλύνει.

εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ᾽ ὅ γε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρεΐδη σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
λίσσομ᾽ Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
ἔρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.»

Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων
Ἀγαμέμνων·
«Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ᾽ ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν᾽ οὐ πείσεσθαι ὀΐω·

εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;»
Τὸν δ᾽ ἄρ᾽ ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
«Ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττί κεν εἴπῃς·

ἄλλοισιν δὴ ταῦτ᾽ ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
σήμαιν᾽· οὐ γὰρ ἔγωγ᾽ ἔτι σοὶ πείσεσθαι ὀΐω.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
χερσὶ μὲν οὔ τοι ἔγωγε μαχήσομαι εἵνεκα κούρης
οὔτε σοὶ οὔτέ τῳ ἄλλῳ, ἐπεί μ᾽ ἀφέλεσθέ γε δόντες·

τῶν δ᾽ ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο·
εἰ δ᾽ ἄγε μὴν πείρησαι ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.»
Ὣς τώ γ᾽ ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν

ἀνστήτην, λῦσαν δ᾽ ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν·
Πηλεΐδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἴσας
ἦϊε σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισιν·
Ἀτρεΐδης δ᾽ ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν,
ἐν δ᾽ ἐρέτας ἔκρινεν εἰκοσιν, ἐς δ᾽ ἑκατόμβην

βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
εἷσεν ἄγων· ἐν δ᾽ ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
Οἳ μὲν ἔπειτ᾽ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
λαοὺς δ᾽ Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγεν·
οἳ δ᾽ ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματα βάλλον,

ἔρδον δ᾽ Ἀπόλλωνι τελήεσσας ἑκατόμβας
ταύρων ἠδ᾽ αἰγῶν παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο·
κνίση δ᾽ οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἳ μὲν τὰ πένοντο κατὰ στρατόν· οὐδ᾽
Ἀγαμέμνων
λῆγ᾽ ἔριδος τὴν πρῶτον ἐπηπείλησ᾽ Ἀχιλῆϊ,

Κι αν είσαι δυνατός, κι αν σ᾽ έκανε θεά μητέρα εσένα,
στέκει απ᾽ την άλλη αυτός πιο πάνω σου, τι πιο πολλούς ορίζει.
Υγιέ του Ατρέα, κι εσύ την όργητα παράτα, του Αχιλλέα
μην του κρατάς θυμό, ξορκίζω σε᾽ τι στους Αργίτες όλους
αυτός μας στέκει κάστρο ατράνταχτο μες στη σφαγή την άγρια.»
Κι ο πρωταφέντης Αγαμέμνονας γυρνώντας του αποκρίθη:
« Τα όσα μου λες αλήθεια, γέροντα, πολύ σωστά και δίκια,
μ᾽ αυτός εδώ γυρεύει απ᾽ όλους μας να στέκεται πιο πάνω,
όλους δικούς του να 'χει, σε όλους μας να κάνει το κουμάντο,
όλους να ορίζει᾽ μα τα λόγια του θα πάν θαρρώ του ανέμου.

Κι αν οι θεοί μαθές οι αθάνατοι τον κάμαν αντρειωμένο,
του δώκαν τάχα και το λεύτερο να βγαίνει να μας βρίζει;»
Το λόγο του 'κόψε ο τρισεύγενος τότε Αχιλλέας και του 'πε:
« Αλήθεια, να με πούνε θ᾽ αξιζε κιοτή και τιποτένιο,
σε ό,τι κι αν έλεγες αν σύγκλινα, να κάνω ό,τι προστάζεις.
Άλλους, αν θέλεις, βρες κι αφέντευε, σε μένα πια μην κάνεις
κουμάντο τώρα᾽ τι τα λόγια σου θα παν θαρρώ του ανέμου.
Κάποιο άλλο λόγο τώρα θά 'λεγα, και συ στο νου σου βάλ᾽ τον:
Στα χέρια αλήθεια εγώ δεν έρχομαι με σένα για και μ᾽ άλλον
γι᾽ αυτή την κόρη που μού δώσατε και τώρα παίρνετέ μου'

όμως απ᾽ τ᾽ άλλα που μου βρίσκουνται μες στο γοργό καράβι
δεν έχεις να μου πάρεις τίποτα χωρίς το θέλημα μου.
Είδε κι αν θες, ομπρός, δοκίμασε, για να το δουν και τούτοι'
ευτύς θ᾽ αναβρυσίσει το αίμα σου τρογύρα απ᾽ το κοντάρι!»
Έτσι ως πιάστηκαν συναλλάζοντας λόγια βαριά κι οι δυο τους,
σκωθηκαν και σκολνούν τη σύναξη στ᾽ Αργίτικα καράβια.
Και τράβηξε ο Αχιλλέας για τ᾽ άρμενα τα καλοζυγιασμένα
και τα καλύβια, με τον Πάτροκλο μαζί και τους συντρόφους.
Κι ο γιος του Ατρέα γοργό στη θάλασσα καράβι λέει και ρίχνουν,
διαλέει και λαμνοκόπους είκοσι, πλήθια σφαχτά φορτώνει

για το θεό᾽ τη ροδομάγουλη μετά τη Χρυσοπούλα
καθίζει. Μπήκε κι ο πολύγνωμος να κυβερνά Οδυσσέας.
Μπήκαν λοιπόν αυτοί κι αρμένιζαν στης θάλασσας τις στράτες!
κι ο γιος του Ατρέα το ασκέρι πρόσταξε να ξαγνιστεί, κι εκείνοι
λούζονταν, κι όλα τ᾽ απονίμματα μες στο γιαλό τα ρίχναν,
και στον Απόλλωνα αψεγάδιαστα ταυριά και γίδια έσφαζαν
πολλά, στης άκαρπης της θάλασσας μπροστά το γυρογιάλι'
κι η κνίσα ανέβαινε στρουφίζοντας με τον καπνό στα ουράνια.
Τούτοι έτσι εμόχτουν ο Αγαμέμνονας δεν παρατούσε ωστόσο
την όχτρητα και τι φοβέρισε στον Αχιλλέα να κάνει'

ἀλλ᾽ ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε,
τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·
«Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος·
χειρὸς ἑλόντ᾽ ἀγέμεν Βρισηΐδα καλλιπάρῃον·
εἰ δέ κε μὴ δώῃσιν ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι

ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.»
Ὣς εἰπὼν προΐει, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·
τὼ δ᾽ ἀέκοντε βάτην παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο,
Μυρμιδόνων δ᾽ ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην,
τὸν δ᾽ εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ

ἥμενον· οὐδ᾽ ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς.
τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα
στήτην, οὐδέ τί μιν προσεφώνεον οὐδ᾽ ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
«Χαίρετε, κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,

ἆσσον ἴτ᾽· οὔ τί μοι ὔμμες ἐπαίτιοι ἀλλ᾽ Ἀγαμέμνων,
ὅ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
ἀλλ᾽ ἄγε, διογενὲς Πατρόκλεες, ἔξαγε κούρην
καί σφωϊν δὸς ἄγειν· τὼ δ᾽ αὐτὼ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων

καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος εἴ ποτε δ᾽ αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖς ἄλλοις· ἦ γὰρ ὅ γ᾽ ὀλοιῇσι φρεσὶ θύει,
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.»

Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ᾽ ἑταίρῳ,
ἐκ δ᾽ ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρῃον,
δῶκε δ᾽ ἄγειν· τὼ δ᾽ αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν·
ἡ δ᾽ ἀέκουσ᾽ ἅμα τοῖσι γυνὴ κίεν· αὐτὰρ Ἀχιλλεὺς
δακρύσας ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς,

θῖν᾽ ἔφ᾽ ἁλὸς πολιῆς, ὁρόων ἐπ᾽ ἀπείρονα πόντον·
πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς·
«Μῆτερ, ἐπεί μ᾽ ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι
Ζεὺς ὑψιβρεμέτης· νῦν δ᾽ οὐδέ με τυτθὸν ἔτισεν·

ἦ γάρ μ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.»
Ὣς φάτο δάκρυ χέων, τοῦ δ᾽ ἔκλυε πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι·
καρπαλίμως δ᾽ ἀνέδυ πολιῆς ἁλὸς ἠϋτ᾽ ὀμίχλη,

κι ευτύς τον Ευρυβάτη εφώναξε και τον Ταλθύβιο ομπρός του,
τους δυο διαλάληδες και πρόθυμους παραστεκάμενούς του:
«Για συρτέ στου Αχιλλέα και γρήγορα κρατώντας τη απ΄ το χέρι
φέρτε μου εδώ τη ροδομάγουλη γυρνώντας Βρισοπούλα.
Κι αν δεν τη δώσει, εγώ με πιότερους Θα πάω και θα την πάρω
με αυτά τα χέρια μου᾽ βαρύτερα θα το πλερώσει τότε.»
Ως είπε τούτα φοβερίζοντας, τους πρόσταξε να φύγουν,
κι αυτοί στο κύμα δίπλα το άκαρπο γιαλό γιαλό τραβούσαν
αθέλητα τους, ως που στ᾽ άρμενα των Μυρμιδόνων φτάσαν.
Και τον πέτυχαν στο καράβι του σιμά και στο καλύβι

να κάθεται, κι ουδέ το χάρηκε να τους ιδεί μπροστά του.
Κι εκείνοι εδείλιασαν και ντράπηκαν τον Αχιλλέα, κι αντίκρυ
στέκονταν κι ούτε τον χαιρέτιζαν κι ουδέ και τον ρωτούσαν.
Μ᾽ αυτός τι θέλαν το κατάλαβε και μίλησε τους πρώτος:
« Καλώς τους κράχτες, τους μαντάτορες του Δία και των ανθρώπων
ζυγώστε᾽ εσείς δε φταίτε τίποτα, μονάχα ο γιος του Ατρέα,
πού εδώ σας στέλνει να μου πάρετε την ώρια Βρισοπούλα.
Πάτροκλε, εμπρός, αρχοντογέννητε, βγάλε και δώσ᾽ την κόρη
να τήνε πάρουν κι οι διαλάληδες μαρτύροι ας είναι ετούτοι
μπρος στους τρισμάκαρους αθάνατους, μπρος στους θνητούς
ανθρώπους

και μπρος στο βασιλιά τον άκαρδο, τη μέρα που θα μ᾽ έχουν
τυχόν ανάγκη, πάλε από άδικο χαμό να ξεγλιτώσω
τους άλλους· τι έχει εκείνος μέσα του κατάρα δίχως άλλο
και ξεφρενιάζει, κι ουδέ δύνεται να ιδεί μπροστά και πίσω,
πώς δίπλα στα καράβια ανέβλαβος θα πολεμά ο στρατός του.»
Είπε, κι ο Πάτροκλος του ακράνη του συναγρικάει το λόγο,
κι απ᾽ το καλύβι την πανέμνοστη τη Βρισοπούλα βγάζει
και τους τη δίνει· δίπλα στ᾽ άρμενα το δρόμο εκείνοι επήραν,
κι η κόρη αθέλητα της πήγαινε μαζί τους. Δακρυσμένος
τότε ο Αχιλλέας απ᾽ τους συντρόφους του μακραίνει και καθίζει

μπρος στον ψαρή γιαλό, το απέραντο το πέλαγο θωρώντας,
κι απλώνοντας τα χέρια ευκήθηκε στην ακριβή του μάνα:
« Μάνα μου, τόσο αφού με γέννησες λιγόχρονο, και να 'ταν
ο Ολύμπιος Δίας τιμή να μου 'δινεν, ο αψηλοβροντολάλος!
Μ᾽ αυτός ουδέ μια στάλα μου 'δειξε τιμή την ώρα ετούτη᾽
τι ο πρωταφέντης Αγαμέμνονας, ο μέγας γιος του Ατρέα,
δε με σεβάστη, μόνο μου άρπαζε το αρχοντομοίρι ατός του.»
Είπε θρηνώντας, και τον άκουσεν η σεβαστή του η μάνα,
που πλάι στο γέρο κύρη εκάθουνταν, στα βάθη του πελάγου,
κι απ᾽ το ψαρί το κύμα επρόβαλε με βιάση, σαν αντάρα,

καί ῥα πάροιθ᾽ αὐτοῖο καθέζετο δάκρυ χέοντος,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
«Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.»
Τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·

«Οἶσθα· τί ἤ τοι ταῦτα ἰδυίῃ πάντ᾽ ἀγορεύω;
ᾠχόμεθ᾽ ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα·
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ᾽ ἔλον Ἀτρεΐδῃ Χρυσηΐδα καλλιπάρῃον.

Χρύσης δ᾽ αὖθ᾽ ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ᾽ ἀπερείσι᾽ ἄποινα,
στέμματ᾽ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,

Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ᾽ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ᾽ ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ᾽ οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·

χωόμενος δ᾽ ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ᾽ Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ᾽ ἐπ᾽ Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῇσκον ἐπασσύτεροι, τὰ δ᾽ ἐπῴχετο κῆλα θεοῖο
πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις

εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
αὐτίκ᾽ ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρεΐωνα δ᾽ ἔπειτα χόλος λάβεν, αἶψα δ᾽ ἀναστὰς
ἠπείλησεν μῦθον ὃ δὴ τετελεσμένος ἐστί·
τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἐλίκωπες Ἀχαιοὶ

ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σὺ εἰ δύνασαί γε περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ᾽ Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι

ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης ὅτ᾽ ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι

και στον υιό της που 'κλαιεν έτρεξε και κάθισε μπροστά του,
και με το χέρι της τον χάιδεψε κι έτσι μιλάει και κρένει:
« Τι κλαις, παιδί μου; ποιος σου τάραξε καημός τα σπλάχνα τώρα;
Μίλα ανοιχτά, κι οι δυο να ξέρουμε, μην το κρατάς κρυμμένο.»
Βαριά βογγώντας ο φτερόποδος απάντησε Αχιλλέας:
« Τα ξέρεις᾽ τι τα θες τα λόγια μου, μια και τα ξέρεις όλα;
Στη Θήβα, στου Ηετίωνα πήγαμε την πολιτεία την άγια,
κι αφού την πήραμε, τα κούρσα μας εδώ τα φέραμε όλα.
Κι οι γιοι των Αχαιών, ως ταίριαζε, καθώς τα διαμοίραζαν,
στο γιο του Ατρέα τη ροδομάγουλη χάρισαν Χρυσοπούλα.

Μα ο Χρύσης, ο ιερέας του Απόλλωνα του μακροσαγιτάρη,
στων Αχαιών τα πλοία τα γρήγορα των χαλκοθωρακάτων
με λύτρα αρίφνητα, την κόρη του να λευτερώσει, φτάνει,
του μακροσαγιτάρη Απόλλωνα κρατώντας τα στεφάνια
πα στο χρυσό ραβδί, και πρόσπεφτε μπρος στους Αργίτες όλους,
ξεχωριστά στους δυο πολέμαρχους υγιούς του Ατρέα γυρνώντας.
Οι Αργίτες οι άλλοι ευτύς με μια φωνή να σεβαστούν έκραξαν
το λειτουργό, και τα περίλαμπρα ν᾽ αποδεχτούνε δώρα'
όμως του Ατρείδη του Αγαμέμνονα δεν άρεσε η βουλή τους,
μόν᾽ τον κακόδιωχνε και του 'ριχνε βαριά φοβέρα ακόμα.

Όλο θυμό τα πίσω ο γέροντας γυρνάει, κι ο Φοίβος τότε
την προσευκή του ευτύς επάκουσε, τι στην καρδιά τον είχε.
Φαρμακερές σαγίτες έριχνε στους Αχαιούς, κι εκείνοι
πέθαιναν πανωτά, και χύνουνταν οι θεϊκές σαγίτες
απ᾽ άκρη σ᾽ άκρη μες στ᾽ Αργίτικα φαρδιά λημέρια. Τότε
μας είπε τη βουλή, ως την κάτεχε, του Μακροríχτη ο μάντης.
Εγώ του Φοίβου να προσπέσουμε παρακινώ τους πρώτος,
μα σύγκλυσε τον Αγαμέμνονα θυμός, κι ολόρθος τότε
πετιέται και φοβέρα μου 'ριξε, που κιόλας έχει γένει᾽
τι εκείνη οι Αργίτες οι αστρομάτηδες με γρήγορο καράβι

την παν στη Χρύσα, και δοσίματα για το θεό φόρτωσαν
όμως την άλλη, αυτήν που μου 'δωκαν οι Αργίτες, μου την πήραν,
τη Βρισοπούλα, απ᾽ το καλύβι μου λίγη ώρα πριν οι κράχτες.
Τώρα αν εσύ μπορείς, διαφέντεψε τον αντρειωμένο γιο σου᾽
σύρε στον Όλυμπο και πρόσπεσε στο Δία, καμιάν ως τώρα
φορά του Δία τα σπλάχνα αν εύφρανες με λόγο για με πράξη'
τι σ᾽ άκουσα συχνά στου κύρη μου το σπίτι να παινιέσαι
και να μας λες, το μαυροσύγνεφο του Κρόνου υγιό μονάχη
μες στους αθάνατους πως γλίτωσες από περίσσια πάθη,
τότε που θέλαν οι άλλοι του Ολύμπου θεοί να τόνε δέσουν,

Ἥρη τ᾽ ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·
ἀλλὰ σὺ τόν γ᾽ ἐλθοῦσα, θεὰ, ὑπελύσαο δεσμῶν,
ὣχ᾽ ἑκατόγχειρον καλέσασ᾽ ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων᾽, ὃ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων·
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδεισαν μάκαρες θεοὶ οὐδ᾽ ἔτ᾽ ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ᾽ ἅλα ἔλσαι
Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην ὅ τ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.»
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
«Ὤ μοι, τέκνον ἐμόν, τί νύ σ᾽ ἔτρεφον αἰνὰ τεκοῦσα;
αἴθ᾽ ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ οὔ τι μάλα δήν·
νῦν δ᾽ ἅμα τ᾽ ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων
ἔπλεο· τώ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ
εἶμ᾽ αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον αἴ κε πίθηται.
ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
μήνι᾽ Ἀχαιοῖσιν, πολέμου δ᾽ ἀποπαύεο πάμπαν·
Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας
χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ᾽ ἅμα πάντες ἕποντο·
δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπον δέ,
καὶ τότ᾽ ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
καί μιν γουνάσομαι καί μιν πείσεσθαι ὀΐω.»
Ὣς ἄρα φωνήσασ᾽ ἀπεβήσετο, τὸν δὲ λίπ᾽ αὐτοῦ
χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς
τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων· αὐτὰρ Ὀδυσσεὺς
ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
οἳ δ᾽ ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο
ἱστία μὲν στείλαντο, θέσαν δ᾽ ἐν νηῒ μελαίνῃ,
ἱστὸν δ᾽ ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες
καρπαλίμως, τὴν δ᾽ εἰς ὅρμον προέρεσσαν
ἐρετμοῖς.
ἐκ δ᾽ εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι᾽ ἔδησαν·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
ἐκ δ᾽ ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι·
ἐκ δὲ Χρυσηΐς νηὸς βῆ ποντοπόροιο.

ο Ποσειδώνας, η Ήρα κι η Αθηνά μαζί τους η Παλλάδα.
Μα ήρθες εσύ και τον λευτέρωσες, θεά, από τα δεσμά του,
τον Εκατόχερο φωνάζοντας στ᾽ ακρόκορφα του Ολύμπου᾽
οι θεοί τον κράζουν Πολυδύναμο κι οι άνθρωποι από την άλλη
Αιγαίωνα, τι περνάει στη δύναμη και το γονιό του ακόμα.
Κάθισε τότε καμαρώνοντας τη δύναμη του, δίπλα
στο Δία, κι οι τρισμακάριοι εζάρωσαν θεοί και δεν τον δέσαν.
Ολα εσύ τώρα αυτά καθίζοντας σιμά του θύμισε του,
τα γόνατα του πιάσε, αν θα 'θελε στους Τρώες να δώσει χέρι,
και τους Αργίτες πλάι στη θάλασσα κι ομπρός στα πλοία να κλείσει
ματοκυλώντας τους, το ρήγα τους για να τον χαίρουνται όλοι᾽
κι ο πρωταφέντης Αγαμέμνονας, ο γιος του Ατρέα, να νιώσει
την τύφλα του, που καταφρόνεσε τον πρώτο απ᾽ τους Αργίτες.»
Κι η Θέτη ευτύς του απηλογήθηκε στα δάκρυα βουτημένη:
« Ωχού, παιδί μου, τι σε ανάσταινα, τον πικρογεννημένο!
Ας ήταν άβλαβος κι αδάκρυτος στ᾽ άρμενα πλάι να μένεις,
έτσι που η Μοίρα λίγο σου 'γραψε κι όχι πολύ να ζήσεις.
Μ᾽ αντάμα τώρα και λιγόχρονος κι ο πιο δυστυχισμένος
απ᾽ όλους είσαι. Μαύρη κι άραχλη που σε γεννούσα η μοίρα!
Τούτα στο Δία τον κεραυνόχαρο να πω θ᾽ ανέβω ατή μου
στο χιονοσκέπαστο τον Όλυμπο, μπορεί και να μ᾽ ακούσει.
Μα τώρα εσύ στα γοργοτάξιδα καθούμενος καράβια
με τους Αργίτες βάστα μάνητα, μην πολεμάς καθόλου᾽
τι ο Δίας επήγε χτες στους άψεγους Αιθίοπες καλεσμένος,
στον Ωκεανό μακριά, κι οι αθάνατοι τον ακλουθηξαν όλοι.
Ομως ξανά σε μέρες δώδεκα στον Όλυμπο θα γύρει,
και τότε εγώ στο χαλκοκάτωφλο παλάτι του θ᾽ ανέβω
και θα προσπέσω ομπρός στα πόδια του, και λέω πώς θα μ᾽
ακούσει.»
Σα μίλησε έτσι, ασκώθη κι έφυγε, κει πέρα αφήνοντας τον
όλο θυμό, που την ωριόζωστη γυναίκα του 'χαν πάρει
μεβιάς, αθέλητα του. Ζύγωνε στη Χρύσα το καράβι᾽
ωστόσο του Οδυσσέα, τ᾽ αγιάτικα σφαχτά που κουβαλούσε.
Κι όταν εκείνοι στο πολύβαθο λιμάνι μέσα εμπήκαν,
μάζεψαν τα πανιά, τ᾽ απόθεσαν στο μελανό καράβι,
λύσαν τα ξάρτια και στο δίκρανο πλάγιασαν το κατάρτι
με δίχως ξάργητα, και λάμνοντας το άραξοβόλι πιάνουν.
Όξω πετούν τις αγκυρόπετρες και την πρυμάτσα δένουν,
όξω κι εκείνοι στο γυρόγιαλο της θάλασσας εβγήκαν,
όξω και τα σφαχτά του Απόλλωνα του μακρορίχτη έβγαλαν,
όξω απ᾽ το πλοίο το πελαγόδρομο κι η Χρυσοπούλα εβγήκε.

τὴν μὲν ἔπειτ᾽ ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς
πατρὶ φίλῳ ἐν χερσὶ τίθει καί μιν προσέειπεν·
«Ὦ Χρύση, πρό μ᾽ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην
ῥέξαι ὑπὲρ Δαναῶν ὄφρ᾽ ἱλασόμεσθα ἄνακτα,
ὃς νῦν Ἀργείοισι πολύστονα κήδε᾽ ἐφῆκεν.»
Ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δὲ δέξατο χαίρων
παῖδα φίλην· τοὶ δ᾽ ὦκα θεῷ ἱερὴν ἑκατόμβην
ἑξείης ἔστησαν ἐΰδμητον περὶ βωμόν,
χερνίψαντο δ᾽ ἔπειτα καὶ οὐλοχύτας ἀνέλοντο.
τοῖσιν δὲ Χρύσης μεγάλ᾽ εὔχετο χεῖρας ἀνασχών·
«Κλῦθί μευ ἀργυρότοξ᾽, ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλαν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις·
ἦ μὲν δή ποτ᾽ ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο,
τίμησας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ·
ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.»
Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ᾽ ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν·
καῖε δ᾽ ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ᾽ αἴθοπα οἶνον
λείβε· νέοι δὲ παρ᾽ αὐτὸν ἔχον πεμπώβολα χερσίν.
αὐτὰρ ἐπεὶ κατὰ μῆρε κάη καὶ σπλάγχνα πάσαντο,
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν·
οἳ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο
καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
μέλποντες ἑκάεργον· ὃ δὲ φρένα τέρπετ᾽ ἀκούων.
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός·
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ᾽ ἔπειτ᾽ ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν·
τοῖσιν δ᾽ ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων·

Τότε ο Οδυσσέας ό πολυκάτεχος μπρος στο βωμό τη φέρνει
και την παράδωσε στου κύρη της τα χέρια λέγοντας του:
«Χρύση, ο ρηγάρχης Αγαμέμνονας με στέλνει να σου δώσω
πίσω την κόρη, και να σφάξουμε περίσσια αρνιά στο Φοίβο,
να ελεηθεί, αν θελήσει η χάρη του, τους Δαναούς, τι αλήθεια
με πίκρες έχει πολυστέναχτες ποτίσει τους Αργίτες.»
Τούτα μιλώντας του την έδωκε, κι αυτός την κόρη εδέχτη
όλο χαρά᾽ κι εκείνοι γρήγορα τ᾽ αγιάτικα σφαχτάρια
στήσαν αράδα, στον καλόχτιστο βωμό του Φοίβου γύρω.
Κι ως χερονίφτηκαν κι εμοίρασαν τ᾽ αγιοκριθάρια, ο Χρύσης
βροντόφωνα, τα χέρια ασκώνοντας, για χάρη τους ευκήθη:
« Επάκουσε μου, ασημοδόξαρε, που κυβερνάς τη Χρύσα
και την τρισάγια Κίλλα, κι άσφαλτα την Τένεδο αφεντεύεις᾽
κι άλλη φορά πιο πριν συνάκουσες την προσευκή μου εμένα
και μου 'δειξες τιμή παιδεύοντας ανήλεα τους Αργίτες'
όμοια και τώρα, αυτή μη μου αρνηθείς που σου ζητώ τη χάρη,
και τους Αργίτες απ᾽ τον άδικο χαμό πια γλίτωσε τους.»
Είπε, και την ευκή του επάκουσεν ο Απόλλωνας ο Φοίβος·
κι ως ευκηθήκαν και πασπάλισαν μετά τ᾽ αγιοκριθάρια,
αναλαιμίσαν τ᾽ αρνοκάτσικα, τα σφάξανε, τα γδάραν,
χώρισαν τα μεριά, τα τύλιξαν τρογύρα με τη σκέπη,
διπλώνοντας τη, κι από πάνω τους κομμάτια κρέας πιθώσαν.
Σε σκίζες πάνω ο γέρος τα 'καιγε, και με κρασί φλογάτο
τα περεχούσε, και πεντόσουβλες στο πλάι του οι νιοί κρατούσαν.
Και σύντας τα μεριά αποκάηκαν και γεύτηκαν τα σπλάχνα,
λιανίσαν τ᾽ άλλα και περνώντας τα στις σούβλες να τα ψήνουν
επήραν γνοιαστικά, κι ως ψήθηκαν, τ᾽ αποτραβήξαν όλα.
Κι απ᾽ τις δουλειές αυτές σα σκόλασαν κι ετοίμασαν τις τάβλες,
έτρωγαν, κι είχαν ως εταίριαζε καθείς το μερτικό του.
και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
παίρνουν κροντήρια τ᾽ αρχοντόπουλα, κρασί τα ξεχειλίζουν,
και σ᾽ όλους τα ποτήρια εγιόμωσαν, απ᾽ τις σπονδές ν᾽ αρχίσουν.
Κι ολημερίς με το τραγούδι τους και το χορό το Φοίβο
γύρευαν να γλυκάνουν, κι όμορφο παιάνα ετραγουδούσαν
τιμώντας τον οι Αργίτες, κι άκουγε κι αγάλλουνταν εκείνος.
και σύντας ο ήλιος πια βασίλεψε και τα σκοτάδια επήραν,
μπρος στις πρυμάτσες του πλεούμενου να κοιμηθούν πλάγιασαν.
Κι η Αυγή σα φάνη η πουρνογέννητη και ροδοδαχτυλάτη,
να γύρουν στα φαρδιά ξανοίχτηκαν των Αχαιών λημέρια.
και πρίμο αγέρα ο μακροδόξαρος Απόλλωνας τους στέλνει'

οἳ δ᾽ ἱστὸν στήσαντ᾽ ἀνά θ᾽ ἱστία λευκὰ πέτασσαν,
ἐν δ᾽ ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
στείρῃ πορφύρεον μεγάλ᾽ ἴαχε νηὸς ἰούσης·
ἡ δ᾽ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
αὐτὰρ ἐπεί ῥ᾽ ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,

νῆα μὲν οἵ γε μέλαιναν ἐπ᾽ ἠπείροιο ἔρυσσαν
ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ᾽ ἕρματα μακρὰ
τάνυσσαν·
αὐτοὶ δ᾽ ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὃ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
διογενὴς Πηλῆος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς·

οὔτέ ποτ᾽ εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν
οὔτέ ποτ᾽ ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ᾽ ἀϋτήν τε πτόλεμόν τε.
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο δυωδεκάτη γένετ᾽ ἠώς,
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες

πάντες ἅμα, Ζεὺς δ᾽ ἦρχε· Θέτις δ᾽ οὐ λήθετ᾽
ἐφετμέων
παιδὸς ἑοῦ, ἀλλ᾽ ἥ γ᾽ ἀνεδύσετο κῦμα θαλάσσης.
ἠερίη δ᾽ ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.
εὗρεν δ᾽ εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·

καί ῥα πάροιθ᾽ αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
σκαιῇ, δεξιτερῇ δ᾽ ἄρ᾽ ὑπ᾽ ἀνθερεῶνος ἑλοῦσα
λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
«Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ᾽ ἀθανάτοισιν ὄνησα
ἢ ἔπει ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·

τίμησόν μοι υἱὸν ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ᾽· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε μητίετα Ζεῦ·
τόφρα δ᾽ ἐπὶ Τρώεσσι τίθει κράτος ὄφρ᾽ ἂν Ἀχαιοὶ

υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσίν τέ ἑ τιμῇ.»
Ὣς φάτο· τὴν δ᾽ οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
ἀλλ᾽ ἀκέων δὴν ἧστο· Θέτις δ᾽ ὡς ἥψατο γούνων
ὡς ἔχετ᾽ ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖτις·
«Νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον

ἢ ἀπόειπ᾽, ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ᾽ ἐῢ εἰδέω
ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι.»
Τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
«Ἦ δὴ λοίγια ἔργ᾽ ὅ τέ μ᾽ ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ ὅτ᾽ ἂν μ᾽ ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν·

κι εκείνοι, το κατάρτι ορθώνοντας, τ᾽ άσπρα πανιά σήκωσαν,
κι ο αγέρας πίσω τους τα φούσκωνε, και στην καρένα γύρω
του καραβιού, γοργά που αρμένιζε, το μαύρο κύμα αχούσε'
κι αυτό πετούσε απά στα κύματα, τελεύοντας τη στράτα.
και σύντας φτάσαν πια στ᾽ απλόχωρα των Αχαιών λημέρια,
πα στη στεριά τράβηξαν κι έβγαλαν το μελανό καράβι,
ψηλά στον άμμο, και το στύλωσαν με μακρουλά αντιστύλια,
κι ατοί τους στις καλύβες σκόρπισαν και στα καράβια γύρα.
Πρόσμενε ωστόσο ο γοργογόνατος, ο αρχοντογεννημένος
γιος του Πηλέα στα πελαγόδρομα καράβια του χολιώντας,

κι ουδέ στη δοξαντρούσα επήγαινε τη σύναξη ποτέ του
κι ουδέ στον πόλεμο, μόν᾽ έτρωγε τα σωθικά του η πίκρα,
που εδώ καθόταν, κι ας λαχτάριζεν αντάρες και πολέμους.
Μα σα διάβηκαν μέρες δώδεκα, το δρόμο έπαιρναν πίσω
όλοι οι θεοί μαθές οι αθάνατοι, στον Όλυμπο να γύρουν,
κι ο Δίας μπροστά. Και τότε η Θέτιδα, το θέλημα του γιου της
θυμάμενη, γοργά απ᾽ της θάλασσας ξεπρόβαλε το κύμα
κι ανέβη σύναυγα στον Όλυμπο, στον ουρανό το μέγα᾽
κι ήβρε στου Ολύμπου του πολύκορφου την πιο αψηλή τη ράχη
το γιο του Κρόνου το βροντόλαλο να κάθεται μονάχος.

Μπροστά του τότε πήγε κάθισε και του 'πιασε τα γόνα
με το ζερβί, με το άλλο ακράγγιξε τα γένια του από κάτω,
κι είπε στο Δία παρακαλώντας τον, το ρήγα υγιό του Κρόνου;
«Πατέρα Δία, ποτέ μου αν σ᾽ εύφρανα στους αθανάτους μέσα
με λόγο για με πράξη, επάκουσε την πεθυμιά μου ετούτη:
Το γιο μου τίμησε, που η μοίρα του να ζήσει γράφει απ᾽ όλους
πιο λίγο, κι όμως ο Αγαμέμνονας ο πρωταφέντης τώρα
τον καταφρόνεσε, τι του άρπαξε το αρχοντομοίρι ατός του.
Όμως, Ολύμπιε Δία βαθύγνωμε, τίμησε εσύ το γιο μου
στους Τρώες τη νίκη τώρα δίνοντας, ως πού να πουν κι οι Αργίτες

να τον τιμήσουν, και τιμώντας τον ξεπλερωμή να δώσουν.»
Αυτά είπε, όμως ο Δίας δε μίλησεν ο νεφελοστοιβάχτης,
μόνο βουβός πολληώρα εκάθουνταν κι η Θέτη, ως τα κρατούσε
αποξαρχής, τα γόνα του 'σφιγγε και μίλησε του πάλι:
« Ξάστερα δώσε μου το λόγο σου και στρέξε αυτά που σου 'πα,
για αρνήσου μου, τι εσύ δε σκιάζεσαι κανένα, για να ξέρω
καλά, ή θεά πως είμαι απ᾽ όλους σας ή πιο παραριγμένη.»
Συχύστη τότε ο Δίας κι απάντησεν ο νεφελοστοιβάχτης:
«Ωχού μπελάδες! Σε φαγώματα με βάζεις με την Ήρα,
που θα μ᾽ αρχίσει τα μαλώματα και θα μ᾽ αγκυλοχεύει.

ἦ δὲ καὶ αὔτως μ᾽ αἰεὶ ἐν ἀθανάτοισι θεοῖσι
νεικεῖ, καί τέ μέ φησι μάχῃ Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε μή τι νοήσῃ
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται ὄφρα τελέσσω·
εἰ δ᾽ ἄγε τοι κεφαλῇ κατανεύσομαι ὄφρα πεποίθῃς·

τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ᾽ ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλὸν
οὐδ᾽ ἀτελεύτητον ὅ τί κεν κεφαλῇ κατανεύσω.»
Ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος

κρατὸς ἀπ᾽ ἀθανάτοιο· μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
Τὼ γ᾽ ὣς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
εἰς ἅλα ἅλτο βαθεῖαν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου,
Ζεὺς δὲ ἐὸν πρὸς δῶμα· θεοὶ δ᾽ ἅμα πάντες ἀνέσταν
ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη

μεῖναι ἐπερχόμενον, ἀλλ᾽ ἀντίοι ἔσταν ἅπαντες.
ὣς ὃ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
ἠγνοίησεν ἰδοῦσ᾽ ὅτι οἱ συμφράσσατο βουλὰς
ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα·

«Τίς δ᾽ αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλάς;
αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα
κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι
πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅττι νοήσῃς.»
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·

«Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν· χαλεποί τοι ἔσοντ᾽ ἀλόχῳ περ ἐούσῃ·
ἀλλ᾽ ὃν μέν κ᾽ ἐπιεικὲς ἀκουέμεν οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τὸν εἴσεται οὔτ᾽ ἀνθρώπων·
ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι

μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.»
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
«Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
καὶ λίην σε πάρος γ᾽ οὔτ᾽ εἴρομαι οὔτε μεταλλῶ,
ἀλλὰ μάλ᾽ εὔκηλος τὰ φράζεαι ἅσσ᾽ ἐθέλῃσθα.

νῦν δ᾽ αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
ἠερίη γὰρ σοί γε παρέζετο καὶ λάβε γούνων·
τῇ σ᾽ ὀΐω κατανεῦσαι ἐτήτυμον ὡς Ἀχιλῆα
τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.»

Έτσι κι αλλιώς μες στους αθάνατους θεούς θυμώνει εκείνη
μαζί μου, τάχα πως στον πόλεμο τους Τρώες συντρέχω πάντα.
Μα τώρα εσύ τραβήξου γρήγορα, δε θέλω να σε νιώσει
η Ήρα, κι εγώ όλα που μελέτησες θα τα γνοιαστώ να γενούν.
Ομπρός λοιπόν, με το κεφάλι μου θα γνέψω, να πιστέψεις'
τι αυτό είναι μέσα στους αθάνατους το πιο τρανό από μένα
σημάδι᾽ τι είναι αμεταγύριστος κι αψεύτιστος και βγαίνει
το δίχως άλλο πάντα ο λόγος μου, με το κεφάλι ως γνέψω.»
Είπε, και με τα φρύδια του έγνεψε τα μαύρα ο γιος του Κρόνου,
κι οι θείες με ορμήν αναταράχτηκαν οι χήτες στο κεφάλι

το αθάνατο, και ριζοτράνταξε τον Όλυμπο το μέγα.
Σαν έτσι οι δυο τους τα συνταίριαξαν, χωρίζουν στου πελάγου
πηδά τα βάθη από τον Όλυμπο το φωτοβόλο εκείνη,
κι ο Δίας τραβούσε στο παλάτι του, κι όλοι μαζί ασκωθήκαν
απ᾽ τα θρονιά οι θεοί᾽ δεν τόλμησε στον κύρη ομπρός κανένας
να μείνει καθιστός, ως ζύγωνε, μόν᾽ στάθηκαν μπροστά του.
Κι αυτός στο θρόνο τότε εκάθισε. Δεν είχε όμως ξεφύγει
της Ήρας τη ματιά, και το 'ξερε πως μίλησε μαζί του
η Θέτη, η κόρη η χιοναστράγαλη του θαλασσογερόντου·
κι ευτύς στο γιο του Κρόνου εγύρισε, μιλά και τον κεντρίζει:

«Ποιος πάλε απ᾽ τους θεούς, δολόγνωμε, τα ταίριαξε μαζί σου;
Πάντα σου αρέσει αλήθεια αλάργα μου καθούμενος να κλώθεις
διαλογισμούς κρυφούς κι απόφασες να παίρνεις, και ποτέ σου
το που 'βαλες στο νου δε θέλησες να μου το πεις και μένα.»
Κι απηλογήθη των αθάνατων και των θνητών ο κύρης:
«Ήρα, το κάθε που στοχάζομαι καθόλου μην τ᾽ ολπίζεις
να σου το φανερώνω᾽ δύσκολο, γυναίκα μου κι ας είσαι.
Αλήθεια, ό,τι είναι που δε θα 'βλαφτε να μαθευτεί, κανένας
πριν από σένα, μήτε αθάνατος μήτε θνητός, θα μάθει.
Μα αυτό που χώρια απ᾽ τους αθάνατους στο νου μου εγώ θα βάλω,

μη θες να το ρωτάς ανώφελα και μην ψιλοσκαλίζεις.»
και τότε η σεβαστή του απάντησε βοϊδομάτη Ήρα κι είπε:
« Ύγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;
Ποτέ να σε ρωτώ δε θέλησα και να ψιλοσκαλίζω,
μόν᾽ ό,τι θες μπορείς ανέγνοιαστα να στοχαστείς μονάχος.
Μα τώρα τρέμω μες στα σπλάχνα μου, μη σ᾽ έχει καταφέρει
η Θέτη, η κόρη η χιοναστράγαλη του θαλασσογερόντου·
τι σύναυγα κοντά σου εκάθισε και σου 'πιάσε τα γόνα,
κι αλήθεια εσύ θαρρώ της έταξες στον Αχιλλέα να δώσεις
τιμή, κι Αργίτες γύρω στ᾽ άρμενα περίσσιους ν᾽ αφανίσεις.»

Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
«Δαιμονίη, αἰεὶ μὲν ὀΐεαι οὐδέ σε λήθω·
πρῆξαι δ᾽ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ᾽ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ᾽ οὕτω τοῦτ᾽ ἐστὶν ἐμοὶ μέλλει φίλον εἶναι·
ἀλλ᾽ ἀκέουσα κάθησο, ἐμῷ δ᾽ ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ
ἆσσον ἰόντ᾽, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.»
Ὣς ἔφατ᾽ ἔδεισεν δὲ βοῶπις πότνια Ἥρη,
καί ῥ᾽ ἀκέουσα καθῆστο ἐπιγνάμψασα φίλον κῆρ·
ὄχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
τοῖσιν δ᾽ Ἥφαιστος κλυτοτέχνης ἦρχ᾽ ἀγορεύειν
μητρὶ φίλῃ ἐπίηρα φέρων λευκωλένῳ Ἥρῃ·
«Ἦ δὴ λοίγια ἔργα τάδ᾽ ἔσσεται οὐδ᾽ ἔτ᾽ ἀνεκτά,
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ᾽ ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ
πατρὶ φίλῳ ἐπίηρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατήρ, σὺν δ᾽ ἡμῖν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ᾽ ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτατός ἐστιν.
ἀλλὰ σὺ τὸν ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
αὐτίκ᾽ ἔπειθ᾽ ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν.»
Ὣς ἄρ᾽ ἔφη καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρὶ τίθει καί μιν προσέειπε·
«Τέτλαθι μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
θεινομένην, τότε δ᾽ οὔ τι δυνήσομαι ἀχνύμενός περ
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
ἤδη γάρ με καὶ ἄλλοτ᾽ ἀλεξέμεναι μεμαῶτα
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο,
πᾶν δ᾽ ἦμαρ φερόμην, ἅμα δ᾽ ἠελίῳ καταδύντι
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν·
ἔνθά με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.»
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν

και τότε ο Δίας της άποκρίθηκεν ο νεφελοστοιβάχτης:
«Δαιμονισμένη! Πάντα το κακό στο νου σου! Δε γλιτώνω!
όμως χαμένοι πάνε οι κόποι σου, και μόνο απ᾽ την καρδιά μου
μακραίνεις. Τόσο το χειρότερο για σένα, λέω. Κι αν έτσι
μαθές ως τα 'πες τούτα εγίνηκαν, έτσι μου αρέσει εμένα!
Μόν᾽ κάθου κι άκουε κάθε λόγο μου, και μη μου βγάζεις άχνα,
μην έρθω αυτού και ρίξω απάνω σου τ᾽ ανίκητα μου χέρια,
και τότε πια δε θα σε γλίτωναν όλοι οι θεοί του Ολύμπου.»
Ετσι είπε, κι η σεβάσμια δείλιασε βοϊδομάτη Ήρα ομπρός του,
και κόμπο την καρδιά της δένοντας δίχως μιλιά εκαθόταν
μα κι οί άλλοι αθάνατοι επικράθηκαν στου Δία το αρχονταρίκι.
Τότε ο λαμπρός τεχνίτης Ήφαιστος πήρε να λέει μπροστά τους,
για να γλυκάνει τη μητέρα του, την κρουσταλλόχερη Ήρα:
«Ώχού μπελάδες που μας πλάκωσαν αβάσταχτοι, αν οι δυο σας
για τους θνητούς εδώ συχύζεστε, κι αμάχες και φοβέρες
μες στους αθάνατους ασκώνετε, και μήτε θα χαρούμε
γλυκό ψωμί, τι αλήθεια δαίμονας κακός μας δυναστεύει.
Μια γνώμη θα 'δινα στη μάνα μου, κι ας το νογάει κι ατή της:
το Δία τον κύρη να καλόπιανε, να μην αρχίσει πάλε
μαλώματα και το τραπέζι μας κάμει άνω κάτω, ως τρώμε᾽
τι αν θέλει του Ολύμπου ο αστραπόχαρος αφέντης απ᾽ τους θρήνους
να μας πετάξει... τι στη δύναμη πολύ τρανότερος μας.
Μόν᾽ έλα τώρα εσύ, καλόπιασ᾽ τον και γλυκομίλησέ του,
και τότε ευτύς ο αφέντης του Ολύμπου θα 'ναι καλός μαζί μας.»
Έτσι είπε, και πηδώντας έβαλε στης ακριβής του μάνας
τα χέρια κούπα διπλογούβωτη, κι αυτά της λέει τα λόγια:
« Υπομονέψου τώρα, μάνα μου, βαστά, κι ας έχεις πίκρα,
μη λάχει και σε ιδώ να δέρνεσαι και δεν μπορέσω χέρι
να δώσω, μ᾽ όλη την αγάπη μου, κι ας σε πονά η καρδιά μου·
τι αλί σε κείνον που με του Ολύμπου το ρήγα θα τα βάλει!
Κι άλλη φορά, που να 'ρθω θέλησα βοηθός σου, από το πόδι
μ᾽ έπιασε αυτός κι από το αθάνατο με πέταξε κατώφλι'
όλη τη μέρα, ως το βασίλεμα του γήλιου, εγκρεμιζόμουν,
ως πού στη Λήμνο πια σωριάστηκα με την ψυχή στο στόμα,
κι ευτύς, ως έπεσα, με πήρανε να με γνοιαστούν οι Σίντες.»
Έτσι είπε, κι η θεά αχνογέλασεν, η κρουσταλλόχερη Ήρα,
κι αχνογελώντας μες στα χέρια της πήρε απ᾽ το γιο την κούπα.
Κι αυτός απ᾽ το κροντήρι ανάσερνε και μοίραζε στους άλλους
—δεξιά μεριά—θεούς αθάνατο γλυκό κρασί να πιούνε.
Κι άσβηστο γέλιο τότε άσκώθηκε μες στους μακαρισμένους,

ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
οὐ μὲν φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ' αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἳ μὲν κακκείοντες ἔβαν οἶκον δὲ ἕκαστος,
ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι·
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,

ἔνθα πάρος κοιμᾶθ' ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθα καθεῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

λαχανιαστό να ιδούν τον Ήφαιστο τα πόδια του να σέρνει.
Τότε έτσι εκείνοι, ως που εβασίλεψεν ο γήλιος, όλη μέρα
έτρωγαν, κι είχεν, ως έταίριαζε, καθείς το μερτικό του'
μήτε η γλυκιά κιθάρα απόλειπε στου Απόλλωνα τα χέρια,
μήτε κι οί Μούσες, που γλυκόφωνα με τη σειρά έτραγούδουν.
Και σύντας του ήλιου πια βασίλεψε το φως το αχτιδοβόλο,
καθένας στο δικό του ετράβηξε το αρχοντικό να γείρει,
κει που 'χε χτίσει στον καθένα τους παλάτι ο κουτσοπόδης,
ο ξακουστός τεχνίτης Ήφαιστος, με τη σοφή του τέχνη.
Κι ο Δίας ο Ολύμπιος, ό αστραπόχαρος, στην κλίνη του τραβούσε,

εκεί που ως τώρα πάντα, ως του 'ρχονταν ύπνος γλυκός, κοιμόταν
κει πάνω ανέβη, κι η χρυσόθρονη σιμά του επλάγιαζε Ήρα.

-Β- Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος,
ἀλλ᾽ ὅ γε μερμήριζε κατὰ φρένα ὡς Ἀχιλῆα
τιμήσῃ, ὀλέσῃ δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.

Οι άλλοι —θεοί, θνητοί πολέμαρχοι— κοιμόνταν όλη νύχτα,
και μοναχά το Δία δεν επιανεν ύπνος γλυκός καθόλου,
μόν᾽ όλο μες στο νου του ανάδευε, πως του Αχιλλέα να δώσει
τιμή, κι Αργίτες δίπλα στ᾽ άρμενα περίσσιους ν᾽ αφανίσει.

Ἤδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
πέμψαι ἐπ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι οὖλον ὄνειρον·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
βάσκ᾽ ἴθι οὖλε ὄνειρε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο

Και τούτη η πιο καλή του εικάστηκε βουλή στο νου, να στείλει
στο γιο του Ατρέα, τον Αγαμέμνονα, τον όνειρο τον πλάνο'
γυρνάει σ᾽ αυτόν και με άνεμάρπαστα του συντυχαίνει λόγια:
«Όνειρε πλάνε, ομπρός, στ᾽ Αργίτικα γοργά καράβια δράμε,
και στο καλύβι του Αγαμέμνονα, του γιου του Ατρέα, σα φτάσεις,

πάντα μάλ᾽ ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω·
θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας

ό,τι σου ορίζω τώρα λέγε του και μην το παραλλάξεις.
Σπρώχ᾽ τον γοργά τους μακρομάλληδες Αργίτες ν᾽ αρματώσει·
ήρθε η στιγμή που το πλατύδρομο το κάστρο θα πατήσει
των Τρωών᾽ οι αθάνατοι στον Όλυμπο πια δεν κρατούνε τώρα
δυο γνώμες, τι όλους τους ελύγισε με τα παρακλητά της
η Ήρα, κι απά στους Τρώες επλάκωσαν τρανοί καημοί και πίκρες.»

Ἤρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται.
Ὣς φάτο, βῆ δ᾽ ἄρ᾽ ὄνειρος ἐπεὶ τὸν μῦθον ἄκουσε·
καρπαλίμως δ᾽ ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
βῆ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀτρεΐδην Ἀγαμέμνονα· τὸν δὲ κίχανεν
εὕδοντ᾽ ἐν κλισίῃ, περὶ δ᾽ ἀμβρόσιος κέχυθ᾽ ὕπνος.

Έτσι είπε, κι ο Όνειρος, σαν άκουσε το λόγο του μισεύει,
κι ως έφτασε μεμιάς στα γρήγορα των Αχαιών καράβια,
κινάει να βρει τον Αγαμέμνονα, το γιο του Ατρέα᾽ κι εκείνος
κοιμόταν στο καλύβι᾽ γύρα του θεϊκός χυνόταν ύπνος.

Στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς Νηληΐῳ υἱῖ ἐοικὼς
Νέστορι, τόν ῥα μάλιστα γερόντων τί᾽ Ἀγαμέμνων·
τῷ μιν ἐεισάμενος προσεφώνεε θεῖος ὄνειρος·
εὕδεις Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα

Στάθηκε πάνω απ᾽ το κεφάλι του, και την είδη είχε πάρει
του Νέστορα, πού απ᾽ όλους πιότερο τιμούσε τους γερόντους
ο γιος του Ατρέα᾽ με τέτοιαν ο Όνειρος ο θείος είδη του εμίλα:
«Κοιμάσαι, υγιέ του Ατρέα του αντρόκαρδου, του γαύρου αλογατάρη;
όλη τη νύχτα ένας πρωτόγερος δεν πρέπει να κοιμάται,
που τόσο ασκέρι του μπιστεύτηκαν κι έγνοιες πολλές τον ζώνουν.

ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλε·
νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
Θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν

Μ᾽ άκου με τώρα᾽ είμαι μαντάτορας από το Δία σταλμένος,
που ας είναι αλάργα, όμως σε γνοιάζεται και σε ψυχοπονιέται.
Προστάζει ευτύς τους μακρομάλληδες Αργίτες ν᾽ αρματώσεις'
ήρθε η στιγμή που το πλατύδρομο το κάστρο θα πατήσεις

Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἤρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διός· ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη
αἱρείτω εὗτ᾽ ἄν σε μελίφρων ὕπνος ἀνήῃ.

των Τρωών᾽ οι αθάνατοι στον Όλυμπο πια δεν κρατούνε τώρα
δυο γνώμες, τι όλους τους ελύγισε με τα παρακλητά της
η Ήρα, κι απά στους Τρώες επλάκωσαν τρανοί καημοί, σταλμένοι
από το Δία. Μα εσύ τα λόγια μου κράτα στο νου, μη λάχει
κι αλησμονιά σε πιάσει, ό ολόγλυκος μόλις σ᾽ αφήσει γύπνος.»

Ὣς ἄρα φωνήσας ἀπεβήσετο, τὸν δὲ λίπ᾽ αὐτοῦ
τὰ φρονέοντ᾽ ἀνὰ θυμὸν ἃ ῥ᾽ οὐ τελέεσθαι ἔμελλον·
φῆ γὰρ ὅ γ᾽ αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ
νήπιος, οὐδὲ τὰ ᾔδη ἃ ῥα Ζεὺς μήδετο ἔργα·
θήσειν γὰρ ἔτ᾽ ἔμελλεν ἐπ᾽ ἄλγεά τε στοναχάς τε

Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.
Ἔγρετο δ᾽ ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή·
ἕζετο δ᾽ ὀρθωθείς, μαλακὸν δ᾽ ἔνδυνε χιτῶνα
καλὸν νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶρος·
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,

ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον·
εἵλετο δὲ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεὶ
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων·
ἠὼς μέν ῥα θεὰ προσεβήσετο μακρὸν Ὄλυμπον
Ζηνὶ φόως ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν·

αὐτὰρ ὃ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
κηρύσσειν ἀγορὴν δὲ κάρη κομόωντας Ἀχαιούς·
οἳ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα·
βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος·

τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν·
κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίῳ
εἶδός τε μέγεθός τε φυήν τ᾽ ἄγχιστα ἐῴκει·
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·

εὕδεις Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλε·
νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει·

θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται

ἐκ Διός· ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν· ὣς ὃ μὲν εἰπὼν
ᾤχετ᾽ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
Ἀλλ᾽ ἄγετ᾽ αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
πρῶτα δ᾽ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·

Ως μίλησε έτσι, επήρε κι έφυγε, κει πέρα αφήνοντας τον
να κλώθει ελπίδες μες στα φρένα του, που να γενούν δεν ήταν,
του Πριάμου το καστρί πώς θα 'παιρνε τη μέρα εκείνη τάχα,
ο ανέμυαλος, που ο Δίας τι του 'γραφε δεν το 'βαζε στο νου του'
τι εκείνος κι άλλες ελογάριαζε στους Τρώες και στους Αργίτες

να στείλει συφορές και κλάματα μες σε φριχτούς πολέμους.
Κι ως ξύπνησε, διανεύαν γύρα του τα θεία τα λόγια ακόμα.
Πετάχτη απάνω και καθίζοντας ώριο φοράει χιτώνα,
καινούργιο, μαλακό, και γύρω του φαρδιά ετυλίχτη κάπα,
και σάνταλα πανώρια επέρασε στ᾽ αστραφτερά του πόδια'
στερνά το ασημοκαρφοπλούμιστο σπαθί κρεμάει στους ώμους,
και το ραβδί του το ακατάλυτο, το γονικό, κρατώντας,
για τ᾽ άρμενα των χαλκοθώρακων των Αχαιών κινούσε.
Ότι είχε η Αυγή η θεά στον Όλυμπο το μέγα ανέβη απάνω, .
το φως στο Δία και στους αθάνατους τους άλλους να μηνύσει'

κι ο γιος του Ατρέα τους βροντερόφωνους διαλάληδες προστάζει
σε συντυχιά τους μακρομάλληδες Αργίτες να φωνάξουν
κι ως φώναζαν αυτοί, μαζώχτηκαν με βιάση ευτύς εκείνοι.
Πρώτα καλνούσε τους αντρόκαρδους να βουλευτούν γερόντους
δίπλα από τ᾽ άρμενο του Νέστορα, του βασιλιά της Πύλος'
κι ως συνάχτηκαν, τι σοφίστηκε τρανό τους φανερώνει:
« Ακούστε, φίλοι! Μου 'ρθεν Όνειρος θεϊκός στον ύπνο απάνω
μέσα στη νύχτα την αθάνατη, του αρχοντικού Νεστόρου
ίδια απαράλλαχτος, στο ανάριμμα, στην ελικιά, στην όψη'
και στάθη πάνω απ᾽ το κεφάλι μου κι αυτά μου λέει τα λόγια:

,,Κοιμάσαι, υγιέ του Ατρέα του αντρόκαρδου, του γαύρου αλογατάρη;
Όλη τη νύχτα ένας πρωτόγερος δεν πρέπει να κοιμάται,
που τόσο ασκέρι του μπιστεύτηκαν κι έγνοιες πολλές τον ζώνουν.
Μ᾽ άκου με τώρα᾽ είμαι μαντάτορας από το Δία σταλμένος,
που ας είναι αλάργα, όμως σε γνοιάζεται και σε ψυχοπονιέται.
Προστάζει ευτύς τους μακρομάλληδες Αργίτες ν᾽ αρματώσεις'
ήρθε η στιγμή που το πλατύδρομο το κάστρο θα πατήσεις
των Τρωών οι αθάνατοι στον Όλυμπο πια δεν κρατούνε τώρα
δυο γνώμες, τι όλους τους ελύγισε με τα παρακλητά της
η Ήρα, κι απά στους Τρώες επλάκωσαν τρανοί καημοί, σταλμένοι

από το Δία, μα εσύ τα λόγια μου μην τα ξεχνάς. Ως τα 'πε,
πέταξε, πάει, και μένα ο ολόγλυκος ευτύς μ᾽ αφήκεν ύπνος.
Ελατέ, στ᾽ άρματα ας φωνάξουμε τους Αχαιούς, μα πρώτα
θα τους μιλήσω δοκιμάζοντας, καθώς πρεπό 'ναι κι όλας'
και θα τους πω με τα πολύσκαρμα να φύγουμε καράβια,
κι άλλος αλλούθε εσείς κρατάτε τους με λόγια, να μη φύγουν.»

ὑμεῖς δ᾽ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.
Ἦτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖσι δ᾽ ἀνέστη
Νέστωρ, ὅς ῥα Πύλοιο ἄναξ ἦν ἠμαθόεντος,
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες

εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ᾽ ἴδεν ὃς μέγ᾽ ἄριστος Ἀχαιῶν εὔχεται εἶναι·
ἀλλ᾽ ἄγετ᾽ αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας βουλῆς ἐξῆρχε νέεσθαι,

οἳ δ᾽ ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν
σκηπτοῦχοι βασιλῆες· ἐπεσσεύοντο δὲ λαοί.
Ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων,
βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεσιν εἰαρινοῖσιν·

αἳ μέν τ᾽ ἔνθα ἅλις πεποτήαται, αἳ δέ τε ἔνθα·
ὡς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο
ἰλαδὸν εἰς ἀγορήν· μετὰ δέ σφισιν ὄσσα δεδήει
ὀτρύνουσ᾽ ἰέναι Διὸς ἄγγελος· οἳ δ᾽ ἀγέροντο.

Τετρήχει δ᾽ ἀγορή, ὑπὸ δὲ στεναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδος δ᾽ ἦν· ἐννέα δέ σφεας
κήρυκες βοόωντες ἐρήτυον, εἴ ποτ᾽ ἀϋτῆς
σχοίατ᾽, ἀκούσειαν δὲ διοτρεφέων βασιλήων.
Σπουδῇ δ᾽ ἕζετο λαός, ἐρήτυθεν δὲ καθ᾽ ἕδρας

παυσάμενοι κλαγγῆς· ἀνὰ δὲ κρείων Ἀγαμέμνων
ἔστη σκῆπτρον ἔχων τὸ μὲν Ἥφαιστος κάμε τεύχων.
Ἥφαιστος μὲν δῶκε Διὶ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργεϊφόντῃ·
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,

αὐτὰρ ὃ αὖτε Πέλοψ δῶκ᾽ Ἀτρέϊ ποιμένι λαῶν,
Ἀτρεὺς δὲ θνῄσκων ἔλιπεν πολύαρνι Θυέστῃ,
αὐτὰρ ὃ αὖτε Θυέστ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι,
πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν.
Τῷ ὅ γ᾽ ἐρεισάμενος ἔπε᾽ Ἀργείοισι μετηύδα·

ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει

Ως είπε εκείνος τούτα, κάθισε, και τότε ασκώθη ομπρός τους
ο γέρο Νέστορας, που αφέντευε στην αμμουδάτη Πύλο,
κι έτσι τους μίλησε καλόγνωμος κι αναμεσό τους είπε:
«Φίλοι μου εσείς, Αργίτες άρχοντες καί πρωτοκεφαλάδες,

αν άλλος Αχαιός για τ᾽ όνειρο μιλούσε τούτο ομπρός μας,
πως είναι ψέματα θα λέγαμε, θα το αψηφούσαμε όλοι'
μα τώρα το 'δε αυτός που απ᾽ όλους μας ο πιο τρανός λογιέται.
Ομπρός λοιπόν, ας αρματώσουμε τους Αχαιούς, ελατέ!»
Είπε, καί πρώτος απ᾽ τη μάζωξη κινούσε για να φύγει'
τα λόγια του ρηγάρχη ακούγοντας κι, οι αρχόντοι βασιλιάδες
πετάχτηκαν κι ωστόσο ολόγυρα συνάζουνταν τ᾽ ασκέρια.
Πώς όταν βλέπεις σμάρια μέλισσες πυκνά να ξεπορίζουν,
κι όλο καινούργιες ξεπετάγουνται μέσ᾽ απ᾽ τον τρύπιο βράχο,
και στους ανθούς τους ανοιξιάτικους τσαμπιά τσαμπιά πετάνε,

και πλήθος άλλα εδώθε σμίγουνε κι άλλα από κει δρομούνε᾽
παρόμοια από καλύβια κι άρμενα λαός πολύς τραβούσαν
κοπαδιαστά μπροστά στ᾽ ακρόγιαλο το χαμηλό, να πάνε
στη σύναξη᾽ κι η Φήμη εφούντωνε στη μέση εκεί, του Δία
η αποκρισάρα, καί τους έβιαζε'κι εκείνοι εμαζευόνταν.
Κουφοτρικύμιζεν η σύναξη, κι ως κάθιζαν, βογγούσε
κάτωθε η γης, κι ήταν ο τάραχος τρανός. Να μπουν σε τάξη
κράχτες εννιά στο ασκέρι εφώναζαν, τη χλαλοή να πάψουν,
τους θεογέννητους ρηγάδες τους ν᾽ ακούσουν τι θα πούνε.
Με κόπο εκείνοι καταλάγιασαν κι ολόγυρα εκαθίσαν

δίχως φωνές. Τότε ο Αγαμέμνονας ασκώθη ο πρωταφέντης,
κρατώντας το ραβδί στο χέρι του, τρανή του Ηφαίστου τέχνη'
στο Δία, το γιο του Κρόνου, κάποτε το 'χε χαρίσει εκείνος,
κι ο Δίας του Αργοφονιά το εχάρισε, του ψυχοπερατάρη,
κι ο Ερμής το χάρισε στον Πέλοπα τον αλογάρη πάλε,
κι ο Πέλοπας του Ατρέα το χάρισε του πρωτοστρατολάτη,
και στο Θυέστη ο Ατρέας πεθαίνοντας το βαριοκοπάδάρη,
κι ο Θυέστης πάλε του Αγαμέμνονα κλερονομιά το αφήκε,
πλήθος νησιά και την Αργίτικη για ν᾽ αφεντεύει χώρα.
Πάνω σ᾽ αυτό ακουμπώντας κίνησε το λόγο στους Αργίτες:

«Αργίτες αντρειωμένοι, φίλοι μου, πιστοί σύντροφοι του Άρη,
ο Δίας, ο γιος του Κρόνου, μ᾽ έμπλεξε σε συφορά μεγάλη,
ο ανέσπλαχνος, που πριν μου το 'ταξε και δέχτηκε, πριν πάρω
πρώτα την Τροία την ωιοτείχιστη, να μη διαγύρω πίσω'
και τώρα δόλο μου 'στησε άσκημο, και με προστάζει στο Άργος,

δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
Οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ᾽ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
Αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι

μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι, τέλος δ᾽ οὔ πώ τι πέφανται·
εἴ περ γάρ κ᾽ ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε
ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν,
ἡμεῖς δ᾽ ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
Τρώων δ᾽ ἄνδρα ἕκαστοι ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
Τόσσον ἐγὼ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ᾽ ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες ἔασιν,
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ᾽ ἐθέλοντα
Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον.
Ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται·
αἵ δέ που ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα
εἴατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
αὖτως ἀκράαντον οὗ εἵνεκα δεῦρ᾽ ἱκόμεσθα.
Ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.
Ὣς φάτο, τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινε
πᾶσι μετὰ πληθὺν ὅσοι οὐ βουλῆς ἐπάκουσαν·
κινήθη δ᾽ ἀγορὴ φὴ κύματα μακρὰ θαλάσσης
πόντου Ἰκαρίοιο, τὰ μέν τ᾽ Εὖρός τε Νότος τε
ὥρορ᾽ ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.
Ὡς δ᾽ ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήϊον ἐλθὼν
λάβρος ἐπαιγίζων, ἐπί τ᾽ ἠμύει ἀσταχύεσσιν,
ὣς τῶν πᾶσ᾽ ἀγορὴ κινήθη· τοὶ δ᾽ ἀλαλητῷ
νῆας ἔπ᾽ ἐσσεύοντο, ποδῶν δ᾽ ὑπένερθε κονίη
ἵστατ᾽ ἀειρομένη· τοὶ δ᾽ ἀλλήλοισι κέλευον
ἅπτεσθαι νηῶν ἠδ᾽ ἑλκέμεν εἰς ἅλα δῖαν,
οὐρούς τ᾽ ἐξεκάθαιρον· ἀϋτὴ δ᾽ οὐρανὸν ἶκεν
οἴκαδε ἰεμένων· ὑπὸ δ᾽ ᾖρεον ἔρματα νηῶν.

τόσο πολύ στρατό αφού ξέκανα, να γύρω ντροπιασμένος.
Έτσι μαθές στον παντοδύναμο το γιο του Κρόνου αρέσει,
που πλήθος κάστρα ξεκεφάλισε και θα ξεκεφαλίσει
πλήθος ακόμα, τι στη δύναμη σαν ποιος του παραβγαίνει;
Αλήθεια, είναι ντροπή οι μελλούμενες γενιές και να τ᾽ ακούσουν,

τέτοιος στρατός και τόσος άδικα των Αχαιών πως ήρθε
και πολεμάει με δίχως όφελος και μάχεται εδώ πέρα
με άντρες πιο λίγους, καί δεν ξέρουμε πότε θα 'ρθεί το τέλος᾽
τι λογαριάζω, αν συφωνούσαμε μια μέρα Τρώες κι Αργίτες,
με όρκο τον πόλεμο σκολάζοντας, να ψυχομετρηθούμε,
και χωριστά μονοσυνάζουνταν οι Τρώες οι ντόπιοι, όσοι είναι,
αν από δέκα δέκα σμίγαμε στην άλλη εμείς οι Αργίτες,
κι οι κάθε δέκα για το κέρασμα κι από 'ναν Τρώα διάλεγαν,
λέω δεκαριές πολλές θ᾽ απόμεναν χωρίς τον κεραστή τους᾽
τόσους πολλούς εγώ στο μέτρημα λογιάζω τους Αργίτες
μπροστά στους Τρώες, αυτούς που κάθουνται στο κάστρο᾽ μα ήρθαν άλλοι
από περίσσιες χώρες σύμμαχοι, τρανοί κονταρομάχοι,
που με μακραίνουν απ᾽ τον πόθο μου, καί δεν μπορώ ως το θέλω
της Τροίας το κάστρο το πεντάμορφο μια μέρα να πατήσω.
Εννιά εκυλήσαν χρόνια κλειδωτά του Δία του τρισμεγάλου᾽
των καραβιών τα ξύλα εσάπισαν, οι γούμενες έλιωσαν,
και λέω θα κάθουνται τα ταίρια μας και τα μικρά παιδιά μας
μέσα στα σπίτια καρτερώντας μας, και τελείωση δεν έχει
καμιά η δουλειά που μας κουβάλησε στα γυρογιάλια ετούτα.
Μα τώρα ελατέ, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
με τα καράβια πίσω ας γύρουμε στην ποθητή πατρίδα,
τι πια την Τροία δε θα την πάρουμε με τις φαρδιές τις ρούγες!»
Είπε, και την καρδιά ανατάραξε μες σε ολονών τα στήθη,
απ᾽ τους πολλούς, που πρίν δε βρέθηκαν ν᾽ ακούσουν τη βουλή του.
Σάλεψε η σύναξη, σαν κύματα της θάλασσας μεγάλα
στο Ικάριο πέλαο, σύντας σύγνεφα του αφέντη Δία ξεχύσουν
σιρόκο και γαρμπή, κι ι θάλασσα φουσκώσει στην ορμή τους.
Κι όπως πονέντες ξάφνου ασκώνεται δριμύς, και το σπαρμένο
σαλεύει το βαθύ στη λύσσα του και γερνούνε τα στάχυα,
παρόμοια εσάλεψε κι η σύναξη᾽ κι οι Αργίτες στα καράβια
με αλαλητό μεγάλο εχύθηκαν, κι ο κουρνιαχτός τ᾽ αψήλου
κάτω απ᾽ τα πόδια τους ανέβαινε, κι ο ένας του άλλου εφώναζαν
ν᾽ αδράξουν τ᾽ άρμενα, στη θάλασσα την άγια να τα ρίξουν,
κι άνοιγαν τις συρμές, κι υψώνουνταν στον ουρανό οι φωνές τους,

Ἔνθά κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν·
ὦ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
οὕτω δὴ οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
Ἀργεῖοι φεύξονται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης,

κἀδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος αἴης·
ἀλλ᾽ ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
σοῖς ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,

μηδὲ ἔα νῆας ἅλα δ᾽ ἐλκέμεν ἀμφιελίσσας.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα·
καρπαλίμως δ᾽ ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
Εὗρεν ἔπειτ᾽ Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον

ἑσταότ᾽· οὐδ᾽ ὅ γε νηὸς ἐϋσσέλμοιο μελαίνης
ἅπτετ᾽, ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν·
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὕτω δὴ οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν

φεύξεσθ᾽ ἐν νήεσσι πολυκλήϊσι πεσόντες,
κἀδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος αἴης;
ἀλλ᾽ ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδ᾽ ἔτ᾽ ἐρώει,

σοῖς δ᾽ ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
μηδὲ ἔα νῆας ἅλα δ᾽ ἐλκέμεν ἀμφιελίσσας.
Ὣς φάθ᾽, ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε· τὴν δὲ κόμισσε
κῆρυξ Εὐρυβάτης Ἰθακήσιος ὅς οἱ ὀπήδει·

αὐτὸς δ᾽ Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίος ἐλθὼν
δέξατό οἱ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί·
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη
τὸν δ᾽ ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·

δαιμόνι᾽ οὔ σε ἔοικε κακὸν ὡς δειδίσσεσθαι,
ἀλλ᾽ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς·
οὐ γάρ πω σάφα οἶσθ᾽ οἷος νόος Ἀτρεΐωνος·
νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν.
Ἐν βουλῇ δ᾽ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπε.

να γύρουν πίσω, κι από τ᾽ άρμενα τραβούσαν τα φαλάγγια.
Οι Αργίτες τότε, κι ας μην ήτανε γραφτό, θα φεύγαν πίσω,
αν δε μιλούσεν η Ήρα κι έλεγε στην Αθηνά γυρνώντας:
« Ωχού μου, θυγατέρα αδάμαστη του Βροντοσκουταράτου!
Έτσι λοιπόν ξανά στον τόπο τους τον πατρικό θα γύρουν
οι Αργίτες, την πλατιά της θάλασσας περνώντας ράχη τώρα,

και την Ελένη την Αργίτισσα, που απ᾽ αφορμή της πλήθος
εδώ Αχαιοί μακριά απ᾽ τον τόπο τους τον πατρικό εχαθήκαν,
στον Πρίαμο και στους Τρώες θ᾽ αφήσουνε, να το 'χουν να
καυκιώνται;
Μα εσύ γοργά στων χαλκοθώρακων των Αχαιών τ᾽ ασκέρια
για δράμε, κι έναν έναν μίλα τους πραγά, κι αμπόδιζέ τους
τα δρεπανόγυρτα καράβια τους στη θάλασσα να ρίξουν.»
Αυτά είπε, κι άκουσε η γλαυκόματη θεά Αθηνά το λόγο,
και τις κορφές του Ολύμπου αφήνοντας με ασπούδα εχύθη κάτω,
κι ως έφτασε μεμιάς στα γρήγορα των Αχαιών καράβια,
τον Οδυσσέα πιο πρώτα αντίκρισε, που 'χε του Δία τη γνώση,

να στέκει εκεί. Το καλοκούβερτο, μαύρο άρμενο του εκείνος
δεν τ᾽ άγγιζε, τι ο πόνος του 'δερνε, βαθιά, καρδιά καί σπλάχνα.
Τότε η Αθηνά, η θεά η γλαυκόματη, σιμά του εστάθη κι είπε:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
έτσι λοιπόν ξανά στον τόπο σας τον πατρικό θα γύρτε
πέφτοντας μέσα στα πολύσκαρμα καράβια φοβισμένοι,
και την Ελένη την Αργίτισσα, που απ᾽ αφορμή της πλήθος
εδώ Αχαιοί μακριά απ᾽ τον τόπο τους τον πατρικό εχαθήκαν,
στον Πρίαμο και στους Τρώες θ᾽ αφήσετε, να το 'χουν να καυκιώνται;
Τώρα στο ασκέρι, ομπρός, το Αργίτικο, για δράμε δώθε κείθε,

μη στέκεις, κι έναν έναν μίλα τους πραγά, κι αμπόδιζέ τους
τα δρεπανόγυρτα καράβια σας στη θάλασσα να ρίξουν.»
Είπε, κι αυτός, το λάλο ως γνώρισε της Αθηνάς που έμίλα,
στα πόδια το 'βαλε, την κάπα του πετώντας, κι ο Ευρυβάτης,
απ᾽ την Ιθάκη ο κράχτης, πίσω του που ερχόταν, τη σηκώνει.
Μ᾽ αυτός σιμά στον Αγαμέμνονα, το γιο του Ατρέα, σαν ήρθε,
το γονικό, παλιό, ακατάλυτο ραβδί του παίρνει, κι έτσι
τρέχει στα πλοία των χαλκοθώρακων των Αχαιών ολούθε'
κι όποιον στο δρόμο ρήγα κι άρχοντα τρανό συναπαντούσε,
σιμώνοντας τον τον αντίσκοφτε με τα πραγά του λόγια:

«Καημένε, εσένα δε σου ταίριαζε σαν τον κιοτή να τρέμεις!
Κάθου ήσυχος λοιπόν, και κάθιζε και το στρατό τον άλλο.
Τι κρύβει, ακόμα δεν κατάλαβες ο γιος του Ατρέα στο νου του'
μας δοκιμάζει λέω, μα γρήγορα θα μας παιδέψει πάλε

μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν·
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων,
τιμὴ δ᾽ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς.
Ὃν δ᾽ αὖ δήμου τ᾽ ἄνδρα ἴδοι βοόωντά τ᾽ ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ·

δαιμόνι᾽ ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε,
οἳ σέο φέρτεροί εἰσι, σὺ δ᾽ ἀπτόλεμος καὶ ἄναλκις
οὔτέ ποτ᾽ ἐν πολέμῳ ἐναρίθμιος οὔτ᾽ ἐνὶ βουλῇ·
οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ᾽ Ἀχαιοί·
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,

εἷς βασιλεύς, ᾧ δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω
σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας, ἵνά σφισι βουλεύῃσι.
Ὣς ὅ γε κοιρανέων δίεπε στρατόν· οἳ δ᾽ ἀγορὴν δὲ
αὖτις ἐπεσσεύοντο νεῶν ἄπο καὶ κλισιάων
ἠχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης

αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
Ἄλλοι μέν ῥ᾽ ἕζοντο, ἐρήτυθεν δὲ καθ᾽ ἕδρας·
Θερσίτης δ᾽ ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα,
ὃς ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾖδη
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι βασιλεῦσιν,

ἀλλ᾽ ὅ τι οἱ εἴσαιτο γελοΐϊον Ἀργείοισιν
ἔμμεναι· αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε·
φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
κυρτὼ ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθε
φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη.

Ἔχθιστος δ᾽ Ἀχιλῆϊ μάλιστ᾽ ἦν ἠδ᾽ Ὀδυσῆϊ·
τὼ γὰρ νεικείεσκε· τότ᾽ αὖτ᾽ Ἀγαμέμνονι δίῳ
ὀξέα κεκλήγων λέγ᾽ ὀνείδεα· τῷ δ᾽ ἄρ᾽ Ἀχαιοὶ
ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ᾽ ἐνὶ θυμῷ.
Αὐτὰρ ὁ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε μύθῳ·

Ἀτρεΐδη τέο δ᾽ αὖτ᾽ ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἄς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.
Ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει

Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἱὸς ἄποινα,
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι,
ἥν τ᾽ αὐτὸς ἀπονόσφι κατίσχεαι; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.

τους Αχαιούς, τι δεν ακούσαμε στη σύναξη όλοι τι 'πε.
Μην οργιστεί και πει σε βάσανα να ρίξει τους Αργίτες.
Βαριά είν᾽ η οργή των αρχοντόγεννων των βασιλιάδων πάντα'
τι ο Δίας τιμή τρανή ο βαθύγνωμος κι αγάπη τους χαρίζει.»
Μ᾽ απ᾽ το χοντρό λαό όποιον έπιανε μπροστά του να φωνάζει,
με το ραβδί τον καταχέριζε και τον απόπαιρνε έτσι:

«Ξεμυαλισμένε! Κάθου φρόνιμα καί γρίκα και τους άλλους
τι λεν, που στέκουνται πιο πάνω σου. Μα εσύ κιοτής κι ανάξιος!
κι ουδέ στη μάχη ουδέ στη σύναξη ποτέ σε λογαριάζουν.
Όλοι οι Αχαιοί μαθές θα κάνουμε τους αφεντάδες τώρα;
Το πολυβασιλίκι είναι άσκημο! Ένας ας είναι ο αφέντης,
ένας ό ρήγας, σ᾽ όποιον έδωκε του πονηρού του Κρόνου
ο γιος ραβδί και νόμους, πάνω τους σα βασιλιάς να ορίζει.»
Έτσι απ᾽ τ᾽ ασκέρι μέσα εδιάβαινε προστάζοντας, κι εκείνοι
ξανά στη μάζωξη από τ᾽ άρμενα και τα καλύβια έτρεχαν
όλο φωνή, καθώς σε ακρόγιαλο πλατύ βροντάει το κύμα

της πολυτάραχης της θάλασσας και τα πελάη μουγκρίζουν.
Οι άλλοι εκαθίζαν και στη θέση του κρατιόταν ο καθένας,
μόνο ο Θερσίτης ο ατσαλόστομος φωνοκοπούσε ακόμα,
λόγια στο νου του που 'χεν άπρεπα πολλά, και τα πετούσε
δίχως ντροπή καμιά, μαλώνοντας με τους ρηγάδες πάντα,
φτάνει ν᾽ απάντεχε πώς θ᾽ άσκωνε μες στους Αργίτες γέλιο.
Άντρας δεν έφτασε ασκημότερος κάτω απ᾽ της Τροίας το κάστρο'
κουτσός απ᾽ το 'να πόδι, αλλήθωρος, με χωνιασμένους ώμους,
που απά στο στήθος του εκαλύβωναν και πιο ψηλά θωρούσες
κεφάλι μυτερό, που απάνω του χνούδι πετούσε ανάριο.

Απ᾽ όλους πιο ο Οδυσσέας τον μάχουνταν κι ο μέγας Αχιλλέας,
κι όλο μαζί τους ελογόφερνε· μα τώρα τα 'χε βάλει
με τον αντρόκαρδο Αγαμέμνονα σκληρίζοντας᾽ μαζί του
οι άλλοι θύμωναν κι αγανάχτιζαν Αργίτες. Τότε εκείνος
με άγριες φωνές τον Αγαμέμνονα βάζει μπροστά μιλώντας:
«Υγιέ του Ατρέα, τι πάλι σου 'λειψε και τι παραπονιέσαι;
Χαλκό γεμάτα τα καλύβια σου και πλησμονή οι γυναίκες
οι διαλεχτές μες στα καλύβια σου, που εσένα πρώτα απ᾽ όλους
οι Αργίτες δίνουμε, σαν πάρουμε κανένα κάστρο γύρα.
Μπας κι άλλο εσύ χρυσάφι ορέγεσαι, που κάποιος θα μας φέρει

από τους Τρώες τους αλογάρηδες για ξαγορά του γιου του,
που εγώ δεμένο εδώ τον έσυρα για απ᾽ τους Αργίτες άλλος;
Μη και καμιά γυναίκα νιούτσικη, να σε κερνά τον πόθο
κι αλάργα μόνος να τη χαίρεσαι; Μ᾽ αυτό σωστό δεν είναι,

Ὦ πέπονες κάκ᾽ ἐλέγχε᾽ Ἀχαϊῗδες οὐκέτ᾽ Ἀχαιοὶ
οἵκαδέ περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ᾽ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν, ὄφρα ἴδηται
ἦ ῥά τί οἱ χἠμεῖς προσαμύνομεν ἦε καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα ἔο μέγ᾽ ἀμείνονα φῶτα
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ἀλλὰ μάλ᾽ οὐκ Ἀχιλῆϊ χόλος φρεσίν, ἀλλὰ μεθήμων·
ἦ γὰρ ἂν Ἀτρεΐδη νῦν ὕστατα λωβήσαιο·
ὣς φάτο νεικείων Ἀγαμέμνονα ποιμένα λαῶν,
Θερσίτης· τῷ δ᾽ ὦκα παρίστατο δῖος Ὀδυσσεύς,
καί μιν ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Θερσῖτ᾽ ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,
ἴσχεο, μηδ᾽ ἔθελ᾽ οἷος ἐριζέμεναι βασιλεῦσιν·
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅσσοι ἅμ᾽ Ἀτρεΐδῃς ὑπὸ Ἴλιον ἦλθον.
Τὼ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ᾽ ἔχων ἀγορεύοις,
καί σφιν ὀνείδεά τε προφέροις, νόστόν τε φυλάσσοις.
Οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
ἢ εὖ ἦε κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
Τὼ νῦν Ἀτρεΐδῃ Ἀγαμέμνονι ποιμένι λαῶν
ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.
Ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κ᾽ ἔτι σ᾽ ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,
μηκέτ᾽ ἔπειτ᾽ Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη,
μηδ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω,
χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω
πεπλήγων ἀγορῆθεν ἀεικέσσι πληγῇσιν.
Ὣς ἄρ᾽ ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
πλῆξεν· ὃ δ᾽ ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ·
σμῶδιξ δ᾽ αἱματόεσσα μεταφρένου ἐξυπανέστη
σκήπτρου ὕπο χρυσέου· ὃ δ᾽ ἄρ᾽ ἕζετο τάρβησέν τε,
ἀλγήσας δ᾽ ἀχρεῖον ἰδὼν ἀπομόρξατο δάκρυ.

να 'σαι ο ρηγάρχης και το ασκέρι σου σε συφορές να ρίχνεις.
Κιοτήδες, τιποτένιοι, Αργίτισσες! τι Αργίτες πια δεν είστε!
Με τα καράβια πίσω ας γύρουμε στα σπίτια μας, κι αφήστε
-τούτον στην Τροία τ᾽ αρχοντομοίρια του να τα κλωσάει μονάχος,
να ιδεί, μας έχει αυτός στον πόλεμο, για δε μας έχει ανάγκη.
Ως και τον Αχιλλέα, πιο αντρόκαρδος που 'ναι απ᾽ αυτόν, περίσσια
τον καταφρόνεσε, τι του άρπαξε το αρχοντομοίρι ατός του.
Μα του Αχιλλέα χολή δεν του 'μεινε, σου τα συχώρεσε όλα·
αλλιώς, Ατρείδη, λέω δε θά'σωνες άλλη αδικία να κάνεις.»
Τέτοια βρισίδια του Αγαμέμνονα του πρωτοστρατολάτη
ξεφώνιζε ο Θερσίτης, μα ο θεϊκός πετάχτηκε Οδυσσέας
μπροστά του και στραβοκοιτώντας τον αψιά τον αποπηρε:
« Θερσίτη εσύ γλωσσά, ατσαλόστομε! Κι ας είσαι βροντολάλος,
σταμάτα! Να τα βάζεις μόνος σου μη θες με βασιλιάδες·
τι πιο από σένα εγώ δε γνώρισα κιοτή κανένα, απ᾽ όσους
τους γιους του Ατρέα ακλουθηξαν κι έφτασαν κάτω απ᾽ της Τροίας το κάστρο.
Σύντας μιλάς λοιπόν, στο στόμα σου μην πιάνεις τους ρηγάδες
και μην τους βρίζεις λογαριάζοντας να γύρεις στην πατρίδα᾽
τι ακόμα δεν το καλοξέρουμε με μας τι θ᾽ απογίνει,
με δόξα πίσω αν θα γυρίσουμε, για ντροπιασμένοι οι Αργίτες.
Και τώρα εσύ τον Αγαμέμνονα, το γιο του Ατρέα, το ρήγα,
παίρνεις και βρίζεις, τι οι λιοντόκαρδοι του δίνουν τάχα Αργίτες
πολλά, κι εσύ κακολογώντας τον μιλάς και δε σωπαίνεις.
Τώρα έναν άλλο λόγο θα 'λεγα, πού σίγουρα θα γένει:
Αν όπως τώρα πάλε αστόχαστα σε βρω να φαφλατίζεις,
δε θέλω η κεφαλή στους ώμους της να στέκει του Οδυσσέα,
κι ουδέ πατέρα του Τηλέμαχου πια να με κράζουν θέλω,
αν δε σε πιάσω και τα ρούχα σου μεμιάς εγώ σου βγάλω,
το απανωσκούτι, το πουκάμισο και της ντροπής το ρούχο,
κι αφού σε δείρω, από τη σύναξη κακοδαρμένο πίσω
σε στείλω με κλαημούς στα γρήγορα καράβια να γυρίσεις.»
Έτσι είπε εκείνος, και τον χτύπησε στην πλάτη και στους ώμους
με το ραβδί, κι αυτός ελύγισε, τα κλάματα τον πήραν,
στην πλάτη η σάρκα του αιματόκοψε βαθιά μεμιάς κι επρήστη
απ᾽ το χρυσό ραβδί, και τράβηξε να κάτσει δειλιασμένος·
πονούσε, σάστιζαν τα μάτια του και σφούγγιζε το κλάμα.

Οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
ὦ πόποι ἦ δὴ μυρί᾽ Ὀδυσσεὺς ἐσθλὰ ἔοργε
βουλάς τ᾽ ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων·
νῦν δὲ τόδε μέγ᾽ ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν,
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ᾽ ἀγοράων.
Οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν.
Ὣς φάσαν ἡ πληθύς· ἀνὰ δ᾽ ὃ πτολίπορθος Ὀδυσσεὺς
ἔστη σκῆπτρον ἔχων· παρὰ δὲ γλαυκῶπις Ἀθήνη
εἰδομένη κήρυκι σιωπᾶν λαὸν ἀνώγει,
ὡς ἅμα θ᾽ οἳ πρῶτοί τε καὶ ὕστατοι υἷες Ἀχαιῶν
μῦθον ἀκούσειαν καὶ ἐπιφρασσαίατο βουλήν·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀτρεΐδη νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν περ ὑπέσταν
ἐνθάδ᾽ ἔτι στείχοντες ἀπ᾽ Ἄργεος ἱπποβότοιο
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι.
Ὣς τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι.
Ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ᾽ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ, ὅν περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ᾽ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι· τὼ οὐ νεμεσίζομ᾽ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
Τλῆτε φίλοι, καὶ μείνατ᾽ ἐπὶ χρόνον ὄφρα δαῶμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται ἦε καὶ οὐκί.
Εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ᾽ ὅτ᾽ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι,
ἡμεῖς δ᾽ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἕρδομεν ἀθανάτοισι τελήεσσας ἑκατόμβας
καλῇ ὑπὸ πλατανίστῳ ὅθεν ῥέεν ἁγλαὸν ὕδωρ·
ἔνθ᾽ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινὸς
σμερδαλέος, τόν ῥ᾽ αὐτὸς Ὀλύμπιος ἦκε φόως δέ,

Κι όλοι στα γέλια ξεκαρδίστηκαν, κι ας ήταν πικραμένοι,
κι έτσι μιλούσεν ο καθένας τους στο διπλανό γυρνώντας:
« Καλά ο Οδυσσέας αλήθεια αρίφνητα μας έχει κάνει ως τώρα,
πρώτος στη γνώμη μες στη σύναξη και πρώτος στους πολέμους᾽
μα τούτο τώρα που μας έκανε το πιο καλό είν᾽ απ᾽ όλα,
του κλωθοσούρτη ετούτου που 'φραξε, του φωνακλά, το στόμα.
Δε θα 'χει πια η καρδιά του η αδιάντροπη ποτέ θαρρώ κουράγιο
να βρίσει πάλε τους ρηγάδες μας με τα θρασόλογά του.»
Έτσι έλεαν, κι ο Οδυσσέας σηκώθηκεν ο καστροπολεμίτης
με το ραβδί στο χέρι᾽ δίπλα του με κράχτη είδη εστεκόταν
και φώναζε η Αθηνά η γλαυκόματη στ΄ ασκέρια να σωπάσουν,
και πρώτοι και στερνοί το λόγο του να τον ακούσουν όλοι
οι Αργίτες τώρα, και τη γνώμη του καλά να στοχαστούνε.
Κι εκείνος μίλησε καλόγνωμος αναμεσό τους κι είπε:
«Υγιέ του Ατρέα, στο νου τους έβαλαν οι Αργίτες, πρωταφέντη,
θαρρώ να σε ντροπιάσουν άσκημα μπρος στους ανθρώπους όλους·
το λόγο δεν κρατούν που σου 'δωκαν, ακόμα ως ξεκινούσαν
πέρα από το Άργος το αλογόθροφο στα μέρη εδώ, πριν πάρεις
πρώτα την Τροία την ωριοτείχιστη, να μη διαγύρουν πίσω.
Μ᾽ αυτοί, παιδιά λες κι είναι ανήλικα για και γυναίκες χήρες,
τους πήρε τώρα το παράπονο να γύρουν στην πατρίδα.
Δε λέω, μπορεί κι από βαριέστισμα να θες να γύρεις πίσω᾽
τι κι ένα μήνα από το ταίρι σου μακριά να λείψεις μόνο,
βαρυγκομίζεις στο πολύκουπο καράβι σου, που το 'χουν
φουρτούνες κλείσει χειμωνιάτικες και θάλασσα αγριεμένη.
Κι εμείς ακόμα εδώ βρισκόμαστε, κι έχουν κυλήσει χρόνια
εννιά! Γι᾽ αυτό και δεν αγαναχτώ που τους Αργίτες τώρα
τους παίρνει μπρος στα δρεπανόγυρτα καράβια η βαρυγκόμια.
Κι όμως ντροπή είναι, τόσο που 'μεινες, να γύρεις με άδεια χέρια.
Βαστάτε, φίλοι, υπομονέψετε λίγον καιρό, να ιδούμε,
τάχα σωστά 'ναι τα μαντέματα του Κάλχα για δεν είναι᾽
τι όλοι καλά στο νου μας το 'χουμε κι είστε όλοι εσείς μαρτύροι,
εξόν απ᾽ όσους πήραν κι έφυγαν οι Λάμιες του θανάτου,
σα χτες ακόμα, που τ᾽ Αργίτικα καράβια στην Αυλίδα
να φέρουν συφορές μαζώχτηκαν στον Πρίαμο και στους Τρώες'
κι εμείς στη νερομάνα ολόγυρα, μπρος στους βωμούς τους άγιους,
σφαχτάρια σφάζαμε αψεγάδιαστα στους αθανάτους, κάτω
απ᾽ όμορφο πλατάνι, όπου 'τρεχε νερό κρουσταλλιασμένο.
Τρανό σημάδι τότε φάνηκε: φίδι φριχτό, με ράχη
κοκκινωπή, στο φως απ᾽ του Ολύμπου σταλμένο τον αφέντη,

βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
Ἔνθα δ᾽ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζῳ ἐπ᾽ ἀκροτάτῳ πετάλοις ὑποπεπτηῶτες
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν ἣ τέκε τέκνα·
ἔνθ᾽ ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·

μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ᾽ ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
Αὐτὰρ ἐπεὶ κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀρίζηλον θῆκεν θεὸς ὅς περ ἔφηνε·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω·

ἡμεῖς δ᾽ ἐσταότες θαυμάζομεν οἷον ἐτύχθη.
Ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ᾽ ἑκατόμβας,
Κάλχας δ᾽ αὐτίκ᾽ ἔπειτα θεοπροπέων ἀγόρευε·
τίπτ᾽ ἄνεῳ ἐγένεσθε κάρη κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ᾽ ἔφηνε τέρας μέγα μητίετα Ζεὺς

ὄψιμον ὀψιτέλεστον, ὅου κλέος οὔ ποτ᾽ ὀλεῖται.
Ὡς οὗτος κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτὴν
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν ἣ τέκε τέκνα,
ὣς ἡμεῖς τοσσαῦτ᾽ ἔτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.

Κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Ἀλλ᾽ ἄγε μίμνετε πάντες ἐϋκνήμιδες Ἀχαιοὶ
αὐτοῦ εἰς ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.
Ὣς ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ᾽ Ἀχαιῶν,

μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο·
τοῖσι δὲ καὶ μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
ὦ πόποι ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.
Πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἥμιν;

ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ᾽ ἀνδρῶν
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν·
αὔτως γὰρ ἐπέεσσ᾽ ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ᾽
ἐόντες.
Ἀτρεΐδη σὺ δ᾽ ἔθ᾽ ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν

ἄρχευ᾽ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
τούσδε δ᾽ ἔα φθινύθειν ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόσφιν βουλεύωσ᾽· ἄνυσις δ᾽ οὐκ ἔσσεται αὐτῶν·
πρὶν Ἄργος δ᾽ ἰέναι πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴ τε ψεῦδος ὑπόσχεσις εἴ τε καὶ οὐκί.

πετάχτη απ᾽ το βωμό και χύθηκε στον πλάτανο ν᾽ ανέβει.
Κι ήταν εκεί μικρά κλωσόπουλα, νιογέννητα σπουργίτια,
στην άκρη ενός κλαριού, καί ζάρωναν κρυμμένα μες στα φύλλα,
οχτώ, κι εννιά με τη μητέρα τους, που τα 'χε γεννημένα.
Όμως το φίδι τότε τα 'φαγε, και τσίριζαν εκείνα
σπαραχτικά᾽ κι η μάνα κλαίγοντας πετούσε ολόγυρα τους᾽
κι αυτό λυγάει κι απ᾽ τη φτερούγα της την άρπαξε, ως θρηνούσε.
Μα τα σπουργίτια και τη μάνα τους σαν έφαγε το φίδι,
ο θεός που το 'χε στείλει τι 'καμε τρανό σημάδι τότε᾽
τι ο γιος του Κρόνου του δολόπλοκου το πέτρωσε εκεί πάνω.

Κι εμείς ασάλευτοι σαστίσαμε να ιδούμε τέτοιο θάμα,
το άγριο θεριό, που μας ετάραξε την άγια τη θυσία.
Μα ευτύς ό Κάλχας προφητεύοντας το λόγο επήρε κι είπε:
,,Τι τάχα επιάστη, μακρομάλληδες Αργίτες, η λαλιά σας;
Είναι για μας ο Δίας που το 'στειλε τρανό σημάδι ετούτο,
αργό, άργοτέλεστο, μα αθάνατο θα μείνει το άκουσμα του.
Ως όλα τα σπουργίτια τα 'φαγε το φίδι και τη μάνα,
οχτώ, κι εννιά με τη μητέρα τους, που τα 'χε γεννημένα,
όμοια άλλα τόσα χρόνια φεύγοντας κι εμείς θ᾽ αγωνιστούμε,
μ᾽ απά στα δέκα το πλατύδρομο θα πάρουμε καστρί τους."

Ο μάντης έτσι τότε μίλησε᾽ τώρα αληθεύουν όλα.
Εδώ λοιπόν να μείνετε όλοι σας, καλαντρειωμένοι Αργίτες,
ωσότου πια του Πρίαμου πάρουμε το ξακουσμένο κάστρο.»
Είπε, κι οι Αργίτες βροντοφώναξαν, κι αντιλάλησαν άγρια
απ᾽ τις τρανές φωνές τους τ᾽ άρμενα τα βαθουλά τρογύρα,
ως στου Οδυσσέα τα λόγια εσύγκλιναν του αρχοντογεννημένου.
Σηκώθη τότε κι είπε ο Νέστορας, ο γέρο αλογολάτης:
«Ωχού, παιδιά πώς είστε θα 'λεγα, για δέστε πώς μιλάτε,
άπλερα ακόμα, που για πόλεμο δεν έχουν να γνοιαστούνε.
Και τι θα μείνει από τις σύβασες καί τους παλιούς μας όρκους;

θα παν λοιπόν του ανέμου οι γνώμες μας κι οι αντρίστικες βουλές μας
κι οι άκρατες μας σπονδές καί τ᾽ άδολα χεροσφιξίματά μας;
τι να, λογομαχούμε ανώφελα και τρόπο δεν μπορούμε
να βρούμε γλιτωμού, κι ας μένουμε τόσα εδώ πέρα χρόνια.
Ύγιέ του Ατρέα, μα εσύ με αλύγιστη βουλή, καθώς και πρώτα,
τράβα μπροστά και σε άγριους πόλεμους κυβέρνα τους Αργίτες,
κι αυτούς παράτα τους να τρώγουνται, τον έναν δυο, που αλάργα
από τους άλλους θα στοχάζουνταν—δουλειές του ανέμου ετούτες!—
στο Άργος να γύρουν, μην κατέχοντας, αληθινό είναι τάχα
για ψεύτικο του Δία το τάξιμο του βροντοσκουταράτου.

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἅματι τῷ ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες
ἀστράπτων ἐπιδέξι᾽ ἐναίσιμα σήματα φαίνων.
Τὼ μή τις πρὶν ἐπειγέσθω οἶκον δὲ νέεσθαι

πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,
τίσασθαι δ᾽ Ἑλένης ὁρμήματά τε στοναχάς τε.
Εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκον δὲ νέεσθαι
ἀπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης,
ὄφρα πρόσθ᾽ ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ.

Ἀλλὰ ἄναξ αὐτός τ᾽ εὖ μήδεο πείθεό τ᾽ ἄλλῳ·
οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται ὅττί κεν εἴπω·
κρῖν᾽ ἄνδρας κατὰ φῦλα κατὰ φρήτρας
Ἀγάμεμνον,
ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις.
Εἰ δέ κεν ὣς ἕρξῃς καί τοι πείθωνται Ἀχαιοί,

γνώσῃ ἔπειθ᾽ ὅς θ᾽ ἡγεμόνων κακὸς ὅς τέ νυ
λαῶν
ἠδ᾽ ὅς κ᾽ ἐσθλὸς ἔῃσι· κατὰ σφέας γὰρ μαχέονται.
Γνώσεαι δ᾽ εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις,
ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων
Ἀγαμέμνων·

ἦ μὰν αὖτ᾽ ἀγορῇ νικᾷς γέρον υἷας Ἀχαιῶν.
Αἴ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·
τώ κε τάχ᾽ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

Ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν,
ὅς με μετ᾽ ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
Καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ᾽ εἵνεκα
κούρης
ἀντιβίοις ἐπέεσσιν, ἐγὼ δ᾽ ἦρχον χαλεπαίνων·
εἰ δέ ποτ᾽ ἔς γε μίαν βουλεύσομεν, οὐκέτ᾽ ἔπειτα

Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ᾽ ἠβαιόν.
Νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν Ἄρηα.
Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ᾽ ἀσπίδα θέσθω,
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν,
εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω,

ὥς κε πανημέριοι στυγερῷ κρινώμεθ᾽ Ἀρῇϊ.
Οὐ γὰρ παυσωλή γε μετέσσεται οὐδ᾽ ἠβαιὸν
εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν.
Ἱδρώσει μέν τευ τελαμὼν ἀμφὶ στήθεσφιν
ἀσπίδος ἀμφιβρότης, περὶ δ᾽ ἔγχεϊ χεῖρα καμεῖται·

Εγώ σας λέω, μαζί μας σύγκλινε του Κρόνου ο γιος ο γαύρος
τη μέρα εκείνη που στα γρήγορα καράβια τους οι Αργίτες
μπαίναν, στους Τρώες το μαύρο θάνατο και το χαμό να φέρουν
κι άστραφτε ο Δίας δεξιά, καλότυχα σημάδια δείχνοντας μας.
Ας μη βιαστεί λοιπόν κανένας μας να γύρει στην πατρίδα,
πριν κάποιου Τρώα το ταίρι αρπάζοντας πλαγιάσει στο πλευρό της,
να γδικηθεί τα λαχταρίσματα, τους θρήνους της Ελένης.
Μα όποιος καλά και σώνει βάλθηκε να γύρει στην πατρίδα,
στο καλοκούβερτο καράβι του για ας βάλει χέρι, αν θέλει
ο Χάρος να τον βρει κι η Μοίρα του πιο πρώτα από τους άλλους!

Μα τώρα ατός σου, ρήγα, λόγιασ᾽ το και γρίκα και τους άλλους·
του πεταμού δε θα 'ναι ο λόγος μου, που 'χεις ν᾽ ακούσεις τώρα:
τους άντρες χώρισε, Αγαμέμνονα, φυλές φυλές και φάρες,
φάρα από φάρα να 'χει βόηθηση κι η μια φυλή απ᾽ την άλλη.
Αν έτσι τό᾽ κανες και σ᾽ άκουγαν οι Αργίτες, θα μπορούσες
μες στους στρατιώτες και στους άρχοντες να ξέρεις ποιος κιοτεύει
και ποιος ατρόμητος᾽ τι ξέχωρα θα πολεμάει καθένας'
να ιδείς, από θεού το θέλημα το κάστρο δε θα πάρεις,
για κι ο στρατός δειλιάει και πόλεμο να κάνει δεν κατέχει.»
Κι ο πρωταφέντης Αγαμέμνονας του απηλογήθη τότε:

«Αλήθεια, τους Αργίτες, γέροντα, ξανά νικάς στη γνώμη.
Να 'ταν, πατέρα Δία κι Απόλλωνα, και συ, Αθηνά μου, να 'χα
σαν τούτον δέκα συβουλάτορες Αργίτες, δε θ᾽ αργούσε
το κάστρο τότε να γονάτιζε του Πριάμου του ρηγάρχη,
γοργά πεσμένο μες στα χέρια μας, στην άκρη του σπαθιού μας.
Μα ό γιος του Κρόνου πίκρες μου 'δωκεν ο βροντοσκουταράτος
σε ξεσυνέριες ανωφέλευτες κι αμάχες ρίχνοντας με.
Ετσι ο Αχιλλέας κι εγώ επιαστήκαμε για μια κοπέλα τώρα
με άσκημα λόγια, όμως εθύμωσα πρώτος εγώ μαζί του.
Μ᾽ αν πάλε κάποτε μονιάσουμε, δε θα μπορέσουν τότε

οι Τρώες ουδέ στιγμή από πάνω τους τη συφορά να διώξουν.
Μα συρτέ τώρα, γιοματίσετε, στη μάχη για να μπούμε.
Καλά ακονίστε τα κοντάρια σας, καλά και τα σκουτάρια
γνοιαστείτε τα, καλά και στα γοργά φαριά να φανέ δώστε,
καλά τ᾽ αμάξια σας κοιτάχτε τα, για πόλεμο σιαχτείτε,
ολημερίς ν᾽ αντροπαλέψουμε σε φρενιασμένο αγώνα᾽
τι αναπαμό δεν είναι να 'χουμε καθόλου, ουδέ μιας ώρας,
ως να χωρίσει η νύχτα πέφτοντας τα λυσσασμένα ασκέρια.
θα ιδρώσει το λουρί στο στήθος μας του σκουταριού, που σκέπει
τους άντρες᾽ στο κοντάρι ολόγυρα το χέρι θ᾽ αποστάσει,

ἱδρώσει δέ τευ ἵππος ἐΰξοον ἅρμα τιταίνων.
Ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω
μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ᾽ οἰωνούς.
Ὣς ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον ὡς ὅτε κῦμα

ἀκτῇ ἐφ᾽ ὑψηλῇ, ὅτε κινήσῃ Νότος ἐλθών,
προβλῆτι σκοπέλῳ· τὸν δ᾽ οὔ ποτε κύματα λείπει
παντοίων ἀνέμων, ὅτ᾽ ἂν ἔνθ᾽ ἢ ἔνθα γένωνται.
Ἀνστάντες δ᾽ ὀρέοντο κεδασθέντες κατὰ νῆας,
κάπνισσάν τε κατὰ κλισίας, καὶ δεῖπνον ἔλοντο.

Ἄλλος δ᾽ ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων
εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος.
Αὐτὰρ ὃ βοῦν ἱέρευσε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
πίονα πενταέτηρον ὑπερμενέϊ Κρονίωνι,
κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν,

Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα,
αὐτὰρ ἔπειτ᾽ Αἴαντε δύω καὶ Τυδέος υἱόν,
ἕκτον δ᾽ αὖτ᾽ Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.
Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος·
ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

Βοῦν δὲ περιστήσαντο καὶ οὐλοχύτας ἀνέλοντο·
τοῖσιν δ᾽ εὐχόμενος μετέφη κρείων Ἀγαμέμνων·
Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν
πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον

αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα,
Ἕκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
χαλκῷ ῥωγαλέον· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα πώ οἱ ἐπεκραίαινε Κρονίων,

ἀλλ᾽ ὅ γε δέκτο μὲν ἱρά, πόνον δ᾽ ἀμέγαρτον ὄφελλεν.
Αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ᾽ ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.

Καὶ τὰ μὲν ἄρ σχίζῃσιν ἀφύλλοισιν κατέκαιον,
σπλάγχνα δ᾽ ἄρ᾽ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρε κάη καὶ σπλάγχνα πάσαντο,
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.

Θα ιδρώσουν τ᾽ άλογά μας σέρνοντας τα τορνεμένα αμάξια.
Μα όποιον ιδώ μακριά απ᾽ τον πόλεμο να κοντοστέκει ξάργου,
δίπλα στα πλοία τα δρεπανόγυρτα του κάκου θα γυρέψει
να μου γλιτώσει᾽ τα όρνια γρήγορα θα τόνε φαν κι οι σκύλοι!»
Είπε, κι οι Αργίτες βροντοχούγιαξαν, ως κύμα που μουγκρίζει·
σε απόγκρεμο γιαλό, σαν έρχεται νοτιά και το σηκώσει
σε κάβο ξάγναντο, που κύματα ποτέ δεν του απολείπουν,
με όποιο λογής αγέρα, που φυσάει μια δώθε και μια κείθε.
Κι ως πετάχτηκαν όρθιοι, σκόρπισαν τραβώντας στα καράβια,
φωτιές άναψαν στα καλύβια τους και σύνταζαν το γιόμα.

Κι έσφαζεν άλλος σε άλλο αθάνατο θεό, παρακαλώντας
να τον γλιτώσει από τα κίντυνα της μάχης κι απ᾽ το Χάρο.
Ωστόσο ό μέγας Αγαμέμνονας ο πρωταφέντης σφάζει
ταύρο παχύ, πενταχρονίτικο στο γαύρο υγιό του Κρόνου,
κι απ᾽ τους Αργίτες πήρε κάλεσε τους πιο τρανούς γερόντους.
Και πρώτα κράζει να 'ρθει ο Νέστορας κι ο Ιδομενέας ο ρήγας,
μετά τους δυο τους Αίαντες φώναξε καί τον τρανό Διομήδη,
στερνά τον Οδυσσέα προσκάλεσε, ποτ 'χε του Δία τη γνώση.
Μόνο ο Μενέλαος ο βροντόφωνος ακάλεστος επήγε,
καλά τον αδερφό του ξέροντας, το πόσες έγνοιες είχε.

Τ᾽ αγιοκριθάρια τότε παίρνοντας τριγύρισαν τον ταύρο,
κι ο πρωταφέντης Αγαμέμνονας ευκήθη αναμεσό τους:
« Ουράνιε Δία, μελανοσύγνεφε, περίλαμπρε, μεγάλε,
δώσε, πριν πέσει ο γήλιος σήμερα και πάρει το σκοτάδι,
να ρίξω καταγής συθέμελο του Πριάμου το παλάτι
αθαλωμένο, και τις πόρτες του να κάψω με άγρια φλόγα,
να σκίσω το χιτώνα του Έχτορα στο στήθος του ξεσκλίδια
με το κοντάρι, και τρογύρα του να κοίτουνται οι σύντροφοι
στον κουρνιαχτό σωρός, τ᾽ απίστομα, δαγκώνοντας το χώμα.»
Έτσι είπε εκείνος, μα δεν του 'στρεξε του Κρόνου ο γιος τη χάρη,

μον 'δέχτη τα σφαχτά και του 'γραφε κι άλλους καημούς περίσσιους,
Κι ως ευκηθήκαν και πασπάλισαν μετά τ᾽ αγιοκριθάρια,
τον ταύρο τον παχύ άναλαίμισαν, τον σφάξαν και τον γδάραν,
χώρισαν τα μεριά, τα τύλιξαν τρογύρα με τη σκέπη
διπλώνοντας τη, κι από πάνω τους κομμάτια κρέας πιθώσαν.
Σε μαδημένα τότε τα 'καιγαν κλαριά, κι από τη σούβλα
τα σωθικά περνώντας ύστερα πα στη φωτιά τα ψήναν.
Και σύντας τα μεριά αποκάηκαν και γεύτηκαν τα σπλάχνα,
λιάνισαν τ᾽ άλλα και περνώντας τα στις σούβλες να τα ψήνουν
επήραν γνοιαστικά, κι ως ψήθηκαν, τ᾽ αποτραβήξαν όλα.

Αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,

μηκέτι νῦν δήθ᾽ αὖθι λεγώμεθα, μηδ᾽ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον ὃ δὴ θεὸς ἐγγυαλίζει.
Ἀλλ᾽ ἄγε κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
ἡμεῖς δ᾽ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν

ἴομεν ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησεν ἄναξ ἀνδρῶν
Ἀγαμέμνων.
Αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
κηρύσσειν πόλεμον δὲ κάρη κομόωντας Ἀχαιούς·
οἳ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.

Οἳ δ᾽ ἀμφ᾽ Ἀτρεΐωνα διοτρεφέες βασιλῆες
θοῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη
αἰγίδ᾽ ἔχουσ᾽ ἐρίτιμον ἀγήρων ἀθανάτην τε,
τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,
πάντες ἐϋπλεκέες, ἑκατόμβοιος δὲ ἕκαστος·

σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν
ὀτρύνουσ᾽ ἰέναι· ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ
καρδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Τοῖσι δ᾽ ἄφαρ πόλεμος γλυκίων γένετ᾽ ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

Ἤϋτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην
οὔρεος ἐν κορυφῇς, ἔκαθεν δέ τε φαίνεται αὐγή,
ὡς τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίοιο
αἴγλη παμφανόωσα δι᾽ αἰθέρος οὐρανὸν ἷκε.
Τῶν δ᾽ ὥς τ᾽ ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ

χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων
Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσι
κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών,
ὡς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων

ἐς πεδίον προχέοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ
ἵππων.
Ἕσταν δ᾽ ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι
μυρίοι, ὅσσά τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.
Ἤϋτε μυιάων ἀδινάων ἔθνεα πολλὰ

Κι απ᾽ τις δουλειές αυτές σα σκόλασαν κι ετοίμασαν τις τάβλες,
έτρωγαν, κι είχεν, ως εταίριαζε, καθείς το μερτικό του.
Και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
πρώτος κινάει το λόγο ο Νέστορας, ο γέρο αλογολάτης:
« Ὑγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
με την κουβέντα εδώ ας μη χάνουμε καιρό, κι ας μην ξαργούμε
πια τη δουλειά, που μες στα χέρια μας μας έχει βάλει ο Δίας.
Ομπρός, τους Αχαιούς οι κράχτες μας τους χαλκοθωρακάτους
ας τους μαζέψουν όλους, κράζοντας ολούθε στα καράβια.
Κι εμείς, ως είμαστε, στ᾽ Αργίτικα φαρδιά λημέρια ας πάμε

όλοι μαζί, μιαν ώρα αρχύτερα να κονταροκρουστούμε.»
Είπε, κι ο μέγας Αγαμέμνονας συνάκουσε το λόγο,
κι ευτύς τους κράχτες τους βροντόφωνους να κράξουνε προστάζει,
οι Αργίτες όλοι οι μακρομάλληδες στον πόλεμο να μπούνε.
Κι ως έκραζαν αυτοί, συνάζουνταν με βιάση ευτύς εκείνοι.
Κι όσοι τρανοί ρηγάδες βρέθηκαν στου γιου του Ατρέα, τ᾽ ασκέρια
γοργά ορδινιάζαν, κι η γλαυκόματη μαζί Αθηνά, κρατώντας
το βροντοσκούταρο το ατίμητο κι αθάνατο κι αιώνιο,
που κρόσσια είχε εκατό και ολόχρυσα κρέμονταν από κάτω,
όλα καλοπλεμένα, κι άξιζαν βόδια εκατό καθένα.

Με τούτο σύφλογη προσδιάβαινε τ᾽ Αργίτικα τ᾽ ασκέρια
και να κινήσουν τους ξεσήκωνε, σε καθενός το στήθος
ξυπνώντας τη λαχτάρα γι᾽ άσωστους αγώνες και πολέμους.
Και ξάφνου πιο γλυκός ο πόλεμος τους φάνη τώρα απ᾽ ό,τι
με τα βαθιά καράβια να᾽ γερναν στη γη την πατρική τους.
Πώς τρώει φωτιά χαλάστρα ολόγυρα θεριακωμένο δάσο,
ψηλά σε ακρόβουνο, και φαίνεται το λάμπισμα απ᾽ αλάργα·
όμοια κι αυτοί, ως κινούσαν, ξάστραφταν μες στα χαλκάρματά τους'
κι η φλόγα τον αιθέρα σκίζοντας ανέβαινε στα ουράνια.
Κι αυτοί, καθώς πουλιά πετούμενα, για μακρολαιμουδάτοι

κύκνοι για χήνες για και γερανοί, κοπαδιαστά πετούνε
στις ρεματιές του Κάστρου ολόγυρα, στο ασιανό λιβάδι,
χαρά γεμάτα, φτερακίζοντας ολούθε, κι ως καθίζουν,
χαλνούν τον κόσμο, πλημμυρίζοντας τον κάμπο απ᾽ τις κραξιές τους'
όμοια κι αυτοί σωρός απ᾽ τ᾽ άρμενα κι απ᾽ τά καλύβια μέσα
στον κάμπο εχύνουνταν του Σκάμαντρου᾽ κι η γη βροντομαχούσε
άγρια απ᾽ τά πόδια των αλόγων τους μαζί και τα δικά τους.
Και στάθηκαν στο λουλουδόσπαρτο σκαμαντρινό λιβάδι
αρίφνητοι, όσα τ᾽ ανοιξιάτικα λουλούδια και τα φύλλα.
Πώς μύγες σύγνεφο μαζεύουνται πυκνό, κι ολούθε γύρα

αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν
ὥρῃ ἐν εἰαρινῇ ὅτε τε γλάγος ἄγγεα δεύει,
τόσσοι ἐπὶ Τρώεσσι κάρη κομόωντες Ἀχαιοὶ
ἐν πεδίῳ ἵσταντο διαρραῖσαι μεμαῶτες.
Τοὺς δ᾽ ὥς τ᾽ αἰπόλια πλατὲ᾽ αἰγῶν αἰπόλοι ἄνδρες

ῥεῖα διακρίνωσιν ἐπεί κε νομῷ μιγέωσιν,
ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα
ὑσμίνην δ᾽ ἰέναι, μετὰ δὲ κρείων Ἀγαμέμνων
ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

Ἠΰτε βοῦς ἀγέληφι μέγ᾽ ἔξοχος ἔπλετο πάντων
ταῦρος· ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
τοῖον ἄρ᾽ Ἀτρεΐδην θῆκε Ζεὺς ἥματι κείνῳ
ἐκπρεπέ᾽ ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν.
Ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι·

ὑμεῖς γὰρ θεαί ἐστε πάρεστέ τε ἴστέ τε πάντα,
ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν οὐδέ τι ἴδμεν·
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·
πληθὺν δ᾽ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν,

φωνὴ δ᾽ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη,
εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι Διὸς αἰγιόχοιο
θυγατέρες μνησαίαθ᾽ ὅσοι ὑπὸ Ἴλιον ἦλθον·

φτεροκοπούν στριφογυρίζοντας σε κοπαδίσια στρούγκα
την άνοιξη, καθώς ξεχείλισε στους αρμεγούς το γάλα'
τόσοι κι Αργίτες μακρομάλληδες εστέκουνταν στον κάμπο
στους Τρώες αντίκρυ, λαχταρίζοντας να τους κατασπαράξουν.
Πώς ξεχωρίζουν οο γιδάρηδες τα γίδια δίχως κόπο,
που σκορπισμένα ανακατώθηκαν την ώρα που βοσκούσαν'
όμοια κι εκείνους οι ρηγάδες τους χώριζαν κι ορδινιάζαν
να μπουν στη μάχη· κι ο Αγαμέμνονας στη μέση ο πρωταφέντης
ίδιος ο Δίας ο κεραυνόχαρος στην κεφαλή, στα μάτια'
στο στήθος Ποσειδώνας έμοιαζε, στη μέση σαν τον Άρη.

Πώς ταύρος από τ᾽ άλλα ζωντανά μες στο κοπάδι ο πρώτος,
κι απ᾽ τις γελάδες, γύρα ως βοσκούνε, περίσσια ξεχωρίζει'
όμοια του Ατρέα το γιο εμεγάλυνε τη μέρα εκείνη ο Δίας,
τρανό μες στους πολλούς, περίλαμπρο στους αντρειωμένους μέσα.
Πέστε μου τώρα, Μούσες, που έχετε τον Όλυμπο παλάτι
—τι είστε θείες κι ολούθε τρέχετε, κατέχετε τα πάντα'
εμείς καν τίποτα δεν ξέρουμε, τη φήμη μόνο ακούμε—
σαν ποιους οι Αργίτες είχαν άρχοντες και πρωτοστρατολάτες·
τι όλο το πλήθος είναι αβόλετο να πω, να νοματίσω,
κι ακόμα δέκα αν είχα στόματα και δέκα αν είχα γλώσσες

κι ασύντριφτη λαλιά και χάλκινη καρδιά στα σωθικά μου᾽
εξόν αν σεις, οι Μούσες του Ολύμπου, του Βροντοσκουταράτου
οι κόρες, πόσοι έφτασαν λέγατε κάτω απ᾽ της Τροίας το κάστρο.
Μα πόσα εγώ θα πω ήταν τ᾽ άρμενα και ποιοι τα κυβερνούσαν.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Β- Συνέχεια
ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΠΛΟΙΩΝ
Μετάφραση Ὄλγας Κομνηνοῦ-Κακριδῆ

ἀρχοὺς αὖ νηῶν ἐρέω νῆάς τε προπάσας.
Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον

Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
οἵ θ᾽ Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν
Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ᾽ Ἐτεωνόν,
Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν,
οἵ τ᾽ ἀμφ᾽ Ἅρμ᾽ ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρυθράς,

οἵ τ᾽ Ἐλεῶν᾽ εἶχον ἠδ᾽ Ὕλην καὶ Πετεῶνα,
Ὠκαλέην Μεδεῶνά τ᾽ ἐϋκτίμενον πτολίεθρον,
Κώπας Εὐτρησίν τε πολυτρήρωνά τε Θίσβην,
οἵ τε Κορώνειαν καὶ ποιήενθ᾽ Ἁλίαρτον,
οἵ τε Πλάταιαν ἔχον ἠδ᾽ οἳ Γλισᾶντ᾽ ἐνέμοντο,

οἵ θ᾽ Ὑποθήβας εἶχον ἐϋκτίμενον πτολίεθρον,
Ὀγχηστόν θ᾽ ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος,
οἵ τε πολυστάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
Νῖσάν τε ζαθέην Ἀνθηδόνα τ᾽ ἐσχατόωσαν·
τῶν μὲν πεντήκοντα νέες κίον, ἐν δὲ ἑκάστῃ

κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοσι βαῖνον.
Οἳ δ᾽ Ἀσπληδόνα ναῖον ἰδ᾽ Ὀρχομενὸν Μινύειον,
τῶν ἦρχ᾽ Ἀσκάλαφος καὶ Ἰάλμενος υἷες Ἄρηος
οὓς τέκεν Ἀστυόχη δόμῳ Ἄκτορος Ἀζεῖδαο,
παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα

Ἄρηϊ κρατερῷ· ὃ δέ οἱ παρελέξατο λάθρῃ·
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἑστιχόωντο.
Αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον
υἷες Ἰφίτου μεγαθύμου Ναυβολίδαο,
οἵ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν

Κρῖσάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,
οἵ τ᾽ Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο,
οἵ τ᾽ ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον,
οἵ τε Λίλαιαν ἔχον πηγῇς ἔπι Κηφισοῖο·
τοῖς δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.

και πόσα ήταν τα καράβια, από την αρχή ως το τέλος.
Οι Βοιωτοί είχαν αρχηγούς τον Πηνέλεο και το Λήϊτο,

τον Αρκεσίλαο, τον Προθοήνορα και τον Κλονίο· αυτοί που
κατοικούσαν στην Υρία και στην πετρώδη Αυλίδα και στο
Σχοίνο και στο Σκώλο και στον Ετεωνό με τα πολλά φαράγγια,
στη Θέσπεια και στη Γραία και στην ευρύχωρη Μυκαλησσό, και αυτοί
που κατοικούσαν γύρω στο Άρμα και στο Ειλέσιο και στις Ερυθρές,

και αυτοί που είχαν τον Ελεώνα και την Ύλη και την Πετεώνα,
και την Ωκαλέη και την Μεδεώνα, την καλοχτισμένην πολιτεία,
τις Κώπες και την Εύτρηση και την Θίσβη με τα πολλά περιστέρια
και εκείνοι που είχαν την Κορώνεια και τον χλοερό Αλίαρτο,
και αυτοί που είχαν την Πλάταια, και εκείνοι που κατοικούσαν

στο Γλισάντα, και αυτοί που είχαν τις Υποθήβες,
την καλοχτισμένη πολιτεία, και τον ιερό Ογχηστό,
το ωραίο άλσος του Ποσειδώνα, και αυτοί που είχαν την Άρνη
την πολυστάφυλη και τη Μίδεια και την πανίερη Νίσα
και την Ανθηδόνα, που είναι τελευταία προς τη θάλασσα.

Δικά τους ήρθαν τι πενήντα καράβια και σε καθένα μέσα ήταν
εκατόν είκοσι νέοι Βοιωτοί. Εκείνοι πάλι που κατοικούσαν
την Αστιληδόνα και τον Μινύειο Ορχομενό είχαν αρχηγό τον
Ασκάλαφο και τον Ιάλμενο, τους γιους του Άρη· αυτούς τους
γέννησε στο Δυνατό τον Άρη στο παλάτι του Άκτορα, του γιου του

Αζέα, η Αστυόχη· η ντροπαλή παρθένα είχε ανεβή στο ανώι,
κι᾽ εκείνος πήγε κρυφά και πλάγιασε κοντά της.
Αυτούς τους ακολουθούσαν τριάντα βαθιά καράβια.
Ο Σχεδίος και ο Επίστροφος, γιοι του Ιφίτου, που ήταν
γιος του μεγαλόψυχου του Ναυβόλου, ήταν αρχηγοί στους Φωκείς,

που είχαν την Κυπάρισσο και την απόγκρεμη Πύθωνα και την πανίερη Κρίσα
και τη Δαυλίδα και τον Πανοπέα, και σ᾽ αυτούς που κατοικούσαν στην
Ανεμώρεια και την Υάμπολη, και σ᾽ αυτούς που ζούσαν κοντά στο θείο
ποταμό Κηφισό, και που είχαν τη Λίλαια πάνω στις πηγές του Κηφισού.
Μαζί μ᾽ αυτούς ακολουθούσαν σαράντα μαύρα καράβια.

Οἳ μὲν Φωκήων στίχας ἵστασαν ἀμφιέποντες,
Βοιωτῶν δ᾽ ἔμπλην ἐπ᾽ ἀριστερὰ θωρήσσοντο.
Λοκρῶν δ᾽ ἡγεμόνευεν Ὀϊλῆος ταχὺς Αἴας
μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος Αἴας
ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην λινοθώρηξ,
ἐγχείῃ δ᾽ ἐκέκαστο **Πανέλληνας** καὶ Ἀχαιούς·
οἳ Κῦνόν τ᾽ ἐνέμοντ᾽ Ὀπόεντά τε Καλλίαρόν τε
Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς
Τάρφην τε Θρόνιον τε Βοαγρίου ἀμφὶ ῥέεθρα·
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἔποντο
Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης.
Οἳ δ᾽ Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες
Χαλκίδα τ᾽ Εἰρέτριάν τε πολυστάφυλόν θ᾽ Ἱστίαιαν
Κήρινθόν τ᾽ ἔφαλον Δίου τ᾽ αἰπὺ πτολίεθρον,
οἵ τε Κάρυστον ἔχον ἠδ᾽ οἳ Στύρα ναιετάασκον,
τῶν αὖθ᾽ ἡγεμόνευ᾽ Ἐλεφήνωρ ὄζος Ἄρηος
Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς Ἀβάντων.
Τῷ δ᾽ ἅμ᾽ Ἄβαντες ἕποντο θοοὶ ὄπιθεν κομόωντες
αἰχμηταὶ μεμαῶτες ὀρεκτῇσιν μελίῃσι
θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσι·
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἔποντο.
Οἳ δ᾽ ἄρ᾽ Ἀθήνας εἶχον ἐϋκτίμενον πτολίεθρον
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ᾽ Ἀθήνη
θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,
κὰδ δ᾽ ἐν Ἀθήνῃς εἷσεν ἑῷ ἐν πίονι νηῷ·
ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν·
τῶν αὖθ᾽ ἡγεμόνευ᾽ υἱὸς Πετεῶο Μενεσθεύς.
Τῷ δ᾽ οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ᾽ ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·
Νέστωρ οἷος ἔριζεν· ὃ γὰρ προγενέστερος ἦεν·
τῷ δ᾽ ἅμα πεντήκοντα μέλαιναι νῆες ἔποντο.

Αυτοί τακτοποιούσαν δραστήρια τις γραμμές των Φωκέων
και οπλίζονταν κοντά στους Βοιωτούς προς τα αριστερά.
Τους Λοκρούς τους κυβερνούσε ο γρήγορος Αίας ο γιος του Οϊλέα,
πιο μικρόσωμος, όχι τόσος όσος ο Αίας ο γιος του Τελαμώνα,
άλλα πολύ πιο μικρός. Ήταν μικρόσωμος και φορούσε λινό θώρακα,
στο κοντάρι όμως ξεπερνούσε όλους τους Έλληνες και τους Αχαιούς.
Αυτοί κατοικούσαν στον Κύνο και στον Οπούντα και στην Καλλίαρο
και στη Βήσσα και στη Σκάρφη και στις όμορφες Αυγειές και στην
Τάρφη και στο Θρόνιο κοντά στο ρέμα του Βοάγριου.
Αυτόν τον ακολουθούσαν σαράντα μαύρα καράβια των Λοκρών,
που κατοικούσαν απέναντι από την ιερή την Εύβοια.
Σ᾽ αυτούς που είχαν την Εύβοια, τους γεμάτους ορμή Άβαντες,
και τη Χαλκίδα και την Ερέτρια και την Ιστιαία με τα πολλά σταφύλια
και την παραθαλάσσια Κήρινθο και την αψηλή πολιτεία του Δίου,
και σ᾽ αυτούς που είχαν την Κάρυστο και σε όσους κατοικούσαν τα Στύρα,
σ᾽ αυτούς πάλι αρχηγός ήταν ο Ελεφήνορας, ο ακόλουθος του Άρη,
ο γιος του Χαλκώδοντα, ο αρχηγός στους γενναίους Άβαντες.
Αυτόν τον ακολουθούσαν οι ορμητικοί Άβαντες που είχαν μακριά μαλλιά
από πίσω μόνο᾽ πολεμιστές που με τα κοντάρια τους που πρόβαλλαν
λαχταρούσαν να σπάσουν τους θώρακες γύρω από τα στήθη των έχθρων
μαζί μ᾽ αυτούς ακολουθούσαν σαράντα μαύρα πλοία.
Εκείνοι πάλι που είχαν την Αθήνα την καλοχτισμένη
πολιτεία, το δήμο του γενναίου Ερεχθέα, που γεννημένο
από την έφορη γη τον είχε ανάθρεψει, η Αθηνά, η κόρη
του Δία, και τον εγκατέστησε να καθίση στην Αθήνα, στον
πλούσιο ναό της. Εκεί οι νέοι των Αθηναίων θυσιάζοντας
του κάθε χρόνο ταύρους και αρνιά γυρεύουν να τον εξευμενίσουν.
Αυτοί είχαν αρχηγό το Μενεσθέα, το γιο του Πετεού.
Όμοιος του δε στάθηκε ακόμα πάνω στη γη άλλος άξιος
σαν κι᾽ αυτόν να παρατάζη άρματα και ασπιδοφόρους άντρες·
μόνο ο Νέστορας τον ανταγωνιζόταν, γιατί ήταν μεγαλύτερος του.
Μαζί μ᾽ αυτόν ακολουθούσαν πενήντα μαύρα καράβια.
Ο Αίας από τη Σαλαμίνα οδηγούσε δώδεκα καράβια που τα έφερε

Αἴας δ᾽ ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ᾽ ἄγων ἵν᾽ Ἀθηναίων ἵσταντο φάλαγγες.
Οἳ δ᾽ Ἄργός τ᾽ εἶχον Τίρυνθά τε τειχιόεσσαν

Ἐρμιόνην Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν᾽ Ἠιόνας τε καὶ ἀμπελόεντ᾽ Ἐπίδαυρον,
οἵ τ᾽ ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,
τῶν αὖθ᾽ ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·

τοῖσι δ᾽ ἅμ᾽ Εὐρύαλος τρίτατος κίεν ἰσόθεος φὼς
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος·
συμπάντων δ᾽ ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης·
τοῖσι δ᾽ ἅμ᾽ ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Οἳ δὲ Μυκήνας εἶχον ἐϋκτίμενον πτολίεθρον

ἀφνειόν τε Κόρινθον ἐϋκτιμένας τε Κλεωνάς,
Ὀρνειάς τ᾽ ἐνέμοντο Ἀραιθυρέην τ᾽ ἐρατεινὴν
καὶ Σικυῶν᾽, ὅθ᾽ ἄρ᾽ Ἄδρηστος πρῶτ᾽ ἐμβασίλευεν,
οἵ θ᾽ Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν
Πελλήνην τ᾽ εἶχον ἠδ᾽ Αἴγιον ἀμφενέμοντο

Αἰγιαλόν τ᾽ ἀνὰ πάντα καὶ ἀμφ᾽ Ἑλίκην εὐρεῖαν,
τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων
Ἀτρεΐδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
λαοὶ ἕποντ᾽· ἐν δ᾽ αὐτὸς ἐδύσετο νώροπα χαλκὸν
κυδιόων, πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν

οὕνεκ᾽ ἄριστος ἦεν πολὺ δὲ πλείστους ἄγε λαούς.
Οἳ δ᾽ εἶχον κοίλην Λακεδαίμονα κητώεσσαν,
Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην,
Βρυσειάς τ᾽ ἐνέμοντο καὶ Αὐγειὰς ἐρατεινάς,
οἵ τ᾽ ἄρ᾽ Ἀμύκλας εἶχον Ἕλος τ᾽ ἔφαλον πτολίεθρον,

οἵ τε Λάαν εἶχον ἠδ᾽ Οἴτυλον ἀμφενέμοντο,
τῶν οἱ ἀδελφεὸς ἦρχε βοὴν ἀγαθὸς Μενέλαος
ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ θωρήσσοντο·
ἐν δ᾽ αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθὼς
ὀτρύνων πόλεμον δέ· μάλιστα δὲ ἵετο θυμῷ

και τα έβαλε να σταθούν εκεί που στέκονταν οι φάλαγγες των Αθηναίων.
Και εκείνοι που είχαν το Άργος και την περιτειχισμένη

ΤύρινΘα, την Ερμιόνη και την Ασίνη, που έχουν βαθύ κόλπο,
την Τροιζήνα και τις Ηιόνες και την Επίδαυρο με τα αμπέλια,
και ίσοι γιοί των Αχαιών είχαν την Αίγινα και την
Μάσητα, σ᾽ αυτούς ήταν αρχηγοί ο βροντόφωνος Διομήδης
και ο Σθένελος, ο γιος του ένδοξου Καπανέα· μαζί μ᾽ αυτούς

τρίτος πήγαινε ο Ευρύαλος, ο ισόθεος άντρας,
ο γιος του βασιλιά Μηκιστέα, του γιου του Ταλαού.
Σ᾽ όλους μαζί αρχηγός ήταν ο βροντόφωνος Διομήδης,
και μαζί μ᾽ αυτούς ακολουθούσαν ογδόντα μαύρα καράβια.
Εκείνοι που είχαν τις Μυκήνες, την καλοχτισμένη πολιτεία,

και την πλούσια Κόρινθο και τις καλοχτισμένες Κλεωνές,
και ζούσαν στις Ορνειές και στην όμορφη Αραιθυρέη
και στην Σικυώνα, όπου πρώτα βασίλευε ο Άδραστος,
και εκείνοι που είχαν την Υπερησία και την ψηλή Γονούσα
και την Πελλήνη, και όσοι κατοικούσαν στο Αίγιο και σε

όλη την έκταση του Αιγιαλού, και γύρω στην πλατιά Ελίκη,
σ᾽ αυτών τα εκατό καράβια αρχηγός ήταν ο βασιλιάς Αγαμέμνονας,
ο γιος του Ατρέα. Μαζί μ᾽ αυτόν ακολουθούσε εξαιρετικά πολυάριθμος
και πολύ αντρειωμένος στρατός· κι᾽ αυτός ο ίδιος φόρεσε τον λαμπρό
χαλκό οπλισμό του καμάρανοντας και ξεχώριζε ανάμεσα σε όλους τους
ήρωες,

γιατί ήταν ο καλύτερος απ᾽ όλους και οδηγούσε εξαιρετικά πολυάριθμο
στρατό.
Αυτοί πάλι που είχαν την βαθουλή Λακεδαίμονα με τις πολλές χαράδρες,
και τη Φάρη και τη Σπάρτη και την Μέσση με τα πολλά περιστέρια,
και αυτοί που κατοικούσαν στις Βρυσειές και στις όμορφες Αυγειές
και αυτοί που είχαν τις Αμυκλές και το Έλος, την παραθαλάσσια πολιτεία,

και αυτοί που είχαν το Λάα και ζούσαν στην Οίτυλο,
σ᾽ αυτών τα εξήντα καράβια αρχηγός ήταν ο αδελφός του,
ο βροντόφωνος Μενέλαος. Αυτοί οπλίζονταν χωριστά᾽
και αναμεσά τους πήγαινε ο ίδιος έχοντας πίστη στο ζήλο του,
ξεσηκώνοντας τους για πόλεμο· και πάρα πολύ λαχταρούσε

τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε.
Οἳ δὲ Πύλον τ᾽ ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν
καὶ Θρύον Ἀλφειοῖο πόρον καὶ ἐΰκτιτον Αἰπὺ
καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον
καὶ Πτελεὸν καὶ Ἔλος καὶ Δώριον, ἔνθά τε Μοῦσαι

στην ψυχή του να ξεπληρώση τις λαχτάρες και τους στεναγμούς της Ελένης.
Εκείνοι που ζούσαν στην Πύλο και στην όμορφη Αρήνη και στο Θρύο,
το πέρασμα του Αλφειού, και στο καλοχτισμένο Αιπύ, και αυτοί
που κατοικούσαν στον Κυπαρισσούντα και στην Αμφιγένεια και στην Πτελεό
και στα Έλος και στο Δώριο, όπου οι Μούσες αντάμωσαν το Θάμυρη

ἀντόμεναι Θάμυριν τὸν Θρήϊκα παῦσαν ἀοιδῆς
Οἰχαλίηθεν ἰόντα παρ᾽ Εὐρύτου Οἰχαλιῆος·
στεῦτο γὰρ εὐχόμενος νικησέμεν εἴ περ ἂν αὐταὶ
Μοῦσαι ἀείδοιεν κοῦραι Διὸς αἰγιόχοιο·
αἳ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν

το Θράκα και τον έκαναν να πάψη να ψάλλη,
καθώς ερχόταν από την Οιχαλία, από τον Εύρυτο τον Οιχαλέα·
γιατί στην ξιπασιά του βεβαίωνε πως θα νικήση,
ακόμα και αν οι ίδιες οι Μούσες έψαλλαν, οι κόρες του Δία
που βαστά την αιγίδα. Κι᾽ εκείνες θύμωσαν και τον κατάστρεψαν:

θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν·
τῶν αὖθ᾽ ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ·
τῷ δ᾽ ἐνενήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
Οἳ δ᾽ ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνης ὄρος αἰπὺ
Αἰπύτιον παρὰ τύμβον ἵν᾽ ἀνέρες ἀγχιμαχηταί,

του πήραν το θείο τραγούδι και τον έκαμαν να ξεχάση την τέχνη της κιθάρας.
Σ᾽ αυτούς αρχηγός ήταν ο αρματομάχος ο Νέστορας από τη Γερήνια,
και μαζί μ᾽ αυτόν ακολουθούσαν ενενήντα βαθιά καράβια.
Αυτοί που είχαν την Αρκαδία κάτω από το υψηλό βουνό
της Κυλλήνης, κοντά στον τύμβο- του Αίπυτου,

οἳ Φενεόν τ᾽ ἐνέμοντο καὶ Ὀρχομενὸν πολύμηλον
Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην
καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινὴν
Στύμφηλόν τ᾽ εἶχον καὶ Παρρασίην ἐνέμοντο,
τῶν ἦρχ᾽ Ἀγκαίοιο πάϊς κρείων Ἀγαπήνωρ

όπου ζούνε άντρες που πολεμούν από κοντά, και αυτοί που ζούσαν
στο Φενεό και στον Ορχομενό με τα πολλά πρόβατα και στη Ρίπη
και στη Στρατία και στην ανεμοδαρμένη Ενίσπη και είχαν την Τεγέα
και την όμορφη Μαντινεία, και είχαν τη Στύμφαλο και κατοικούσαν στην Παρρασία,
σ᾽ αυτών τα εξήντα πλοία αρχηγός ήταν ο γιος του

ἑξήκοντα νεῶν· πολέες δ᾽ ἐν νηῒ ἑκάστῃ
Ἀρκάδες ἄνδρες ἔβαινον ἐπιστάμενοι πολεμίζειν.
Αὐτὸς γάρ σφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
νῆας ἐϋσσέλμους περάαν ἐπὶ οἴνοπα πόντον
Ἀτρεΐδης, ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.

Αγκαίου, ο βασιλιάς Αγαπήνορας, και πολλοί Αρκάδες που ήξεραν
καλά να πολεμούν είχαν μπη σε καθένα πλοίο. Γιατί ο ίδιος ο
βασιλιάς του στρατού Αγαμέμνονας τους είχε δώσει καράβια
με όμορφο κατάστρωμα να περάσουν τον κρασάτο πόντο,
επειδή αυτοί δεν ανακατεύονταν με τις δουλειές της θάλασσας.

Οἳ δ᾽ ἄρα Βουπράσιόν τε καὶ Ἠλίδα δῖαν ἔναιον
ὅσσον ἐφ᾽ Ὑρμίνη καὶ Μύρσινος ἐσχατόωσα
πέτρη τ᾽ Ὠλενίη καὶ Ἀλήσιον ἐντὸς ἐέργει,
τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν, δέκα δ᾽ ἀνδρὶ ἑκάστῳ
νῆες ἕποντο θοαί, πολέες δ᾽ ἔμβαινον Ἐπειοί.

Αυτοί πάλι που κατοικούσαν στο Βουπράσιο και στη θεία Ήλιδα,
όση έκταση κλείνουν γύρω γύρω η Υρμίνη και η Μύρσινος,
που βρίσκεται εντελώς στην άκρη, και ο Ωλένιος βράχος και στο Αλήσιο,
αυτοί είχαν τέσσερις αρχηγούς, και τον καθένα τον ακολουθούσαν
δέκα γοργά πλοία, και πολλοί Επειοί είχαν μπη μέσα.

Τῶν μὲν ἄρ᾽ Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην
υἷες ὃ μὲν Κτεάτου, ὃ δ᾽ ἄρ᾽ Εὐρύτου, Ἀκτορίωνε·
τῶν δ᾽ Ἀμαρυγκεΐδης ἦρχε κρατερὸς Διώρης·
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινος θεοειδὴς
υἱὸς Ἀγασθένεος Αὐγηϊάδαο ἄνακτος.

Οἳ δ᾽ ἐκ Δουλιχίοιο Ἐχινάων θ᾽ ἱεράων
νήσων, αἳ ναίουσι πέρην ἁλὸς Ἤλιδος ἄντα,
τῶν αὖθ᾽ ἡγεμόνευε Μέγης ἀτάλαντος Ἀρηϊ
Φυλεΐδης, ὃν τίκτε Διῒ φίλος ἱππότα Φυλεύς,
ὅς ποτε Δουλίχιον δ᾽ ἀπενάσσατο πατρὶ χολωθείς·

τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἔποντο.
Αὐτὰρ Ὀδυσσεὺς ἦγε Κεφαλλῆνας μεγαθύμους,
οἵ ῥ᾽ Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον
καὶ Κροκύλει᾽ ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
οἵ τε Ζάκυνθον ἔχον ἠδ᾽ οἵ Σάμον ἀμφενέμοντο,

οἵ τ᾽ ἤπειρον ἔχον ἠδ᾽ ἀντιπέραι᾽ ἐνέμοντο·
τῶν μὲν Ὀδυσσεὺς ἦρχε Διὶ μῆτιν ἀτάλαντος·
τῷ δ᾽ ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.
Αἰτωλῶν δ᾽ ἡγεῖτο Θόας Ἀνδραίμονος υἱός,
οἳ Πλευρῶν᾽ ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην

Χαλκίδα τ᾽ ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν·
οὐ γὰρ ἔτ᾽ Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
οὐδ᾽ ἄρ᾽ ἔτ᾽ αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος·
τῷ δ᾽ ἐπὶ πάντ᾽ ἐτέταλτο ἀνασσέμεν Αἰτωλοῖσι·
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἔποντο.

Κρητῶν δ᾽ Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευεν,
οἳ Κνωσόν τ᾽ εἶχον Γόρτυνά τε τειχιόεσσαν,
Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον
Φαιστόν τε Ῥύτιόν τε, πόλεις εὖ ναιετοώσας,
ἄλλοι θ᾽ οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.

Τῶν μὲν ἄρ᾽ Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευε

Τα πρώτα είκοσι τα οδηγούσαν ο Αμφίμαχος και ο Θάλπιος,
γιοι ο ένας του Κτέατου, ο άλλος του Εύρυτου, εγγονοί του Άκτορα.
Στα άλλα δέκα ήταν αρχηγός ο δυνατός Διώρης, ο γιος του Αμαρυγκέα'
Στα τελευταία δέκα αρχηγός ήταν ο θεόμορφος Πολύξενος,
γιος του βασιλιά Αγασθένη, του γιου του Αυγεία.

Εκείνοι που ήταν από το Δουλίχιο και τις Εχινάδες,
τα ιερά νησιά, που βρίσκονται πέρα από τη θάλασσα,
αντίκρυ στην Ήλιδα, είχαν αρχηγό τον Φυλείδη Μέγη,
τον όμοιο με τον Άρη, που τον γέννησε ο αγαπημένος
του Δία αρματομάχος Φυλέας, πού κάποτε μετανάστεψε στο Δουλίχιο,

γιατί θύμωσε με τον πατέρα του. Αυτόν τον ακολουθούσαν σαράντα
μαύρα πλοία. Ο Οδυσσέας πάλι οδηγούσε τους γενναίους Κεφαλλήνες,
που είχαν την Ιθάκη και το πυκνόφυλλο Νήριτο, και ζούσαν στα Κροκύλεια
και στην τραχιά Αιγίλιπα, και αυτούς που είχαν τη Ζάκυνθο και αυτούς
που κατοικούσαν στη Σάμο, και αυτούς που είχαν τη στεριά και αυτούς

που κατοικούσαν αντίπερα. Σ᾽ αυτούς αρχηγός ήταν ο Οδυσσέας ο ίσος
με το Δία στη σύνεση, και μαζί μ᾽ αυτόν ακολουθούσαν δώδεκα καράβια
με κοκκινοβαμμένα τα πλευρά τους. Στους Αιτωλούς αρχηγός ήταν ο Θόας,
ο γιος του Ανδραίμονα, σ᾽ αυτούς που κατοικούσαν στην Πλευρώνα,
στην Ώλενο και στην Πυλήνη και στην παραθαλάσσια Χαλκίδα

και στην πετρώδη Καλυδώνα- γιατί δεν ζούσαν πια οι γιοι του
γενναίου Οινέα᾽ ούτε και ο ίδιος ζούσε πια,
και είχε πεθάνει και ο ξανθός Μελέαγρος.
Σ᾽ αυτόν λοιπόν είχε ανατεθη να κυβερνά σε όλα τους Αιτωλούς·
μαζί του ακολουθούσαν σαράντα μαύρα πλοία.

Στους Κρήτες αρχηγός ήταν ο ένδοξος στο δόρυ Ιδομενέας,
σ᾽ αυτούς πού είχαν την Κνωσό και τη Γόρτυνα την περιτειχισμένη
και τη Λύκτο και τη Μίλητο και την ασπροχώματη Λύκαστο και τη Φαιστό
και το Ρύτιο, πολιτείες καλοκατοικημένες, και στους άλλους που ζούσαν
στην Κρήτη την εκατόμπολη. Σ᾽ αυτούς αρχηγός ήταν ο Ιδομενέας

ο ένδοξος στο δόρυ και ο Μυριόνης ο όμοιος με τον Ενυάλιο, που
σκοτώνει τους άντρες.

Μηριόνης τ᾽ ἀτάλαντος Ἐνυαλίῳ
ἀνδρειφόντῃ·
τοῖσι δ᾽ ἅμ᾽ ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Τληπόλεμος δ᾽ Ἡρακλεΐδης ἠΰς τε μέγας τε
ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων
ἀγερώχων,

οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα
κοσμηθέντες
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.
Τῶν μὲν Τληπόλεμος δουρὶ κλυτὸς
ἡγεμόνευεν,
ὃν τέκεν Ἀστυόχεια βίῃ Ἡρακληείῃ,
τὴν ἄγετ᾽ ἐξ Ἐφύρης ποταμοῦ ἄπο
Σελλήεντος

πέρσας ἄστεα πολλὰ διοτρεφέων αἰζηῶν.
Τληπόλεμος δ᾽ ἐπεὶ οὖν τράφ᾽ ἐνὶ μεγάρῳ
εὐπήκτῳ,
αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα
ἤδη γηράσκοντα Λικύμνιον ὄζον Ἄρηος·
αἶψα δὲ νῆας ἔπηξε, πολὺν δ᾽ ὅ γε λαὸν
ἀγείρας

βῆ φεύγων ἐπὶ πόντον· ἀπείλησαν γάρ οἱ
ἄλλοι
υἱέες υἱωνοί τε βίης Ἡρακληείης.
Αὐτὰρ ὅ γ᾽ ἐς Ῥόδον ἶξεν ἀλώμενος ἄλγεα
πάσχων·
τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδὲ φίληθεν
ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν
ἀνάσσει,

καί σφιν θεσπέσιον πλοῦτον κατέχευε
Κρονίων.
Νιρεὺς αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἑΐσας
Νιρεὺς Ἀγλαΐης υἱὸς Χαρόποιό τ᾽ ἄνακτος
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα·

ἀλλ᾽ ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο
λαός.
Οἳ δ᾽ ἄρα Νίσυρόν τ᾽ εἶχον Κράπαθόν τε
Κάσον τε
καὶ Κῶν Εὐρυπύλοιο πόλιν νήσους τε
Καλύδνας,
τῶν αὖ Φείδιππός τε καὶ Ἄντιφος ἡγησάσθην
Θεσσαλοῦ υἷε δύω Ἡρακλεΐδαο ἄνακτος·

τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
Νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος
ἔναιον,

Μαζί μ᾽ αυτούς ακολουθούσαν ογδόντα μαύρα καράβια.
Ο Τληπόλεμος ο γιος του Ηρακλή, ωραίος και μεγαλόσωμος,
οδηγούσε τα εννέα πλοία των περήφανων Ροδίων,
από τη Ρόδο, αυτών που κατοικούσαν στη Ρόδο, μοιρασμένοι

σε τρεις πολιτείες, στη Λίνδο, στην Ιαλυσό και στην
Κάμειρο την ασπροχώματη. Σ᾽ αυτούς αρχηγός ήταν ο ένδοξος
στο δόρυ Τληπόλεμος, αυτός που τον είχε γεννήσει η
Αστυόχεια στο δυνατό Ηρακλή. Την είχε πάρει ο Ηρακλής
από την Εφύρη, από τον ποταμό Σελλήεντα, αφού

κυρίεψε πολλές πολιτείες από διόθρεφτους δυνατούς άντρες.
Ο Τληπόλεμος, μόλις μεγάλωσε μέσα στο καλοδεμένο παλάτι,
σκότωσε τον αδελφό της μητέρας του πατέρα του,
τον Λικύμνιο, πού είχε πια γεράσει, τον ακόλουθο του
Άρη. Έφτιαξε λοιπόν βιαστικά καράβια, μάζεψε πολύ

λαό και άνοιξε πανιά φεύγοντας· γιατί τον είχαν απειλήσει
οι άλλοι γιοί και οι εγγονοί του δυνατού Ηρακλή. Αυτός
λοιπόν ήλθε στη Ρόδο περιπλανημένος και βασανισμένος·
εκεί εγκαταστάθηκαν χωρισμένοι σε τρεις φυλές, και ο Δίας
ο γιος του Κρόνου που βασιλεύει στους θεούς και στους

ανθρώπους τους αγάπησε και τους πλημμύρισε με θαυμαστό πλούτο.
Ο Νιρέας πάλι από τη Σύμη οδηγούσε τρία συμμετρικά καράβια,
ο Νιρέας, ο γιος της Αγλαΐας και του βασιλιά Χαρόπου,
ο Νιρέας, υστέρα από τον αψεγάδιαστο γιο του Πηλέα από όλους
τους Δαναούς που ήρθαν κάτω από το Ίλιο ο πιο όμορφος άντρας'

αλλά δεν είχε πολλή δύναμη, γιατί τον ακολουθούσε λίγος στρατός.
Σ᾽ αυτούς πάλι που είχαν τη Νίσυρο και την Κάρπαθο και την Κάσο
και την Κω, την πόλη του Ευρύπυλου, και τα νησιά τις Καλύδνες,
αρχηγός ήταν ο Φείδιππος και ο Άντικρος,
οι δυο γιοι του βασιλιά Θεσσαλού, του γιου του Ηρακλή.

Μ᾽ αυτούς μαζί ακολουθούσαν τριάντα βαθιά καράβια.
Και τώρα, αυτοί που κατοικούσαν στο Πελασγικό Άργος,
και αυτοί που ζούσαν στην Άλο και στην Αλόπη, και στην Τραχίνα,

οἵ τ᾽ Ἄλον οἵ τ᾽ Ἀλόπην οἵ τε Τρηχῖνα νέμοντο,
οἵ τ᾽ εἶχον Φθίην ἠδ᾽ Ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,

και όσοι είχαν τη Φθία και την Ελλάδα με τις όμορφες γυναίκες
και λέγονταν Μυρμιδόνες και Έλληνες και Αχαιοί,
αυτοί είχαν πενήντα καράβια, και αρχηγός τους ήταν ο Αχιλλέας.

τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.
Ἀλλ᾽ οἵ γ᾽ οὐ πολέμοιο δυσηχέος ἐμνώοντο·
οὐ γὰρ ἔην ὅς τίς σφιν ἐπὶ στίχας ἡγήσαιτο·
κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεὺς
κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο,

Αυτοί όμως δεν είχαν στο νου τους τώρα τον πόλεμο τον καταραμένο·
γιατί δεν είχαν ποιόν να οδηγήση τις γραμμές τους·
γιατί ο γρήγορος στα πόδια θειος Αχιλλέας καθόταν στα καράβια
θυμωμένος για την κόρη, την ομορφομαλλούσα κόρη του Βρισέα, που ύστερα
από βαρύ πόλεμο την είχε διαλέξει από τη Λυρνησσό για τον

τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας
Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης,
κὰδ δὲ Μύνητ᾽ ἔβαλεν καὶ Ἐπίστροφον ἐγχεσιμώρους,
υἱέας Εὐηνοῖο Σελεπιάδαο ἄνακτος·
τῆς ὅ γε κεῖτ᾽ ἀχέων, τάχα δ᾽ ἀνστήσεσθαι ἔμελλεν.

εαυτό του, όταν κυρίεψε τη Λυρνησσό και τα τείχη της Θήβας,
και σκότωσε τον Μύνητα και τον Επίστροφο, τους κονταρομάχους
γιους του βασιλέα του Εύηνου του γιου του Σελήπιου.
Εξ αιτίας της πικραμένος εκείνος καθόταν άπρακτος,
γρήγορα όμως έμελλε να ξεσηκωθή πάλι.

Οἳ δ᾽ εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα
Δήμητρος τέμενος, Ἴωνά τε μητέρα μήλων,
ἀγχίαλόν τ᾽ Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,
τῶν αὖ Πρωτεσίλαος ἀρήϊος ἡγεμόνευε
ζωὸς ἐών· τότε δ᾽ ἤδη ἔχεν κάτα γαῖα μέλαινα.

Εκείνοι που είχαν τη Φυλάκη και την Πύρασο με τα πολλά λουλούδια,
το τέμενος της Δήμητρας, και την Ίτωνα την προβατομάνα
και την παραθαλάσσια Αντρώνα και την Πτελεό με το παχύ χορτάρι,
αυτοί είχαν αρχηγό τον πολεμικό Πρωτεσίλαο, όσο ζούσε·
τώρα όμως πια τον κρατούσε μέσα της η μαύρη γη.

Τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο
καὶ δόμος ἡμιτελής· τὸν δ᾽ ἔκτανε Δάρδανος ἀνὴρ
νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
Οὐδὲ μὲν οὐδ᾽ οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλά σφεας κόσμησε Ποδάρκης ὄζος Ἄρηος

Η γυναίκα του με γδαρμένα τα δυο της μάγουλα από το θρήνο είχε μείνει στη Φυλακή,
και το σπίτι του μισοτελειωμένο. Τον είχε σκοτώσει κάποιος Δάρδανος
τη στιγμή που πηδούσε από το καράβι του πρώτος πρώτος από όλους τους Αχαιούς.
Όμως ούτε αυτοί απόμειναν χωρίς αρχηγό, μ᾽ όλο που ποθούσαν το δικό τους τον αρχηγό᾽
τους παράταξε ο Ποδάρκης, ο ακόλουθος του Άρη,

Ἰφίκλου υἱὸς πολυμήλου Φυλακίδαο
αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου
ὁπλότερος γενεῇ· ὁ δ᾽ ἅμα πρότερος καὶ ἀρείων
ἥρως Πρωτεσίλαος ἀρήϊος· οὐδέ τι λαοὶ
δεύονθ᾽ ἡγεμόνος, πόθεόν γε μὲν ἐσθλὸν ἐόντα·

ο γιος του Ίφικλου, του γιου του Φυλάκου με τα πολλά πρόβατα,
αδελφός από τους ίδιους γονείς του γενναίου Πρωτεσίλαου,
πιο μικρός. Ο γενναίος ήρωας Πρωτεσίλαος ήταν πιο μεγάλος
και πιο αντρειωμένος· ο στρατός βέβαια δεν έμεινε χωρίς αρχηγό,
εκείνον όμως τον αποζητούσαν, γιατί ήταν γενναίος.

τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Οἳ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβῆίδα λίμνην
Βοίβην καὶ Γλαφύρας καὶ ἐϋκτιμένην Ἰαωλκόν,

Μαζί μ᾽ αυτόν ακολουθούσαν σαράντα μαύρα καράβια.
Σ᾽ αυτών που κατοικούσαν στις Φερές κοντά στη Βοιβηίδα λίμνη,
στη Βοίβη και στις Γλαφυρές, και στην καλοχτισμένη Ιωλκό,
σ᾽ αυτών τα έντεκα καράβια αρχηγός ήταν ο γιος του Αδμήτου
ο Εύμηλος, που τον είχε γεννήσει στον Άδμητο η θαυμάσια γυναίκα

τῶν ἦρχ᾽ Ἀδμήτοιο φίλος πάϊς ἔνδεκα νηῶν
Εὔμηλος, τὸν ὑπ᾽ Ἀδμήτῳ τέκε δῖα γυναικῶν

Ἄλκηστις Πελίαο θυγατρῶν εἶδος ἀρίστη.
Οἳ δ᾽ ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,
τῶν δὲ Φιλοκτήτης ἦρχεν τόξων ἐῢ εἰδὼς
ἑπτὰ νεῶν· ἑρέται δ᾽ ἐν ἑκάστῃ πεντήκοντα

ἐμβέβασαν τόξων εὖ εἰδότες ἶφι μάχεσθαι.
Ἀλλ᾽ ὃ μὲν ἐν νήσῳ κεῖτο κρατέρ᾽ ἄλγεα πάσχων
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου·
ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον

Ἀργεῖοι παρὰ νηυσὶ Φιλοκτήταο ἄνακτος.
Οὐδὲ μὲν οὐδ᾽ οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλὰ Μέδων κόσμησεν Ὀϊλῆος νόθος υἱός,
τόν ῥ᾽ ἔτεκεν Ῥήνη ὑπ᾽ Ὀϊλῆϊ πτολιπόρθῳ.
Οἳ δ᾽ εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν,

οἵ τ᾽ ἔχον Οἰχαλίην πόλιν Εὐρύτου Οἰχαλιῆος,
τῶν αὖθ᾽ ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε
ἰητῆρ᾽ ἀγαθὼ Ποδαλείριος ἠδὲ Μαχάων·
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
Οἳ δ᾽ ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν,

οἵ τ᾽ ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
τῶν ἦρχ᾽ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός·
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Οἳ δ᾽ Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
Ὄρθην Ἠλώνην τε πόλιν τ᾽ Ὀλοοσσόνα λευκήν,

τῶν αὖθ᾽ ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης
υἱὸς Πειριθόοιο τὸν ἀθάνατος τέκετο Ζεύς·
τόν ῥ᾽ ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
ἤματι τῷ ὅτε Φῆρας ἐτίσατο λαχνήεντας,
τοὺς δ᾽ ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσεν·

οὐκ οἷος, ἅμα τῷ γε Λεοντεὺς ὄζος Ἄρηος
υἱὸς ὑπερθύμοιο Κορώνου Καινεΐδαο·
τοῖς δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.

η Άλκηστη, η πιο όμορφη από τις κόρες του Πελία.
Σ᾽ αυτούς που κατοικούσαν στη Μηθώνη και στη Θαυμακία
και είχαν τη Μελίβοια και την τραχειά Ολιζώνα,
σ᾽ αυτών τα επτά καράβια αρχηγός ήταν ο Φιλοκτήτης,
ικανός τοξομάχος. Σε κάθε καράβι είχαν μπη πενήντα κωπηλάτες,

ξέροντας καλά να πολεμούν με τόξα. Εκείνος όμως κοιτόταν στο νησί
τραβώντας βάσανα μεγάλα, στην άγια Λήμνο,
όπου τον είχαν αφήσει οι γιοι των Αχαιών να βασανίζεται
από την κακιά πληγή που του είχε ανοίξει το άγριο φίδι·
εκεί κοιτόταν εκείνος πικραμένος· είχε όμως σιμώσει

η ώρα που οι Αργείοι θα θυμόντουσαν κοντά στα πλοία το βασιλιά
Φιλοκτήτη. Ωστόσο ούτε αυτοί ήταν χωρίς αρχηγό, μ᾽ όλο που ποθούσαν
το δικό τους αρχηγό᾽ τους παράταζε ο Μέδοντας, ο νόθος γιος του Οϊλέα,
που τον είχε γεννήσει η Ρήνη στον Οϊλέα τον καστροπολεμίτη.
Εκείνοι που είχαν την Τρίκκη και την ψηλή Ιθώμη

και αυτοί που είχαν την Οιχαλία, την πόλη του Εύρυτου άπο
την Οιχαλία, αυτοί είχαν αρχηγό τους δυο γιους του Ασκληπιού,
γιατρούς ικανούς, τον Ποδαλείριο και τον Μαχάονα
Μ᾽ αυτούς μαζί πήγαιναν τριάντα βαθιά καράβια.
Αυτοί που είχαν το Ορμένιο και την Υπέρεια κρήνη,

και αυτοί που είχαν το Αστέριο και τις λευκές κορυφές του Τιτάνου,
αυτοί είχαν αρχηγό τον Ευρύπυλο, τον ένδοξο γιο του Ευαίμονα᾽
και μαζί μ᾽ αυτόν ακολουθούσαν σαράντα μαύρα καράβια.
Αυτοί που είχαν την Άργισσα και αυτοί που κατοικούσαν στη Γυρτώνη,
στην Όρθη και στην Ηλώνη και στην Ολουσσόνα, την άσπρη πολιτεία,

αυτοί είχαν αρχηγό τον ατρόμητο Πολυποίτη, το γιο του Πειρίθου,
που τον είχε γεννήσει ο αθάνατος Δίας. Αυτόν τον είχε γεννήσει στον
Πειρίθου η ξακουστή Ιπποδάμεια την ημέρα που εκείνος
τιμώρησε τα μαλλιαρά θηρία, που τα έδιωξε από το
Πήλιο και τα έκανε να καταφύγουν στους Αίθικες.

Δεν ήταν ο μόνος αρχηγός᾽ μαζί του ήταν ο Λεοντέας,
ο ακόλουθος του Άρη, ο γιος του γενναίου Κόρωνα, του γιου του Καινέα.
Μαζί μ᾽ αυτόν ακολουθούσαν σαράντα μαύρα καράβια.
Ο Γουνέας από την Κύφο οδηγούσε εικοσιδύο πλοία'

Γουνεὺς δ᾽ ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας·
τῷ δ᾽ Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί

τον ακολουθούσαν οι Ενιάνες και οι ατρόμητοι Περαιβοί.

οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί᾽ ἔθεντο,
οἵ τ᾽ ἀμφ᾽ ἱμερτὸν Τιταρησσὸν ἔργα νέμοντο
ὅς ῥ᾽ ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ,
οὐδ᾽ ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,
ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ᾽ ἔλαιον·

αυτοί που είχαν χτίσει τα σπίτια τους γύρω από την κακοχείμωνη Δωδώνη,
και αυτοί που δούλευαν τη γη γύρω από τον όμορφο Τιταρησσό,
που χύνει τα όμορφα νερά του στον Πηνειό, δεν ανακατώνεται
όμως με τον Πηνειό με τις ασημένιες δίνες'
τα νερά του κυλούν από πάνω, σα λάδι, γιατί είναι παρακλάδι

ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.
Μαγνήτων δ᾽ ἦρχε Πρόθοος Τενθρηδόνος υἱός,
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον
ναίεσκον· τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε,
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.

από τα νερά της Στύγας, που είναι όρκος φοβερός.
Στους Μάγνητες αρχηγός ήταν ο Πρόθοος, ο γιος του Τενθρηδόνα,
σ᾽ αυτούς που κατοικούσαν γύρω στον Πηνειό και το πυκνόφυλλο Πήλιο.
Αυτούς τους οδηγούσε ο γρήγορος Πρόθοος
και μαζί μ᾽ αυτούς ακολουθούσαν σαράντα μαύρα καράβια.

Οὗτοι ἄρ᾽ ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·
τίς τὰρ τῶν ὄχ᾽ ἄριστος ἔην σύ μοι ἔννεπε Μοῦσα
αὐτῶν ἠδ᾽ ἵππων, οἳ ἅμ᾽ Ἀτρεΐδῃσιν ἕποντο.
Ἵπποι μὲν μέγ᾽ ἄρισται ἔσαν Φηρητιάδαο,
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὡς

Αυτοί ήταν οι αρχηγοί και οι κυβερνήτες των Δαναών. Ποιος από αυτούς
ήταν ο καλύτερος, αυτό πες μου το εσύ τώρα Μούσα, και από αυτούς τους ίδιους
και από τα άλογα τους, απ᾽ όσους ήλθαν μαζί με τους Ατρείδες.
Τα καλύτερα άλογα ήταν του γιου του Φέρη,
αυτά που οδηγούσε ο Εύμηλος, γρήγορα σαν πουλιά, με μονόχρωμο

ὄτριχας οἰέτεας σταφύλῃ| ἐπὶ νῶτον ἐΐσας·
τὰς ἐν Πηρείῃ θρέψ᾽ ἀργυρότοξος Ἀπόλλων
ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
Ἀνδρῶν αὖ μέγ᾽ ἄριστος ἔην Τελαμώνιος Αἴας
ὄφρ᾽ Ἀχιλεὺς μήνιεν· ὃ γὰρ πολὺ φέρτατος ἦεν,

τρίχωμα, συνομήλικα με ράχες ίσιες, αν τις μετρούσες με τη στάθμη.
Τα είχε μεγαλώσει στην Πηρεία ο αργυρότοξος Απόλλωνας,
θηλυκά και τα δυο, που έτρεπαν όλους σε φυγή.
Από τους άντρες ο καλύτερος ήταν ο Αίας, ο γιος του Τελαμώνα,
όσον καιρό βαστούσε ο θυμός του Αχιλλέα᾽ γιατί εκείνος ήταν πολύ πιο ανώτερος,

ἵπποι θ᾽ οἳ φορέεσκον ἀμύμονα Πηλεΐωνα.
Ἀλλ᾽ ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι
κεῖτ᾽ ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν
Ἀτρεΐδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες

όπως και τα άλογα, που έσερναν τον αψεγάδιαστο γιο του Πηλέα.
Εκείνος όμως κοίτονταν στα ποντοπόρα στρογγυλομύτικα καράβια,
γιατί ήταν θυμωμένος με το γιο του Ατρέα,
τον κυβερνήτη του στρατού Αγαμέμνονα. Οι στρατιώτες
του στην ακροθαλασσιά περνούσαν την ώρα τους ρίχνοντας

τόξοισίν θ᾽· ἵπποι δὲ παρ᾽ ἅρμασιν οἷσιν ἕκαστος
λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε σέλινον
ἕστασαν· ἅρματα δ᾽ εὖ πεπυκασμένα κεῖτο ἀνάκτων
ἐν κλισίῃς· οἳ δ᾽ ἀρχὸν ἀρῃΐφιλον ποθέοντες
φοίτων ἔνθα καὶ ἔνθα κατὰ στρατὸν οὐδὲ μάχοντο.

δίσκους και κοντάρια και τόξα· τα άλογα τους, καθένα κοντά
στο άρμα του, στεκόταν τρώγοντας λωτό και βαλτοθρεμμένο σέλινο.
Τα άρματα τα καλοσκεπασμένα των αρχηγών βρίσκονταν στις σκηνές·
κι᾽ εκείνοι λαχταρώντας τον φιλοπόλεμο αρχηγό τους τριγύριζαν
εδώ κι᾽ εκεί μέσα στο στρατόπεδο και δεν πολεμούσαν.

Οἳ δ᾽ ἄρ᾽ ἴσαν ὡς εἴ τε πυρὶ χθὼν πᾶσα

Οι άλλοι προχωρούσαν, και ήταν σαν να είχε πιάσει φωτιά η γη ολόκληρη᾽

νέμοιτο·
γαῖα δ᾽ ὑπεστενάχιζε Διὶ ὣς τερπικεραύνῳ
χωομένῳ ὅτε τ᾽ ἀμφὶ Τυφωέϊ γαῖαν ἱμάσσῃ
εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς·
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στεναχίζετο
γαῖα

ἐρχομένων· μάλα δ᾽ ὦκα διέπρησσον
πεδίοιο.
Τρωσὶν δ᾽ ἄγγελος ἦλθε ποδήνεμος ὠκέα
Ἶρις
πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ·
οἳ δ᾽ ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσι
πάντες ὁμηγερέες ἠμὲν νέοι ἠδὲ γέροντες·

ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα
Ἶρις·
εἴσατο δὲ φθογγὴν υἱῖ Πριάμοιο Πολίτῃ,
ὃς Τρώων σκοπὸς ἷζε ποδωκείῃσι πεποιθὼς
τύμβῳ ἐπ᾽ ἀκροτάτῳ Αἰσυήταο γέροντος,
δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν
Ἀχαιοί·

τῷ μιν ἐείσαμένη προσέφη πόδας ὠκέα Ἶρις·
ὦ γέρον αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαστος
ὄρωρεν.
Ἤδη μὲν μάλα πολλὰ μάχας εἰσήλυθον
ἀνδρῶν,
ἀλλ᾽ οὔ πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·

λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ σοὶ δὲ μάλιστ᾽ ἐπιτέλλομαι, ὧδε δὲ
ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου
ἐπίκουροι,
ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων
ἀνθρώπων·

τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἵσί περ
ἄρχει,
τῶν δ᾽ ἐξηγείσθω κοσμησάμενος πολιήτας.
Ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι θεᾶς ἔπος
ἠγνοίησεν,
αἶψα δ᾽ ἔλυσ᾽ ἀγορήν· ἐπὶ τεύχεα δ᾽
ἐσσεύοντο·
πᾶσαι δ᾽ ὠΐγνυντο πύλαι, ἐκ δ᾽ ἔσσυτο λαὸς

πεζοί θ᾽ ἱππῆές τε· πολὺς δ᾽ ὀρυμαγδὸς
ὀρώρει.
Ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα

και η γη από κάτω βογγούσε, όπως όταν θυμώνη ο κεραυνόχαρος ο Δίας,
όταν χτυπά με τον κεραυνό του τη γη γύρω στον Τυφωέα, στους Αρίμους,
όπου, όπως λένε, είναι ο τόπος πού είναι ξαπλωμένος ο Τυφωέας'
έτσι κάτω και από τα δικά τους πόδια, καθώς προχωρούσαν,

βογγούσε βαριά η γη, και πολύ γρήγορα περνούσαν την πεδιάδα.
Στους Τρώες ήλθε ωστόσο αγγελιοφόρος με τη δυσάρεστη
είδηση η ανεμοπόδαρη γρήγορη Ίριδα, σταλμένη από το
Δία που κρατά την αιγίδα. Εκείνοι είχαν συνέλευση και
μιλούσαν μπροστά στις πόρτες του Πριάμου, όλοι μαζεμένοι,

και οι νέοι και οι γέροι᾽ και η γρήγορη Ίριδα πήγε και στάθηκε
κοντά και τους είπε᾽ είχε πάρει τη φωνή του Πολίτη, του
γιου του Πριάμου, που είχε καθίσει σκοπός των Τρωών,
έχοντας πεποίθηση στα γρήγορα πόδια του, στην κορυφή του
Τύμβου του γέροντα Αισυήτη, φυλάγοντας πότε θα ξεκινούσαν

από τα καράβια τους οι Αχαιοί. Μ᾽ αυτόν μοιάζοντας
μίλησε η γρήγορη στα πόδια Ίριδα: «Γέροντα, πάντα σου·
αρέσουν τα λόγια τα ατελείωτα, όπως τότε που είχαμε
ειρήνη᾽ τώρα όμως έχει σηκωθή ατελείωτος πόλεμος. Πήρα
μέρος σε πολλές μάχες ως τώρα, ποτέ όμως ως τώρα δεν

έχω δει τέτοιο και τόσο στρατό᾽ γιατί μοιάζουν απαράλλαχτα με φύλλα
και με την άμμο, καθώς προχωρούν στον κάμπο προς την πόλη μας,
για να πολεμήσουν. Έκτορα, σε σένα πιο πολύ παραγγέλνω, έτσι να
κάμης:
Στη μεγάλη πολιτεία του Πριάμου βρίσκονται πολλοί σύμμαχοι,
και κάθε φυλή άπο τις πολλές των ανθρώπων έχει και τη δική της γλώσσα.

Γι᾽ αυτό κάθε αρχηγός ας προστάζη αυτούς που κυβερνά'
ας μπη μπροστά, αφού πρώτα παρατάξη τους δικούς του».
Έτσι μίλησε, και ο Έκτορας δεν παράκουσε το λόγο της θεάς,
μόνο έλυσε γρήγορα τη συνέλευση και τρέξαν στα όπλα τους.
Άνοιξαν όλες οι πύλες της πολιτείας, και ο στρατός χύθηκε έξω,

και οι πεζοί και οι αρματομάχοι·
κι᾽ ήταν μεγάλη η ταραχή που σηκώθηκε.
Μπροστά από την πόλη είναι κάποιος υψηλός λόφος, στον κάμπο,

κολώνη
ἐν πεδίῳ ἀπάνευθε περίδρομος ἔνθα καὶ ἔνθα,
τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης·

πέρα μακριά, που μπορεί κανείς να τον τρέξη γύρω γύρω᾽ οι άνθρωποι
τον λεν Βατίεια, οι αθάνατοι πάλι τάφο της γρήγορης Μύρινας.

ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ᾽ ἐπίκουροι.
Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ
Πριαμίδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
λαοὶ θωρήσσοντο μεμαότες ἐγχείῃσι.
Δαρδανίων αὖτ᾽ ἦρχεν ἐῢς πάϊς Ἀγχίσαο

Εκεί τότε συντάχτηκαν οι Τρώες και οι σύμμαχοι.
Στους Τρώες αρχηγός ήταν ο μεγαλόσωμος Έκτορας με τη λαμπερή περικεφαλαία,
ο γιος του Πριάμου᾽ μαζί μ᾽ αυτόν οπλίζονταν οι πιο πολυάριθμοι
και καλύτεροι στρατιώτες, λαχταρώντας να κονταροχτυπηθούν.
Στους Δαρδάνιους πάλι αρχηγός ήταν ο όμορφος γιος του Αγχίση,

Αἰνείας, τὸν ὑπ᾽ Ἀγχίσῃ τέκε δῖ᾽ Ἀφροδίτη
Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα,
οὐκ οἷος, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε
Ἀρχέλοχός τ᾽ Ἀκάμας τε μάχης εὖ εἰδότε πάσης.
Οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης

ο Αινείας, που τον είχε γεννήσει στον Αγχίση η θεία Αφροδίτη,
πλαγιάζοντας, θεά αύτη με θνητό, στα φαράγγια της Ίδας,
όχι μοναχός του᾽ μαζί του ήταν οι δυο γιοι του Αντήνορα,
ο Αρχέλοχος και ο Ακάμας, που ήξεραν καλά κάθε λογής πολεμική τέχνη.
Οι Τρώες πάλι που κατοικούσαν στη Ζέλεια, κάτω άπο

ἀφνειοὶ πίνοντες ὕδωρ μέλαν Αἰσήποιο
Τρῶες, τῶν αὖτ᾽ ἦρχε Λυκάονος ἀγλαὸς υἱὸς
Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.
Οἳ δ᾽ Ἀδρήστειάν τ᾽ εἶχον καὶ δῆμον Ἀπαισοῦ
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,

την τελευταία υπώρεια της Ίδας, πλούσιοι, που έπιναν το σκοτεινό
νερό του Αίσηπου, αυτοί είχαν αρχηγό το λαμπρό γιο του Λυκάονα,
τον Πάνδαρο, που, το τόξο του του το είχε χαρίσει ο ίδιος ο Απόλλωνας.
Σ᾽ αυτούς που είχαν την Αδράστεια και τη χώρα της
Απαισού και είχαν την Πιτύεια και το ψηλό βουνό της Τήρειας

τῶν ἦρχ᾽ Ἄδρηστός τε καὶ Ἄμφιος λινοθώρηξ
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
ᾔδεε μαντοσύνας, οὐδὲ οὗς παῖδας ἔασκε
στείχειν ἐς πόλεμον φθισήνορα· τὼ δέ οἱ οὔ τι
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

αρχηγός ήταν ο Άδραστος και ο Άμφιος που φορούσε λινό θώρακα,
οι δυο γιοι του Μέρρπα άπο την Περκώτη, που ήξερε πιο καλά
απ᾽ όλους τους ανθρώπους να μαντεύη, και δεν ήθελε ν᾽ αφήση
τους γιους του να πανε στον ανθρωποφάγο πόλεμο᾽ εκείνοι όμως
δεν τον άκουσαν γιατί τους έσπρωχναν οι μοίρες του μαύρου θανάτου.

Οἳ δ᾽ ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο
καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην,
τῶν αὖθ᾽ Ὑρτακίδης ἦρχ᾽ Ἄσιος ὄρχαμος ἀνδρῶν,
Ἄσιος Ὑρτακίδης ὃν Ἀρίσβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι ποταμοῦ ἄπο Σελλήεντος.

Σ᾽ αυτούς που ζούσαν στην Περκώτη και στο Πράκτιο και είχαν
τη Σηστό και την Άβυδο και την ιερή Αρίσβη, σ᾽ αυτούς αρχηγός
ήταν ο Άσιος ο γιος του Υρτάκου, αρχηγός των πολεμιστών,
ο Άσιος, ο γιος του Υρτάκου, που τα μεγάλα ορμητικά άλογά του
τον είχαν φέρει από την Αρίσβη, από τον ποταμό Σελλήεντα.

Ἱππόθοος δ᾽ ἄγε φῦλα Πελασγῶν ἐγχεσιμώρων
τῶν οἳ Λάρισαν ἐριβώλακα ναιετάασκον·
τῶν ἦρχ᾽ Ἱππόθοός τε Πύλαιός τ᾽ ὄζος Ἄρηος,
υἷε δύω Λήθοιο Πελασγοῦ Τευταμίδαο.

Ο Ιππόθοος πάλι οδηγούσε τα έθνη των κονταρομάχων Πελασγών,
αυτών που κατοικούσαν στην εύφορη Λάρισα. Σ᾽ αυτούς αρχηγοί
ήταν ο Ιππόθοος και ο Πυλαίος, ο ακόλουθος του Άρη,
κι᾽ οι δυο γιοι του Πελασγού Λήθου, του γιου του Τευτάμου.
Τους Θράκες πάλι τους οδηγούσε ο Ακάμας και ο ήρωας Πείροος,

Αὐτὰρ Θρήϊκας ἦγ᾽ Ἀκάμας καὶ Πείροος ἥρως

ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει
Εὔφημος δ᾽ ἀρχὸς Κικόνων ἦν αἰχμητάων
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.
Αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους
τηλόθεν ἐξ Ἀμυδῶνος ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντος,

όσους κλείνει μέσα ο Ελλήσποντος με τα ορμητικά ρεύματα.
Ο Εύφημος ήταν αρχηγός στους κονταρομάχους Κίκονες,
ο γιος του διόθρεφτου Κεάδη από την Τροιζήνα.
Ο Πυραίχμης πάλι οδηγούσε τους Παίονες με τα κυρτά τόξα,
μακριά από την Αμυδώνα, από τον πλατύ Αξιό, τον Αξιό που τα νερά του

Ἀξιοῦ οὖ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.
Παφλαγόνων δ᾽ ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
οἵ ῥα Κύτωρον ἔχον καὶ Σήσαμον ἀμφενέμοντο
ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματ᾽ ἔναιον

είναι τα πιο όμορφα που τρέχουν απλώνοντας πάνω στη γη.
Στους Παφλαγόνες αρχηγός ήταν ο Πυλαιμένης με την αντρίκια καρδιά,
από τη χώρα των Ενετών, από όπου είναι το σόϊ των άγριων μουλαριών,
σ᾽ αυτούς που είχαν το Κύτωρο και κατοικούσαν στο Σήσαμο και σ᾽ αυτούς
που είχαν τα περίφημα σπίτια τους στις όχθες του Παρθενίου ποταμού και

Κρῶμνάν τ᾽ Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.
Αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον
τηλόθεν ἐξ Ἁλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.
Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής·
ἀλλ᾽ οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,

στην Κρώμνη και στον Αιγιαλό και στους ψηλούς Ερύθινους.
Στους Αλιζώνες πάλι αρχηγός ήταν ο ίδιος και ο Επίστροφος,
μακριά από την Αλύβη, όπου είναι ο τόπος που βγαίνει το ασήμι.
Στους Μυσούς αρχηγός είναι ο Χρόμης και ο Έννομος ο ορνιθομάντης,
με την μαντεία όμως δε γλίτωσε το μαύρο θάνατο,

ἀλλ᾽ ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράϊζε καὶ ἄλλους.
Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς
τῆλ᾽ ἐξ Ἀσκανίης· μέμασαν δ᾽ ὑσμῖνι μάχεσθαι.
Μῆοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην

παρά σκοτώθηκε από το χέρι του γρήγορου εγγονού του Αιακού
κοντά στον ποταμό, όπου έσφαξε και άλλους Τρώες.
Ο Φόρκυς οδηγούσε τους Φρύγες και ο θεόμορφος Ασκάνιος
μακριά από την Ασκανία᾽ και λαχταρούσαν να χτυπηθούν στη μάχη.
Στους Μαίονες αρχηγός ήταν ο Μέσθλης και ο Άντιφος,

υἱε Ταλαιμένεος τὼ Γυγαίη τέκε λίμνη,
οἳ καὶ Μῆονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.
Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,
οἳ Μίλητον ἔχον Φθιρῶν τ᾽ ὄρος ἀκριτόφυλλον
Μαιάνδρου τε ῥοὰς Μυκάλης τ᾽ αἰπεινὰ κάρηνα·

οι γιοι του Ταλαιμένη, που τους είχε γεννήσει η Γυγαία λίμνη'
αυτοί οδηγούσαν τους Μαίονες πού είχαν γεννηθή κάτω από τον Τμώλο.
Ο Νάστης ήταν αρχηγός στους Κάρες τους βαρβαρόφωνους,
που είχαν τη Μίλητο και το όρος των Φθιρών με τα αναρίθμητα φύλλα
και τα νερά του Μαιάνδρου και τις ψηλές κορφές της Μυκάλης

τῶν μὲν ἄρ᾽ Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην,
Νάστης Ἀμφίμαχός τε Νομίονος ἀγλαὰ τέκνα,
ὃς καὶ χρυσὸν ἔχων πόλεμον δ᾽ ἴεν ἠΰτε κούρη
νήπιος, οὐδέ τί οἱ τό γ᾽ ἐπήρκεσε λυγρὸν

σ᾽ αυτούς αρχηγοί ήταν ο Αμφίμαχος και ο Νάστης, ο Νάστης και ο Αμφίμαχος
οι λαμπροί γιοι του Νομίονα. Ο Νάστης πήγαινε στον πόλεμο στολισμένος
με χρυσαφικά σαν κοπέλα, ο ανόητος, κι᾽ ούτε που τον εγλίτωσε αυτό
από το σκληρό χαμό, παρά σκοτώθηκε από το χέρι του γρήγορου στα πόδια εγγονού

	ὄλεθρον, ἀλλ᾽ ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο	του Αιακού, στον ποταμό, και το χρυσάφι το πήρε ο γενναίος Αχιλλέας.
875	ἐν ποταμῷ, χρυσὸν δ᾽ Ἀχιλεὺς ἐκόμισσε δαΐφρων. Σαρπηδὼν δ᾽ ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων τηλόθεν ἐκ Λυκίης, Ξάνθου ἄπο δινήεντος.	Των Λυκίων αρχηγός ήταν ο Σαρπηδόνας και ο αψεγάδιαστος Γλαύκος, μακριά από τη Λυκία, από τον Ξάνθο με τις πολλές δίνες.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Γ-

-Γ- Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι,
Τρῶες μὲν κλαγγῇ τ᾽ ἐνοπῇ τ᾽ ἴσαν ὄρνιθες ὡς
ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό·
αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον
ὄμβρον

ὠὋ κλαγγῇ ταί γε πέτονται ἐπ᾽ ὠκεανοῖο ῥοάων
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ᾽ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται.
Οἳ δ᾽ ἄρ᾽ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοὶ
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.

Εὖτ᾽ ὄρεος κορυφῇσι Νότος κατέχευεν ὀμίχλην
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,
τόσσόν τίς τ᾽ ἐπιλεύσσει ὅσον τ᾽ ἐπὶ λᾶαν ἵησιν·
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὄρνυτ᾽ ἀελλὴς
ἐρχομένων· μάλα δ᾽ ὦκα διέπρησσον πεδίοιο.

Οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδὴς
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα
καὶ ξίφος· αὐτὰρ δοῦρε δύω κεκορυθμένα χαλκῷ
πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους

ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δῃϊοτῆτι.
Τὸν δ᾽ ὡς οὖν ἐνόησεν ἀρηΐφιλος Μενέλαος
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβάντα,
ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα

πεινάων· μάλα γάρ τε κατεσθίει, εἴ περ ἂν αὐτὸν
σεύωνται ταχέες τε κύνες θαλεροί τ᾽ αἰζηοί·
ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοειδέα
ὀφθαλμοῖσιν ἰδών· φάτο γὰρ τίσεσθαι ἀλείτην·
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.

Τὸν δ᾽ ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοειδὴς
ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ,
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Ὡς δ᾽ ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα,

ἂψ δ᾽ ἀνεχώρησεν, ὠχρός τέ μιν εἶλε παρειάς,
ὡς αὖτις καθ᾽ ὅμιλον ἔδυ Τρώων ἀγερώχων
δείσας Ἀτρέος υἱὸν Ἀλέξανδρος θεοειδής.
Τὸν δ᾽ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσιν·
Δύσπαρι εἶδος ἄριστε γυναιμανὲς ἠπεροπευτὰ

Κι ως ορδινιάστηκαν, καθένας τους στους αρχηγούς τρογύρα,
οι Τρώες στρηνιάζοντας, φωνάζοντας σαν τα πουλιά κινούσαν,
ως γερανοί, που με στρηνιάσματα στον ουρανό πετούνε
τη βαρυχειμωνιά ξεφεύγοντας και τις βαριές τις μπόρες·
και παν πετώντας με στρηνιάσματα στου Ωκεανού το ρέμα,
να φέρουν στους Πυγμαίους το θάνατο και την κακιά την ώρα,
και τους κινούν ανήλεο πόλεμο, μόλις προβάλει η μέρα.
Κι οι Αργίτες απ᾽ την άλλη αμίλητοι, γεμάτοι ορμή κινούσαν
κι ο ένας του αλλού να παραστέκεται βαθιά στο νου τους είχαν.

Πώς η νοτιά ψηλά στο ακρόβουνο ξεχύνει αντάρα ξάφνου,
κακιά για τους βοσκούς, μα πιο καλή στους κλέφτες κι απ᾽ τη νύχτα,
κι ως ένα λιθοπέτι βλέπουνε τα μάτια σου μονάχα'
όμοια πυκνός κάτω απ᾽ τα πόδια τους κι ο κουρνιαχτός πετιόταν,
ως όδευαν, και δίχως άργητα δρασκέλιζαν τον κάμπο.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
πρώτος στους Τρώες μπροστά ο θεόμορφος Αλέξαντρος τραβούσε,
προβιά από λιόπαρδή᾽ στους ώμους του φορώντας και δοξάρια
και το σπαθί᾽ και δυο χαλκόμυτα στα χέρια του κουνώντας
κοντάρια αντροκαλιόταν κράζοντας τους αντρειωμένους όλους

απ᾽ τους Αργίτες, σε άγριο πάλεμα να κονταροκρουστούνε.
Ως τον νογήθη ο πολεμόχαρος Μενέλαος να προβαίνει
μπροστά μπροστά από τους συντρόφους του με δρασκελιές
μεγάλες,
το χάρηκε, σα λιόντας που 'πεσε πα σε τρανό θρασίμι,
κάπου αν αγρίμι μακροκέρατο πετύχει για κι ελάφι
πεινώντας᾽ λιμασμένος ρίχνεται και τρώει, κι ουδέ τον νιάζει
σκυλιά αν τον κυνηγούν γοργόποδα κι αγριμολόοι λεβέντες'
παρόμοια κι ο Μενέλαος χάρηκε θωρώντας τον πανώριο
τον Πάρη ομπρός του, τι λογάριαζε, θα γδικιωθεί τον κλέφτη.
Κι ευτύς πετιέται από τ᾽ αμάξι του συνάρματος στο χώμα.

Μα ως τον νογήθηκε ο θεόμορφος Αλέξαντρος να βγαίνει
μεσ᾽ απ᾽ τους πρόμαχους, τα σάστισε και κόπηκε η χολή του,
και πίσω εχώθη στους συντρόφους του, του Χάρου να ξεφύγει.
Πώς φίδι ξάφνου ομπρός του βλέποντας κανείς πισωτραβιέται
σε ποροφάραγγο, και σύγκορμο τον έπιασε τρομάρα,
κι αναγυρίζει, κι έχει μάγουλα χλωμοπερεχυμένα᾽
όμοια κι αυτός στων Τρωών των πέρφανων το πλήθος μέσα εχώθη'
τόσο το γιο του Ατρέα ο θεόμορφος Αλέξαντρος φοβήθη.
Κι ο Έχτορας, ως τον είδε, με άσκημα τον αποπήρε λόγια:
« Πάρη, Κακόπαρη, πανέμορφε και γυναικά και πλάνε,

αἴθ᾽ ὄφελες ἄγονός τ᾽ ἔμεναι ἄγαμός τ᾽ ἀπολέσθαι·
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν
ἢ οὕτω λώβην τ᾽ ἔμεναι καὶ ὑπόψιον ἄλλων.
Ἦ που καγχαλόωσι κάρη κομόωντες Ἀχαιοὶ
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν

εἶδος ἔπ᾽, ἀλλ᾽ οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή.
Ἦ τοιόσδε ἐὼν ἐν ποντοπόροισι νέεσσι
πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ᾽ εὐειδέ᾽ ἀνῆγες
ἐξ ἀπίης γαίης νυὸν ἀνδρῶν αἰχμητάων

πατρί τε σῷ μέγα πῆμα πόληΐ τε παντί τε δήμῳ,
δυσμενέσιν μὲν χάρμα, κατηφείην δὲ σοὶ αὐτῷ;
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;
γνοίης χ᾽ οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν·
οὐκ ἄν τοι χραίσμῃ κίθαρις τά τε δῶρ᾽ Ἀφροδίτης

ἥ τε κόμη τό τε εἶδος ὅτ᾽ ἐν κονίῃσι μιγείης.
Ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ᾽ ὅσσα ἔοργας.
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ ἐπεί με κατ᾽ αἶσαν ἐνείκεσας οὐδ᾽ ὑπὲρ
αἶσαν·

αἰεί τοι κραδίη πέλεκυς ὣς ἐστιν ἀτειρὴς
ὅς τ᾽ εἶσιν διὰ δουρὸς ὑπ᾽ ἀνέρος ὅς ῥά τε τέχνῃ
νήϊον ἐκτάμνῃσιν, ὀφέλλει δ᾽ ἀνδρὸς ἐρωήν·
ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί·
μή μοι δῶρ᾽ ἐρατὰ πρόφερε χρυσέης Ἀφροδίτης·

οὔ τοι ἀπόβλητ᾽ ἐστὶ θεῶν ἐρικυδέα δῶρα
ὅσσά κεν αὐτοὶ δῶσιν, ἑκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο·
νῦν αὖτ᾽ εἴ μ᾽ ἐθέλεις πολεμίζειν ἠδὲ μάχεσθαι,
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὰρ ἔμ᾽ ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον

συμβάλετ᾽ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι·
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
κτήματ᾽ ἐλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέσθω·
οἳ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέσθων

Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαΐδα καλλιγύναικα.
Ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτ᾽ ἐχάρη μέγα μῦθον ἀκούσας,
καί ῥ᾽ ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας
μέσσου δουρὸς ἑλών· τοὶ δ᾽ ἱδρύνθησαν ἅπαντες.
Τῷ δ᾽ ἐπετοξάζοντο κάρη κομόωντες Ἀχαιοὶ

να μη γεννιόσουν λέει για ανύπαντρος πιο πρώτα να χανόσουν!
Αχ πώς θα το 'θελα! Καλύτερα χίλιες φορές αλήθεια,
παρά του κόσμου που κατάντησες ντροπή και καταφρόνια.
Στα γέλια πώς οι μακρομάλληδες θα σκούνε τώρα Αργίτες,
που μπροστομάχο σε λογάριαζαν τρανό, τι αλήθεια κι έχεις
όμορφη είδη, μα μήτε δύναμη μήτε καρδιά καθόλου.
Και τέτοιος που 'σουν πώς εμάζευες συντρόφους μπιστεμένους,
και μες στα πλοία τα πελαγόδρομα το πέλαο πώς εδιάβης;
Πώς έσμιξες με ξένους κι έκλεψες την όμορφη γυναίκα
πέρα μακριά, που συμπεθέριαζε με καστροπολεμίτες—

μεγάλη συφορά στον κύρη σου, στην Τροία και στο λαό της,
τρανή αναγάλλια στους αντίμαχους, ντροπή στον ίδιο εσένα;
Δε σου βαστάει τον πολεμόχαρο Μενέλαο ν᾽ αντικρίσεις;
Θα 'βλεπες τότε τίνος νιόκαλη κρατάς εσύ γυναίκα!
Ποιο θα 'χεις διάφορο απ᾽ τη λύρα σου κι από της Αφροδίτης
τα δώρα—πρόσωπο, σγουρομάλλα—σαν κυλιστείς στη σκόνη;
Πολύ κι οι Τρώες μαθές δειλόκαρδοι, τι αλλιώς θα σου 'χαν κιόλας
φορέσει πέτρινο πουκάμισο για όσο κακό έχεις κάνει.»
Και τότε ο θεόμορφος Αλέξαντρος απηλογιά του δίνει:
«Έχτορα, αλήθεια δίκια τα 'βαλες, όχι άδικα μαζί μου'

πάντα η καρδιά σου εσένα αλύγιστη, σαν πελεκάς που σκίζει
το ξύλο ως κάτω και τη δύναμη του ξυλοκόπου αύξαίνει,
ως πελεκάει με τέχνη, θέλοντας καράβι να σκαρώσει.
Όμοια καρδιά και συ ανελέημονη βαθιά κρατάς στα στήθη.
Της Αφροδίτης της πανέμορφης μη μου χτυπάς τα δώρα'
τι ό,τι ακριβό οι θεοί μας χάρισαν του πεταμού δεν είναι,
ατοί τους σαν το δίνουν μόνος του κανένας δεν το παίρνει.
Μα τώρα αν θες να μπω στον πόλεμο και στις χτυπιές της μάχης,
τους άλλους Τρώες να κάτσουν πρόσταξε και τους Αργίτες όλους,
και βάλτε εμένα και τον άτρομο Μενέλαο μοναχούς μας

για την Ελένη να παλέψουμε κι όλο το βιος στη μέση᾽
κι όποιος μας δείξει δυνατότερος στο τέλος και νικήσει,
ας πάρει φεύγοντας αλάκερο το βιος και τη γυναίκα.
Κι οι άλλοι μαθές αγάπη κάνοντας και μπιστεμένους όρκους
ζήστε στην πλούσια Τροία, κι ας γύρουνε στο αλογοθρόφο το Άργος
εκείνον και στην άλλη χώρα τους την ωριογυναικούσα.»
Έτσι είπε, κι ο Έχτορας εχάρηκε τα λόγια αυτά ν᾽ ακούσει,
και τρέχοντας των Τρωών αντίσκοφτε τις φάλαγγες, κρατώντας
από τη μέση το κοντάρι του, κι αυτοί εσταθηκαν όλοι.
Οι Αργίτες πάλε οι μακρομάλληδες επήραν να του ρίχνουν

ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ᾽ ἔβαλλον·
αὐτὰρ ὃ μακρὸν ἄϋσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἴσχεσθ᾽ Ἀργεῖοι, μὴ βάλλετε κοῦροι Ἀχαιῶν·
στεῦται γάρ τι ἔπος ἐρέειν κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφαθ᾽, οἳ δ᾽ ἔσχοντο μάχης ἄνεῳ τ᾽ ἐγένοντο

ἐσσυμένως· Ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροισιν ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
Ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
τεύχεα κάλ᾽ ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,

αὐτὸν δ᾽ ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον
οἵους ἀμφ᾽ Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
Ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέσθω·
οἳ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν.

Ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Μενέλαος·
κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν, φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπασθε

εἵνεκ᾽ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἀρχῆς·
ἡμέων δ᾽ ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται
τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
Οἴσετε ἄρν᾽, ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
Γῇ τε καὶ Ἠελίῳ· Διὶ δ᾽ ἡμεῖς οἴσομεν ἄλλον·

ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ᾽ ὅρκια τάμνῃ
αὐτός, ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι,
μή τις ὑπερβασίῃ Διὸς ὅρκια δηλήσηται.
Αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
οἷς δ᾽ ὁ γέρων μετέῃσιν ἅμα πρόσσω καὶ ὀπίσσω

λεύσσει, ὅπως ὄχ᾽ ἄριστα μετ᾽ ἀμφοτέροισι γένηται.
Ὣς ἔφαθ᾽, οἳ δ᾽ ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε
ἐλπόμενοι παύσασθαι ὀϊζυροῦ πολέμοιο.
Καί ῥ᾽ ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, ἐκ δ᾽ ἔβαν αὐτοί,
τεύχεά τ᾽ ἐξεδύοντο· τὰ μὲν κατέθεντ᾽ ἐπὶ γαίῃ

πλησίον ἀλλήλων, ὀλίγη δ᾽ ἦν ἀμφὶς ἄρουρα·
Ἕκτωρ δὲ προτὶ ἄστυ δύω κήρυκας ἔπεμπε
καρπαλίμως ἄρνάς τε φέρειν Πρίαμόν τε καλέσσαι·
αὐτὰρ ὃ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἔπι γλαφυρὰς ἰέναι, ἠδ᾽ ἄρν᾽ ἐκέλευεν

με τις σαγίτες σημαδεύοντας και τον πετροβολούσαν.
Μα τότε ο ρήγας Αγαμέμνονας φωνή μεγάλη σέρνει:
«Σταθείτε, Αργίτες, και μη ρίχνετε, των Αχαιών βλαστάρια'
κάποιο έχει ο κρανοσείστης Έχτορας να μας μιλήσει λόγο.»
Είπε, κι αυτοί μεμιάς σταμάτησαν να ρίχνουν και σώπασαν,
κι ο Έχτορας τότε πήρε κι έλεγε στη μέση από τ ασκέρια:
« Ακούστε, Τρώες, από το στόμα μου, κι Αργίτες αντρειωμένοι,
τι είπεν ο Πάρης, πρώτος που άρχισε την έχτρα αναμεσό μας.
Οι άλλοι γυρεύει εμείς να βγάλουμε, και Τρώες κι Αργίτες όλοι,
τα ώρια μας τ᾽ άρματα ακουμπώντας τα στη γη την πολυθρόφα,

κι αυτός μαζί με τον αντρόκαρδο Μενέλαο μοναχοί τους
για την Ελένη να παλέψουνε κι όλο το βιος στη μέση·
κι όποιος τους δείξει δυνατότερος στο τέλος και νικήσει,
ας πάρει φεύγοντας αλάκερο το βιος και τη γυναίκα,
κι οι άλλοι μαθές αγάπη ας κάνουμε και μπιστεμένους όρκους.»
Έτσι μιλούσε, κι όλοι απόμειναν και δεν έβγαναν άχνα'
κι είπε ο Μενέλαος ο βροντόφωνος αναμεσό τους τότε:
« Και μένα ακούστε, τι και πιότερο στα στήθια νιώθω πίκρα
απ᾽ ό,τι εσείς: λέω το καλύτερο να χωριστείτε ως φίλοι
πια Τρώες κι Αργίτες· και τραβήξατε περίσσια αλήθεια πάθη

από του Πάρη που πρωτάρχισε κι απ᾽ τη δική μου αμάχη.
Τώρα απ᾽ τους δυο μας όποιος θάνατο του γράφει η μοίρα να 'βρει,
ας βρει᾽ μα εσείς μιαν ώρα αρχύτερα σα φίλοι χωριστείτε.
Φέρτε δυο αρνιά, το πρώτο κάτασπρο κι αρνάδα μαύρη το άλλο,
της Γης και του Ήλιου᾽ εμείς θα φέρουμε το τρίτο για το Δία.
Πέστε κι ι Πρίαμος να 'ρθει ο ρήγας σας, να κάνει αυτός τον όρκο,
κανένας άλλος· τι είναι πίβουλοι και δίχως πίστη οι γιοί του'
μπας και του Δία τους όρκους κάποιος τους πατήσει και χαλάσει.
Πάντα είν᾽ οι νιότεροι αλαφρόμυαλοι κι ο νους τους παίρνει αγέρα'
μ᾽ αν πάει μαζί και κάποιος γέροντας, αυτός, και μπρος και πίσω

θωρώντας, θέλει το καλύτερο και για τους δυο που ομώνουν.»
Ετσι είπε αυτός, κι εκείνοι εχάρηκαν, μαζί και Τρώες κι Αργίτες,
ο άγριος ο πόλεμος λογιάζοντας πως πια θα πάρει τέλος.
Σειρές σειρές έστησαν τ᾽ άτια τους κι εκείνοι εκατεβήκαν,
κι ως βγάλαν τ᾽ άρματα από πάνω τους, στο χώμα τ᾽ απίθωσαν
κοντά κι οι δυο, τι δεν τους χώριζε πολύς στη μέση τόπος.
Ο Έχτορας τότε δυο μαντάτορες στο κάστρο μέσα στέλνει,
τ᾽ αρνιά να φέρουν δίχως άργητα, να πουν κι ο Πρίαμος να 'ρθει.
Κι ο πρωταφέντης Αγαμέμνονας στα βαθουλά καράβια
να τρέξει τον Ταλθύβιο πρόσταξε, το αρνί για να του φέρει'

οἰσέμεναι· ὃ δ᾽ ἄρ᾽ οὐκ ἀπίθησ᾽ Ἀγαμέμνονι δίῳ.
Ἶρις δ᾽ αὖθ᾽ Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν
εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι,
τὴν Ἀντηνορίδης εἶχε κρείων Ἑλικάων
Λαοδίκην Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην.

Τὴν δ᾽ εὗρ᾽ ἐν μεγάρῳ· ἣ δὲ μέγαν ἱστὸν ὕφαινε
δίπλακα πορφυρέην, πολέας δ᾽ ἐνέπασσεν ἀέθλους
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὕς ἑθεν εἵνεκ᾽ ἔπασχον ὑπ᾽ Ἄρηος παλαμάων·
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·

δεῦρ᾽ ἴθι νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οἳ πρὶν ἐπ᾽ ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα
ἐν πεδίῳ ὀλοοῖο λιλαιόμενοι πολέμοιο·
οἳ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,

ἀσπίσι κεκλιμένοι, παρὰ δ᾽ ἔγχεα μακρὰ πέπηγεν.
Αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηῖφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο·
τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις.
Ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ

ἀνδρός τε προτέρου καὶ ἄστεος ἠδὲ τοκήων·
αὐτίκα δ᾽ ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν
ὁρμᾶτ᾽ ἐκ θαλάμοιο τέρεν κατὰ δάκρυ χέουσα
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾽ ἕποντο,
Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις·

αἶψα δ᾽ ἔπειθ᾽ ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν.
Οἳ δ᾽ ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
Λάμπόν τε Κλυτίον θ᾽ Ἱκετάονά τ᾽ ὄζον Ἄρηος
Οὐκαλέγων τε καὶ Ἀντήνωρ πεπνυμένω ἄμφω
ἥατο δημογέροντες ἐπὶ Σκαιῇσι πύλῃσι,

γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ᾽ ἀγορηταὶ
ἐσθλοί, τεττίγεσσιν ἐοικότες οἵ τε καθ᾽ ὕλην
δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι·
τοῖοι ἄρα Τρώων ἡγήτορες ἦντ᾽ ἐπὶ πύργῳ.
Οἳ δ᾽ ὡς οὖν εἶδονθ᾽ Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,

ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ᾽ ἀγόρευον·
οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
τοιῇδ᾽ ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν·
ἀλλὰ καὶ ὥς τοίη περ ἐοῦσ᾽ ἐν νηυσὶ νεέσθω,

κι αυτός του αρχοντικού Αγαμέμνονα συνάκουσε το λόγο.
Ωστόσο στην Ελένη μήνυμα τη χιονοβραχιονάτη
η Ίριδα φέρνει᾽ της κουνιάδας της είχε το θώρι πάρει,
της Λαοδίκης, που του Αντήνορα το γιο ήταν παντρεμένη,
τον Ελικάονα, η κόρη η πιο όμορφη του Πριάμου του ρηγάρχη.
Στην κάμαρα τη βρήκε κι υφαίνε σκουτί στον αργαλειό της
διπλόφαρδο, άλικο, και ξόμπλιαζε παλικαριές, οι Αργίτες
που 'χανε κάνει οι χαλκοθώρακοι κι οι Τρώες οι αλογατάδες,
τόσα τραβώντας για χατίρι της μες στις παλάμες του Άρη.
Κι η Ίριδα στάθη η φτεροπόδαρη κοντά της και της είπε:

«Έλα, ακριβή μου, τις πρωτάκουστες δουλειές να δεις, οι Αργίτες
που κάνουν τώρα οι χαλκοθώρακοι κι οι Τρώες οι αλογατάδες.
Πιο πριν κινούσαν πολυδάκρυτους ο ένας του άλλου πολέμους
στον κάμπο μέσα και λαχτάριζαν ανήλεα να χτυπιούνται'
και τώρα σκόλασαν τον πόλεμο᾽ γερμένοι στα σκουτάρια
βουβοί κάθονται᾽ τα κοντάρια τους πλάι τους μπηγμένα χάμω.
Ωστόσο ο Αλέξαντρος κι ο αντρόκαρδος Μενέλαος τώρα οι δυο τους
με τα μακριά ποθούν κοντάρια τους να χτυπηθούν για σένα,
κι ο που νικήσει αγαπημένη του γυναίκα θα σε κράξει.»
Είπε η θεά, και μες στα στήθη της γλυκό της χύνει πόθο

για την πατρίδα της, τον πρώτο της τον άντρα, τους γονιούς της.
Με άσπρο μαγνάδι δίχως άργητα την κεφαλή σκεπάζει
κι όξω απ᾽ την κάμαρα της, χύνοντας δάκρυα γλυκά, πετιέται,
όχι μονάχη της᾽ οι βάγιες της ξοπίσω, η βοϊδομάτα
Κλυμένη κι η Αίθρα, η κόρη του άτρομου Πιτθέα, την ακλουθούσαν.
Κι όπως έτρεχαν, φτάσαν γρήγορα μπροστά στο Ζερβοπόρτι.
Εκεί στο Ζερβοπόρτι εκάθουνταν στο ρήγα Πρίαμο γύρα
ο Ικετάονας ο πολέμαρχος κι ο Λάμπος κι ο Θυμοίτης
κι ο Ουκαλέγοντας κι ο Αντήνορας, κι οι δυο τους μυαλωμένοι,
κι ο Πάνθος κι ο Κλυτίος, πρωτόγεροι της Τροίας, που τους
πολέμους

είχαν σκολάσει απ᾽ τα γεράματα, μα ήταν παράξιοι πάντα
στα λόγια, τα τζιτζίκια μοιάζοντας, που μες στο δάσο ολούθε
σε δέντρα κάθουνται την όμορφη ξεχύνοντας λαλιά τους.
Τέτοιοι μαθές των Τρωών κι οι πρόβουλοι στον πύργο απά
εκαθόνταν.
Κι ως είδαν την Ελένη αντίκρυ τους στον πύργο εκεί να φτάνει,
λόγια ανεμάρπαστα σιγόφωνα σταύρωναν μεταξύ τους:
« Δεν είναι κρίμα αν βασανίζουνται για μια γυναίκα τέτοια
μαζί κι οι Αργίτες οι λιοντόκαρδοι κι οι Τρώες καιρούς και χρόνια'
τι φοβερά με τις αθάνατες θεές στην όψη μοιάζει.
Ωστόσο κι έτσι, ας πάει με τ᾽ άρμενα, μ᾽ όλα τα κάλλη που 'χει,

μηδ᾽ ἡμῖν τεκέεσσί τ᾽ ὀπίσσω πῆμα λίποιτο.
Ὣς ἄρ᾽ ἔφαν, Πρίαμος δ᾽ Ἑλένην ἐκαλέσσατο φωνῇ·
δεῦρο πάροιθ᾽ ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμεῖο,
ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε·
οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν·
ὥς μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνῃς
ὅς τις ὅδ᾽ ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε.
Ἦτοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασι,
καλὸν δ᾽ οὔτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
οὐδ᾽ οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε.
Τὸν δ᾽ Ἑλένη μύθοισιν ἀμείβετο δῖα γυναικῶν·
αἰδοῖός τέ μοί ἐσσι φίλε ἑκυρὲ δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἀδεῖν κακὸς ὁππότε δεῦρο
υἱέϊ σῷ ἑπόμην θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
Ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
Τοῦτο δέ τοι ἐρέω ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς·
οὗτός γ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής·
δαὴρ αὖτ᾽ ἐμὸς ἔσκε κυνώπιδος, εἴ ποτ᾽ ἔην γε.
Ὣς φάτο, τὸν δ᾽ ὁ γέρων ἠγάσσατο φώνησέν τε·
ὦ μάκαρ Ἀτρεΐδη μοιρηγενὲς ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
Ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν,
ἔνθα ἴδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους
λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο,
οἵ ῥα τότ᾽ ἐστρατόωντο παρ᾽ ὄχθας Σαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέχθην
ἤματι τῷ ὅτε τ᾽ ἦλθον Ἀμαζόνες ἀντιάνειραι·
ἀλλ᾽ οὐδ᾽ οἵ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί.
Δεύτερον αὖτ᾽ Ὀδυσῆα ἰδὼν ἐρέειν᾽ ὁ γεραιός·
εἶπ᾽ ἄγε μοι καὶ τόνδε φίλον τέκος ὅς τις ὅδ᾽ ἐστί·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονος Ἀτρεΐδαο,
εὐρύτερος δ᾽ ὤμοισιν ἰδὲ στέρνοισιν ἰδέσθαι.
Τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν·
ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
ὅς τ᾽ οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειθ᾽ Ἑλένη Διὸς ἐκγεγαυῖα·

σε μας μη μείνει και στα τέκνα μας για συφορά μια μέρα.»
Έτσι έλεγαν, κι ο Πρίαμος φώναξε καλνώντας την Ελένη:
« Για σίμωσε εδώ πέρα, κόρη μου, και κάθισε μπροστά μου,
να δεις, αν θες, τον πρώτον άντρα σου, τους φίλους, τους δικούς σου.
Εσύ δε μου 'φταιξες, οι αθάνατοι μου φταίξαν, που μου ασκώσαν τον πολυδάκρυτο τον πόλεμο μαζί με τους Αργίτες.
Πες μου τον άντρα το θεόρατο κει πέρα πώς τον λένε;
ποιος να 'ναι εκείνος ο αψηλόκορμος κι αρχοντικός Αργίτης;
Είναι άλλοι πιο αψηλοί, στο ανάστημα που τον περνούν, το βλέπω'
όμως τόσο όμορφο τα μάτια μου δεν έχουν δει ποτέ τους,
μηδέ και τόσο αλήθεια πέρφανο᾽ ρηγάρχης πρέπει να 'ναι.»
Κι η Ελένη τότε του αποκρίθηκε, των γυναικών το θάμα:
«Καλέ πατέρα, και σε σέβουμαι και σε φοβούμαι αντάμα.
Κάλλια 'ταν ν᾽ αδικοθανάτιζα, το γιο σου όντας ακλούθουν,
για να 'ρθω εδώ, το σπίτι αφήνοντας του αντρός μου, τους δικούς μου
και τη μικρούλα θυγατέρα μου και τις γλυκές φίλιες μου.
Γραφτό δεν ήταν και δεν έγινε, γι᾽ αυτό θρηνώ και λιώνω.
Μα τώρα τούτο που με ρώτησες και θες να μάθεις άκου:
Τούτος ο ρήγας Αγαμέμνονας, ο γιος του Ατρέα, λογιέται,
και βασιλιάς καλός και αδείλιαστος αντάμα πολέμαρχος·
ήταν, δεν ήταν κάποτε κι εμέ της σκύλας αντραδέρφι!»
Είπε, κι ο γέροντας τον θάμαξε και δυνατά φωνάζει:
« Εύτυχε Ατρείδη εσύ, καλότυχε και τρισμακαρισμένε,
πρέπει λοιπόν πολλούς αντρόκαρδους Αργίτες ν᾽ αφεντεύεις!
Για τη Φρυγία μια μέρα κίνησα κι εγώ την αμπελούσα,
χρόνια παλιά, καί Φρύγες άμετρους, γοργαλογάδες είδα,
του Οτρέα τ᾽ ασκέρια και του Μύγδονα του ισόθεου, που στους όχτους
πλάι του Σαγγάριου τα λημέρια τους είχαν στημένα τότε'
γιατί κι εγώ μαζί τους βρέθηκα, για να τους δώσω χέρι,
σύντας πλάκωσαν οι αντροδύναμες στη γη τους Αμαζόνες.
Μα ουδέ κι αυτοί τους αστρομάτηδες Αργίτες ξεπερνούσαν.»
Και πάλε ο γέροντας τη ρώτησε τον Οδυσσέα θωρώντας:
«Πες μου και τούτον πάλε, κόρη μου, σαν ποιος και να 'ναι τάχα;
Στήν ελικιά τον Αγαμέμνονα, το γιο του Ατρέα, δε φτάνει,
ωστόσο πιο φαρδύς μου φαίνεται στους ώμους και στα στήθη.
Έχει απιθώσει την αρμάτα του στη γη την πολυθρόφα,
και σαν μπροστάρης πηγαινόρχεται μες στις σειρές τ᾽ ασκέρια.
Σαν κριάρι θα 'λεγα πυκνόμαλλο πως δείχνει τώρα εκείνος,
που σε τρανό κοπάδι ασπρομάλλες αρνάδες σεργιανίζει.»
Κι η Ελένη τότε του αποκρίθηκε, του γιου του Κρόνου η κόρη:

οὗτος δ᾽ αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς,
ὃς τράφη ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης
εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά.
Τὴν δ᾽ αὖτ᾽ Ἀντήνωρ πεπνυμένος ἀντίον ηὔδα·
ὦ γύναι ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες·

ἤδη γὰρ καὶ δεῦρό ποτ᾽ ἦλυθε δῖος Ὀδυσσεὺς
σεῦ ἕνεκ᾽ ἀγγελίης σὺν ἀρηϊφίλῳ Μενελάῳ·
τοὺς δ᾽ ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
Ἀλλ᾽ ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν

στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους,
ἄμφω δ᾽ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς·
ἀλλ᾽ ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον
ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
παῦρα μὲν ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος

οὐδ᾽ ἀφαμαρτοεπής· ἦ καὶ γένει ὕστερος ἦεν.
Ἀλλ᾽ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεὺς
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ᾽ οὔτ᾽ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
ἀλλ᾽ ἀστεμφὲς ἔχεσκεν ἀΐδρειϊ φωτὶ ἐοικώς·

φαίης κε ζάκοτόν τέ τιν᾽ ἔμμεναι ἄφρονά τ᾽ αὔτως.
Ἀλλ᾽ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος εἵη
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
οὐκ ἂν ἔπειτ᾽ Ὀδυσῆΐ γ᾽ ἐρίσσειε βροτὸς ἄλλος·
οὐ τότε γ᾽ ὧδ᾽ Ὀδυσῆος ἀγασσάμεθ᾽ εἶδος ἰδόντες.

Τὸ τρίτον αὖτ᾽ Αἴαντα ἰδὼν ἐρέειν᾽ ὃ γεραιός·
τίς τὰρ ὅδ᾽ ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε
ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους;
τὸν δ᾽ Ἑλένη τανύπεπλος ἀμείβετο δῖα γυναικῶν·
οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος ἕρκος Ἀχαιῶν·

Ἰδομενεὺς δ᾽ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ᾽, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
Πολλάκι μιν ξείνισσεν ἀρηϊφιλος Μενέλαος
οἴκῳ ἐν ἡμετέρῳ ὁπότε Κρήτηθεν ἵκοιτο.
Νῦν δ᾽ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,

οὕς κεν ἐῢ γνοίην καί τ᾽ οὔνομα μυθησαίμην·
δοιὼ δ᾽ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν
Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
Ἦ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,

«Είναι ο Οδυσσέας, ο πολυμήχανος γιος του Λαέρτη, ετούτος,
που στην Ιθάκη, ένα πετρόνησο, μεγάλωσε, και μύριες
βαθιές και πονηριές και στύχασες ο νους του κατεβάζει.»
Και τότε ο φρόνιμος Αντήνορας απηλογιά της δίνει:
«Σωστός αλήθεια που 'ναι ο λόγος σου, κυρά μου, ετούτος τώρα'
τι έχει ο Οδυσσέας έρθει στο κάστρο μας ο αρχοντογεννημένος
με το Μενέλαο τον πολέμαρχο, σταλμένοι απ᾽ αφορμή σου.
Κι ατός μου εγώ τους καλοσκάμνισα, τους κόνεψα στο σπίτι,
και γνώρισα καλά το διώμα τους, το γνωστικό μυαλό τους.
Κι όταν μια μέρα μες στη σύναξη των Τρωών βρέθηκαν κι ήταν

ορθοί, ο Μενέλαος εξεχώριζε με τους φαρδιούς τους ώμους.
Μα όπως κάθιζαν, πιο αρχοντόκορμος μας φάνταζε ο Οδυσσέας.
Ωστόσο, σαν άρχιζαν κι ύφαιναν βουλές και λόγια ομπρός μας,
ασκόνταφτα ο Μενέλαος—το 'βλεπες—στη σύναξη εμιλούσε.
Αλήθεια, λιγοστά τα λόγια του, μα χτυπητά᾽ δεν ήταν
πολυλογάς μηδέ μωρόλογος, κι αν πιο μικρός στα χρόνια.
Μα ως ο Οδυσσέας ο πολυμήχανος πετάγουνταν απάνω,
στεκόταν, πα στη γη τα μάτια του κρατώντας στυλωμένα,
και το ραβδί του δεν το σάλευε για μπρος για πίσω διόλου,
παρά το φούχτωνε έτσι ασάλευτο, λες κι άπραγος πως ήταν

για ξεροκέφαλο κι ανέμυαλο τον έπαιρνες αλήθεια.
Μα κάθε που απ᾽ τα στήθια του έβγαζε φωνή τρανή, και πέφταν
έτσι πυκνά πυκνά τα λόγια του σαν του χιονιού οι τουλούπες,
άντρας θνητός κανείς δε δύνουνταν να μετρηθεί μαζί του,
και τότε πια δεν εγνοιαζόμαστε για του Οδυσσέα το θώρι.»
Τον Αίαντα πάλε ως είδε ο γέροντας, ρωτούσε την Ελένη:
« Κι αυτός ποιος είναι ο αρχοντοκάμωτος, τρανός Αργίτης, που όλους
τους άλλους ξεπερνάει στο ανάριμμα και στους φαρδιούς τους ώμους;»
Κι η αρχοντογέννητη του απάντησε μακρομαντούσα Ελένη:
«Ο Αίαντας είναι ο σαραντάπηχος᾽ των Αχαιών ο πύργος·

κι ο Ιδομενέας στη μέση στέκεται των Κρητικών κει πέρα,
ίδια θεός, κι όλοι οι άλλοι γύρα του της Κρήτης οι ρηγάδες.
Συχνά ο Μενέλαος ο πολέμαρχος στο αρχοντικό μας μέσα
τον καλοσκάμνιζε, σαν έρχουνταν από την Κρήτη πέρα.
Κι όλους τους άλλους αστρομάτηδες τους βλέπω τώρα Αργίτες,
που τους γνωρίζω, και θα σου 'λεγα και πώς τους λένε ακόμα'
δυο μοναχά απ᾽ τους στρατοκράτορες δε βλέπω, τον πυγμάχο
τον Πολυδεύκη και τον Κάστορα, το γαύρο αλογατάρη,
τα δυο μου αδέρφια, που μας γέννησε μια μάνα και τους τρεις μας.
Απ᾽ την πανώρια Λακεδαίμονα μαζί δεν ήρθαν τάχα;

ἢ δεύρω μὲν ἔποντο νέεσσ᾽ ἔνι ποντοπόροισι,
νῦν αὖτ᾽ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ᾽ ἅ μοί ἐστιν.
Ὣς φάτο, τοὺς δ᾽ ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι φίλῃ ἐν πατρίδι γαίῃ.

Κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστὰ
ἄρνε δύω καὶ οἶνον ἐΰφρονα καρπὸν ἀρούρης
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·
ὄτρυνεν δὲ γέροντα παριστάμενος ἐπέεσσιν·

ὄρσεο Λαομεδοντιάδη, καλέουσιν ἄριστοι
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
ἐς πεδίον καταβῆναι ἵν᾽ ὅρκια πιστὰ τάμητε·
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσοντ᾽ ἀμφὶ γυναικί·

τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήματ᾽ ἔποιτο·
οἳ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαΐδα καλλιγύναικα.
Ὣς φάτο ῥίγησεν δ᾽ ὃ γέρων, ἐκέλευσε δ᾽ ἑταίρους

ἵππους ζευγνύμεναι· τοὶ δ᾽ ὀτραλέως ἐπίθοντο.
Ἂν δ᾽ ἄρ᾽ ἔβη Πρίαμος, κατὰ δ᾽ ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον·
τὼ δὲ διὰ Σκαιῶν πεδίον δ᾽ ἔχον ὠκέας ἵππους.
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,

ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πουλυβότειραν
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο.
Ὄρνυτο δ᾽ αὐτίκ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ἂν δ᾽ Ὀδυσεὺς πολύμητις· ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον

μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
Ἀτρεΐδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεόν αἰὲν ἄωρτο,
ἀρνῶν ἐκ κεφαλέων τάμνε τρίχας· αὐτὰρ ἔπειτα
κήρυκες Τρώων καὶ Ἀχαιῶν νεῖμαν ἀρίστοις.

Τοῖσιν δ᾽ Ἀτρεΐδης μεγάλ᾽ εὔχετο χεῖρας ἀνασχών·
Ζεῦ πάτερ Ἰδηθεν μεδέων κύδιστε μέγιστε,
Ἠέλιός θ᾽, ὃς πάντ᾽ ἐφορᾷς καὶ πάντ᾽ ἐπακούεις,
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον ὅτις κ᾽ ἐπίορκον ὀμόσσῃ,

Μπορεί κι εδώ στα πελαγόδρομα καράβια ν᾽ ακλουθήξαν,
μα τώρα στων αντρών τον πόλεμο δε θέλουν να χωθούνε
για τις μπόμπες και τα ντροπιάσματα που σούρνει τ᾽ όνομα μου.»
Είπε, μα εκείνους η πολύκαρπη κρατούσε γης εντός της,
από καιρό, στη Λακεδαίμονα, στο πατρικό τους χώμα.
Και για τον όρκο οι κράχτες έφερναν περνώντας απ᾽ το κάστρο
τα δυο τ᾽ αρνιά και το γλυκόπιοτο κρασί, της γης το δώρο,
μες σε γιδίσιο ασκί᾽ καί λιόφωτο κροντήρι από την άλλη
και κούπες κουβαλούσε ολόχρυσες ο Ιδαίος με βιάση ο κράχτης'
κι ήρθε και στάθη πλάι στο γέροντα και του 'πε ασκώνοντάς τον:

«Για σήκω, γιε του Λαομέδοντα, κι οι Τρώες οι αλογατάδες
κι οι πιο τρανοί απ᾽ τους χαλκοθώρακους σε προσκαλνούν Αργίτες,
να κατεβείς στον κάμπο, αμάλαγους φίλιας να κλείσετε όρκους.
Ωστόσο ο Αλέξαντρος κι ο αντρόψυχος Μενέλαος τώρα, οι δυο
τους,
για τη γυναίκα θα παλέψουνε με τα μακριά κοντάρια,
κι ο που νικήσει θα 'χει χτήμα του το βιος και τη γυναίκα.
Κι οι άλλοι μαθές αγάπη κάνοντας κι όρκους τρανούς στην πλούσια
θα ζούμε Τροία, και θα γυρίσουνε στο αλογοθρόφο το Άργος
εκείνοι και στην άλλη χώρα τους την ωριογυναικούσα.»
Είπε, κι ο γέρος αναρίγησε, και τους δικούς του κράζει

να ζέψουν τ᾽ άλογα του᾽ πρόθυμα τον συνακούν εκείνοι.
Κι όπως ανέβη ο Πρίαμος, τράβηξε τα νιόλουρα στα πίσω,
και πλάι του ανέβηκε κι ο Αντήνορας πα στο πανώριο αμάξι'
κι απ᾽ τη Ζερβόπορτα τ᾽ αλόγατα κεντούν κατά τον κάμπο.
Και σύντας τέλος φτάσαν κι έσμιξαν τους Τρώες και τους Αργίτες,
από το αμάξι κάτω επέζεψαν στη γη την πολυθρόφα
κι ανάμεσα στους Τρώες προχώρεσαν και στους Αργίτες όλους,
Κι ασκώθη ο ρήγας Αγαμέμνονας με βιάση, κι ο Οδυσσέας
μαζί επετάχτη ο πολυκάτεχος᾽ κι οι φουμισμένοι κράχτες
του όρκου τα σύνεργα συμμάζωναν, καί μέσα στο κροντήρι

κρασί συγκέρναν, κι έχυναν νερό στα χέρια των ρηγάδων.
Κι ο γιος του Ατρέα μεμιάς ξεγύμνωσε τραβώντας το μαχαίρι,
που δίπλα στου σπαθιού του εκρέμουνταν το μακρουλό θηκάρι,
κι απ᾽ των αρνιών τις κεφαλότριχες από μια τούφα κόβει,
που οι κράχτες έπειτα τη μοίρασαν στους πρώτους Τρώες κι
Αργίτες.
Κι ο γιος του Ατρέα τα χέρια υψώνοντας ευκήθη αναμεσό τους:
« Πατέρα Δία, τρανέ κι ασύγκριτε, που κυβερνάς την Ίδα,
κι Ήλιε, τα πάντα που απ᾽ τη βίγλα σου θωράς, κι ακούς τα πάντα,
και Ποταμοί, και Γη, και αθάνατοι που τους νεκρούς γδικιέστε
κάτω απ᾽ το χώμα, αυτούς πού κάποτε τους όρκους τους πάτησαν,

ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ᾽ ὅρκια πιστά·
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ
αὐτὸς ἔπειθ᾽ Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἡμεῖς δ᾽ ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·
εἰ δέ κ᾽ Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,

Τρῶας ἔπειθ᾽ Ἑλένην καὶ κτήματα πάντ᾽ ἀποδοῦναι,
τιμὴν δ᾽ Ἀργείοις ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται.
Εἰ δ᾽ ἄν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,

αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς
αὖθι μένων, ἦός κε τέλος πολέμοιο κιχείω.
Ἦ καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νηλεῖ χαλκῷ·
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας
θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός.

Οἶνον δ᾽ ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσιν
ἔκχεον, ἠδ᾽ εὔχοντο θεοῖς αἰειγενέτῃσιν.
Ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε·
Ζεῦ κύδιστε μέγιστε καὶ ἀθάνατοι θεοὶ ἄλλοι
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν

ὧδέ σφ᾽ ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ᾽ ἄλλοισι δαμεῖεν.
Ὣς ἔφαν, οὐδ᾽ ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων.
Τοῖσι δὲ Δαρδανίδης Πρίαμος μετὰ μῦθον ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί·

ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν
ἄψ, ἐπεὶ οὔ πω τλήσομ᾽ ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
μαρνάμενον φίλον υἱὸν ἀρηϊφίλῳ Μενελάῳ·
Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ἦ ῥα καὶ ἐς δίφρον ἄρνας θέτο ἰσόθεος φώς,
ἂν δ᾽ ἄρ᾽ ἔβαιν᾽ αὐτός, κατὰ δ᾽ ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον.
Τὼ μὲν ἄρ᾽ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο·
Ἕκτωρ δὲ Πριάμοιο πάϊς καὶ δῖος Ὀδυσσεὺς

χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες,
ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος.
Λαοὶ δ᾽ ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον,
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε·

μαρτύροι ελατέ εδώ και αμάλαγο τον όρκο μας φυλάχτε:
Αν το Μενέλαο τύχει ο Αλέξαντρος και μας σκοτώσει τώρα,
να πάρει να κρατήσει αλάκερο το βιος και την Ελένη,
και πίσω εμείς στα πελαγόδρομα θα φύγουμε καράβια.
Μ᾽ αν ο ξανθός Μενέλαος, ρίχνοντας, τον Πάρη θανατώσει,
οι Τρώες θα δώσουν πίσω ολάκερο το βιος και την Ελένη,
και πανωτίμι θα πλερώσουνε σε μας, σαν που ταιριάζει,
να το κρατούνε κι οι μελλούμενες γενιές στη θύμηση τους.
Μ᾽ αν έβρει ο Αλέξαντρος το θάνατο, και μήτε ο Πρίαμος θέλει
μήτε του Πριάμου οι γιοί να δώσουνε σ᾽ εμας το απανωτίμι,

τότε για τούτο το ξαντίμεμα θα μείνω εγώ εδώ πέρα
και θα κρατήσω ορθό τον πόλεμο, την άκρα του ώσπου να 'βρω.»
Ως είπε τούτα, με το ανέσπλαχνο μαχαίρι το λαρύγγι
κόβει απ᾽ τ᾽ αρνιά, και τα παράτησε στη γη να σπαρταρούνε
δίχως πνοή, τι τη ζωντάνια τους την πήρε το λεπίδι.
Κι᾽ απ᾽ το κροντήρι τότε βάζοντας κρασί στις κούπες, κάτω
το ξέχυναν, και τους αθάνατους θεούς ανακαλιούνταν
και τούτο ευκιόταν ο καθένας τους, και Τρώες κι Αργίτες όλοι:
« Πατέρα Δία, τρανέ κι ασύγκριτε, και σεις αθάνατοι άλλοι,
όποιοι απ᾽ τους δυο μας τους αμάλαγους πατήσουν όρκους πρώτοι,

σαν τούτο το κρασί κατάχαμα να τρέξει το μυαλό τους,
και των παιδιών τους, κι οι γυναίκες τους να πέσουν σε άλλα
χέρια.»
Ετσι έλεγαν, μα ο γιος δεν έστρεξε του Κρόνου την ευκή τους.
Κι ο Πρίαμος, η γενιά του Δάρδανου, τους μίλησε έτσι τότε:
«Ομπρός ελατέ, Τρώες, ακούστε με, κι Αργίτες αντρειοιμένοι'
να γύρω εγώ στην ανεμόδαρτη την Τροία λογιάζω τώρα
πίσω ξανά᾽ γιατί τα μάτια μου να ιδούν δε θα βαστάξουν
το γιο μου εδώ με τον πολέμαρχο Μενέλαο να χτυπιέται.
Ο Δίας αλήθεια κι οι άλλοι αθάνατοι θεοί το ξέρουν μόνο,
για ποιο απ᾽ τους δυο απ᾽ τη Μοίρα γράφτηκε να βρεί το χάρο
τώρα.»

Αυτά είπε ο ισόθεος άντρας, κι έβαλε τα δυο τ᾽ αρνιά στο αμάξι,
κι ατός του ανέβηκε και τράβηξε τα νιόλουρα στα πίσω,
και πλάι του ανέβηκε κι ο Αντήνορας πα στο πανώριο αμάξι.
Έτσι λοιπόν αυτοί πισώστρεψαν στο κάστρο να διαγύρουν
κι ο Έχτορας τότε, ο γιος του Πριάμου, με τον τρανό Οδυσσέα
τον τόπο πρώτα πρώτα έμέτρησαν, λαχνούς κατόπι επήραν
και μες σε χάλκινο τους έβαλαν ταράζοντας τους κράνος,
πρώτος ποιος θα 'ριχνε το χάλκινο κοντάρι από τους δυο τους.
Κι ευκιούνταν στους θεούς υψώνοντας τα χέρια τα φουσάτα,
και τούτα λέγαν ο καθένας τους, καί Τρώες κι Αργίτες όλοι:

Ζεῦ πάτερ Ἴδηθεν μεδέων κύδιστε μέγιστε
ὁππότερος τάδε ἔργα μετ᾽ ἀμφοτέροισιν ἔθηκε,
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω,
ἡμῖν δ᾽ αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι.
Ὣς ἄρ᾽ ἔφαν, πάλλεν δὲ μέγας κορυθαίολος Ἕκτωρ

ἂψ ὁρόων· Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν.
Οἳ μὲν ἔπειθ᾽ ἵζοντο κατὰ στίχας, ἦχι ἑκάστῳ
ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε᾽ ἔκειτο·
αὐτὰρ ὅ γ᾽ ἀμφ᾽ ὤμοισιν ἐδύσετο τεύχεα καλὰ
δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο.

Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
οἷο κασιγνήτοιο Λυκάονος· ἥρμοσε δ᾽ αὐτῷ.
Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον

χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει.
Ὣς δ᾽ αὔτως Μενέλαος ἀρήϊος ἔντε᾽ ἔδυνεν.

Οἳ δ᾽ ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
δεινὸν δερκόμενοι· θάμβος δ᾽ ἔχεν εἰσορόωντας
Τρῶάς θ᾽ ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς.
Καί ῥ᾽ ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ

σείοντ᾽ ἐγχείας ἀλλήλοισιν κοτέοντε.
Πρόσθε δ᾽ Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀτρεΐδαο κατ᾽ ἀσπίδα πάντοσε ἴσην,
οὐδ᾽ ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀσπίδ᾽ ἐνὶ κρατερῇ· ὃ δὲ δεύτερον ὄρνυτο χαλκῷ

Ἀτρεΐδης Μενέλαος ἐπευξάμενος Διὶ πατρί·
Ζεῦ ἄνα δὸς τίσασθαι ὅ με πρότερος κάκ᾽ ἔοργε
δῖον Ἀλέξανδρον, καὶ ἐμῇς ὑπὸ χερσὶ δάμασσον,
ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ.

Ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πριαμίδαο κατ᾽ ἀσπίδα πάντοσε ἴσην·
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα

«Πατέρα Δία, τρανέ κι ασύγκριτε, που κυβερνάς την Ίδα,
τον που 'ρίξε τα πάθη ανάμεσα στους δυο λαούς ετούτα
δώσε να πέσει και στον άραχλο να κατεβεί τον Άδη,
και πάλι εμείς αγάπη ας κάνουμε και μπιστεμένους όρκους.»
Ετσι έλεγαν, κι ο μέγας Έχτορας εκούνησε το κράνος
πίσω θωρώντας, και πετάχτηκε γοργά ο λαχνός του Πάρη.
Σειρές σειρές κάθισαν όλοι τους, όπου ο καθείς αφήκε
τ᾽ αναεροκυκλοπόδικα άτια του και την πλουμάτη άρματα.
Και τότε ο αρχοντικός Αλέξαντρος, της ομορφομαλλούσας
Ελένης ο άντρας, τα ώρια φόρεσε στους ώμους άρματα του'

και πρώτα γύρω στ᾽ αντικνήμια του περνά κνημίδες ώριες,
που με θηλύκια στους αστράγαλους σφίγγονταν ασημένια᾽
απ᾽ το Λυκάονα πήρε δεύτερα, τον αδερφό, και βάζει
το θώρακα του, αφού τον ταίριαξε πα στο δικό του στήθος.
Μετά το ασημοκαρφοπλούμιστο σπαθί φοράει στους ώμους
το χάλκινο, και το κατάβαρο, θεόρατο σκουτάρι.
Στο δυνατό κεφάλι του έβαλε καλοφτιαγμένο κράνος,
κι άγρια ψηλά από πάνω άνέμιζεν η φούντα του η αλογίσια᾽
και το γερό κοντάρι εφούχτωσε, που του 'ρχονταν στο χέρι.
Όμοια αρματώνουνταν κι ο αντρόκαρδος Μενέλαος απ᾽ την άλλη.

Κι ως φόρεσαν οι δυο τους τ᾽ άρματα, καθείς μες στους δικούς του,
ανάμεσα στους Τρώες προχώρεσαν και στους Αργίτες, κι είχαν
άγρια την όψη· και θαμάζουνταν και Αργίτες αντρειωμένοι
και Τρώες αλογατάδες, όλοι τους, καθώς τους αντίκριζαν.
Κι εκείνοι εστάθηκαν σιμώνοντας στο μετρημένο αλώνι,
γοργοκουνώντας τα κοντάρια τους ο ένας του άλλου με λύσσα.
Πρώτος ο Πάρης το μακροίσκιωτο κοντάρι τότε ρίχνει
και χτύπησε στ᾽ ολούθε ισόκυκλο του γιου του Ατρέα σκουτάρι,
μα δεν το τρύπησε, τι εστράβωσε του κονταριού του η μύτη
πα στο γερό σκουτάρι. Δεύτερος ο γιος του Ατρέα χιμίζει

με το χαλκό κοντάρι, υψώνοντας ευκή στο Δία πατέρα:
« Αφέντη Δία, τον άντρα βόηθα μου, που πρωταδίκησέ με,
να γδικιωθώ, τον αρχοντόγεννο τον Πάρη· ρίξε μου τον
στα χέρια αυτά, που κι οι μελλούμενες γενιές ν᾽ ανατριχιάζουν
στον που τους δέχτη και τους φίλεψε ποτέ κακό να κάνουν.»
Είπε, και το μακρόισκιωτο έριξε κοντάρι του με φόρα,
και το λαμπρό, τ᾽ ολούθε ισόκυκλο σκουτάρι πετυχαίνει
του γιου του Πριάμου, κι ως το πέρασε, το δυνατό κοντάρι
τρυπάει και χώνεται στο θώρακα το βαριοξομπλιασμένο,
και δίπλα στο λαγγόνι του έσκισε το ρούχο πέρα ως πέρα'

ἔγχος· ὃ δ᾽ ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
πλῆξεν ἀνασχόμενος κόρυθος φάλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.
Ἀτρεΐδης δ᾽ ὤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ᾽ ἐφάμην τίσασθαι Ἀλέξανδρον κακότητος·
νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος
ᾐΐχθη παλάμηφιν ἐτώσιον, οὐδ᾽ ἔβαλόν μιν.
Ἦ καὶ ἐπαΐξας κόρυθος λάβεν ἱπποδασείης,
ἕλκε δ᾽ ἐπιστρέψας μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς·
ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἀπαλὴν ὑπὸ δειρήν,
ὅς οἱ ὑπ᾽ ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.
Καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
ἥ οἱ ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο·
κεινὴ δὲ τρυφάλεια ἅμ᾽ ἔσπετο χειρὶ παχείῃ.
Τὴν μὲν ἔπειθ᾽ ἥρως μετ᾽ ἐϋκνήμιδας Ἀχαιοὺς
ῥῖψ᾽ ἐπιδινήσας, κόμισαν δ᾽ ἑρίηρες ἑταῖροι·
αὐτὰρ ὃ ἂψ ἐπόρουσε κατακτάμεναι μενεαίνων
ἔγχεϊ χαλκείῳ· τὸν δ᾽ ἐξήρπαξ᾽ Ἀφροδίτη
ῥεῖα μάλ᾽ ὥς τε θεός, ἐκάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ,
κἀδ δ᾽ εἷσ᾽ ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.
Αὐτὴ δ᾽ αὖ Ἑλένην καλέουσ᾽ ἴε· τὴν δὲ κίχανε
πύργῳ ἐφ᾽ ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ἅλις ἦσαν·
χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα,
γρηῒ δέ μιν ἐϊκυῖα παλαιγενέϊ προσέειπεν
εἰροκόμῳ, ἥ οἱ Λακεδαίμονι ναιετοώσῃ
ἤσκειν εἴρια καλά, μάλιστα δέ μιν φιλέεσκε·
τῇ μιν ἐεισαμένη προσεφώνεε δῖ᾽ Ἀφροδίτη·
δεῦρ᾽ ἴθ᾽· Ἀλέξανδρός σε καλεῖ οἶκον δὲ νέεσθαι.
Κεῖνος ὅ γ᾽ ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι
κάλλεΐ τε στίλβων καὶ εἵμασιν· οὐδέ κε φαίης
ἀνδρὶ μαχεσσάμενον τόν γ᾽ ἐλθεῖν, ἀλλὰ χορὸν δὲ
ἔρχεσθ᾽, ἠὲ χοροῖο νέον λήγοντα καθίζειν.
Ὣς φάτο, τῇ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
καί ῥ᾽ ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρὴν
στήθεά θ᾽ ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
θάμβησέν τ᾽ ἄρ᾽ ἔπειτα ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;

μ᾽ αυτός ανάγειρε και γλίτωσε του ασβολωμένου Χάρου.
Το ασημοκαρφοπλούμιστο έσυρε σπαθί ο Μενέλαος τότε
κι ασκώνοντάς το απά στα κέρατα του χτύπησε το κράνος,
μα το σπαθί χιλιοτσακίστηκε και του 'πεσε απ᾽ το χέρι.
Και τότε ο Ατρείδης βαρυγκόμησε τον ουρανό θωρώντας:
« Πατέρα Δία, θεός σκληρόκαρδος κανένας πιο από σένα!
Την αδικία του Αλέξαντρου έλεγα θα γδικιωνόμουν τώρα,
μα να που το σπαθί στα χέρια μου τσακίστη, κι απ᾽ τη φούχτα
τινάχτη το κοντάρι μου άδικα, χωρίς να τον πετύχω.»
Ως είπε αυτά, χιμάει, τ᾽ ολόφουντο του σφιχτοπιάνει κράνος
κι επήρε πίσω στους αντρόκαρδους Αργίτες να τον σέρνει.
Στον απαλό λαιμό τον έπνιγε το ξομπλιαστό λουρίκι,
που κάτω απ᾽ το σαγόνι τού 'σφιγγε το κράνος τεντωμένο.
Και θα τον έσερνε κι ανείπωτη θα κέρδιζε έτσι δόξα,
αν η Αφροδίτη, που τους ξέκρινε, δεν του 'σπαε το λουρίκι,
φτιαγμένο από βοδιού που σκότωσαν το δυνατό τομάρι.
Άδειο το κράνος έτσι απόμεινε στο δυνατό του χέρι.
Και τότε αυτός στριφογυρνώντας το στους αντρειανούς Αργίτες
το σφεντονάει, κι οι μπιστεμένοι του το σήκωσαν σύντροφοι᾽
κι ο πολέμαρχος πάλι εχίμιξε με το χαλκό κοντάρι
τον Πάρη να σκοτώσει θέλοντας, μα κείνον η Αφροδίτη,
θεά όπως ήταν, του τον άρπαξε μεμιάς, πυκνήν αντάρα
γύρω του απλώνει, στης γυναίκας του τη μοσκοβολισμένη
τον φέρνει κάμαρα, και γύρισε να κράξει την Ελένη.
Τη βρήκε με άλλες Τρωαδίτισσες πολλές στον πύργο απάνω᾽
απ᾽ το μαντί το μοσκομύριστο τη σέρνει πιάνοντας τη
και της μιλάει, μιας γνέστρας παίρνοντας γερόντισσας το θώρι,
μαλλιά που της Ελένης δούλευε, στη Σπάρτη ως ζούσε ακόμα,
χρόνια παλιά, και την ξεχώριζε μέσ᾽ απ᾽ τις σκλάβες όλες.
Με τούτη μοιάζοντας η αρχόντισσα της μίλησε Αφροδίτη:
«Έλα μαζί, σε κράζει ο Αλέξαντρος στο σπίτι να γυρίσεις·
στην κάμαρα σας μέσα βρίσκεται, στο τορνευτό κλινάρι·
κορμί και ρούχα του πεντάμορφα στραφτοβολούν πως φτάνει
από αντροπάλεμα δε θα 'λεγες, μόν᾽ για χορό πως φεύγει,
για από χορό πως μόλις γύρισε και ξαποσταίνει τώρα.»
Έτσι είπε, κι εκείνης ταράχτηκε βαθιά η καρδιά στα στήθη,
κι ως τη θεά ψυχανεμίστηκεν απ᾽ του λαιμού τη χάρη,
από τα στήθη της τα μάργελα κι απ᾽ των ματιών τη φλόγα,
ξαφνιάστηκε, κι ευτύς της μίλησε κι απηλογιά της δίνει:
«Πίβουλη εσύ, γιατί πεθύμησες με αυτά να με γελάσεις;

ἦ πῇ με προτέρω πολίων εὖ ναιομενάων
ἄξεις, ἢ Φρυγίης ἢ Μῃονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων·
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ᾽ ἄγεσθαι,

τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ᾽ αὐτὸν ἰοῦσα, θεῶν δ᾽ ἀπόεικε κελεύθου,
μηδ᾽ ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ᾽ αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς ὅ κέ σ᾽ ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην.

Κεῖσε δ᾽ ἐγὼν οὐκ εἶμι· νεμεσσητὸν δέ κεν εἴη·
κείνου πορσανέουσα λέχος· Τρῳαὶ δέ μ᾽ ὀπίσσω
πᾶσαι μωμήσονται· ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
Τὴν δὲ χολωσαμένη προσεφώνεε δῖ᾽ Ἀφροδίτη·
μή μ᾽ ἔρεθε σχετλίη, μὴ χωσαμένη σε μεθείω,

τὼς δέ σ᾽ ἀπεχθήρω ὡς νῦν ἔκπαγλ᾽ ἐφίλησα,
μέσσῳ δ᾽ ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρὰ
Τρώων καὶ Δαναῶν, σὺ δέ κεν κακὸν οἶτον ὄληαι.
Ὣς ἔφατ᾽, ἔδεισεν δ᾽ Ἑλένη Διὸς ἐκγεγαυῖα,
βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ

σιγῇ, πάσας δὲ Τρῳὰς λάθεν· ἦρχε δὲ δαίμων.
Αἳ δ᾽ ὅτ᾽ Ἀλεξάνδροιο δόμον περικαλλέ᾽ ἵκοντο,
ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο,
ἣ δ᾽ εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.
Τῇ δ᾽ ἄρα δίφρον ἐλοῦσα φιλομειδὴς Ἀφροδίτη

ἀντί᾽ Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα·
ἔνθα κάθιζ᾽ Ἑλένη κούρη Διὸς αἰγιόχοιο
ὄσσε πάλιν κλίνασα, πόσιν δ᾽ ἠνίπαπε μύθῳ·
ἦλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ᾽ ὀλέσθαι
ἀνδρὶ δαμεὶς κρατερῷ, ὅς ἐμὸς πρότερος πόσις
ἦεν.

Ἦ μὲν δὴ πρίν γ᾽ εὔχε᾽ ἀρηϊφίλου Μενελάου
σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ᾽ ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον· ἀλλά σ᾽ ἔγωγε
παύεσθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ

ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀφραδέως, μή πως τάχ᾽ ὑπ᾽ αὐτοῦ δουρὶ δαμήῃς.
Τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέειπε·
μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε·
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,

Για μπας και σ᾽ άλλο κάστρο σου 'τυχε πλουσιοκατοικημένο
κάποιο άλλον άντρα να 'χεις φίλο σου, στη Μαιονία την ώρια·
για στη Φρυγία, και τ᾽ αποφάσισες κει πέρα να με φέρεις;
Γιατί ο Μενέλαος τον Αλέξαντρο το ρήγα έχει νικήσει
και τώρα λέει να πάρει σπίτι του τη σιχαμένη εμένα,
γι᾽ αυτό λοιπόν δω πέρα μου 'ρχεσαι, για να με ξεπλανέψεις;
Εσύ κοντά του τράβα κάθισε, και των θεών αρνήσου
τις στράτες, κι ουδέ για τον Όλυμπο να πάρεις δρόμο πίσω.
Κείνον μονάχα βόηθα, γνοιάζου τον, με μόχτους, με τυράννια,
ως που στο τέλος πια γυναίκα του σε κάμει για και σκλάβα.

Εγώ δεν πάω, και να 'σαι σίγουρη—ντροπή μεγάλη θα 'ταν—
να πέσω πλάι του᾽ οι Τρωαδίτισσες αν το 'βλεπαν, μαζί μου
όλες θα τα 'βαζαν οι αρίφνητες μου φτάνουν πίκρες που 'χω.»
Κι η αρχόντισσα Αφροδίτη θύμωσε κι απηλογιά της δίνει:
« Μη με συχύζεις τώρα, ανέμυαλη, μη από θυμό σ᾽ αφήσω,
και σε μισήσω με όση δύναμη σε είχα αγαπήσει ως τώρα,
κι ανάμεσα τους έχτρα ανήμερη, στους Τρώες και στους Αργίτες,
σηκώσω εγώ, κι εσύ από θάνατο κακό χαθείς μαζί τους.»
Είπε η θεά, κι η Ελένη ετρόμαξε, του Δία η θυγατέρα'
με το χιονάτο της σκεπάστηκε μαντί, κι ακολουθώντας

την Αφροδίτη φεύγει αμίλητη, κρυφά απ᾽ τις άλλες όλες.
Κι όντας έφτασαν στο πανέμορφο του Αλέξαντρου παλάτι,
οι βάγιες στις δουλειές τους έτρεξαν με βιάση, όμως εκείνη,
η αρχοντικιά γυναίκα, τράβηξε στην κάμαρα και μπήκε.
Τότε η Αφροδίτη, η αχνογελόχαρη θεά, σκαμνί στα χέρια
παίρνει και φέρνει, στον Αλέξαντρο μπροστά να τ᾽ απιθώσει.
Κι η Ελένη εκεί, του βροντοσκούταρου καθίζει απάνω η κόρη,
κι άλλου κοιτάζοντας, τον άντρα της μιλώντας αποπαίρνει:
« Καλώς μας ήρθες απ᾽ τον πόλεμο! Μακάρι ο ψυχωμένος
άντρας κει πέρα να σε σκότωνε, που πρώτο μου ήταν ταίρι.

Άλλοτε αλήθεια απ᾽ τον αντρόκαρδο Μενέλαο μου καυκιόσουν
πως είσαι πιο τρανός στη δύναμη, στα χέρια, στο κοντάρι.
Έλα λοιπόν, ξανά αντροκάλεσε και βγές να πολεμήσεις
με το Μενέλαο τον αντρόκαρδο! Μα για καλό δικό σου
εγώ να σταματήσεις θα 'λεγα, μηδέ ξανά να στήσεις
με τον ξανθό Μενέλαο πόλεμο και χτυπηθείς μαζί του
από αμυαλιά, τι το κοντάρι του λέω θα σε ρίξει χάμω.»
Είπε, κι ο Πάρης αποκρίθηκε με τέτοια λόγια τότε:
« Γυναίκα, μην πετάς τα λόγια σου πικρά, μαλώνοντας με'
τώρα ο Μενέλαος αν με νίκησε, τον βοήθησε η Παλλάδα.

κεῖνον δ᾽ αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν.
Ἀλλ᾽ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ᾽ ὧδέ γ᾽ ἔρως φρένας ἀμφεκάλυψεν,
οὐδ᾽ ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι,
νήσῳ δ᾽ ἐν Κραναῇ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.
Ἦ ῥα, καὶ ἄρχε λέχος δὲ κιών· ἅμα δ᾽ εἵπετ᾽ ἄκοιτις.
Τὼ μὲν ἄρ᾽ ἐν τρητοῖσι κατεύνασθεν λεχέεσσιν,
Ἀτρεΐδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα θηρὶ ἐοικὼς
εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα.
Ἀλλ᾽ οὔ τις δύνατο Τρώων κλειτῶν τ᾽ ἐπικούρων
δεῖξαι Ἀλέξανδρον τότ᾽ ἀρηϊφίλῳ Μενελάῳ·
οὐ μὲν γὰρ φιλότητί γ᾽ ἐκεύθανον εἴ τις ἴδοιτο·
ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι·
νίκη μὲν δὴ φαίνετ᾽ ἀρηϊφίλου Μενελάου,
ὑμεῖς δ᾽ Ἀργείην Ἑλένην καὶ κτήματ᾽ ἄμ᾽ αὐτῇ
ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται.
Ὣς ἔφατ᾽ Ἀτρεΐδης, ἐπὶ δ᾽ ᾖνεον ἄλλοι Ἀχαιοί.

Σειρά του και σειρά μου, τι έχουμε και μεις θεούς προστάτες.
Μον᾽ έλα τώρα να πλαγιάσουμε, τον πόθο να χαρούμε'
τι την ψυχή μου δεν την πλάνταξε ποτέ λαχτάρα τόση,
μήτε απ᾽ τη Σπάρτη την πανέμνοστη σα σ᾽ είχα αρπάξει τότε
και μες στα πλοία τα πελαγόδρομα τραβούσα, ως που η Κρανάη
μας δέχτη το νησί, κι ευφράθηκα γλυκό φιλί κι αγκάλη,
ως τώρα σε ποθώ κι ολόγλυκια με λιώνει η πεθυμιά σου.»
Είπε, και στο κλινάρι έτράβηξε, και πίσω του η γυναίκα.
Οι δυο λοιπόν αντάμα επλάγιασαν στο σκαλιστό κλινάρι.
Κι ωστόσο ο γιος του Ατρέα τριγύριζε σαν το θεριό στο ασκέρι
μην τάχα κάπου το θεόμορφον Αλέξαντρο ξεκρίνει.
Μ᾽ από τους Τρώες κανείς δε δύνουνταν κι απ᾽ τους τρανούς συμμάχους
να δείξει τότε στον αντρόκαρδο Μενέλαο πού είν᾽ ο Πάρης.
Δε θα τον κρύβαν, αν τον έβλεπαν, από περίσσια αγάπη,
τι αλήθεια σαν το μαύρο θάνατο τον οχτρευόνταν όλοι.
Κι ο πρωταφέντης Αγαμέμνονας αναμεσό τους είπε·
« Ακούστε, Τρώες εσείς και Δάρδανοι κι οι σύμμαχοι τους όλοι-
μια κι ο τρανός Μενέλαος νίκησε φως φανερά τον Πάρη
το βιος μαζί και την Αργίτισσα δώστε μας πίσω Ελένη-
και πανωτίμι να πλερώσετε, καθώς ταιριάζει αλήθεια
να το κρατούνε κι οι μελλούμενες γενιές στη θύμηση τους.
Ετσι είπε ο γιος του Ατρέα, κι εσύγκλιναν μαζί του κι οι άλλοι Αργίτες.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Δ-

-Δ- Οἳ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
νέκταρ ἐοινοχόει· τοὶ δὲ χρυσείοις δεπάεσσι
δειδέχατ᾽ ἀλλήλους, Τρώων πόλιν εἰσορόωντες·

αὐτίκ᾽ ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην
κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενῆϊς Ἀθήνη.
Ἀλλ᾽ ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι

τέρπεσθον· τῷ δ᾽ αὖτε φιλομειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει·
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
Ἀλλ᾽ ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
ἡμεῖς δὲ φραζώμεθ᾽ ὅπως ἔσται τάδε ἔργα,

ἢ ῥ᾽ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι βάλωμεν.
Εἰ δ᾽ αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
αὖτις δ᾽ Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.

Ὣς ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πλησίαι αἵ γ᾽ ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
Ἦτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει·
Ἥρῃ δ᾽ οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·

αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες·
πῶς ἐθέλεις ἄλιον θεῖναι πόνον ἠδ᾽ ἀτέλεστον,
ἰδρῶ θ᾽ ὃν ἵδρωσα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ τοῖό τε παισίν.
Ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.

Τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
δαιμονίη τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅ τ᾽ ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι εὐκτίμενον πτολίεθρον;
εἰ δὲ σύ γ᾽ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ

ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
Ἔρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ᾽ ἔρισμα μετ᾽ ἀμφοτέροισι γένηται.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

Ωστόσο πλάι στο Δία σε σύναξη μαζί οι θεοί εκαθόνταν
μες στο χρυσόστρωτο παλάτι του, κι η Ήβη η σεβάσμια γύρω
σε όλους κρασί κερνούσε αθάνατο᾽ κι αυτοί την Τροία θωρώντας
ο ένας τον άλλο αντιχαιρέτιζε με τη χρυσή του κούπα.
Άξαφνα ο γιος του Κρόνου εβάλθηκε την Ήρα να πειράζει,
παραπετριές στη μέση ρίχνοντας και λόγια αγκιδωμένα:
«Έχει ο Μενέλαος δυο προστάτισσες θεές αλήθεια τώρα,
την Αθηνά τη στρατολάτισσα και την Αργίτισσα Ήρα·
μα αυτές κάθονται και τον χαίρουνται θωρώντας απ᾽ αλάργα.

Ωστόσο πώς η αχνογελόχαρη πάντα Αφροδίτη ξέρει
να παραστέκει, κι απ᾽ το φίλο της το θάνατο να διώχνει!
Να που τον γλίτωσε, κι ας έβλεπε το Χάρο πια μπροστά του.
Μ᾽ αφού ο τρανός Μενέλαος νίκησε φως φανερά τον Πάρη,
ας δούμε εμείς καλοζυγιάζοντας τι θ᾽ απογίνει τώρα.
Μάχες τρανές ξανά θ᾽ ανάψουμε και φοβερούς πολέμους,
για ανάμεσα στους δυο θα βάλουμε φιλιά κι αγάπη τάχα;
Κι εσείς αλήθεια, αν θα το θέλατε κι ομογνωμούσατε όλοι,
το κάστρο ανέβλαβο θ᾽ απόμενε του Πριάμου του ρηγάρχη,
και την Ελένη την Αργίτισσα θα 'χε ο Μενέλαος πάλε.»

Αυτά είπε, κι η Αθηνά μουρμούρισε, μαζί της κι η Ήρα, κάτι᾽
κοντά κοντά εκαθόνταν κι έκλωθαν κακά στους Τρώες κι οι δυο
τους.
Αμίλητη η Αθηνά εκρατήθηκέ και σώπαινε, κι ας τα 'χε
με τον πατέρα Δία, κι ας ένιωθε βαρύ θυμό στα φρένα.
Της Ήρας όμως εξεχείλισε στα στήθη η οργή και του 'πε:
«Υγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;
Να μείνουν μες στη μέση οι κόποι μου, να παν χαμένοι θέλεις,
κι ο ιδρώτας που ίδρωσα παλεύοντας και τ᾽ άτια που απόστασαν,
στρατούς σα σήκωνα—ξεκλήρισμα στον Πρίαμο και στους γιους
του;
Κάνε ό,τι θες, μα κι όλοι οι αθάνατοι δεν έχουμε ίδια γνώμη.»

Συχύστη τότε ο Δίας κι απάντησεν ο νεφελοστοιβάχτης:
« Δαιμονισμένη, τόσο σου 'καμαν κακό κι ο Πρίαμος τάχα
κι οι γιοί του Πριάαμου, που έτσι αλάγιαστα λυσσομανάς και
θέλεις
της Τροίας μαθές το καλοτείχιστο να ξεπατώσεις κάστρο;
Μονάχα αν μπόρειες, τις καστρόπορτες και τα ψηλά τειχιά της
διαβαίνοντας, τον Πρίαμο να 'τρωγες ωμό και τους υγιούς του
κι όλους τους άλλους Τρώες, θα χόρταινες την άγρια μάνητα σου!
Ως θέλεις κάμε, μόνο πρόσεχε, μήπως η αμάχη ετούτη
γίνει αφορμή στους δυο μας κάποτε και γίνουμε άνω κάτω.
Κάποιο άλλο λόγο τώρα θα 'λεγα και συ στο νου σου βαλ᾽ τον:

ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ᾽ ἐâσαι·
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ·
αἶ γὰρ ὑπ᾽ ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι

ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
Οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες
Ἄργός τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰς διαπέρσαι ὅτ᾽ ἄν τοι ἀπέχθωνται περὶ κῆρι·
τάων οὔ τοι ἐγὼ πρόσθ᾽ ἵσταμαι οὐδὲ μεγαίρω.

Εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρσαι,
οὐκ ἀνύω φθονέουσ᾽ ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι.
Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον·
καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί,
καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,

ἀμφότερον γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι, σὺ δὲ πᾶσι μετ᾽ ἀθανάτοισιν ἀνάσσεις.
Ἀλλ᾽ ἤτοι μὲν ταῦθ᾽ ὑποείξομεν ἀλλήλοισι,
σοὶ μὲν ἐγώ, σὺ δ᾽ ἐμοί· ἐπὶ δ᾽ ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι· σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι

ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ᾽ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·

αἶψα μάλ᾽ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
πειρᾶν δ᾽ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
Ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα.

Οἷον δ᾽ ἀστέρα ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω
ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται·
τῷ ἐϊκυῖ᾽ ἡΐξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη,
κὰδ δ᾽ ἔθορ᾽ ἐς μέσσον· θάμβος δ᾽ ἔχεν εἰσορόωντας

Κι εγώ μια μέρα αν πάρω απόφαση να ξεπατώσω κάστρο,
όποιο θελήσω, που θα κάθουνται δικοί σου μέσα άνθρωποι,
άσε με λεύτερο, την όργητα μη μου αντισκόψεις διόλου.
Κι εγώ σου κάνω τώρα θέλοντας τη χάρη, μ᾽ άθελα μου᾽
τι απ᾽ όσα κάτω απ᾽ τον αστρόφωτο τον ουρανό βρίσκονται
κι απ᾽ όσα ο γήλιος βλέπει βγαίνοντας θνητών ανθρώπων
κάστρα,
άλλο Κανένα δεν αγάπησα σαν τ᾽ άγιο ετούτο κάστρο
και σαν τον Πρίαμο τον αντρόκαρδο μαζί με το λαό του᾽
τι απ᾽ το βωμό μου τα χαρίσματα δεν έλειψαν καθόλου,
η κνίσα κι οι σπονδές· τι οι αθάνατοι δε λάχαμε άλλη χάρη.»

Και τότε η σεβαστή βοϊδομάτη του απάντησε Ήρα κι είπε:
«Τρεις είναι οι πολιτείες που αγάπησα πιο απ᾽ ολες στην καρδιά
μου,
το Άργος κι η Σπάρτη κι η πλατύδρομη Μυκήνα᾽ μ᾽ αν μια μέρα
τύχει βαθιά και τις οχτρεύεσαι, ξεπάτωσέ τις όλες.
Δε σου θυμώνω εγώ κι ανάντια σου κεφάλι δεν ασκώνω'
τι κι αν αρνιόμουν και δε σ᾽ άφηνα να μου τις ξεπατώσεις,
του κάκου θα σου αρνιόμουν δύναμη δεν έχω σαν και σένα.
Μα πρέπει δα και μένα ο κόπος μου να μη χαθεί του ανέμου'
είμαι κι εγώ θεά, κι η ρίζα μου με τη δικιά σου ειν᾽ ένα.
Πιο απ᾽ όλους σεβαστή με γέννησεν ο πονηρός ο Κρόνος,

και για τα δυο, και για τη φύτρα μου και που δικό σου ταίρι
λογιέμαι, κι όλους τους αθάνατους εσύ τους αφεντεύεις.
Μον᾽ έλα οι δυο να τα συβάσουμε, κάνε μου εσύ τη χάρη
και τη δικιά σου εγώ, κι οι αθάνατοι μαζί μας θα συγκλίνουν:
στην Αθηνά μιαν ώρα αρχύτερα την προσταγή σου δώσε,
εκεί που οι Τρώες κι οι Αργίτες στέκουνται για πόλεμο να δράμει,
τους Τρώες να βάλει αρχή να κάνουνε και πρώτοι να πατήσουν
τους άγιους όρκους, τώρα που 'δωκαν στους πέρφανους
Αργίτες.»
Είπε, και δέχτη των αθάνατων και των θνητών ο κύρης,
κι ευτύς στην Αθηνά ανεμάρπαστα γυρνάει και κρένει λόγια:

«Στα δυο τ᾽ ασκέρια τρέξε γρήγορα, στους Τρώες και στους
Αργίτες,
και βαλ᾽ τους Τρώες αρχή να κάμουνε και πρώτοι να πατήσουν
τους άγιους όρκους, τώρα ποτ 'δωκαν στους πέρφανους Αργίτες.»
Έτσι είπε, κι η Αθηνά, που τι 'θελε κι από τα πριν, πετάχτη
και τις κορφές του Ολύμπου αφήνοντας με ασπούδα εχύθη κάτω,
καθώς αστροβολίδα, που 'ριξε του πονηρού του Κρόνου
ο γιος, σημάδι για τους ναύλερους για σε στρατούς μεγάλους,
αχτιδοβόλα, και τρογύρα της πλήθιες πηδούν οι σπίθες.
Παρόμοια κι η Παλλάδα εχύθηκε πάνω στη γη, κι εβρέθη
ανάμεσα τους μ᾽ ένα πήδημα᾽ κι οι Αργίτες οι αντρειωμένοι

Τρῶάς θ᾽ ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς·
ὣδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
ἦ ῥ᾽ αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
ἔσσεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τίθησι
Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

Ὣς ἄρα τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε.
Ἦ δ᾽ ἀνδρὶ ἰκέλη Τρώων κατεδύσεθ᾽ ὅμιλον
Λαοδόκῳ Ἀντηνορίδῃ κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη εἴ που ἐφεύροι.
Εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε

ἑσταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο ἀπ᾽ Αἰσήποιο ῥοάων·
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
ἦ ῥά νύ μοί τι πίθοιο Λυκάονος υἱὲ δαΐφρον.
Τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,

πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆϊ.
Τοῦ κεν δὴ πάμπρωτα παρ᾽ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῷ βέλεϊ δμηθέντα πυρῆς ἐπιβάντ᾽ ἀλεγεινῆς.

Ἀλλ᾽ ἄγ᾽ οἴστευσον Μενελάου κυδαλίμοιο,
εὔχεο δ᾽ Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.
Ὣς φάτ᾽ Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν·

αὐτίκ᾽ ἐσύλα τόξον ἐϋξοον ἰξάλου αἰγὸς
ἀγρίου, ὅν ῥά ποτ᾽ αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
πέτρης ἐκβαίνοντα δεδεγμένος ἐν προδοκῇσι
βεβλήκει πρὸς στῆθος· ὁ δ᾽ ὕπτιος ἔμπεσε πέτρῃ.
Τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει·

καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων,
πᾶν δ᾽ εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
Καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος ποτὶ γαίῃ
ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι
μὴ πρὶν ἀναΐξειαν ἀρήϊοι υἷες Ἀχαιῶν

πρὶν βλῆσθαι Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν.
Αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης, ἐκ δ᾽ ἕλετ᾽ ἰὸν
ἀβλῆτα πτερόεντα μελαινέων ἕρμ᾽ ὀδυνάων·
αἶψα δ᾽ ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν,
εὔχετο δ᾽ Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ

ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.
Ἕλκε δ᾽ ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον.
Αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε,

κι οι Τρώες οι αλογατάδες, όλοι τους σαστίσαν που την είδαν,
κι έλεε γυρνώντας ό καθένας τους στο διπλανό του τέτοια:
«Ξανά ο κακός θ᾽ ανάψει πόλεμος και το φριχτό το απάλε,
για αναμεσό μας αποφάσισε φιλιά κι αγάπη τώρα
ό Δίας, που κυβερνάει τον πόλεμο στης γης το ανθρωπολόι;»
Έτσι μιλούσαν συναλλήλως τους και Τρώες κι Αργίτες όλοι.
Κι εκείνη μες στους Τρώες εχώθηκε, μ᾽ ένα θνητό παρόμοια,
με το Λαόδοκο, του Αντήνορα το γιο τον πολέμαρχο,
κι ολούθε τον ισόθεο Πάνταρο ζητούσε, αν θα τον έβρει.
Τον βρήκε τον τρανό, τον άψεγο γιο του Λυκάονα κάπου

κοντά να στέκει, και τρογύρα του γερές ζυγιές κάθονταν
οι αρματωμένοι, που του ακλούθηξαν απ᾽ τα νερά του Αισήπου'
κι ως στάθη ομπρός του, με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Γιε του Λυκάονα πολεμόχαρε, θες να μ᾽ ακούσεις τώρα;
Σαγίτα στο Μενέλαο γρήγορη στο λέει η καρδιά να ρίξεις;
Οι Τρώες θα σε δόξαζαν όλοι τους, και θα τους είχες κάνει
χάρη τρανή, κι απ᾽ όλους πιότερο στο βασιλιά τον Πάρη.
Πρώτος εκείνος με αξετίμητα θα σε τιμούσε δώρα,
αν το Μενέλαο τον πολέμαρχο πα στην πυρά θωρούσε
τη φαρμακούσα, απ᾽ τη σαγίτα σου θανατολαβωμένο.

Τον ξακουστό Μενέλαο δόξεψε λοιπόν, ομπρός, κι ευκήσου
στο μακροσαγιτάρη Απόλλωνα το φωτογεννημένο,
πλήθος αρνιά μονοχρονίτικα στη χάρη του να σφάξεις,
όντας γυρίσεις στην πατρίδα σου, την άγια Ζέλεια, πίσω.»
Έτσι η Αθηνά μιλώντας γύρισε του ανέμυαλου τα φρένα,
κι ευτύς το τορνευτό ξεγύμνωσε δοξάρι, που 'χε φτιάξει
από 'να αγρίμι᾽ ατός του κάποτε το χτύπησε από κάτω,
ψηλά, στο βράχο απ᾽ το καρτέρι του να ξεπροβάλει ως το 'δε'
στο στήθος το 'βρε, και τ᾽ ανάσκελα ξαπλώθηκε στο βράχο.
Δεκάξη ακέρια χεροπάλαμα μακριά τα κερατά του.

Τεχνίτης τσ 'ξυσε, τα δούλεψε, τα φίλιασε στη μέση,
κι αφού τα γυάλισε, τους πέρασε χρυσά στην άκρη αγκρίφια.
Τώρα λοιπόν στη γη τ᾽ ακούμπησε και πέρασε την κόρδα
λυγίζοντας το᾽ τα σκουτάρια τους οι αντρόκαρδοι σύντροφοι
μπροστά κρατούσαν, οι πολέμαρχοι μην ξεχυθούν Αργίτες,
πριν το Μενέλαο τον πολέμαρχο, το γιο του Ατρέα, χτυπήσει.
Κι αυτός, το σαϊτολόγο ανοίγοντας, σαγίτα φτερωμένη,
αγκίνιαστη, που πόνους έκρυβε τρανούς, διαλέει, κι απάνω
στην κόρδα την πικρή σαγίτα του κοκιάζοντας ευκήθη
στο μακροσαγιτάρη Απόλλωνα το φωτογεννημένο,

πλήθος αρνιά μονοχρονίτικα στη χάρη του να σφάξει,
όντας γυρίσει στην πατρίδα του, την άγια Ζέλεια, πίσω.
Κι όπως μαζί και κόρδα τράβηξε και αγκίδια της σαγίτας,
πα στο βυζί του η κόρδα ακούμπησε, το σίδερο στο τόξο.

λίγξε βιός, νευρὴ δὲ μέγ᾽ ἴαχεν, ἅλτο δ᾽ ὀϊστὸς
ὀξυβελὴς καθ᾽ ὅμιλον ἐπιπτέσθαι μενεαίνων.
Οὐδὲ σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο
ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
ἥ τοι πρόσθε στᾶσα βέλος ἐχεπευκὲς ἄμυνεν.

Ἣ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροὸς ὡς ὅτε μήτηρ
παιδὸς ἐέργῃ μυῖαν ὅθ᾽ ἡδέϊ λέξεται ὕπνῳ,
αὐτὴ δ᾽ αὖτ᾽ ἴθυνεν ὅθι ζωστῆρος ὀχῆες
χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ.
Ἐν δ᾽ ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός·

διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο
μίτρης θ᾽, ἣν ἐφόρει ἔρυμα χροὸς ἔρκος ἀκόντων,
ἥ οἱ πλεῖστον ἔρυτο· διὰ πρὸ δὲ εἵσατο καὶ τῆς.
Ἀκρότατον δ᾽ ἄρ᾽ ὀϊστὸς ἐπέγραψε χρόα φωτός·

αὐτίκα δ᾽ ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.
Ὡς δ᾽ ὅτε τίς τ᾽ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶς ἠὲ Κάειρα παρήϊον ἔμμεναι ἵππων·
κεῖται δ᾽ ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο
ἱππῆες φορέειν· βασιλῆϊ δὲ κεῖται ἄγαλμα,

ἀμφότερον κόσμός θ᾽ ἵππῳ ἐλατῆρί τε κῦδος·
τοῖοί τοι Μενέλαε μιάνθην αἵματι μηροὶ
εὐφυέες κνῆμαί τε ἰδὲ σφυρὰ κάλ᾽ ὑπένερθε.
Ῥίγησεν δ᾽ ἄρ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·

ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηΐφιλος Μενέλαος.
Ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας
ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
Τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων Ἀγαμέμνων
χειρὸς ἔχων Μενέλαον, ἐπεστενάχοντο δ᾽ ἑταῖροι·

φίλε κασίγνητε θάνατόν νύ τοι ὅρκι᾽ ἔταμνον
οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι,
ὥς σ᾽ ἔβαλον Τρῶες, κατὰ δ᾽ ὅρκια πιστὰ πάτησαν.
Οὐ μέν πως ἄλιον πέλει ὅρκιον αἵμά τε ἀρνῶν
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαὶ ᾗς ἐπέπιθμεν.

Εἴ περ γάρ τε καὶ αὐτίκ᾽ Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.
Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ᾽ ἂν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ

Κι αφού το γυριστό ετεντώθηκε τρανό δοξάρι, ξάφνου
στριγγόν αφήκε αχό, καμπάνισε κι η κόρδα, κι η σαγίτα
χιμάει πετώντας, λαχταρίζοντας να φτάσει μες στο πλήθος.
Όμως, Μενέλαε, δε σε ξέχασαν και σένα οι τρισμακάριοι
αθάνατοι και πρώτα απ᾽ όλους τους η κουρσολόγα κόρη
του Δία, που εστάθη ομπρός κι απόδιωξε τη μυτερή σαγίτα·

λίγο την έδιωξε από πάνω σου, καθώς η μάνα διώχνει
απ᾽ το παιδί της, που βυθίστηκε σε ύπνο γλυκό, μια μύγα,
κι ατή της σπρώχνοντας την έφερε κει που χρυσά θηλύκια
τη ζώνη ανακρατούν κι ο θώρακας διπλός σταυρώνει απάνω.
Μες στο αρμοστό ζωνάρι εχώθηκε βαθιά η πικρή σαγίτα,
κι έτσι που πέρα ως πέρα ετρύπησε το πλουμιστό ζωνάρι,
χιμάει και χώνεται στο θώρακα τον καλοξομπλιασμένο
και στο ζωστήρι που κατάσαρκα τον γλίτωνε απ᾽ τους χτύπους.
Αυτό τον γλίτωσε, κι ας τρύπησε και τούτο πέρα ως πέρα'
τι ξώφαρσα η σαγίτα εχάραξε το δέρμα του μονάχα,

και μαύρο γαίμα ξεπετάχτηκε μεμιάς απ᾽ την πληγή του.
Πώς όταν με πορφύρα φίλντισι γυναίκα αλικοβάφει,
Λύδισσα ή Κάρισσα, να βρίσκεται γι᾽ αλόγου χαλινάρι,
και πλήθος ξένοι καβαλάρηδες το λαχταρούν, μα εκείνο
κρυμμένο στο κελάρι κοίτεται, να φράνει κάποιο ρήγα,
του αλόγου αντάμα να 'ναι στόλισμα, του αλογολάτη δόξα'
όμοια και σένα αλικοβάφηκαν, Μενέλαε, και πανώρια
μεριά και κνήμες και καλόφτιαχτοι πιο χαμηλά αστράγαλοι.
Κι έκοψε κρύος τον Αγαμέμνονα τον πρωταφέντη ιδρώτας,
ως είδε απ᾽ την πληγή να χύνεται το μαύρο γαίμα κάτω.

Έκοψε κρύος και τον πολέμαρχο Μενέλαο τότε ιδρώτας᾽
σαν είδε ωστόσο πως και σύδεση και νύχια της σαγίτας
απόξω έμειναν, αναθάρρεψε και του 'φυγε η τρομάρα.
Και τότε ο ρήγας Αγαμέμνονας τον πήρε από το χέρι
κι είπε βογγώντας, και τρογύρα του βογγούσαν κι οι σύντροφοι:
«Γλυκέ αδερφέ, τους όρκους έκαμα λοιπόν για το χαμό σου,
που μοναχό μπροστά μας σ᾽ έβαλα τους Τρώες να πολεμήσεις;
Να οι Τρώες που σου 'ριξαν και πάτησαν τους μπιστεμένους
όρκους.
Μα δε θα παν χαμένα κι άδικα το αρνίσιο γαίμα κι οι όρκοι
κι οι άκρατες μας σπονδές και τ᾽ άδολα χεροσφιξίματά μας'

τι αν δεν παιδέψει ο ρήγας του Ολύμπου μεμιάς τους ορκοπάτες,
θα τους παιδέψει αργά, μα σίγουρα· βαριά θα το πλερώσουν
οι Τρώες, κι ατοί τους και τα ταίρια τους και τα παιδιά τους—όλοι!
τι εγώ στο νου μου και στα φρένα μου καλά το ξέρω αλήθεια:

καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο,
Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι
τῆσδ᾽ ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα·
ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται ὦ Μενέλαε

αἴ κε θάνῃς καὶ πότμον ἀναπλήσῃς βιότοιο.
Καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην·
αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης·
κἀδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν
Ἀργείην Ἑλένην· σέο δ᾽ ὀστέα πύσει ἄρουρα

κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ἔργῳ.
Καί κέ τις ὧδ᾽ ἐρέει Τρώων ὑπερηνορεόντων
τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·
αἴθ᾽ οὕτως ἐπὶ πᾶσι χόλον τελέσει᾽ Ἀγαμέμνων,
ὡς καὶ νῦν ἄλιον στρατὸν ἤγαγεν ἐνθάδ᾽ Ἀχαιῶν,

καὶ δὴ ἔβη οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
σὺν κεινῇσιν νηυσὶ λιπὼν ἀγαθὸν Μενέλαον.
Ὣς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.
Τὸν δ᾽ ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·
θάρσει, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν·

οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
εἰρύσατο ζωστήρ τε παναίολος ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
αἴ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε·

ἕλκος δ᾽ ἰητὴρ ἐπιμάσσεται ἠδ᾽ ἐπιθήσει
φάρμαχ᾽ ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων.
Ἦ καὶ Ταλθύβιον θεῖον κήρυκα προσηύδα·
Ταλθύβι᾽ ὄπτι τάχιστα Μαχάονα δεῦρο κάλεσσον
φῶτ᾽ Ἀσκληπιοῦ υἱὸν ἀμύμονος ἰητῆρος,

ὄφρα ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν,
ὅν τις ὀϊστεύσας ἔβαλεν τόξων ἐῢ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
βῆ δ᾽ ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων

παπταίνων ἥρωα Μαχάονα· τὸν δὲ νόησεν
ἑσταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.
Ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
ὄρσ᾽ Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,

Θα ξημερώσει μέρα κάποτε πού θα χαθεί το κάστρο
της Τροίας κι ο Πρίαμος ο πολέμαρχος κι όλος μαζί ο λαός του.
Κι ο γιος του Κρόνου, που αψηλόθρονος βιγλίζει απ᾽ τον αιθέρα,
το μαύρο ατός του βροντοσκούταρο μπρος σ᾽ όλους θα τραντάζει,
γι᾽ αυτή την πιβουλιά θυμώνοντας. ό,τι σου λέω θα γένει.
Όμως, Μενέλαε, πίκρα ανείπωτη θα νιώσω απ᾽ αφορμή σου,

αν μου πεθάνεις και της μοίρας σου το νήμα ξετελέψει᾽
κι όλο ντροπή ξοπίσω θα 'γερνά στο διψασμένο το Άργος·
τι ευτύς οι Αργίτες την πατρίδα τους θ᾽ αποζητήσουν τότε,
-κι η Ελένη η Αργίτισσα θ᾽ απόμενε στον Πρίαμο και στους Τρώες
για καυκησιά. Κι εσύ θα κοίτεσαι στην Τροία᾽ τα κόκαλα σου
το χώμα θα σαπίζει, κι άδικος θα μείνει εδώ ο ερχομός μας.
Και κάποιος απ᾽ τους Τρώες τους πέρφανους αυτά θα πει μια
μέρα
ποδοπατώντας του τρισεύγενου Μενέλαου το μνημούρι:
,,Το άχτι του σε όλους ο Αγαμέμνονας όμοια να βγάζει πάντα
σαν τώρα εδώ, που ασκέρι Αργίτικο κουβάλησε του κάκου

και πίσω εγύρισε στο σπίτι του, στο πατρικό του χώμα
με άδεια καράβια, τον πολέμαρχο Μενέλαο παρατώντας."
Αυτά θα πει, μα εμένα ας άνοιγεν η γης να με πλακώσει.»
Τότε ο ξανθός Μενέλαος μίλησεν αναγκαρδιώνοντάς τον:
«Κάνε κουράγιο και το Αργίτικο το ασκέρι μη φοβίζεις.
Μέσα βαθιά πολύ δε χώθηκεν η μυτερή σαγίτα·
μπροστά τ᾽ ολόπλουμο την κράτησε ζωνάρι, κι από κάτω
το δέμα και το ζώμα, που 'φτιασαν χαλκιάδες ξακουσμένοι.»
Κι ο πρωταφέντης Αγαμέμνονας απηλογιά του δίνει:
«Καλέ Μενέλαε, να 'ταν άμποτε σαν που το λες᾽ ωστόσο

γιατρός θα σε κοιτάξει γρήγορα, κι απάνω στην πληγή σου
βοτάνια θ᾽ απιθώσει, οι μαύροι σου για να γλυκάνουν πόνοι.»
Είπε, και τον Ταλθύβιο πρόσταξε, το σεβαστό διαλάλη:
« Ταλθύβιε, το Μαχάονα φώναξε και μην αργείς καθόλου,
τον Ασκληπιό που έχει, τον άψεγο το γιατρευτή, πατέρα,
το γιο του Ατρέα, τον πολεμόχαρο Μενέλαο, να κοιτάξει.
Δοξαρευτής τρανός τον χτύπησεν απ᾽ τους Λυκιώτες κάποιος,
για κι απ᾽ τους Τρώες, για κείνον καύκημα, καημός για μας
μεγάλος.»
Είπε, κι ο κράχτης δεν παράκουσε στα λόγια του, μον 'πήρε
να τρέχει μες στων χαλκοθώρακων των Αχαιών τ᾽ ασκέρια,

τον ξακουστό Μαχάονα ψάχνοντας. Τον πέτυχε να στέκει,
κι οι βαριαρματωμένοι γύρα του, γερές ζυγιές, κάθονταν,
που από την Τρίκη τον άκλούθηξαν την αλογοθροφούσα.
Κι ως στάθη πλάι του, με ανεμάρπαστα του συντυχαίνει λόγια:

ὄφρα ἴδῃς Μενέλαον ἀρήϊον ἀρχὸν Ἀχαιῶν,
ὅν τις ὀϊστεύσας ἔβαλεν τόξων ἐῢ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
Ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
βὰν δ᾽ ἰέναι καθ᾽ ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.

« Σήκω, κι ο μέγας Αγαμέμνονας, γιε του Ασκληπιού, σε κράζει,
το γιο του Ατρέα, τον πολεμόχαρο Μενέλαο, να κοιτάξεις.
Δοξαρευτής τρανός τον χτύπησεν απ᾽ τους Λυκιώτες κάποιος,
για κι απ᾽ τους Τρώες, για κείνον καύκημα, καημός για μας μεγάλος.»
Έτσι είπε, κι εκείνου αναδεύτηκε βαθιά η καρδιά στα στήθη,
και τράβηξαν μπροστά, τ᾽ Αργίτικα φουσάτα διαπερνώντας.

Ἀλλ᾽ ὅτε δὴ ῥ᾽ ἵκανον ὅθι ξανθὸς Μενέλαος
βλήμενος ἦν, περὶ δ᾽ αὐτὸν ἀγηγέραθ᾽ ὅσσοι ἄριστοι
κυκλόσ᾽, ὃ δ᾽ ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς,
αὐτίκα δ᾽ ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀϊστόν·
τοῦ δ᾽ ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι.

Κι ως έφτασαν εκεί που εστέκουνταν στη μέση ο λαβωμένος
ξανθός Μενέλαος και τον έζωναν οι πιο τρανοί ρηγάδες,
ευτύς ο ισόθεος ήρωας έτρεξε και στάθη αναμεσό τους,
κι απ᾽ το σφιχτό ζωνάρι ετράβηξε με βιάση τη σαγίτα·
και με το τράβηγμα της έσπασαν τα νύχια ομπρός· κι εκείνος
του 'λυσε πρώτα τ᾽ ολοπλούμιστο ζωνάρι, κι απά κάτω
το δέμα και το ζώμα, που 'φτιασαν χαλκιάδες ξακουσμένοι.
Και την πληγή, η πικρή που του άνοιξε σαγίτα, ως είδε, το αίμα
βύζαξε πρώτα, κι όπως κάτεχε, πραγά μετά βοτάνια
πιθώνει, που 'χε δώσει ο Χείρωνας στον κύρη του απ᾽ αγάπη.

Λῦσε δέ οἱ ζωστῆρα παναίολον ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
Αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος ὅθ᾽ ἔμπεσε πικρὸς ὀϊστός,
αἷμ᾽ ἐκμυζήσας ἐπ᾽ ἄρ᾽ ἤπια φάρμακα εἰδὼς
πάσσε, τά οἱ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.

Ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων·
οἳ δ᾽ αὖτις κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης.
Ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον
οὐδὲ καταπτώσσοντ᾽ οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι,

Έτσι γνοιάζονταν το βροντόφωνο Μενέλαο τούτοι᾽ ωστόσο
ήρθαν των Τρωών τ᾽ ασκέρια πάνω τους των βαριοσκουταράτων,
κι αυτοί μεμιάς ξαναρματώνουνται και της σφαγής θυμούνται.
Ε, τότε πια τον Αγαμέμνονα δε θα 'βλεπες το γαϋρο
για να νυστάζει για να σκιάζεται για να μη θέλει απάλε,
μον᾽ να ποθεί μιαν ώρα αρχύτερα τη δοξαντρούσα μάχη.
Το αμάξι παρατάει τ᾽ ολόπλουμο καί τ᾽ άλογα να στέκουν,
και το παιδόπουλο, ο Ευρυμέδοντας, τον Πτολεμαίο πατέρα,
το γιο του Πείραιου, που 'χε, ανάμερα τα εκράτα, ως εφρουμάζαν.
Κι άφού τον πρόσταξε να γνοιάζεται να τα 'χει πλάι του πάντα,

ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
Ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα ποικίλα χαλκῷ·
καὶ τοὺς μὲν θεράπων ἀπάνευθ᾽ ἔχε φυσιόωντας
Εὐρυμέδων υἱὸς Πτολεμαίου Πειραΐδαο·
τῷ μάλα πόλλ᾽ ἐπέτελλε παρισχέμεν ὁππότε κέν μιν

αν λάχει και τον πάρει ο κάματος τ᾽ ασκέρια κυβερνώντας,
πήρε πεζός αυτός και διάβαινε μες στις ζυγιές τ᾽ ασκέρι.
Κι όσους Αργίτες αλογάρηδες να βιάζουνται θωρούσε,
ζυγώνοντας τους, με τα λόγια του τους έδινε κουράγιο:
«Αργίτες, μπρος! ορθή κρατάτε τη της άντριγιας τη φλόγα!
Στους ψεύτες δε θα δώσει βόηθηση ποτέ του ο Δίας πατέρας,
μον᾽ όσοι επάτησαν τον όρκο τους πιο πρώτα, θα 'ρθει μέρα
τα τρυφερά κορμιά τους σίγουρα που θα τα φαν οι αγιούπες'
κι εμείς τις ακριβές γυναίκες τους και τα μωρά παιδιά τους
μες στα καράβια μας θα σύρουμε, σαν πάρουμε το κάστρο.»

γυῖα λάβῃ κάματος πολέας διὰ κοιρανέοντα·
αὐτὰρ ὃ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
καί ῥ᾽ οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων,
τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν·
Ἀργεῖοι μή πώ τι μεθίετε θούριδος ἀλκῆς·

Πάλι όσους έβλεπε πως δείλιαζαν να μπουν στην άγρια μάχη,
με θυμωμένα τους απόπαιρνε και τους χτυπούσε λόγια:
«Αργίτες φωνακλάδες, άναντροι, δεν ντρέπεστε καθόλου;
Τώρα τι στέκεστε σαστίζοντας, καθώς τα ελαφομόσκια,

οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ᾽ ἀρωγός,
ἀλλ᾽ οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο
τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται,
ἡμεῖς αὖτ᾽ ἀλόχους τε φίλας καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν.

Οὔς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο,
τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν·
Ἀργεῖοι ἰόμωροι ἐλεγχέες οὔ νυ σέβεσθε;
τίφθ᾽ οὕτως ἕστητε τεθηπότες ἠΰτε νεβροί,
αἵ τ᾽ ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι

ἑστᾶσ᾽, οὐδ᾽ ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή·
ὣς ὑμεῖς ἔστητε τεθηπότες οὐδὲ μάχεσθε.
Ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν ἔνθά τε νῆες
εἰρύατ᾽ εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
ὄφρα ἴδητ᾽ αἴ κ᾽ ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων;

ὣς ὅ γε κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
ἦλθε δ᾽ ἐπὶ Κρήτεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
Οἳ δ᾽ ἀμφ᾽ Ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν,
Μηριόνης δ᾽ ἄρα οἱ πυμάτας ὄτρυνε φάλαγγας.

Τοὺς δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα δ᾽ Ἰδομενῆα προσηύδα μειλιχίοισιν·
Ἰδομενεῦ περὶ μέν σε τίω Δαναῶν ταχυπώλων
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ᾽ ἀλλοίῳ ἐπὶ ἔργῳ
ἠδ᾽ ἐν δαίθ᾽, ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον

Ἀργείων οἳ ἄριστοι ἐνὶ κρητῆρι κέρωνται.
Εἴ περ γάρ τ᾽ ἄλλοι γε κάρη κομόωντες Ἀχαιοὶ
δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἔστηχ᾽, ὥς περ ἐμοί, πιέειν ὅτε θυμὸς ἀνώγοι.
Ἀλλ᾽ ὄρσευ πόλεμον δ᾽ οἷος πάρος εὔχεαι εἶναι.

Τὸν δ᾽ αὖτ᾽ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Ἀτρεΐδη μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα·
ἀλλ᾽ ἄλλους ὄτρυνε κάρη κομόωντας Ἀχαιοὺς
ὄφρα τάχιστα μαχώμεθ᾽, ἐπεὶ σύν γ᾽ ὅρκι᾽ ἔχευαν

Τρῶες· τοῖσιν δ᾽ αὖ θάνατος καὶ κήδε᾽ ὀπίσσω
ἔσσετ᾽ ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.
Ὣς ἔφατ᾽, Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ·
ἦλθε δ᾽ ἐπ᾽ Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν.

Ὡς δ᾽ ὅτ᾽ ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς·
τῷ δέ τ᾽ ἄνευθεν ἐόντι μελάντερον ἠΰτε πίσσα
φαίνετ᾽ ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
ῥίγησέν τε ἰδών, ὑπό τε σπέος ἤλασε μῆλα·

τοῖαι ἅμ᾽ Αἰάντεσσι διοτρεφέων αἰζηῶν
δήϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες
κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι.
Καὶ τοὺς μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·

που αφού ξεκαμωθούνε τρέχοντας μες στο φαρδύ τον κάμπο,
πια σταματούν, και μες στα στήθη τους ξεπαραλυεί η καρδιά τους;
όμοια και σεις χαμένοι στέκεστε κι ουδέ στη μάχη πάτε.
Για καρτεράτε οι Τρώες στης θάλασσας την παραφρή να φτάσουν
κοντά, κει που 'χουμε τα ωριόπρυμνα καράβια τραβηγμένα,
να δείτε αν θα το απλώσει απάνω σας το χέρι ο γιος του Κρόνου;»

Έτσι προστάζοντας γυρόφερνε μες στις ζυγιές τ᾽ ασκέρι·
κι ήρθε, τα πλήθη άντιδιαβαίνοντας, στων Κρητικών τ᾽ ασκέρι,
που αρματωνόταν στον πολέμαρχο τρογύρα Ιδομενέα.
Ο Ιδομενέας στους πρώτους έστεκε, στη δύναμη ίδια κάπρος,
και πίσω τους στερνούς ξεσήκωνε στον πόλεμο ο Μηριόνης.
Τους είδε ο ρήγας Αγαμέμνονας κι ευφράθηκε η καρδιά του,
κι ευτύς, γλυκαίνοντας τα λόγια του, του Ιδομενέα μιλούσε:
«Περίσσια, Ιδομενέα, στον πόλεμο και στίς δουλειές τις άλλες
απ᾽ όλους τους γοργαλογάρηδες Αργίτες σε δοξάζω,
για σύντας τρώμε κι αξετίμητο, φλογάτο απ᾽ τα κροντήρια

κερνούν κρασί, να πίνουν οι άρχοντες οι πρώτοι απ᾽ τους Αργίτες.
Κι αν πίνουν οι άλλοι μακρομάλληδες Αργίτες το δικό τους
καθένας, όμως σένα η κούπα σου σαν τη δικιά μου στέκει
ξέχειλη πάντα, όσο που ρέγεται να 'χει να πιει η καρδιά σου.
Ομπρός λοιπόν στη μάχη, δείξε μας ποιος είσαι, ως το καυχιέσαι.»
Και τότε ο Ιδομενέας του απάντησε, των Κρητικών ο ρήγας:
«Ὑγιέ του Ατρέα, στ᾽ αλήθεια σύντροφος θα σου είμαι εγώ για
πάντα
πιστός, ως μιας αρχής σου το 'ταξα και δέθηκα με λόγο.
Μον᾽ πήγαινε, άλλους μακρομάλληδες Αργίτες να κεντρίσεις,
να μπούμε γρήγορα στον πόλεμο, μια κι έσπασαν τους όρκους

οι Τρώες· μα τούτους πίσω θάνατος τους καρτεράει και χάρος
το δίχως άλλο, τι τους όρκους μας πρώτοι μαθές πάτησαν.»
Είπε, κι ο γιος του Ατρέα χαρούμενος τον παρατάει και φεύγει
και μπρος στους δυο τους Αίαντες έφτασε περνώντας μες στα
πλήθη.
Κι αυτοί αρματώνουνταν, και πίσω τους σα σύγνεφο η πεζούρα.
Κι όπως γιδάρης ξάφνου σύγνεφο ξανοίγει από τη βίγλα
πάνω απ᾽ το πέλαγο να κρέμεται, σπρωγμένο απ᾽ τον αγέρα,
κι ως βλέπει από ψηλά, του φαίνεται πιο μαύρο, σαν την πίσσα,
να φτάνει κρεμαστό απ᾽ το πέλαγο, κι άγριο δρολάπι σέρνει'
κι ως το 'δε, χώνει το κοπάδι του μες στη σπηλιά απ᾽ τον τρόμο'

τέτοιες στον άγριο μέσα πόλεμο, τους Αίαντες ακλουθώντας,
οι φάλαγγες των αρχοντόγεννων παλικαριών τραβούσαν,
μαύρες, πυκνές, κι ακροτρικύμιζαν κοντάρια και σκουτάρια.
Τους είδε ο ρήγας Αγαμέμνονας κι ευφράθηκε η καρδιά του,

Αἴαντ᾽ Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
σφῶϊ μέν· οὐ γὰρ ἔοικ᾽ ὀτρυνέμεν· οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεσθαι.
Αἴ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·

τώ κε τάχ᾽ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλους·
ἔνθ᾽ ὅ γε Νέστορ᾽ ἔτετμε λιγὺν Πυλίων ἀγορητὴν
οὓς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι

ἀμφὶ μέγαν Πελάγοντα Ἀλάστορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε ποιμένα λαῶν·
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφι,
πεζοὺς δ᾽ ἐξόπιθε στῆσεν πολέας τε καὶ ἐσθλοὺς
ἔρκος ἔμεν πολέμοιο· κακοὺς δ᾽ ἐς μέσσον ἔλασσεν,

ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
Ἱππεῦσιν μὲν πρῶτ᾽ ἐπετέλλετο· τοὺς γὰρ ἀνώγει
σφοὺς ἵππους ἐχέμεν μηδὲ κλονέεσθαι ὁμίλῳ·
μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς
οἷος πρόσθ᾽ ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,

μηδ᾽ ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
Ὃς δέ κ᾽ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἔτερ᾽ ἅρμαθ᾽ ἵκηται
ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω.
Ὧδε καὶ οἱ πρότεροι πόλεας καὶ τείχε᾽ ἐπόρθεον
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες.

Ὣς ὃ γέρων ὄτρυνε πάλαι πολέμων ἐῢ εἰδώς·
καὶ τὸν μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ γέρον εἴθ᾽ ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ὥς τοι γούναθ᾽ ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη·

ἀλλά σε γῆρας τείρει ὁμοίϊον· ὡς ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρεΐδη μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
ὥς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.

Ἀλλ᾽ οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
εἰ τότε κοῦρος ἔα νῦν αὖτέ με γῆρας ὀπάζει.
Ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῇ καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
Αἰχμὰς δ᾽ αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο

και κράζοντας τους με ανεμάρπαστα τους συντυχαίνει λόγια:
«Ακούστε με, Αίαντες, που αφεντεύετε στους χαλκοθωρακάτους
Αργίτες᾽ δεν προστάζω τίποτε για σας, κι ουδέ ταιριάζει·
τι ατοί σας το στρατό φτερώνετε να πολεμήσει αντρίκεια.
Να 'ταν, πατέρα Δία κι Απόλλωνα και συ Αθηνά μου, αλήθεια
τέτοια καρδιά να κλείναν όλοι τους στα στήθη σαν και τούτους!

Το κάστρο τότε θα γονάτιζε του Πριάμου του ρηγάρχη,
γοργά πεσμένο μες στα χέρια μας, στην άκρη του σπαθιού μας.»
Ως είπε αυτά, τους απαράτησε, κι ως τράβηξε πιο κάτω,
το Νέστορα ήβρε, το γλυκόλαλον αγορητή της Πύλος,
να παρατάζει και στον πόλεμο να σπρώχνει τους δικούς του,
στο ρήγα Βίαντα, στον Πελάγοντα το μέγα, στο Χρομίο,
στον Αίμονα και στον Αλάστορα το βασιλιά τρογύρα.
Οι αμαξολάτες πρώτοι εστέκουνταν με τ᾽ άτια και τ᾽ αμάξια'
πίσω οι πεζοί, πολλοί κι αντρόκαρδοι, στον πόλεμο να στέκουν
πύργος γερός᾽ στη μέση ο Νέστορας τους αχαμνούς κρατούσε,

έτσι που κι άθελα ο καθένας τους να πολεμά απ᾽ ανάγκη.
Οι αμαξολάτες πρώτα πρόσταξε γερά τ᾽ αλόγατά τους
να τα κρατούν και μες στον τάραχο να μη χαλνούν την τάξη.
«Μηδέ κανείς, τάχα είναι αντρόκαρδος και στ᾽ άλογα τεχνίτης,
μπροστά απ᾽ τους άλλους να θαρρεύεται να πολεμάει μονάχος,
για και να φεύγει᾽ τι αχαμναίνετε μ᾽ αυτά τη δύναμη σας.
Αν όμως ένας απ᾽ τ᾽ αμάξι του κάποιο άλλο φτάσει αμάξι,
με το κοντάρι ας πέσει πάνω του᾽ το πιο συφέρο αυτό 'ναι.
Όμοια κούρσευαν κι οι πατέρες μας και πολιτείες και κάστρα,
τέτοια καρδιά και γνώμη κλείνοντας βαθιά στα στήθια μέσα.»

Να πώς τους έσπρωχνε, από πόλεμους παλιούς ξεσκολισμένος,
ο γέροντας, κι εχάρη, ως είδε τον, ο πρωτοστρατολάτης,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Όπως χτυπά η καρδιά σου, γέροντα, στα στήθη, ας ήταν να 'χες
τα γόνα αλύγιστα κι ακλόνητη τη δύναμη σου πάντα!
Ωστόσο τ᾽ άγρια εσέ γεράματα πλάκωσαν. Να 'ταν άλλον
να 'χουνε βρει, και συ να χαίρεσαι περίσσια νιάτα ακόμα!»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Ὑγιέ του Ατρέα, το πώς θα το 'θελα κι εγώ σαν τότε να 'μαι
που τον Ερευθαλίωνα σκότωσα τον αρχοντοθρεμμένο.

Όλα οι θεοί μαζί δεν τά᾽ δωκαν ωστόσο στους ανθρώπους᾽
κι αν ήμουν τότε νιος, γεράματα μ᾽ έχουν πλακώσει τώρα.
Κι όμως θα πάω μαζί, τα λόγια μου ν᾽ ακούν οι αμαξολάτες
και τις βουλές μου, τι στο γέροντα τούτη απομένει η χάρη.

ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν.
Ὣς ἔφατ’, Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ.
Εὗρ’ υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον
ἑσταότ’· ἀμφὶ δ’ Ἀθηναῖοι μήστωρες ἀϋτῆς·
αὐτὰρ ὃ πλησίον ἑστήκει πολύμητις Ὀδυσσεύς,

πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
ἔστασαν· οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀϋτῆς,
ἀλλὰ νέον συνορινόμεναι κίνυντο φάλαγγες
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἳ δὲ μένοντες
ἔστασαν ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν

Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο.
Τοὺς δὲ ἰδὼν νείκεσσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος,
καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε κερδαλεόφρον

τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ’ ἄλλους;
σφῶϊν μέν τ’ ἐπέοικε μετὰ πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι·
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.

Ἔνθα φίλ’ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέος ὄφρ’ ἐθέλητον·
νῦν δὲ φίλως χ’ ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλεῖ χαλκῷ.
Τὸν δ’ ἄρ’ ὑπόδρα ἰδὼν προσέφη πολύμητις
Ὀδυσσεύς·

Ἀτρεΐδη ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
πῶς δὴ φῇς πολέμοιο μεθιέμεν ὁππότ’ Ἀχαιοὶ
Τρωσὶν ἐφ’ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα;
ὄψεαι αἴ κ’ ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα

Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ’ ἀνεμώλια βάζεις.
Τὸν δ’ ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων
ὡς γνῶ χωομένοιο· πάλιν δ’ ὅ γε λάζετο μῦθον·
διογενὲς Λαερτιάδη πολυμήχαν’ Ὀδυσσεῦ
οὔτέ σε νεικείω περιώσιον οὔτε κελεύω·

οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ’ ἐγὼ περ.
Ἀλλ’ ἴθι ταῦτα δ’ ὄπισθεν ἀρεσσόμεθ’ εἴ τι κακὸν νῦν
εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ’ ἄλλους.

Ας πολεμούν με τα κοντάρια τους οι νιότεροί μου τώρα,
που 'χουν πιο δύναμη, κι ανάκαρα γρικούν περίσσια εντός τους.»
Είπε, κι ο γιος του Ατρέα χαρούμενος τον προσπερνάει, και βρίσκει
το Μενεσθέα πιο κάτω που 'στεκε, τον άξιο αλογολάτη,
του Πετεού το γιο, και γύρα του των Αθηναίων τ’ ασκέρι
γιομάτο ορμή, κι ο πολυμήχανος πιο κει Οδυσσέας στεκόταν,

και πλάι του εστέκουνταν οι αδείλιαστοι Κεφαλλονίτες όλοι’
μες στα φουσάτα τους ο τάραχος δεν είχε φτάσει ακόμα,
τι τώρα μόλις ξεσηκώνουνταν να χτυπηθούν οι Αργίτες
κι οι Τρώες οι αλογατάδες σύψυχοι’ κι εκείνοι καρτερώντας
στέκονταν, άλλη πρώτα Αργίτικη να ιδούν κολόνα ομπρός τους
πάνω στους Τρώες με ορμή να χύνεται κι ο πόλεμος ν’ ανοίξει.
Κι ο πρωταφέντης Αγαμέμνονας τους μάλωσε, ως τους είδε,
και κράζοντας τους με ανεμάρπαστα τους συντυχαίνει λόγια:
« Του Πετεού του αρχοντογέννητου ρηγάρχη υγιέ’ και σένα
στην πονηριά, σε ξέρω, μάστορα και συφερρντονούση'

Τι τάχα ανάμερα ζαρώνετε προσμένοντας τους άλλους;
Ταιριάζει εσείς οι δυο να βρίσκεστε στους μπροστομάχους μέσα
κι εκεί της μάχης ν’ αντικρίζετε την πυρωμένη φλόγα'
γιατί και πρώτοι εσείς το κάλεσμα γρικάτε το δικό μου,
σύντας τραπέζι οι Αργίτες στρώνουμε στους πρωτοκεφαλάδες.
Εκεί να τρώτε σας καλόρχεται κρέας ψητό, και κούπες
κρασί μελόγλυκο να πίνετε, καθώς ποθεί η καρδιά σας.
Τώρα και δέκα θα σας άρεσαν Αργίτικες κολόνες
μπροστά από σας με τον ανέσπλαχνο χαλκό να πολεμούνε.»
Ταυροκοιτώντας ο πολύβουλος του απάντησε Οδυσσέας:

«Ατρείδη, τι είναι αυτός που ξέφυγε τα δυο σου χείλια λόγος;
Εμείς τη μάχη να ξεφύγουμε κοιτάμε λες, οι Αργίτες
κάθε που ασκώνουν άγριο πόλεμο στους Τρώες τους αλογάδες;
Θα ιδείς ωστόσο, αν τόσο γνοιάζεσαι και θέλεις, να χτυπιέται
σε λίγο ο κύρης του Τηλέμαχου στους μπροστομάχους μέσα
από τους Τρώες τους αλογάρηδες. Μα εσύ μιλάς του ανέμου!»
Τότε ο ρηγάρχης Αγαμέμνονας χαμογελώντας κρένει
και πίσω επήρε ευτύς το λόγο του, θωρώντας το θυμό του:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
τι να σου κάνω εγώ μαλώματα, τι διάτες να σου δίνω,

που εγώ το ξέρω πως στα στήθια σου μονάχα το καλό μου
θέλει η καρδιά σου, κι είναι οι πόθοι σου κι οι πόθοι μου ένα
πάντα;
Μον’ έλα, αργότερα τα φτιάνουμε, κι αν τίποτε έχει τώρα

Εὗρε δὲ Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
ἑσταότ᾽ ἔν θ᾽ ἵπποισι καὶ ἄρμασι κολλητοῖσι·
πὰρ δέ οἱ ἑστήκει Σθένελος Καπανῆϊος υἱός.
Καὶ τὸν μὲν νείκεσσεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

ὤ μοι Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο
τί πτώσσεις, τί δ᾽ ὀπιπεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέϊ γ᾽ ὧδε φίλον πτωσκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι,
ὡς φάσαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἔγωγε

ἤντησ᾽ οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι.
Ἦτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ λαὸν ἀγείρων·
οἳ δὲ τότ᾽ ἐστρατόωνθ᾽ ἱερὰ πρὸς τείχεα Θήβης,
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους·

οἳ δ᾽ ἔθελον δόμεναι καὶ ἐπῄνεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
Οἳ δ᾽ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ᾽ ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ᾽ αὖτ᾽ ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.

Αὐτὰρ ὃ βῆ, πολέας δὲ κιχήσατο Καδμεῖωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
Ἔνθ᾽ οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
ἀλλ᾽ ὅ γ᾽ ἀεθλεύειν προκαλίζετο, πάντα δ᾽ ἐνίκα

ῥηϊδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.
Οἳ δὲ χολωσάμενοι Καδμεῖοι κέντορες ἵππων
ἂψ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν λόχον εἶσαν ἄγοντες
κούρους πεντήκοντα· δύω δ᾽ ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης ἐπιείκελος ἀθανάτοισιν,

υἱός τ᾽ Αὐτοφόνοιο μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκε·
πάντας ἔπεφν᾽, ἕνα δ᾽ οἷον ἴει οἶκον δὲ νέεσθαι·
Μαίον᾽ ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας.
Τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν

γείνατο εἶο χέρεια μάχῃ, ἀγορῇ δέ τ᾽ ἀμείνω.
Ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κρατερὸς Διομήδης
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο·
τὸν δ᾽ υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
Ἀτρεΐδη μὴ ψεύδε᾽ ἐπιστάμενος σάφα εἰπεῖν·

βαρύ ειπωθεί, οι θεοί τα λόγια μας ας τ᾽ ανεμοσκορπίσουν.»
Ως είπε αυτά, τους απαράτησε και τράβηξε πιο κάτω,
και του Τυδέα το γιο, τον άτρομο Διομήδη, πετυχαίνει
πίσω από τ᾽ άλογα να στέκεται πα στο γερό του αμάξι,
και πλάι του εστέκουνταν ο Σθένελος, ό γιος του Καπανέα.
Κι ο πρωταφέντης Αγαμέμνονας τον μάλωσε, ως τον είδε,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:

«Γιε του Τυδέα του πολεμόχαρου, του αλογατάρη, αλί μου!
Τι μου ζαρώνεις; τι τα διάβατα της μάχης βλέπεις γύρα;
Αλήθεια, στον Τυδέα δεν άρεσε να 'ναι έτσι ζαρωμένος,
μον᾽ πιό μπροστά πολύ απ᾽ τους συντρόφους να μάχεται᾽ έτσι
έλεγαν
όσοι τον είδαν μες στον πόλεμο᾽ τι αλήθεια δεν τον είδα
ποτέ μου εγώ, μηδέ τον έσμιξα, μα ασύγκριτο τον λέγαν.
Μπήκε μια μέρα δίχως πόλεμο μες στη Μυκήνα, ως φίλος,
στρατό για να μαζέψει᾽ αντάμα του κι ο ισόθεος Πολυνείκης,
τότε που θέλαν να πατήσουνε τ᾽ άγια τειχιά της Θήβας.
Κι από τους Μυκηναίους εγύρευαν τρανούς βοηθούς να δώσουν'

κι εκείνοι να τους δώσουν ήθελαν, στα λόγια τους γρικώντας.
Μα ο Δίας τη γνώμη τους μετάλλαξε με δίσεχτα σημάδια.
Και τούτοι πήραν δρόμο κι έφυγαν, κι ως έφτασαν τραβώντας
στον παχιολίβαδο, πυκνόβουρλο τον Ασωπό, λογιάσαν
οι Αργίτες, ο Τυδέας μαντάτορας γι᾽ αλλού ξανά να φύγει.
Και πήγε αυτός και συναπάντησε πλήθος Καδμείους, την ώρα
που στο παλάτι έτρωγαν κι έπιναν του Ετεοκλή του γαύρου.
Κι ο αλογατάρης δε φοβήθηκε Τυδέας, κι ας ήταν ξένος,
έτσι ολομόναχος που βρέθηκε μες των Καδμείων το πλήθος.
Να παραβγούν τους αντροκάλεσε, και σε όλα τους νικούσε

ανέκοπα, τι παραστάτισσα την Αθηνά είχε δίπλα.
Τότε οι Καδμείοι βαριά αραθύμησαν οι αλογοφτερνιστάδες
και πίβουλο καρτέρι του 'στησαν στου γυρισμού τη στράτα,
πενήντα παλικάρια, κι έβαλαν και δυο αρχηγούς, του Αιμόνου
το γιο το Μαίονα, που συνόμοιαζε με τους θεούς στην όψη,
και τον αντρόκαρδο του Αυτόφονου το γιο, τον Πολυφόντη.
Και τούτοι απ᾽ τον Τυδέα καλύτερη δεν ήβραν μοίρα ωστόσο᾽
τους σκότωσε όλους᾽ έναν άφησε μονάχα να γυρίσει᾽
το Μαίονα αφήκε μόνο, ακούγοντας σε θεοτικά σημάδια.
Έτσι ο Αιτωλός Τυδέας πολέμησε, μα γέννησε το γιο του

χειρότερο του στο αντροκάλεσμα, καλύτερο στα λόγια.»
Είπε, κι ωστόσο ο τρανοδύναμος Διομήδης του ρηγάρχη
του σεβαστού τα λόγια ντράπηκε και δεν του απηλογήθη.
Μα ο γιος του Καπανέα του πέρφανου του γύρισε το λόγο:

ἡμεῖς τοι πατέρων μέγ᾽ ἀμείνονες εὐχόμεθ᾽ εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἴλομεν ἑπταπύλοιο
παυρότερον λαὸν ἀγαγόνθ᾽ ὑπὸ τεῖχος ἄρειον,
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·

τὼ μή μοι πατέρας ποθ᾽ ὁμοίῃ ἔνθεο τιμῇ.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
τέττα, σιωπῇ ἧσο, ἐμῷ δ᾽ ἐπιπείθεο μύθῳ·
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
ὀτρύνοντι μάχεσθαι ἐϋκνήμιδας Ἀχαιούς·

τούτῳ μὲν γὰρ κῦδος ἅμ᾽ ἕψεται εἴ κεν Ἀχαιοὶ
Τρῶας δῃώσωσιν ἕλωσί τε Ἴλιον ἱρήν,
τούτῳ δ᾽ αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων.
Ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
Ἦ ῥα καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε·

δεινὸν δ᾽ ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος
ὀρνυμένου· ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν.
Ὡς δ᾽ ὅτ᾽ ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ᾽ ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα

χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ᾽ ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ᾽ ἁλὸς ἄχνην·
ὣς τότ᾽ ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμον δέ· κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων· οἳ δ᾽ ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης

τόσσον λαὸν ἕπεσθαι ἔχοντ᾽ ἐν στήθεσιν αὐδήν,
σιγῇ δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ᾽ ἔλαμπε, τὰ εἱμένοι ἐστιχόωντο.
Τρῶες δ᾽, ὥς τ᾽ ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκὸν

ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα ἀρνῶν,
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ᾽ ἴα γῆρυς,
ἀλλὰ γλῶσσα μέμικτο, πολύκλητοι δ᾽ ἔσαν ἄνδρες.
Ὄρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη

Δεῖμός τ᾽ ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
ἥ τ᾽ ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει·
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ

«Παράτα, υγιέ του Ατρέα, τα ψέματα, και τα σωστά τα ξέρεις!
Εμείς, καυκιόμαστε, στον πόλεμο περνούμε τους γονιούς μας'
εμείς τη Θήβα την έφτάπορτη πατήσαμε, κι ας ήταν
πιο λίγος ο στρατός που εφέραμε μπρος στα τρανά τειχιά της,
γιατί είχαμε στο Δία τα θάρρη μας και στα θεϊκά σημάδια.
Όμως εκείνοι από την ίδια τους κακογνωμιά εχαθήκαν.

Στην ίδια την τιμή μη βάζεις μας λοιπόν με τους γονιούς μας.»
Ταυροκοιτώντας τον αντίσκοψε τότε ο τρανός Διομήδης:
«Σύντροφε, κάθου τώρα αμίλητος κι ό,τι σου πω ν᾽ ακούσεις᾽
του πρωταφέντη του Αγαμέμνονα δε με πικραίνει ο λόγος,
τους Αχαιούς τους πολεμόχαρους να βγουν στη μάχη ως σπρώχνει᾽
τι αν ίσως οι Αχαιοί χαλάσουνε τους Τρώες και το άγιο κάστρο
της Τροίας πατήσουν, κοσμοξάκουστο θα γίνει τ᾽ όνομά του.
Μ᾽ αν χαλαστούν οι Αργίτες, άμετρη θα νιώσει εκείνος πίκρα.
Μον᾽ έλα τώρα, την αδάμαστη να θυμηθούμε αντρεία μας.»
Είπε, κι από το αμάξι επήδηξε συνάρματος στο χώμα,

κι άγρια βρόντηξαν τα χαλκάρματα στου ρήγα απά τα στήθη,
ως πήρε φόρα᾽ τρόμος θα 'πιανε και ψυχωμένο ακόμα.
Πώς σε γιαλό μπροστά πολύβογγο της θάλασσας το κύμα
ασκώνει ο Ζέφυρος, και χύνεται ξοπίσω το 'να στ᾽ άλλο᾽
βαθιά στο πέλαο πρώτα υψώνεται, μετά στην ξέρα απάνω
σπάζει με ορμή και με άγριο βρούχισμα, κι ολόγυρα στους κάβους
δοξαρωτό κορφοσηκώνεται ξερνώντας αλισάχνη᾽
όμοια κι οι φάλαγγες οι Αργίτικες απανωτές τραβούσαν
δίχως σωμό στη μάχη᾽ φώναζε στο ασκέρι το δικό του
κάθε ρηγάρχης᾽ οι άλλοι αμίλητοι τραβούσαν (τόσα πλήθη

πώς ακλουθούν ποτέ δε θα 'λεγες κι έχουν φωνή στο στήθος)
βουβοί, από φόβο στους ρηγάρχες τους μπροστά᾽ κι ολόγυρα τους
οι πλουμιστές αρμάτες έλαμπαν, που ως όδευαν φορούσαν.
Κι οι Τρώες, ως πρόβατα σε τσέλιγκα τρανού τη μάντρα στέκουν
μύρια, ν᾽ αρμέξουν το άσπρο γάλα τους, κι ως καρτερούν, βελάζουν
χωρίς αναπαμό, τ᾽ αρνάκια τους γρικώντας᾽ όμοια τότε
των Τρωών ο αλαλητός ασκώνουνταν μες στο φαρδύ τ᾽ ασκέρι.
ίδια λαλιά δεν είχαν όλοι τους μηδέ μιλούσαν όμοια,
τι ήταν το ασκέρι χιλιομάζωχτο κι οι γλώσσες μπερδεμένες.
Και τούτους ο Άρης τους ξεσήκωνε, τους άλλους η Παλλάδα,

κι ο Φόβος κι η Τρομάρα κι η άπαυτα ξεφρενιασμένη Αμάχη,
του Άρη του αντροφονια η συντρόφισσα κι αντάμα κι αδερφή του᾽
που λίγο λίγο πρώτα ασκώνεται, μα γρήγορα στυλώνει
ψηλά στα ουράνια το κεφάλι της καί περπατάει στο χώμα.

ἐρχομένη καθ᾽ ὅμιλον ὀφέλλουσα στόνον ἀνδρῶν.
Οἳ δ᾽ ὅτε δή ῥ᾽ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ᾽ ἔβαλον ῥινούς, σὺν δ᾽ ἔγχεα καὶ μένε᾽ ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ᾽ ἀλλήλῃσι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει.

Ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ᾽ αἵματι γαῖα.
Ὡς δ᾽ ὅτε χείμαρροι ποταμοὶ κατ᾽ ὄρεσφι ῥέοντες
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης,

τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
ὣς τῶν μισγομένων γένετο ἰαχή τε πόνος τε.
Πρῶτος δ᾽ Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστὴν
ἐσθλὸν ἐνὶ προμάχοισι Θαλυσιάδην Ἐχέπωλον·
τόν ῥ᾽ ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,

ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ᾽ ἄρ᾽ ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν,
ἤριπε δ᾽ ὡς ὅτε πύργος ἐνὶ κρατερῇ ὑσμίνῃ.
Τὸν δὲ πεσόντα ποδῶν ἕλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς Ἀβάντων,

ἕλκε δ᾽ ὑπ᾽ ἐκ βελέων, λελιημένος ὄφρα τάχιστα
τεύχεα συλήσειε· μίνυνθα δέ οἱ γένεθ᾽ ὁρμή.
Νεκρὸν γὰρ ἐρύοντα ἰδὼν μεγάθυμος Ἀγήνωρ
πλευρά, τά οἱ κύψαντι παρ᾽ ἀσπίδος ἐξεφαάνθη,
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα.

Ὣς τὸν μὲν λίπε θυμός, ἐπ᾽ αὐτῷ δ᾽ ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὣς
ἀλλήλοις ἐπόρουσαν, ἀνὴρ δ᾽ ἄνδρ᾽ ἐδνοπάλιζεν.
Ἔνθ᾽ ἔβαλ᾽ Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας
ἡΐθεον θαλερὸν Σιμοείσιον, ὅν ποτε μήτηρ

Ἴδηθεν κατιοῦσα παρ᾽ ὄχθῃσιν Σιμόεντος
γείνατ᾽, ἐπεί ῥα τοκεῦσιν ἄμ᾽ ἕσπετο μῆλα ἰδέσθαι·
τοὔνεκά μιν κάλεον Σιμοείσιον· οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ᾽ ὑπ᾽ Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.

Πρῶτον γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἀντικρὺ δὲ δι᾽ ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὃ δ᾽ ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὣς
ἥ ῥά τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο πεφύκει
λείη, ἀτάρ τέ οἱ ὄζοι ἐπ᾽ ἀκροτάτῃ πεφύασι·

Αυτή και τότε πηγαινόρχουνταν αναμεσός στ᾽ ασκέρια,
την άγρια αμάχη τους κεντρίζοντας κι αυξαίνοντας το βόγγο.
Κι όπως τα δυο τ᾽ ασκέρια τρέχοντας σμίξαν μαζί, σκουντρήξαν
το 'να με τ᾽ άλλο τα κοντάρια τους, σκουντρήξαν τα σκουτάρια
και των αντρών των χαλκοθώρακων η αντρεία, κι αντιχτυπούσαν
οι αφαλωτές ασπίδες, κι έβραζεν ο σάλαγος περίσσιος᾽

και γρίκαες καυκησιές και γόσματα μαζί την ίδιαν ώρα,
αυτών που έσφαζαν και που εσφάζουνταν, κι η γης πλημμύριζε
αίμα.
Καθώς φουσκώνουν ξεροπόταμα κι απ᾽ τα βουνά κυλούνε
και σμίγουν κάτω στο συλλάγκαδο τα ξέχειλα νερά τους,
που από κρουνούς τρανούς ξεχύνουνται μες σε βαθιά χαράδρα,
κι ακούει το βρουχισμό τους ξέμακρα πα στο βουνό ο τσοπάνος,
όμοια κι αυτοί, σα σμίξαν, έβγαζαν αλαλαγμούς και βόγγους.
Πρώτος ο Αντίλοχος εσκότωσε μέσα στους Τρώες προμάχους
τρανό αντρειωμένο, τον Εχέπωλο, το γιο του Θαλυσίου'
πρώτος του χτύπησε το κέρατο στο αλογουρίσιο κράνος.

Τρυπάει το μέτωπο και πέρασε το κόκαλο ως τα μέσα'
ο χάλκινος χαλός᾽ κι εσκέπασε τα μάτια του σκοτάδι,
κι ως πύργος καταγής γκρεμίστηκε στην άγρια μέσα μάχη.
Κι ευτύς, ως έπεσε, ο Ελεφήνορας τον άρπαξε απ᾽ τα πόδια,
ο γιος ο γαύρος του Χαλκώδοντα, των Άβαντων ο ρήγας,
κι απ᾽ τις ριξιές σκυφτός τον έσερνε, ποθώντας να του γδύσει
με βιάση τ᾽ άρματα᾽ μα η φόρα του δε βάσταξε πολληώρα'
τι ως ο λιοντόκαρδος Αγήνορας τον είδε να τον σέρνει
και στο σκουτάρι δίπλα, ως έγερνε, να δείχνει το πλευρό του,
με το χαλκό κοντάρι του 'ρίξε και τη ζωή του παίρνει.

Έτσι η ζωή του εκόπη, κι άναψε στους Τρώες και στους Αργίτες
τότε τρανό κακό από πάνω του, τι κι απ᾽ τα δυο τα μέρη
χιμούσαν σαν τους λύκους κι έριχναν ο ένας τον άλλο κάτω.
Κι ο τελαμώνιος Αίας ένα άγουρο, το Σιμοείσιο, ρίχνει,
που του Ανθεμίωνα γιος έκράζουνταν η μάνα του μια μέρα
στους Οχτους του Σιμόη τον γέννησε γυρνώντας απ᾽ την Ίδα,
όπου είχε πάει να ιδεί τα πρόβατα μαζί με τους γονιούς της.
Γι᾽ αυτό και Σιμοείσιος κράζουνταν, μα να γεροκομήσει
γραφτό του τους γονιούς δεν ήτανε. Λιγόχρονος εστάθη,
καθώς με το κοντάρι ο άντρόκαρδος τον χτύπησε Αίαντας τότε'

τι ως πρώτος πρόβαινε, τον πέτυχε στο στήθος, στο δεξιό του
δίπλα βυζί, κι αντίκρα επέρασε το χάλκινο κοντάρι
μέσα απ᾽ τον ώμο᾽ και κυλίστηκε στον κουρνιαχτό, σα λεύκα
που σε φαρδύ, βαθύ βαλτότοπο φυτρώνει, κι ίσια πάνω

τὴν μέν θ᾽ ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
ἐξέταμ᾽, ὄφρα ἴτυν κάμψῃ περικαλλέϊ δίφρῳ·
ἡ μέν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθας.
Τοῖον ἄρ᾽ Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν
Αἴας διογενής· τοῦ δ᾽ Ἄντιφος αἰολοθώρηξ

Πριαμίδης καθ᾽ ὅμιλον ἀκόντισεν ὀξέϊ δουρί.
Τοῦ μὲν ἅμαρθ᾽, ὃ δὲ Λεῦκον Ὀδυσσέος ἐσθλὸν ἑταῖρον
βεβλήκει βουβῶνα, νέκυν ἑτέρωσ᾽ ἐρύοντα·
ἤριπε δ᾽ ἀμφ᾽ αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.
Τοῦ δ᾽ Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοιο χολώθη,

βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰὼν καὶ ἀκόντισε δουρὶ φαεινῷ
ἀμφὶ ἒ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο
ἀνδρὸς ἀκοντίσσαντος· ὃ δ᾽ οὐχ ἅλιον βέλος ἧκεν,
ἀλλ᾽ υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα

ὅς οἱ Ἀβυδόθεν ἦλθε παρ᾽ ἵππων ὠκειάων.
Τόν ῥ᾽ Ὀδυσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρὶ
κόρσην· ἡ δ᾽ ἑτέροιο διὰ κροτάφοιο πέρησεν
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψε,
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.

Χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
ἴθυσαν δὲ πολὺ προτέρω· νεμέσησε δ᾽ Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ κέκλετ᾽ ἀϋσας·
ὄρνυσθ᾽ ἱππόδαμοι Τρῶες μηδ᾽ εἴκετε χάρμης

Ἀργείοις, ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν·
οὐ μὰν οὐδ᾽ Ἀχιλεὺς Θέτιδος πάϊς ἠϋκόμοιο
μάρναται, ἀλλ᾽ ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.
Ὣς φάτ᾽ ἀπὸ πτόλιος δεινὸς θεός· αὐτὰρ Ἀχαιοὺς

ὦρσε Διὸς θυγάτηρ κυδίστη Τριτογένεια
ἐρχομένη καθ᾽ ὅμιλον, ὅθι μεθιέντας ἴδοιτο.
Ἔνθ᾽ Ἀμαρυγκείδην Διώρεα μοῖρα πέδησε·
χερμαδίῳ γὰρ βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ Θρῃκῶν ἀγὸς ἀνδρῶν

Πείρως Ἰμβρασίδης ὃς ἄρ᾽ Αἰνόθεν εἰληλούθει.
Ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίησεν· ὃ δ᾽ ὕπτιος ἐν κονίῃσι
κάππεσεν ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας
θυμὸν ἀποπνείων· ὃ δ᾽ ἐπέδραμεν ὅς ῥ᾽ ἔβαλέν περ

τραβάει, και μοναχά κατάκορφα φυτρώνουν τα κλαριά της·
αμαξομάστορας την έκοψε με αστραφτερό τσεκούρι,
να τη λυγίσει και τροχόγυρος να γίνει σε ώριο αμάξι'
κι αυτή κοιτάμενη ξεραίνεται στου ποταμού τον όχτο'
παρόμοια ο Σιμοείσιος κοίτουνταν, σαν πήρε να τον γδύνει
ο γαύρος Αίας· και τότες ο Άντιφος, ο στραφτοθωρακάτος

του Πριάμου γιος, μες στο αντρομάζωμα του ρίχνει το κοντάρι
το μυτερό, μα δεν τον πέτυχε, μον᾽ βρίσκει στ᾽ αχαμνά του
το Λευκό, του Οδυσσέα το σύντροφο, που το νεκρό τραβούσε'
και το κορμί απ᾽ τα χέρια του 'φύγε κι απάνω του εσωριάστη.
Τότε ο Οδυσσέας βαριά αραθύμησε θωρώντας τον να πέφτει'
γοργά περνάει μέσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος
κι ήρθε, κοντά του εστάθη κι έριξε το λιόφωτο κοντάρι,
με προσοχή κοιτώντας γύρα του᾽ κι οι Τρώες έκαμαν πίσω,
καθώς κοντάριζε᾽ κι ούδ᾽ έφυγε στ᾽ ανώφελα η ριξιά του'
το νόθο υγιό του Πριάμου πέτυχε, το Δημοκόωντα, μόλις

από την Άβυδο, από τ᾽ άλογα του κύρη του, φτασμένο.
Αυτόν, χολιώντας για το σύντροφο, κοντάρεψε ο Οδυσσέας
δίπλα στο μέτωπο, κι ο χάλκινος χαλός περνά από τ᾽ άλλο
μελίγγι ως πέρα, και του σκέπασε τα μάτια το σκοτάδι.
Βαρύς σωριάστη, κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Πισωδρομίζει ο γαύρος Έχτορας κι οι μπροστομάχοι τότε,
κι οι Αργίτες όλοι αμέσως χούγιαξαν και τους νεκρούς τράβηξαν
και πήραν δρόμο ομπρός. Μα θύμωσεν ο Απόλλωνας, που εθώρειε
ψηλά απ᾽ τα Πέργαμα, και φώναξε στους Τρώες γκαρδιώνοντάς τους:
« Αλογατάδες Τρώες, απάνω τους, κρατήστε την αντρεία σας

μπρος στους Αργίτες, τι από σίδερο για πέτρα τα κορμιά τους
δεν είναι, στου χαλκού το χτύπημα του σαρκοφα ν᾽ αντέξουν.
Κι ουδ᾽ ο Αχιλλέας, της ωριοπλέξουδης θεάς ο γιος, στη μάχη'
βρίσκεται εδώ, μον᾽ στα πλεούμενα κλωσάει τη μάνητα του.»
Ετσι ο θεός μιλούσε ο ανήμερος, κι ωστόσο τους Αργίτες
ξεσήκωνε η Αθηνά η περίλαμπρη, του Δία η θυγατέρα,
γυρνώντας δώθε κείθε, όπου 'βλέπε να παρατούν τη μάχη.
Το Δίωρη τότε η Μοίρα αφάνισε, το γιο του Αμαρυγκέα'
τον είχε βρει πλάι στον αστράγαλο, στο πόδι το δεξιό του
μιαν αγκυλόπετρα, που του 'ριξε του Ιμπράσου ο γιος ο Πείρος,

που 'χε απ᾽ την Αίνο φτάσει κι έστεκε ρηγάρχης στους Θρακιώτες.
Κι η άπονη η πέτρα και τα κόκαλα και το διπλό το νεύρο
του θρυμματίζει, και ξαπλώθηκε τ᾽ ανάσκελα στη σκόνη!
κι ως του 'φευγε η ψυχή, στους συντρόφους τους ακριβούς τα δυο

Πείροος, οὗτα δὲ δουρὶ παρ᾽ ὀμφαλόν· ἐκ δ᾽ ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες, τὸν δὲ σκότος ὄσσε κάλυψε.
Τὸν δὲ Θόας Αἰτωλὸς ἀπεσσύμενον βάλε δουρὶ
στέρνον ὑπὲρ μαζοῖο, πάγη δ᾽ ἐν πνεύμονι χαλκός·
ἀγχίμολον δέ οἱ ἦλθε Θόας, ἐκ δ᾽ ὄβριμον ἔγχος

ἐσπάσατο στέρνοιο, ἐρύσσατο δὲ ξίφος ὀξύ,
τῷ ὅ γε γαστέρα τύψε μέσην, ἐκ δ᾽ αἵνυτο θυμόν.
Τεύχεα δ᾽ οὐκ ἀπέδυσε· περίστησαν γὰρ ἑταῖροι
Θρῄϊκες ἀκρόκομοι δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντες,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν

ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος πελεμίχθη.
Ὣς τώ γ᾽ ἐν κονίῃσι παρ᾽ ἀλλήλοισι τετάσθην,
ἤτοι ὃ μὲν Θρῃκῶν, ὃ δ᾽ Ἐπειῶν χαλκοχιτώνων
ἡγεμόνες· πολλοὶ δὲ περὶ κτείνοντο καὶ ἄλλοι.
Ἔνθά κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών,

ὅς τις ἔτ᾽ ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ
δινεύοι κατὰ μέσσον, ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη
χειρὸς ἑλοῦσ᾽, αὐτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέες ἐν κονίῃσι παρ᾽ ἀλλήλοισι τέταντο.

του
τα χέρια του άπλωνε. Κι ο που 'ριξε του ρίχτηκεν, ο Πείρος,
κι ως στην κοιλιά, κοντά στο αφάλι του, τον χτύπησε, χύθηκαν
τα σπλάχνα του στη γη, και σκέπασε τα μάτια του σκοτάδι.
Μα ως έκανε να φύγει, του 'ριξεν ο Θόας απά στο στήθος,
πλάι στο βυζί, καί στο πλεμόνι του μέσα ο χαλκός εμπήχτη.
Κι ο Θόας σιμώνοντας ανάσπασε το δυνατό κοντάρι

από το στήθος του, καί βγάζοντας το κοφτερό σπαθί του
στη μέση της κοιλιάς τον χτύπησε και τη ζωή του πήρε.
Δεν τον ξαρμάτωσε όμως, τι έτρεξαν τρογύρα του οι Θρακιώτες,
οι σύντροφοι του οι φουντομάλληδες, με τα μακριά κοντάρια,
κι όσο κι αν ήταν γιγαντόκορμος και παλικάρι κι άντρας,
πίσω τον έσπρωξαν τρομάζοντας πισωστρατίζει εκείνος.
Ετσι στη σκόνη μέσα εκοίτουνταν σιμά σιμά κι οι δυο τους,
στους Επειούς τους χαλκοθώρακους ο πρώτος, στους Θρακιώτες
ο άλλος ρηγάρχης· και τρογύρα τους κορμιά περίσσια έπεφταν.
Με τέτοια μάχη πια παράπονο κανείς δε θα 'χε, φτάνει

να μπόρειε, αδόξευτος κι αλάβωτος από χαλκό, να τρέχει
στη μέση εκεί, με παραστάτισσα την Αθηνά Παλλάδα,
να τον κρατά απ᾽ το χέρι, διώχνοντας κάθε ριξιά από μπρος του'
τι πλήθος Τρώες κι Αργίτες πίστομα μαθές τη μέρα εκείνη
στη σκόνη ξαπλωμένοι εκοίτουνταν ο ενας στον άλλον πλάι.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Ε-

-Ε- ἔνθ᾽ αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
δῶκε μένος καὶ θάρσος, ἵν᾽ ἔκδηλος μετὰ πᾶσιν
Ἀργείοισι γένοιτο ἰδὲ κλέος ἐσθλὸν ἄροιτο:
δαΐζε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ

ἀστέρ᾽ ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
λαμπρὸν παμφαίνῃσι λελουμένος ὠκεανοῖο:
τοῖόν οἱ πῦρ δαΐεν ἀπὸ κρατός τε καὶ ὤμων,
ὧρσε δέ μιν κατὰ μέσσον ὅθι πλεῖστοι κλονέοντο.
ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων

ἱρεὺς Ἡφαίστοιο: δύω δέ οἱ υἱέες ἦστην
Φηγεὺς Ἰδαῖός τε μάχης εὖ εἰδότε πάσης.
τὼ οἱ ἀποκρινθέντε ἐναντίω ὁρμηθήτην:
τὼ μὲν ἀφ᾽ ἵπποιιν, ὃ δ᾽ ἀπὸ χθονὸς ὄρνυτο πεζός.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες

Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος:
Τυδείδεω δ᾽ ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ᾽ ἀκωκὴ
ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν: ὃ δ᾽ ὕστερος ὄρνυτο χαλκῷ
Τυδείδης: τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ᾽ ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ᾽ ἀφ᾽ ἵππων.

Ἰδαῖος δ᾽ ἀπόρουσε λιπὼν περικαλλέα δίφρον,
οὐδ᾽ ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο:
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ᾽ Ἥφαιστος ἔρυτο, σάωσε δὲ νυκτὶ καλύψας,
ὡς δή οἱ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη.

ἵππους δ᾽ ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς
δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ᾽ ὄχεσφι,
πᾶσιν ὀρίνθη θυμός: ἀτὰρ γλαυκῶπις Ἀθήνη

χειρὸς ἑλοῦσ᾽ ἐπέεσσι προσηύδα θοῦρον Ἄρηα:
Ἄρες Ἄρες βροτολοιγὲ μιαιφόνε τειχεσιπλῆτα
οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
μάρνασθ᾽, ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ,
νῶϊ δὲ χαζώμεσθα, Διὸς δ᾽ ἀλεώμεθα μῆνιν;

ὣς εἰποῦσα μάχης ἐξήγαγε θοῦρον Ἄρηα:
τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ᾽ ἠϊόεντι Σκαμάνδρῳ,
Τρῶας δ᾽ ἔκλιναν Δαναοί: ἕλε δ᾽ ἄνδρα ἕκαστος
ἡγεμόνων: πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἀλιζώνων Ὀδίον μέγαν ἔκβαλε δίφρου:

Τότε η Αθηνά στον πολεμόχαρο Διομήδη, του Τυδέα
το γιο, καρδιά και δύναμη έδωκε, μες στους Αργίτες όλους
να ξεχωρίσει και περίλαμπρο να γίνει τ᾽ όνομά του.
Κι άναβε αδάμαστη απ᾽ το κράνος του φωτιά κι απ᾽ το σκουτάρι,
ίδια με τ᾽ άστρο του χινόπωρου, λουσμένο από το ρέμα
του Ωκεανού ως προβάλλει, ανάφεγγη φωτοβολή σκορπώντας.
Τέτοια η θεά απ᾽ τους ώμους του άναβε κι απ᾽ το κεφάλι φλόγα,
κι εκεί στη μέση, στο συντάραχο τον σπρώχνει του πολέμου.
Κάποιος εζούσε πλούσιος κι άψεγος μέσα στους Τρώες, ο Δάρης,

του Ηφαίστου λειτουργός, κι αξιώθηκε δυο να 'χει, το Φηγέα
και τον Ιδαίο, παιδιά, που κάτεχαν πάσα πολέμου τέχνη.
Τούτοι απ᾽ τους άλλους τώρα ξέκοψαν κι απάνω του ρίχτηκαν,
στο αμάξι αυτοί, μα εκείνος χύθηκε πεζός, άπα στο χώμα.
Κι όπως τρεχάτοι κοντοζύγωσαν χιμώντας ο ένας του άλλου,
το μακρογίσκιωτο κοντάρι του ρίχνει ο Φηγέας πιο πρώτα'
μ᾽ απ᾽ του Διομήδη απάνω επέρασε το ζερβόν ώμο η μύτη
του κονταριού και δεν τον πέτυχε᾽ μετά και κείνος ρίχνει,
και το κοντάρι από το χέρι του δεν έφυγε του κάκου'
στο στήθος τον χτυπάει μεσόβυζα κι απ᾽ τ᾽ άτια τον γκρεμίζει.

Ευτύς ο Ιδαίος το αμάξι τ᾽ όμορφο, πηδώντας κάτω, αφήνει,
κι ουδέ τον αδερφό του εβάσταξε νεκρό να διαφεντέψει.
Κι ούτε κι αυτός μαθές θα ξέφευγε τη μαύρη Μοίρα τότε,
αν δεν τον γλίτωνεν ο Ήφαιστος με νύχτα σκέποντας τον,
καημός μην πέσει αλήθεια αβάσταχτος στο γέρο τους πατέρα.
Και τότε τ᾽ άλογα ο τρανόψυχος γιος του Τυδέα ξεκόβει
κι αφήνει να τα παν οι σύντροφοι στα βαθουλά καράβια.
Κι οι Τρώες ευτύς οι λιονταρόκαρδοι τους γιους του Δάρη ως είδαν
τον έναν που 'φευγε, στο αμάξι του τον άλλο πλάι πεσμένο,
τρόμαξαν όλοι. Κι η γλαυκόματη τότε Αθηνά απ᾽ το χέρι

τον Άρη πιάνει τον πολέμαρχο κι έτσι μιλώντας είπε:
« Άρη φονιά κι αιματοστάλαχτε και καστροκαταλύτη,
τώρα ν᾽ αφήσουμε—τι θα 'λεγες;—οι Τρώες κι οι Αργίτες μόνοι
να χτυπηθούν εδώ, και σ᾽ όποιον τους χαρίσει ο Δίας τη νίκη·
κι εμείς να φύγουμε, του κύρη μας η οργή μη μας πλακώσει.»
Έτσι είπε, κι άπ᾽ τη μάχη ετράβηξε τον αντρειωμένον Άρη
και τον καθίζει απά στου Σκάμαντρου τον καλαμόφυτο όχτο'
κι ευτύς τους Τρώες οι Αργίτες τσάκισαν᾽ κάθε αρχηγός τους έναν
χαλάει, και πρώτος ο Αγαμέμνονας χιμώντας τον ίδιο
έξω απ᾽ τ᾽ αμάξι του, τον κύβερνο των Αλιζώνων, ρίχνει'

πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε,
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἰδομενεὺς δ᾽ ἄρα Φαῖστον ἐνήρατο Μῄονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει.

τον μὲν ἄρ᾽ Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
νύξ᾽ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον:
ἤριπε δ᾽ ἐξ ὀχέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε.
τὸν μὲν ἄρ᾽ Ἰδομενῆος ἐσύλευον θεράποντες:
υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον αἴμονα θήρης

Ἀτρεΐδης Μενέλαος ἔλ᾽ ἔγχεϊ ὀξυόεντι
ἐσθλὸν θηρητῆρα: δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη:
ἀλλ᾽ οὔ οἱ τότε γε χραῖσμ᾽ Ἄρτεμις ἰοχέαιρα,
οὐδὲ ἑκηβολίαι ᾗσιν τὸ πρίν γε κέκαστο:

ἀλλά μιν Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
πρόσθεν ἔθεν φεύγοντα μετάφρενον οὔτασε δουρὶ
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν,
ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, τέκτονος υἱὸν

Ἁρμονίδεω, ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
τεύχειν: ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη:
ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἔϊσας
ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο
οἵ τ᾽ αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη.

τὸν μὲν Μηριόνης ὅτε δὴ κατέμαρπτε διώκων
βεβλήκει γλουτὸν κατὰ δεξιόν: ἡ δὲ διαπρὸ
ἀντικρὺ κατὰ κύστιν ὑπ᾽ ὀστέον ἤλυθ᾽ ἀκωκή:
γνὺξ δ᾽ ἔριπ᾽ οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε.
Πήδαιον δ᾽ ἄρ᾽ ἔπεφνε Μέγης Ἀντήνορος υἱὸν

ὅς ῥα νόθος μὲν ἔην, πύκα δ᾽ ἔτρεφε δῖα Θεανὼ
ἶσα φίλοισι τέκεσσι χαριζομένη πόσεϊ ᾧ.
τὸν μὲν Φυλεΐδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
βεβλήκει κεφαλῆς κατὰ ἰνίον ὀξεῖ δουρί:
ἀντικρὺ δ᾽ ἀν᾽ ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός:

ἤριπε δ᾽ ἐν κονίῃ, ψυχρὸν δ᾽ ἔλε χαλκὸν ὀδοῦσιν.
Εὐρύπυλος δ᾽ Εὐαιμονίδης Ὑψήνορα δῖον
υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
ἀρητὴρ ἐτέτυκτο, θεὸς δ᾽ ὡς τίετο δήμῳ,
τὸν μὲν ἄρ᾽ Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός,

πρόσθεν ἔθεν φεύγοντα μεταδρομάδην ἔλασ᾽ ὦμον
φασγάνῳ ἀΐξας, ἀπὸ δ᾽ ἔξεσε χεῖρα βαρεῖαν:
αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε: τὸν δὲ κατ᾽ ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
ὣς οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην:

τι ως πρώτος έστριβε, στη ράχη του καρφώνει το κοντάρι
μεσοπλατίς, και κείνο διάβηκε το στήθος πέρα ως πέρα.
Βαρύς σωριάστη κι απά πάνω του βρόντηξαν τ᾽ άρματά του.
Κι ο Ιδομενέας το Φαιστό σκότωσε, το γιο του Μαίονα Βώρου,
που αλάργα από την παχιοχώματη την Τάρνη ήταν φτασμένος.
Με το μακρύ του ο πολεμόχαρος Ιδομενέας κοντάρι
στον ώμο το δεξιό τον πέτυχε, στο αμάξι του ως πηδούσε,
κι έπεσε χάμω, και στα μάτια του φριχτό σκοτάδι εχύθη.
Την ώρα τον νεκρό που οι σύντροφοι του Ιδομενέα γύμνωναν,
ο γιος του Ατρέα Μενέλαος ρίχνοντας το μυτερό κοντάρι

τον άξιο αγριμολόγο εσκότωσε Σκαμάντριο, που του Στρόφιου
γιος ήταν, κυνηγάρης άφταστος, τι του 'χε μάθει ατή της
ή Άρτεμη κάθε αγρίμι που 'βοσκε στους λόγγους να σκοτώνει.
Η Άρτεμη ωστόσο δεν τον βόηθησεν η σαγιτεύτρα τότε,
μήτε οι καλές ριξιές του, όπου άλλοτε κρατούσε τα πρωτάτα'
τι ο γιος του Ατρέα Μενέλαος χίμιξε, τρανός κονταρομάχος,
κι ομπρός του ως έφευγε, στη ράχη του τον κρούει με το κοντάρι
μεσοπλατίς, και κείνο διάβηκε το στήθος πέρα ως πέρα.
Πίστομα πέφτει κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Το Φέρεκλο, το γιο του Τέχτονα, μετά ο Μηριόνης ρίχνει,

το αγγόνι του Άρμονα, που δούλευε με μαστοριά το ξύλο,
κάθε λογής, κι αγάπη ξέχωρη του 'χε η Αθηνά Παλλάδα.
Αυτός του Αλέξαντρου τα ισόβαρα καράβια είχε φτιασμένα,
αρχή της συφορας, που εστάθηκαν στους Τρώες κακό, κι ακόμα
στον ίδιο εκείνον, τι δεν κάτεχε τα θεία τα μαντολόγια.
Ως ο Μηριόνης κυνηγώντας τον ήρθε κοντά, τον βρήκε
πα στο δεξιό γλουτό, και πρόβαλε του κονταριού του η μύτη
πέρα μεριά, κάτω απ᾽ το κόκαλο, στης φούσκας πλάι τα μέρη.
Στα γόνα βόγγοντας σωριάζεται και τον σκεπάζει ο χάρος.
Κι ο Μέγης τον υγιό του Αντήνορα, τον Πήδαιο, θανατώνει,

που 'χε η Θεανώ αναστήσει η αρχόντισσα, κι ας ήταν κλεφτογέννα,
με τ᾽ άλλα της παιδιά αξεχώριστα, του αντρός της για χατίρι.
Τώρα τον είχε ο κονταρόχαρος γιος του Φυλέα σιμώσει,
και πίσω στο κεφάλι του 'ριξε, στο σβέρκο, και περνώντας
μέσα απ᾽ τα δόντια το κοντάρι του βαθιά τη γλώσσα κόβει.
Στη γη σωριάστη, και τα δόντια του τον κρύο χαλκό δάγκωσαν.
Κι ο Ευρύπυλος, ο γιος του Ευαίμονα, το γιο του ψυχωμένου
του Δολοπίωνα, που τον δόξαζαν ίδια θεό, τι ιερέας
του Σκάμαντρου ήταν, τον Υψήνορα τον αρχοντοθρεμμένο,
τούτον ο Ευρύπυλος, του Ευαίμονα το αρχοντικό βλαστάρι,

μπροστά του ως έφευγε, τον χτύπησε στον ώμο κυνηγώντας;
με το σπαθί και πέρα του 'κοψε το χέρι το βαρύ του.
Ματοκυλίστηκε το χέρι του, κι ευτύς τα δυο του μάτια
σφάλιξε η Μοίρα η τρανοδύναμη κι ο σκοτεινός ο Χάρος.

Τυδείδην δ᾽ οὐκ ἂν γνοίης ποτέροισι μετείη
ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι ἦ μετ᾽ Ἀχαιοῖς.
θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼς
χειμάρρῳ, ὅς τ᾽ ὦκα ῥέων ἐκέδασσε γεφύρας:
τὸν δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,

οὔτ᾽ ἄρα ἔρκεα ἴσχει ἀλωάων ἐριθηλέων
ἐλθόντ᾽ ἐξαπίνης ὅτ᾽ ἐπιβρίσῃ Διὸς ὄμβρος:
πολλὰ δ᾽ ὑπ᾽ αὐτοῦ ἔργα κατήριπε κάλ᾽ αἰζηῶν:
ὡς ὑπὸ Τυδεΐδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων, οὐδ᾽ ἄρα μιν μίμνον πολέες περ ἐόντες.

τὸν δ᾽ ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
θύνοντ᾽ ἂμ πεδίον πρὸ ἕθεν κλονέοντα φάλαγγας,
αἶψ᾽ ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ βάλ᾽ ἐπαΐσσοντα τυχὼν κατὰ δεξιὸν ὦμον
θώρηκος γύαλον: διὰ δ᾽ ἔπτατο πικρὸς ὀϊστός,

ἀντικρὺ δὲ διέσχε, παλάσσετο δ᾽ αἵματι θώρηξ.
τῷ δ᾽ ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός:
ὄρνυσθε Τρῶες μεγάθυμοι κέντορες ἵππων:
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι
δήθ᾽ ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με

ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν.
ὣς ἔφατ᾽ εὐχόμενος: τὸν δ᾽ οὐ βέλος ὠκὺ δάμασσεν,
ἀλλ᾽ ἀναχωρήσας πρόσθ᾽ ἵπποιιν καὶ ὄχεσφιν
ἔστη, καὶ Σθένελον προσέφη Καπανῆιον υἱόν:
ὄρσο πέπον Καπανῆιάδη, καταβήσεο δίφρου,

ὄφρά μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν.
ὣς ἄρ᾽ ἔφη, Σθένελος δὲ καθ᾽ ἵππων ἅλτο χαμᾶζε,
παὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ᾽ ὤμου:
αἷμα δ᾽ ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
δὴ τότ᾽ ἔπειτ᾽ ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης:

κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
δῃΐῳ ἐν πολέμῳ, νῦν αὖτ᾽ ἐμὲ φῖλαι Ἀθήνη:
δὸς δέ τέ μ᾽ ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν
ὅς μ᾽ ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησι

δηρὸν ἔτ᾽ ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.
ὣς ἔφατ᾽ εὐχόμενος: τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν:
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα:
θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι:

Έτσι πάλευαν τούτοι ανέσπλαχνα στη μάχη μέσα τότε.
Μα του Τυδέα το γιο δε θα 'ξερες να πεις το που βρισκόταν,
μέσα στους Τρώες αν στριφογύριζε για στους Αργίτες τάχα'
τι αλήθεια εχύνουνταν σαν ξέχειλο ποτάμι μες στον κάμπο,
που σπάει τους όχτους πλημμυρίζοντας, νερό σαν κατεβάσει,
κι ουδέ τον κόβουν τ᾽ αναχώματα, κι ας είναι αρμοδεμένα,

κι ουδέ οι φραγές μες στα ολοπράσινα τον σταματούν περβόλια,
ξάφνου ως χυθεί, σαν παίρνει απάνωθε και βρέχει ο Δίας πλημμύρα,
κι ίσωμα κάνει ό,τι κι αν πάλεψαν να φτιάξουν οι ξωμάχοι'
όμοια ο Διομήδης ανατάραζε των Τρωών το πλήθιο ασκέρι,
κι ομπρός του να σταθούν δε δύνουνταν, όσο πολλοί κι αν ήταν.
Κι ως του Λυκάονα ο γιος ο πέρφανος τον είδε να χιμίζει
μέσα στον κάμπο αναταράζοντας των Τρωών το ασκέρι ομπρός του,
γοργά πα στο Διομήδη ετέντωσε το στρουφιχτό δοξάρι
και τον χτυπά, ως χυνόταν, βρίσκοντας τον ώμο το δεξιό του,
στου θώρακα τη γούβα. Εχώθηκε βαθιά η πικρή σαγίτα

κι αντίκρυ έβγηκε, και πιτσίλισε το θώρακα του μ᾽ αίμα.
Καο του Λυκάονα ο γιος ο πέρφανος σέρνει φωνή μεγάλη:
«Ομπρός οι Τρώες οι λιονταρόκαρδοι κι αλογοφτερνιστάδες!
Ο πιο αντρειωμένος εχτυπήθηκεν Αργίτης πια᾽ πολληώρα
στη δυνατή, θαρρώ, σαγίτα μου δε θα βαστάξει, ο Φοίβος
αλήθεια αν μ᾽ έσπρωχνε, σα λόγιαζα να φύγω απ᾽ τη Λυκία.»
Έτσι εκαυκήθη αυτός φωνάζοντας, μα κείνον η σαγίτα
δεν τον εδάμασε, μον᾽ γύρισε και στάθη ομπρός στο αμάξι
και στ᾽ άτια, κι έκραξε το Σθένελο, το γιο του Καπανέα:
«Ομπρός, καλέ μου, τώρα, Σθένελε. κατέβα από τ᾽ αμάξι

και την πικρή σαγίτα ανάσυρε, στον ώμο μου που εμπήχτη.»
Έτσι είπε, κι απ᾽ το αμάξι ο Σθένελος πηδάει στο χώμα κάτω,
κι ήρθε κοντά του κι έξω ανάσυρε τη γρήγορη σαγίτα,
και μέσα απ᾽ τον πλεχτό το θώρακα τινάχτη το αίμα ως πάνω.
Τότε ο Διομήδης ο βροντόφωνος ευκή στα ουράνια ασκώνει:
«Επάκουσέ μου, κόρη αδάμαστη του Βροντοσκουταράτου,
-αν άλλοτε από αγάπη εβόηθησες τον κύρη μου στην άγρια
τη μάχη, τώρα την αγάπη σου, δείξε, Αθηνά, και μένα,
και να σκοτώσω τούτον δώσε μου, να φάει την κονταριά μου,
που πρώτος μου 'ριξε και πέτεται και λέει πως πια δεν έχω

ώρα πολλή το φως τ'ολόλαμπρο να χαίρομαι του γήλιου.»
Έτσι είπε, κι η Αθηνά του επάκουσε την προσευκή η Παλλάδα,
τα μέλη ανάλαφρα του τα 'κάμε, χέρια ψηλά και πόδια'
κι ως στάθη πλάι του, με ανεμάρπαστα του συντυχαίνει λόγια:

ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἦκα
ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς:
ἀχλὺν δ᾽ αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον ἣ πρὶν ἐπῆεν,
ὄφρ᾽ εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τὼ νῦν αἴ κε θεὸς πειρώμενος ἐνθάδ᾽ ἵκηται

μή τι σύ γ᾽ ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
τοῖς ἄλλοις: ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ᾽ ἐς πόλεμον, τήν γ᾽ οὐτάμεν ὀξέϊ χαλκῷ.
ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη,
Τυδεΐδης δ᾽ ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη

καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι:
δὴ τότε μιν τρὶς τόσσον ἔλεν μένος ὥς τε λέοντα
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ᾽ εἰροπόκοις ὀΐεσσι
χραύσῃ μέν τ᾽ αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσῃ:
τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ᾽ οὐ
προσαμύνει,

ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ᾽ ἐρῆμα φοβεῖται:
αἳ μέν τ᾽ ἀγχιστῖναι ἐπ᾽ ἀλλήλῃσι κέχυνται,
αὐτὰρ ὃ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς:
ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης.
ἔνθ᾽ ἕλεν Ἀστύνοον καὶ Ὑπείρονα ποιμένα λαῶν,

τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ᾽ ἕτερον ξίφεϊ μεγάλῳ κλῆΐδα παρ᾽ ὦμον
πλῆξ᾽, ἀπὸ δ᾽ αὐχένος ὦμον ἐέργαθεν ἠδ᾽ ἀπὸ
νώτου.
τοὺς μὲν ἔασ᾽, ὃ δ᾽ Ἄβαντα μετῴχετο καὶ Πολύειδον
υἱέας Εὐρυδάμαντος ὀνειροπόλοιο γέροντος:

τοῖς οὐκ ἐρχομένοις ὃ γέρων ἐκρίνατ᾽ ὀνείρους,
ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε:
βῆ δὲ μετὰ Ξάνθόν τε Θόωνά τε Φαίνοπος υἱε
ἄμφω τηλυγέτω: ὃ δὲ τείρετο γήραϊ λυγρῷ,
υἱὸν δ᾽ οὐ τέκετ᾽ ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.

ἔνθ᾽ ὅ γε τοὺς ἐνάριζε, φίλον δ᾽ ἐξαίνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
λεῖπ᾽, ἐπεὶ οὐ ζώοντε μάχης ἐκνοστήσαντε
δέξατο: χηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο.
ἔνθ᾽ υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο

εἰν ἑνὶ δίφρῳ ἐόντας Ἐχέμμονά τε Χρομίον τε.
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξῃ
πόρτιος ἠὲ βοὸς ξύλοχον κάτα βοσκομενάων,
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχε᾽ ἐσύλα:

« Εδώ κι ομπρός τους Τρώες πολέμα τους, Διομήδη, δίχως φόβο,
τι εγώ την αντριγιά του κύρη σου στα στήθη σου έχω βάλει
την άτρομη, ο άλογάρης που 'κλεινεν άγριος Τυδέας εντός του'
και την καταχνιά, πριν που σ᾽ έζωνε, σου σήκωσα απ᾽ τα μάτια,
θεός ποιος είναι και ποιος άνθρωπος καλά να ξεχωρίζεις.
Έτσι, σαν έρθει δοκιμάζοντας θεός εδώ κανένας,

ανάντια εσύ με τους αθάνατους θεούς να μη χτυπιέσαι
τους άλλους᾽ μόνο αν πει στον πόλεμο να 'ρθει η Αφροδίτη, η κόρη
του Δία, σ᾽ αυτή να ρίξεις άφοβα τον κοφτερό χαλκό σου.»
Είπε η Αθηνά, η θεά η γλαυκόματη, και φεύγει από κοντά του.
Τότε ο Διομήδης δίχως άργητα τους μπροστομάχους σμίγει.
Και πρώτα με τους Τρώες λαχτάριζε να χτυπηθεί στη μάχη,
μα τώρα πια τριπλή του θέριεψεν η λύσσα, σαν του λιόντα,
που ως πήδαε τη φραγή, τον λάβωσε στο ξώμερο ο τσοπάνος
γύρω στ᾽ αρνιά του τα πυκνόμαλλα, μα δεν τον σκότωσε, όχι,
μονάχα που άναψε τη λύσσα του, και τώρα πια χωσμένος

μες στο μαντρί δε δίνει βόηθηση, κι έρμα τ᾽ αρνιά σκορπούνε,
κι όσα σκοτώθηκαν στοιβάζουνται σωρός το 'να πα στ᾽ άλλο·
κι ο λιόντας άγριος την ορθόψηλη φραγή πηδάει καί φεύγει·
όμοια στους Τρώες λυσσώντας χίμιξε κι ο ατρόμητος Διομήδης.
Δυο αρχόντους τότε, τον Υπείρονα και τον Αστύνοο, ρίχνει,
πλάι στο βυζί τον ένα βρίσκοντας με το χαλκό κοντάρι,
τον άλλο στο κλειδί τον χτύπησε με το τρανό σπαθί του,
στον ώμο πλάι, και του τον χώρισεν από λαιμό και πλάτη.
Αφήνει αυτούς, μετά στον Άβαντα και στον Πολύιδο τρέχει,
τους γιους του ονειρομάντη γέροντα, του ξακουστού Ευρυδάμα,

που ως έφευγαν, δεν τους ξεδιάλυνεν ο κύρης τα όνειρα τους,
μόνο ο Διομήδης ο λιοντόκαρδος τους σκότωσε εκεί πέρα.
Μετά χιμάει στους γιους του Φαίνοπα, στο θόωνα και στον Ξανθό,
που νιούτσιποι ήταν, μα τον κύρη τους τα γερατιά πλάκωναν
τα μαύρα, κι ούτε κι άλλον γέννησε, ν᾽ αφήσει κληρονόμο.
Και τώρα εκείνος τους εσκότωσε και τη γλυκιάν επήρε
ζωή απ᾽ τους δυο, και στον πατέρα τους καημούς και μαύρους
θρήνους
αφήκε, ζωντανοί απ᾽ τον πόλεμο που δε γύρισαν πίσω
να τους δεχτεί, και ξένοι εβρέθηκαν να μοιραστούν το βιος του.
Εκεί δυο γιους του Πριάμου πρόφτασε του Δαρδανίδη, ως ήταν

μες σ᾽ ένα αμάξι, τον Εχέμμονα και το Χρομίο· σα λιόντας,
που σε βοδιών κοπάδι χύνεται και μιας δαμάλας σπάζει
το σβέρκο για βοδιού, στο σύλλογγο καθώς βοσκολογούνε'
όμοια κι αυτούς τους δυο- απ᾽ το αμάξι τους κατέβασε ο Διομήδης

ἵππους δ᾽ οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
τὸν δ᾽ ἴδεν Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,
βῆ δ᾽ ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων
Πάνδαρον ἀντίθεον διζήμενος εἴ που ἐφεύροι:
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,

στῆ δὲ πρόσθ᾽ αὐτοῖο ἔπος τέ μιν ἀντίον ηὔδα:
Πάνδαρε ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ
καὶ κλέος; ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ᾽ ἀνήρ,
οὐδέ τις ἐν Λυκίῃ σέο γ᾽ εὔχεται εἶναι ἀμείνων.
ἀλλ᾽ ἄγε τῷδ᾽ ἔφες ἀνδρὶ βέλος Διὶ χεῖρας ἀνασχὼν

ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν:
εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν
ἱρῶν μηνίσας: χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις.
τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός:

Αἰνεία Τρώων βουληφόρε χαλκοχιτώνων
Τυδεΐδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω,
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ,
ἵππους τ᾽ εἰσορόων: σάφα δ᾽ οὐκ οἶδ᾽ εἰ θεός ἐστιν.
εἰ δ᾽ ὅ γ᾽ ἀνὴρ ὃν φημι δαΐφρων Τυδέος υἱὸς

οὐχ ὅ γ᾽ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ᾽ ἀθανάτων νεφέλῃ εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο:

καί μιν ἔγωγ᾽ ἐφάμην Ἀιδωνῆι προϊάψειν,
ἔμπης δ᾽ οὐκ ἐδάμασσα: θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ᾽ οὐ παρέασι καὶ ἅρματα τῶν κ᾽ ἐπιβαίην:
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἔνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες: ἀμφὶ δὲ πέπλοι

πέπτανται: παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
ἑστᾶσι κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοις ἔνι ποιητοῖσιν:
ἵπποισίν μ᾽ ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα

ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας:
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην: ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν:
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν εἰλομένων εἰωθότες ἔδμεναι ἄδην.
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα

αθέλητα τους, όλο μάνητα, κι επήρε τ᾽ άρματα τους,
και δίνει τ᾽ άλογα στους συντρόφους στα πλοία να του τα φέρουν.
Όπως τον είδε ο Αίνειος που ερήμαζε τις φάλαγγες τους γύρω,
στων κονταριών κινάει τον τάραχο και πάει, στη μάχη μέσα
ζητώντας τον Εσόθεο Πάνταρο, μπας και τον σμίξει κάπου.
Κι ως τον αντρόκαρδο, αψεγάδιαστο γιο του Λυκάονα βρήκε,

τρέχει μεμιάς και στάθη αντίκρυ του κι έτσι μιλάει και κρένει:
« Πάνταρε, που 'ναι το δοξάρι σου κι οι φτερωτές σαγίτες
και το άκουσμα σου; Εδώ ποιος βρίσκεται να παραβγεί μαζί σου;
Και στη Λυκία ποιος τάχα πέτεται πως είναι πιο αντρειωμένος;
Ομπρός λοιπόν, στο Δία τα χέρια σου για σήκω, και σε κείνον
ρίξε, όποιος να 'ναι, τη σαγίτα σου. Βαριά χτυπάει και θράψη
κάνει στους Τρώες· πολλών κι αντρόκαρδων τα γόνατα έχει λύσει.
Εξόν θεός και να 'ν᾽, που αδιάκοπα θυμό κρατάει των Τρωών
γι᾽ ατέλεστες θυσίες, τι η μάνητα βαριά των αθανάτων.»
Και του Λυκάονα ο γιος ο ασύγκριτος του απηλογήθη κι είπε:

«Αινεία, των Τρωών τρανέ πρωτόγερε των χαλκοθωρακάτων,
με το Διομήδη εγώ τον άτρομο τον παρομοιάζω σ᾽ όλα'
σκουτάρι, κράνος στενοπρόσωπο, τα βλέπω, είναι δικά του,
και τ᾽ άτια του θωρώ᾽ μα σίγουρα θεός δεν ξέρω αν είναι.
Μ᾽ αν είναι αυτός, καθώς μου φάνηκεν, ο αντρόκαρδος Διομήδης,
δίχως θεό τέτοιο ξεφρένιασμα δε θα 'χε᾽ πλάι του στέκει
κάποιος αθάνατος, με σύγνεφο στους ώμους τυλιγμένος,
και τη γοργή σαγίτα του 'διωξε, που πάνω του ορομούσε'
τι λίγο πριν σαγίτα του 'ριξα γοργή, και το δεξιό του
τον ώμο πέρα ως πέρα ετρύπησα, στου θώρακα τη γούβα,

κι έλεγα πια πως τον ξαπόστειλα στον Κάτω Κόσμο, κι όμως
δεν τον εχάλασα, ως στοχαζόμουν οργή θεού μας δέρνει!
Κι αμάξι εδώ δεν έχω ουδ᾽ άλογα, για να μπορώ ν᾽ ανέβω.
Και να 'χει αλήθεια ο κύρης έντεκα στο αρχοντικό του αμάξια,
πανώρια, νιόφτιαχτα, ολοκαίνουργα! Και γύρα τα σκεπάζουν
πανιά απλωμένα· πλάι τους στέκουνται κι από 'να στο καθένα
ζευγάρι αλόγατα, που θρέφουνται με βίκο και κριθάρι.
Πολλά ο Λυκάονας μου παράγγελνεν, ο γέρο πολέμαρχος,
σύντας κινούσα απ᾽ το παλάτι μας το στέριο, εδώ για να 'ρθω.
Μου 'λεγε, πάντα απά στο αμάξι μου και στ᾽ άτια ανεβασμένος

να κυβερνώ τους Τρώες στον τάραχο τον άγριο του πολέμου.
Μα δεν τον άκουσα, και θα 'μουνα πολύ πιο κερδεμένος·
τι τ'άλογα μας τα λυπήθηκα, που έτρωγαν όσο θέλαν,
μπας κι η ταγή τους λείψει, ως θα 'μαστέ κλεισμένοι μες στο κάστρο.

τόξοισιν πίσυνος: τὰ δέ μ᾽ οὐκ ἄρ᾽ ἔμελλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα
Τυδείδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ᾽ ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ᾽ ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τὼ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα

ἅματι τῷ ἐλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
πατρίδ᾽ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς

εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
χερσὶ διακλάσσας: ἀνεμώλια γάρ μοι ὀπηδεῖ.
τὸν δ᾽ αὖτ᾽ Αἰνείας Τρώων ἀγὸς ἀντίον ηὔδα:
μὴ δ᾽ οὕτως ἀγόρευε: πάρος δ᾽ οὐκ ἔσσεται ἄλλως,
πρίν γ᾽ ἐπὶ νὼ τῷδ᾽ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφιν

ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
οἷοι Τρῴοι ἵπποι ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι:
τὼ καὶ νῶϊ πόλιν δὲ σαώσετον, εἴ περ ἂν αὖτε

Ζεὺς ἐπὶ Τυδείδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
ἀλλ᾽ ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι ὄφρα μάχωμαι:
ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ᾽ ἐμοὶ ἵπποι.
τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός:

Αἰνεία σὺ μὲν αὐτὸς ἔχ᾽ ἡνία καὶ τεὼ ἵππω:
μᾶλλον ὑφ᾽ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴσετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν:
μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ᾽ ἐθέλητον
ἐκφερέμεν πολέμοιο τεὸν φθόγγον ποθέοντε,

νῶϊ δ᾽ ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
ἀλλὰ σύ γ᾽ αὐτὸς ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,
τὸν δὲ δ᾽ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξὲι δουρί.
ὣς ἄρα φωνήσαντες ἐς ἅρματα ποικίλα βάντες

ἐμμεμαῶτ᾽ ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
τοὺς δὲ ἴδε Σθένελος Καπανῆιος ἀγλαὸς υἱός,
αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προσηύδα:
Τυδείδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ,
ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι

Έτσι τ᾽ αφήκα και ξεκίνησα πεζός στην Τροία να φτάσω,
τα θάρρη στο δοξάρι μου έχοντας, μα δε φελάει και τούτο!
Σε δυο καλαντρειωμένους έριξα πριν λίγο, στο Διομήδη
και στον υγιό του Ατρέα, και πέτυχα, μα κι αν τινάχτη αλήθεια
και των δυονώ το γαίμα, πιότερο τους ξάναψα μονάχα.
Ώρα κακή ήταν που ξεκρέμασα το γυριστό δοξάρι

απ᾽ το καρφί τη μέρα που 'φευγα, στην ώρια Τροία για να 'ρθω,
να μπω στους Τρώες για χάρη του Έχτορα του αρχοντικού
προλάτης.
Μ᾽ αν είναι να γυρίσω κάποτε και ν᾽ αντικρίσω πάλε
την πατρική μου γη, το ταίρι μου και το αψηλό μου σπίτι,
ευτύς αλήθεια το κεφάλι μου κάποιος οχτρός να κόψει,
αν το δοξάρι αυτό τα χέρια μου δε σπάσουν και το ρίξουν
στη λαμπαδούσα φλόγα᾽ τι άδικα το κουβαλώ μαζί μου!»
Και τότε ο Αινείας, των Τρωών ο κύβερνος, απηλογιά του δίνει:
«Τα λόγια αυτά που λες παράτα τα, κι άλλη γιατριά δεν είναι
παρά με τ᾽ άτια και το αμάξι μου κι οι δυο μας να χυθούμε

πάνω στον άντρα αυτόν, να κρούσουμε μαζί του τ᾽ άρματά μας.
Μον᾽ έλα, ανέβα πα στο αμάξι μου, να δεις και συ τι αξίζουν
του Τρώα τ᾽ αλόγατα, πως ξέρουνε στον κάμπο δώθε κείθε
μια γρήγορα μπροστά να χύνουνται και μια να φεύγουν πίσω.
Αυτά μπορεί και μας να γλίτωναν στο κάστρο μέσα τώρα,
αν στο Διομήδη ο Δίας εχάριζε δόξα τρανή και πάλε.
Τ᾽ αστραφτερά εσύ τώρα νιόλουρα και το μαστίγι πάρε,
κι εγώ θα κατεβώ απ᾽ το αμάξι μου πεζός να πολεμήσω'
για στάσου εσύ και παρ᾽ τον πάνω σου, κι εγώ κοιτάζω τ᾽ άτια.»
Και του Λυκάονα ο γιος ο αντρόκαρδος του απηλογήθη κι είπε:

«Ατός σου, Αινεία, στα χέρια κράτησε τα νιόλουρα και τ᾽ άτια᾽
σαν νιώσουν τον αμαξολάτη τους, πιο πρόθυμα θα σύρουν
το αμάξι, απ᾽ το Διομήδη αν φεύγουμε κυνηγημένοι τώρα.
Μπας και δειλιάσουν κι απ᾽ το φόβο τους πια δε θελήσουν έξω
να μας τραβήξουν απ᾽ τον πόλεμο, ποθώντας τη φωνή σου'
και τότε του Τυδέα του αντρόψυχου χιμίξει ο γιος στους δυο μας
και μας σκοτώσει, τα μονόνυχα κουρσεύοντας μας άτια.
Γι᾽ αυτό κυβέρνα εσύ το αμάξι σου και τ᾽ άλογά σου τώρα,
κι αυτόν εγώ με το κοντάρι μου θα καρτερώ, σαν έρθει.»
Ετούτα ως μίλησαν, ανέβηκαν στο πλουμισμένο αμάξι

και στου Τυδέα το γιο τα γρήγορα με βιάση έστρεψαν άτια.
Κι ο Σθένελος, ο γιος ο άντρόκαρδος του Καπανέα, τους είδε,
και στου Τυδέα το γιο ανεμάρπαστα γοργά μιλούσε λόγια:
«Γιε του Τυδέα, Διομήδη, σύντροφε πιο αγαπημένε απ᾽ όλους,

ἵν’ ἀπέλεθρον ἔχοντας: ὁ μὲν τόξων ἐῦ εἰδὼς
Πάνδαρος, υἱὸς δ’ αὖτε Λυκάονος εὔχεται εἶναι:
Αἰνείας δ’ υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἱ ἐστ’ Ἀφροδίτη.
ἀλλ’ ἄγε δὴ χαζώμεθ’ ἐφ’ ἵππων, μηδέ μοι οὕτω

θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς.
τὸν δ’ ἄρ’ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης:
μή τι φόβον δ’ ἀγόρευ’, ἐπεὶ οὐδὲ σὲ πεισέμεν οἴω.
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι
οὐδὲ καταπτώσσειν: ἔτι μοι μένος ἔμπεδόν ἐστιν:

ὀκνείω δ’ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως
ἀντίον εἶμ’ αὐτῶν: τρεῖν μ’ οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
τούτω δ’ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
ἄμφω ἀφ’ ἡμείων, εἴ γ’ οὖν ἕτερός γε φύγῃσιν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν:

αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
αὐτοῦ ἐρυκακέειν ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ’ ἐπαΐξαι μεμνημένος ἵππων,
ἐκ δ’ ἐλάσαι Τρώων μετ’ ἐϋκνήμιδας Ἀχαιούς.

τῆς γάρ τοι γενεῆς ἧς Τρωῒ περ εὐρύοπα Ζεὺς
δῶχ’ υἱὸς ποινὴν Γανυμήδεος, οὕνεκ’ ἄριστοι
ἵππων ὅσσοι ἔασιν ὑπ’ ἠῶ τ’ ἠέλιόν τε,
τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης
λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους:

τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη.
τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ’ ἐπὶ φάτνῃ,
τὼ δὲ δύ’ Αἰνείᾳ δῶκεν μήστωρε φόβοιο.
εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐσθλόν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,

τὼ δὲ τάχ’ ἐγγύθεν ἦλθον ἐλαύνοντ’ ὠκέας ἵππους.
τὸν πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός:
καρτερόθυμε δαΐφρον ἀγαυοῦ Τυδέος υἱὲ
ἦ μάλα σ’ οὐ βέλος ὠκὺ δαμάσσατο πικρὸς ὀϊστός:
νῦν αὖτ’ ἐγχείῃ πειρήσομαι αἴ κε τύχωμι.

ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος
καὶ βάλε Τυδεΐδαο κατ’ ἀσπίδα: τῆς δὲ διὰ πρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάσθη:
τῷ δ’ ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός:
βέβληαι κενεῶνα διαμπερές, οὐδέ σ’ ὄΐω

θωρώ αντρειωμένους δυο που βιάζουνται να χτυπηθούν μαζί σου,
κι έχουνε δύναμη ακατάλυτη· καμάρι το 'χει ο πρώτος
γιος του Λυκάονα που 'ναι, ο Πάνταρος, τρανός δοξαρομάχος·
κι ο δεύτερος, ο Αινείας, του αντρόκαρδου του Αγχίση καμαρώνει
πως είναι γιος, και για μητέρα του την Αφροδίτη ξέρει.
Μον’ έλα, τ’ αλογα να στρίψουμε και πίσω ας πάμε, τόσο

μη μου χιμάς μέσ’ απ’ τους πρόμαχους, μη χάσεις τη ζωή σου.»
Τότε ο αντρειανός ταυροκοιτώντας τον του μίλησε Διομήδης:
«Άδικα παν θαρρώ τα λόγια σου, παράτα τη φευγάλα!
Μάθε, να φεύγω εγώ απ’ τον πόλεμο δεν το 'χω γονικό μου,
μηδέ και να ζαρώνω’ μέσα μου το λέει η καρδιά μου ακόμα.
Δε θέλω ν’ ανεβώ στο αμάξι μου’ θα χτυπηθώ όπως είμαι'
στέκει η Αθηνά η Παλλάδα δίπλα μου, το φόβο μου αποδιώχνει.
Τα δυο γοργόποδά τους άλογα δε θα τους γύρουν πίσω
μακριά από μας, κι ακόμα αν ένας τους μπορέσει να ξεφύγει.
Κάποιο άλλο λόγο τώρα θα 'λεγα, και συ στο νου σου βάλ’ τον:

Αν τύχει κι η Αθηνά η πολύβουλη τη δόξα μου χαρίσει
να δώσω και στους δυο το θάνατο, τα γκέμια εσύ κρεμώντας
στο γύρο του αμαξιού, τα γρήγορα δικά μας άτια κράτα,
και ρίξου απά στου Αινεία τ’ αλόγατα—καλά να το θυμάσαι—
κι από τους Τρώες στους λιονταρόκαρδους να μου τα πας Αργίτες·
τι απ’ τη γενιά κρατούν που εχάρισεν ο Δίας ο μακροβίγλης
στο βασιλιά τον Τρώα γι’ αντίμεμα του γιου του Γανυμήδη,
κι άλλα καλύτερα δε βρίσκουνται σε Ανατολή και Δύση.
Κι ο βασιλιάς ο Αγχίσης τα 'βαλε να σμίξουν με φοράδες
κλεφτά, κρυφά απ’ το Λαομέδοντα, κι από το σόι τους πήρε,

κι έξι πουλάρια του γεννήθηκαν στο αρχοντικό του μέσα’
κι ατός του ανάστησε τα τέσσερα μες στο παχνί δικά του,
και τ’ άλλα δυο του Αινεία τα χάρισε, φόβος του οχτρού και τρόμος.
Τώρα αν γενούν δικά μας, άσβηστη θα μείνει εμάς η δόξα.»
Έτσι μιλούσαν συνάλληλος τους αυτοί, με βιάση ωστόσο
οι άλλοι τους σίμωσαν, τα γρήγορα λαλώντας άλογα τους,
και πρώτος του Λυκάονα μίλησεν ο γιος ο ψυχωμένος:
«Καλαντρειωμένε, πολεμόχαρε γιε του Τυδέα του γαύρου,
κάτω η πικρή μου αλήθεια γρήγορη δε σ’ έριξε σαγίτα'
τώρα λοιπόν ας δοκιμάσουμε με το κοντάρι, αν σε 'βρω!»

Είπε, και το μακρόισκιωτο έριξε κοντάρι του με φόρα
και στο σκουτάρι απά τον πέτυχε· το τρύπησε πετώντας
η μύτη η χάλκινη κι ακούμπησε στο θώρακα του απάνω.
Και του Λυκάονα ο γιος ο αντρόψυχος φωνή μεγάλη σέρνει:

δηρὸν ἔτ᾽ ἀνσχήσεσθαι: ἐμοὶ δὲ μέγ᾽ εὖχος ἔδωκας.
τὸν δ᾽ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης:
ἤμβροτες οὐδ᾽ ἔτυχες: ἀτὰρ οὐ μὲν σφῶΐ γ᾽ ὄΐω
πρίν γ᾽ ἀποπαύσεσθαι πρίν γ᾽ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.

ὣς φάμενος προέηκε: βέλος δ᾽ ἴθυνεν Ἀθήνη
ῥῖνα παρ᾽ ὀφθαλμόν, λευκοὺς δ᾽ ἐπέρησεν ὀδόντας.
τοῦ δ᾽ ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ᾽ ἐξελύθη παρὰ νείατον ἀνθερεῶνα:
ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ

αἰόλα παμφανόωντα, παρέτρεσσαν δέ οἱ ἵπποι
ὠκύποδες: τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένος τε.
Αἰνείας δ᾽ ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ
δείσας μή πώς οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαΐνε λέων ὡς ἀλκὶ πεποιθώς,

πρόσθε δέ οἱ δόρυ τ᾽ ἔσχε καὶ ἀσπίδα πάντοσ᾽ ἐΐσην,
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ᾽ ἀντίος ἔλθοι
σμερδαλέα ἰάχων: ὃ δὲ χερμάδιον λάβε χειρὶ
Τυδεΐδης μέγα ἔργον ὃ οὐ δύο γ᾽ ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ': ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος.

τῷ βάλεν Αἰνείαο κατ᾽ ἰσχίον ἔνθά τε μηρὸς
ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι:
θλάσσε δέ οἱ κοτύλην, πρὸς δ᾽ ἄμφω ῥῆξε τένοντε:
ὦσε δ᾽ ἀπὸ ῥινὸν τρηχὺς λίθος: αὐτὰρ ὅ γ᾽ ἥρως
ἔστη γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ

γαίης: ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.
καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη
μήτηρ, ἥ μιν ὑπ᾽ Ἀγχίσῃ τέκε βουκολέοντι:
ἀμφὶ δ᾽ ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,

πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμα κάλυψεν
ἔρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
ἣ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο:
οὐδ᾽ υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων

τάων ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ᾽ ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
νόσφιν ἀπὸ φλοίσβου ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ᾽ ἐπαΐξας καλλίτριχας ἵππους
ἐξέλασε Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.

« Πέρα για πέρα στα λαγγόνια σου χτυπήθηκες· πολληώρα
θαρρώ δε θα βαστάξεις, κι άσωστη μου 'δωκες δόξα εμένα.»
Τότε ο τρανός Διομήδης άσκιαχτος απηλογιά του δίνει:
«Ξαστόχησες κι ουδέ με πέτυχες· μα εσείς δε θα συχάστε
θαρρώ πρωτύτερα, πριν ένας σας στο .χώμα κάτω πέσει
κι αίμα τον Άρη, τον ατρόμητο πολεμιστή, χορτάσει.»

Είπε, και ρίχνει απά στον Πάνταρο, και τη ριξιά η Παλλάδα -
στη μύτη, πλάι στο μάτι, εδρόμωσε᾽ τ᾽ άσπρα του εδιάβη δόντια
ο ανέσπλαχνος χαλκός και θέρισε τη γλώσσα από τη ρίζα,
και στο σαγόνι κάτω επρόβαλε του κονταριού του η μύτη.
Πίστομα πέφτει κι από πάνω του βρόντηξαν τ᾽ άρματα του,
τα φεγγοβολιστά, τα λιόφωτα. Σκιαγμένα τ᾽ άτια δίπλα
πήδηξαν, και μεμιάς παράλυσαν εκεί η ψυχή κι η αντρεία του.
Κι ο Αινείας στη γη με το σκουτάρι του και το μακρύ κοντάρι
πετιέται, τον νεκρό τρομάζοντας οι Αργίτες μην του πάρουν.
Με γαύρη τότε στάθηκε έπαρση στο πλάι του, σαν το λιόντα,

το ισόκυκλο σκουτάρι βάζοντας μπροστά και το κοντάρι,
νεκρό να ρίξει κάτω θέλοντας όποιον προβάλει ομπρός του,
με άγριες φωνές. Κοτρόνα ασήκωτη παίρνει ο Διομήδης τότε,
που δυο μαζί δε θα τη σήκωναν απ᾽ όσοι άνθρωποι ζούνε
τώρα στη γή· μ᾽ αυτός ανέκοπα την έπαιζε και μόνος·
και το γοφό του Αινεία σημάδεψε, στο μέρος όπου μπαίνει
και στρίβει του μεριού το κόκαλο, στην κλείδωση που λένε.
Του σπάζει η κλείδωση και κόπηκαν μαζί τα δυο του νεύρα'
το δέρμα του᾽ σκίσε η αγκυλόπετρα, και τότες ο αντρειωμένος
πάνω στα γόνατα σωριάστηκε, κι ακούμπησε στο χώμα

το αδρό του χέρι, και του σκέπασε μαύρη νυχτιά τα μάτια.
Ο Αινείας ο ρήγας τότε σίγουρα θα χάνουνταν, η κόρη
του γιου του Κρόνου αν δεν τον ξέκρινεν, η μάνα του Αφροδίτη,
με τον Αγχίση που τον έκανέ, ψηλά στο βουκολιό του'
και γύρω από το γιο της έριξε τα χιονοβράχιονά της,
κι άπλωσε ακόμα από το λιώφωτο μαντί μια δίπλα ομπρός του,
να τον φυλάξει απ᾽ τα χτυπήματα, κανείς γοργαλογάρης
Αργίτης μην τον βρει κατάστηθα και τη ζωή του πάρει.
Αυτή λοιπόν το γιο της πάλευε να βγάλει από τη μάχη'
μα ο γιος του Καπανέα δεν ξέχασε καθόλου την ορμήνια,

αυτή που του 'χε ο βροντερόφωνος Διομήδης πριν δοσμένα.
Κόβει τη φόρα απ᾽ τα μονόνυχα δικά τους άτια, κι όξω
τα βγάζει απ᾽ τη βουή, τα νιόλουρα κρεμώντας απ᾽ το γύρο,
και δίχως άργητα στα ωριότριχα του Αινεία χιμίζει τ᾽ άτια,

δῶκε δὲ Δηϊπύλῳ ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
τῖεν ὁμηλικίης ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν: αὐτὰρ ὅ γ᾽ ἥρως
ὧν ἵππων ἐπιβὰς ἔλαβ᾽ ἡνία σιγαλόεντα,
αἶψα δὲ Τυδεΐδην μέθεπε κρατερώνυχας ἵππους

ἐμμεμαώς: ὁ δὲ Κύπριν ἐπῴχετο νηλεὶ χαλκῷ
γιγνώσκων ὅ τ᾽ ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων αἵ τ᾽ ἀνδρῶν πόλεμον κάτα κοιρανέουσιν,
οὔτ᾽ ἄρ᾽ Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων,

ἔνθ᾽ ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξεῖ δουρὶ
ἀβληχρήν: εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταί,
πρυμνὸν ὕπερ θέναρος: ῥέε δ᾽ ἄμβροτον αἷμα θεοῖο

ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν:
οὐ γὰρ σῖτον ἔδουσ᾽, οὐ πίνουσ᾽ αἴθοπα οἶνον,
τοὔνεκ᾽ ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
ἣ δὲ μέγα ἰάχουσα ἀπὸ ἕο κάββαλεν υἱόν:
καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων

κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο:
τῇ δ᾽ ἐπὶ μακρὸν ἄϋσε βοὴν ἀγαθὸς Διομήδης:
εἶκε Διὸς θύγατερ πολέμου καὶ δῃοτῆτος:
ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;

εἰ δὲ σύ γ᾽ ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ᾽ ὀΐω
ῥιγήσειν πόλεμόν γε καὶ εἴ χ᾽ ἑτέρωθι πύθηαι.
ὣς ἔφαθ᾽, ἣ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο, τείρετο δ᾽ αἰνῶς:
τὴν μὲν ἄρ᾽ Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ᾽ ὁμίλου
ἀχθομένην ὀδύνῃσι, μελαίνετο δὲ χρόα καλόν.

εὗρεν ἔπειτα μάχης ἐπ᾽ ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον: ἠέρι δ᾽ ἔγχος ἐκέκλιτο καὶ ταχέ᾽ ἵππω:
ἣ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους:
φίλε κασίγνητε κόμισαί τέ με δός τέ μοι ἵππους,

ὄφρ᾽ ἐς Ὄλυμπον ἵκωμαι ἵν᾽ ἀθανάτων ἕδος ἐστί.
λίην ἄχθομαι ἕλκος ὅ με βροτὸς οὔτασεν ἀνὴρ
Τυδεΐδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.
ὣς φάτο, τῇ δ᾽ ἄρ᾽ Ἄρης δῶκε χρυσάμπυκας ἵππους:
ἣ δ᾽ ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ,

από τους Τρώες στους λιονταρόκαρδους για να τα φέρει Αργίτες.
Εκεί στο σύντροφο του Δήπυλο τα δίνει, που τιμούσε
χώρια απ᾽ τους άλλους συνομήλικους, τι είχε περίσσια γνώση,
για να τα φέρει στα πλεούμενα τα βαθουλά, κι εκείνος
πα στα δικά του ανέβη αλόγατα και τα λουριά φουχτώνει
τ᾽ αστραφτερά, και τ᾽ ατσαλόνυχα κεντάει φαριά με βιάση,

να φτάσει το Διομήδη θέλοντας᾽ κι εκείνος κυνηγούσε᾽
με ανέσπλαχνο χαλκό την Κύπριδα, τι ήταν δειλιάρα, κι όχι
σαν τις θεές ποτ ανακατώνουνται μες στων αντρών τις μάχες,
μήτε Αθηνά μηδέ και Χουγιαχτώ καστελοκαταλύτρα.
Κι ως κυνηγώντας την επρόφτασε μες στο πολύ το ασκέρι,
παίρνοντας φόρα ο γιος του αντρόκαρδου Τυδέα την κονταρεύει
μ᾽ ένα του πήδημα, καί ξώδερμα στο χέρι τη λαβώνει
το τρυφερό᾽ και το κοντάρι του μεμιάς στο δέρμα εμπήχτη
μέσ᾽ απ᾽ το θείο μαντί, που κάποτε της το 'χαν φάνει οι Χαρές,
απάνω στον αρμό· και χύνουνταν το αθάνατο της αίμα,

ο ιχώρας, που μες στων τρισεύτυχων θεών κυλάει τις φλέβες·
ψωμί δεν τρων μαθές, δεν πίνουνε κρασί φλογάτο εκείνοι,
γι᾽ αυτό δεν έχουν κι αίμα μέσα τους κι αθάνατους τους κράζουν.
Βγάζει φωνή τρανή κι αμόλησε το γιο της που κρατούσε.
Κείνον ευτύς τον πήρε ο Απόλλωνας ο Φοίβος στην αγκάλη,
σε μαύρο κρύβοντας τον σύγνεφο, κανείς γοργαλογάρης
Αργίτης μην τον βρει κατάστηθα και τη ζωή του πάρει.
Τότε ο Διομήδης ο βροντόφωνος σέρνει φωνή μεγάλη:
«Κόρη του Δία, τ᾽ αντροπαλέματα και τη σφαγή παράτα!
Μη δε σε φτάνει που τις άβουλες γυναίκες ξελογιάζεις;

Μ᾽ αν θες στον πόλεμο να 'μου 'ρχεσαι, θ᾽ ακούς θαρρώ σε λίγο·
πόλεμο κάπου αλλού να γίνεται, και θα σε πιάνει τρόμος!»
Είπε, κι εκείνη φεύγει ξέφρενη, του πόνου δαμασμένη'
κι η Ίριδα τρέχει η ανεμοπόδαρη κι απ᾽ τη σφαγή τη βγάζει.
Πονούσε αβάσταχτα, κι η σάρκα της μελάνιαζε η ροδάτη.
Εκεί, ζερβά απ᾽ τη μάχη, αντάμωσε τον Άρη καθισμένο,
με τα φαριά και το κοντάρι του κρυμμένα στην αντάρα.
στον αδερφό μπροστά σωριάστηκε, τα παρακάλια αρχίζει
ζητώντας να της δώσει τ᾽ άτια του τα χρυσοχαλινάτα:
«Καλέ αδερφέ, για παραστάσου με και δώσ᾽ μου τ᾽ άλογα σου,

για να διαγύρω απά στον Όλυμπο, στ᾽ αθάνατα λημέρια.
Με σφάζει ο πόνος, τι με λάβωσε κάποιος θνητός, ο γαύρος
Διομήδης, τώρα που θα τα 'βαζε και με το Δία πατέρα.»
Είπε, κι αυτός της δίνει τ᾽ άλογα τα χρυσοχαλινάτα,
κι εκείνη απά στο αμάξι ανέβηκε με πονεμένα στήθη,

πὰρ δέ οἱ Ἶρις ἔβαινε καὶ ἠνία λάζετο χερσί,
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο θεῶν ἕδος αἰπὺν Ὄλυμπον:
ἔνθ᾽ ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις
λύσασ᾽ ἐξ ὀχέων, παρὰ δ᾽ ἀμβρόσιον βάλεν εἶδαρ:

ἣ δ᾽ ἐν γούνασι πῖπτε Διώνης δῖ᾽ Ἀφροδίτη
μητρὸς ἑῆς: ἣ δ᾽ ἀγκὰς ἐλάζετο θυγατέρα ἥν,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἐκ τ᾽ ὀνόμαζε:
τίς νύ σε τοιάδ᾽ ἔρεξε φίλον τέκος Οὐρανιώνων
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;

τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φιλομμειδὴς Ἀφροδίτη:
οὗτά με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,
οὕνεκ᾽ ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο
Αἰνείαν, ὅς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή,

ἀλλ᾽ ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διώνη, δῖα θεάων:
τέτλαθι τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ:
πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ᾽ ἔχοντες
ἐξ ἀνδρῶν χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες.

τλῆ μὲν Ἄρης ὅτε μιν Ὦτος κρατερός τ᾽ Ἐφιάλτης
παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ:
χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας:
καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρης ἂτος πολέμοιο,
εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια

Ἑρμέᾳ ἐξήγγειλεν: ὃ δ᾽ ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς πάϊς Ἀμφιτρύωνος
δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
βεβλήκει: τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.

τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
εὖτέ μιν ὠὐτὸς ἀνὴρ υἱὸς Διὸς αἰγιόχοιο
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν:
αὐτὰρ ὃ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων ὀδύνῃσι πεπαρμένος: αὐτὰρ ὀϊστὸς

ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.
τῷ δ᾽ ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων
ἠκέσατ᾽: οὐ μὲν γάρ τι καταθνητός γε τέτυκτο.
σχέτλιος ὀβριμοεργὸς ὃς οὐκ ὄθετ᾽ αἴσυλα ῥέζων,
ὃς τόξοισιν ἔκηδε θεοὺς οἳ Ὄλυμπον ἔχουσι.

σοὶ δ᾽ ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη:
νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱὸς
ὅττι μάλ᾽ οὐ δηναιὸς ὃς ἀθανάτοισι μάχηται,
οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν
ἐλθόντ᾽ ἐκ πολέμοιο καὶ αἰνῆς δῃοτῆτος.

κι η Ίριδα ανέβη πλάι της κι άρπαξε τα νιόλουρα στα χέρια'
δίνει βιτσιά μεμιάς στ᾽ αλόγατα, που πρόθυμα πέταξαν,
και στον απόγκρεμο τον Όλυμπο, στα θεία λημέρια, έφτασαν.
Εκεί η γοργή ανεμόποδη Ίριδα τραβάει να σταματήσουν,
ξεζεύει τ᾽ άλογα κι αθάνατη ταγή τους βάζει ομπρός τους·

κι η αρχόντισσα Αφροδίτη ανάγειρε στα γόνατα της Διώνης,
της μάνας της· κι αυτή την κόρη της μες στην αγκάλη επήρε,
και με το χέρι της τη χάιδεψε κι έτσι μιλεί και κρένει:
« Παιδί μου, ποιος απ᾽ τους αθάνατους σου τα 'χει κάνει ετούτα,
άδικα, λες κακό πως έκανες σε όλο μπροστά τον κόσμο;»
Τότε η Αφροδίτη η αχνογελόχαρη της αποκρίθη κι είπε:
«Ο λιονταρόκαρδος με λάβωσε γιος του Τυδέα Διομήδης,
το γιο μου τον Αινεία σα γύρευα να βγάλω από τη μάχη,
που του 'χω πάντα την αγάπη μου πιο απ᾽ όλους πα στον κόσμο'
τι δεν παλεύουν τώρα ανέσπλαχνα πια -μόνο Τρώες κι Αργίτες,

παρά χτυπιούνται και με αθάνατους οι Δαναοί κει κάτω.»
Κι η Διώνη τότε, η πολυσέβαστη θεά, της αποκρίθη:
«Υπομονέψου τώρα, κόρη μου, κι αν και πονάς, κρατήσου'
τι απ᾽ όσους ζούμε απά στον Όλυμπο πολλοί τυραννιστήκαν
απ᾽ τους θνητούς, καθώς τρωγόμαστε κι εμείς αναμεσό μας.
Πολλά τυράννια κι ο Άρης τράβηξε, που μ᾽ αλυσίδες στεριές
ο Εφιάλτης κι ο Ώτος, οι αντροδύναμοι γιοι του Αλωέα, τον δέσαν,
και μήνες δεκατρείς τον έκλεισαν σε χάλκινο πιθάρι.
Κι ο Άρης, της μάχης ο ανεχόρταγος, θα 'χε χαθεί κει μέσα,
η μητρυγιά τους αν δεν έτρεχε του Ερμή να το μηνύσει,

η όμορφη Ηερίβοια᾽ τους τον ξέκλεψε τον Άρη εκείνος τότε,
που 'χε αποκάμει πια απ᾽ τις άλυσες, βαριά που τον παίδευαν.
Πολλά τυράννια κι η Ήρα τράβηξε, που τρίκοχη σαγίτα
ο χεροδύναμος της έριξε γιος του Αμφιτρύωνα πάνω
στο στήθος το δεξιό, κι αλάγιαστος τη συνεπηρε ο πόνος.
Πολλά τυράννια κι ο Άδης τράβηξε, γοργή σαϊτιά που αδέχτη
από του Δία του βροντοσκούταρου τον ίδιο γιο, στην Πύλο,
μες στους νεκρούς, και τον παράτησε να τον πλαντούν οι πόνοι.
Στο αρχοντικό του Δία, στον Όλυμπο το μέγα, ανέβη, κι είχε
πίκρα τρανή που τον πιρούνιζαν οι πόνοι, τι η σαγίτα

μέσα τον είχε βρει στο στέριο του τον ώμο. και πονούσε.
Τότε ο Παιήονας, απιθώνοντας πα στην πληγή βοτάνια
μαλαχτικά, μεμιάς τον έγιανε᾽ θνητός μαθές δεν ήταν
—ο ανόσιος, ο άσεβος! που χαίρουνταν δουλειές κακές να κάνει
κι απ᾽ τα δοξάρια του κι οι αθάνατοι του Ολύμπου εμαρτυρήσαν.
Μα αυτόν τον έσπρωξε η Γλαυκόματη να σε χτυπήσει τώρα
—ο ανέμυαλος, κι ουδέ στα φρένα του το 'χει ο Διομήδης νιώσει,
πως όποιος τα 'βαλε με αθάνατους ζωή πολλή δεν έχει,
κι ουδέ κρατά παιδιά στα γόνατα, πατέρα να τον κράζουν,
σύντας γυρίζει από τον πόλεμο κι απ᾽ τη σφαγή την άγρια.

τὼ νῦν Τυδεΐδης, εἰ καὶ μάλα καρτερός ἐστι,
φραζέσθω μή τίς οἱ ἀμείνων σεῖο μάχηται,
μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη
ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ
κουρίδιον ποθέουσα πόσιν τὸν ἄριστον Ἀχαιῶν

ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο.
ἦ ῥα καὶ ἀμφοτέρῃσιν ἀπ᾽ ἰχῶ χειρὸς ὀμόργνυ:
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
αἳ δ᾽ αὖτ᾽ εἰσορόωσαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον.

τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη:
Ζεῦ πάτερ ἦ ῥά τί μοι κεχολώσεαι ὅττι κεν εἴπω;
ἦ μάλα δή τινα Κύπρις Ἀχαϊϊάδων ἀνιεῖσα
Τρωσὶν ἅμα σπέσθαι, τοὺς νῦν ἔκπαγλα φίλησε,
τῶν τινα καρρέζουσα Ἀχαϊϊάδων ἐϋπέπλων

πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἀραιήν.
ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί ῥα καλεσσάμενος προσέφη χρυσῆν Ἀφροδίτην:
οὔ τοι τέκνον ἐμὸν δέδοται πολεμῆϊα ἔργα,
ἀλλὰ σύ γ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,

ταῦτα δ᾽ Ἀρῆϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἰνείᾳ δ᾽ ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
γιγνώσκων ὅ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων:
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ οὐδὲ θεὸν μέγαν ἄζετο, ἵετο δ᾽ αἰεὶ

Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε κατακτάμεναι μενεαίνων,
τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ᾽ Ἀπόλλων:
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ᾽ ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων:

φράζεο Τυδεΐδη καὶ χάζεο, μηδὲ θεοῖσιν
ἶσ᾽ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων.
ὣς φάτο, Τυδεΐδης δ᾽ ἀνεχάζετο τυτθὸν ὀπίσσω
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.

Αἰνείαν δ᾽ ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γε τέτυκτο.
ἤτοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε:
αὐτὰρ ὃ εἴδωλον τεῦξ᾽ ἀργυρότοξος Ἀπόλλων

αὐτῷ τ᾽ Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον,
ἀμφὶ δ᾽ ἄρ᾽ εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
ἀσπίδας εὐκύκλους λαισῆϊά τε πτερόεντα.
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων:

Έτσι μαθές και τώρα, αντρόψυχος κι αν ο Διομήδης είναι,
το νου του ας έχει, πιο αντρειωμένος του μη βγει κανείς μπροστά του,
κι η Αιγιάλεια τότε πάρει, η γνωστικιά του Αδράστου θυγατέρα,
και μες στον ύπνο με τους θρήνους της το σπίτι αναστατώσει,
το ταίρι της να 'ρθεί φωνάζοντας, ο πιο αντρειανός Αργίτης,
του αλογατά Διομήδη η πέρφανη, στεφανωτή γυναίκα.»
Είπε, και το αίμα της εσφούγγιξε και με τα δυο της χέρια,
κι έγιανε ευτύς το χέρι, εγλύκαναν κι οι πόνοι που τη σφάζαν.
Τότε η Αθηνά που τις εκοίταζε, μαζί της κι η Ήρα, άρχισαν
με λόγια αγγιχτικά κι επείραζαν το Δία, το γιο του Κρόνου'

κι έτσι η Αθηνά, η θεά η γλαυκόματη, πήρε να λέει μπροστά τους:
« Πατέρα Δία, γι'αυτό που θα 'λεγα να μου θυμώσεις τάχα;
Λέω πάλι η Κύπρη κάποια Αργίτισσα ξελόγιαζε να φύγει
να πάει στους Τρώες, τι τους αγάπησε τώρα στερνά περίσσια'
κάποιαν Αργίτισσα χαϊδεύοντας λοιπόν ωριομαντούσα
το τρυφερό της χέρι θα 'σκίσε πα στη χρυσή καρφίτσα.»
Είπε, κι ο κύρης αχνογέλασε των θεών καί των ανθρώπων,
και τη χρυσή Αφροδίτη εφώναξε κι αυτά της λέει τα λόγια:
«Όχι, οι δουλειές για σένα, κόρη μου, δεν είναι του πολέμου!
Εσύ μονάχα κοίτα τις δουλειές τις τρυφερές του γάμου.

Φτάνει η Αθηνά γι᾽ αυτά να γνοιάζεται κι ο γοργοπόδης Άρης.»
Εκείνοι τέτοια συναλλήλως τους κουβέντιαζαν, κι ωστόσο
του Αινεία κυνήγι ο βροντερόφωνος Διομήδης είχε στήσει,
κι ας το 'ξερε πως είχε απάνω του το χέρι απλώσει ο Φοίβος,
Το φοβερό θεό δε σκιάζουνταν, μονάχα λαχταρούσε
τα ξακουστά να πάρει τ᾽ άρματα του Αινεία σκοτώνοντας τον.
Τρεις χύθηκε φορές απάνω του με ορμή να τον σκοτώσει,
και τρεις ο Φοίβος πίσω του 'σπρώξε το λαμπερό σκουτάρι'
μα σύντας χίμιξε και τέταρτην ίδια θεός, ο Φοίβος
ο μακρορίχτης φοβερίζοντας άγρια φωνή του σέρνει:

«Στάσου, Διομήδη, και στοχάσου το, με τους θεούς μη θέλεις
να παραβγαίνεις· των αθάνατων ένα η γενιά δεν είναι
μαθές με των θνητών, που σούρνονται στο χώμα, κάτεχε το!»
Αυτά είπε, κι ο Διομήδης έκανε μια στάλα πίσω τότε,
να λείψει απ᾽ το θυμό του Απόλλωνα του μακροσαγιτάρη.
Μακριά απ᾽ τ᾽ ασκέρια ωστόσο απίθωσεν ο Φοίβος τον Αινεία,
μες στ᾽ άγια Πέργαμα, όπου βρίσκουνταν χτισμένος ο ναός του».
Την ώρα πρυ η Λητώ κι η Αρτέμιδα μαζί η σαϊτεύτρα έστεκαν
στο μέγα το άδυτο από πάνω του γιατροπορεύοντας τον,
ο ασημοδόξαρος Απόλλωνας φτιάνει γοργά ένα σκιάχτρο,

με τον Αινεία τον ίδιο που 'μοιάζε και στ᾽ άρματά του ακόμα.
Γύρω απ᾽ το σκιάχτρο τούτο αρχίνισαν ο ένας του άλλου να σπάζουν
οι Τρώες κι οι Αργίτες οι αρχοντόγεννοι στα στήθη τους τρογύρα

Ἄρες Ἄρες βροτολοιγὲ μιαιφόνε τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ᾽ ἄνδρα μάχης ἐρύσαιο μετελθὼν
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.

ὣς εἰπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
Τρῳὰς δὲ στίχας οὖλος Ἄρης ὄτρυνε μετελθὼν
εἰδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν:
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν:
ὦ υἱεῖς Πριάμοιο διοτρεφέος βασιλῆος

ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;
ἦ εἰς ὅ κεν ἀμφὶ πύλῃς εὖ ποιητῇσι μάχωνται;
κεῖται ἀνὴρ ὃν ἶσον ἐτίομεν Ἕκτορι δίῳ
Αἰνείας υἱὸς μεγαλήτορος Ἀγχίσαο:
ἀλλ᾽ ἄγετ᾽ ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.

ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθ᾽ αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον:
Ἕκτορ πῇ δή τοι μένος οἴχεται ὃ πρὶν ἔχεσκες;
φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ᾽ ἐπικούρων
οἷος σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι.

τῶν νῦν οὔ τιν᾽ ἐγὼ ἰδέειν δύναμ᾽ οὐδὲ νοῆσαι,
ἀλλὰ καταπτώσσουσι κύνες ὣς ἀμφὶ λέοντα:
ἡμεῖς δὲ μαχόμεσθ᾽ οἵ πέρ τ᾽ ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἥκω:
τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι,

ἔνθ᾽ ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κἀδ δὲ κτήματα πολλά, τὰ ἔλδεται ὅς κ᾽ ἐπιδευής.
ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον᾽ αὐτὸς
ἀνδρὶ μαχήσασθαι: ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον
οἷόν κ᾽ ἠὲ φέροιεν Ἀχαιοὶ ἢ κεν ἄγοιεν:

τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὠρεσσι.
μή πως ὡς ἀψῖσι λίνου ἀλόντε πανάγρου
ἀνδράσι δυσμενέεσσιν ἔλωρ καὶ κύρμα γένησθε:
οἳ δὲ τάχ᾽ ἐκπέρσουσ᾽ εὖ ναιομένην πόλιν ὑμήν.

σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτάς τε καὶ ἦμαρ
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
νωλεμέως ἐχέμεν, κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν.
ὣς φάτο Σαρπηδών, δάκε δὲ φρένας Ἕκτορι μῦθος:
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,

τα καλοστρόγγυλα σκουτάρια τους και τ᾽ αλαφριά τους σκούδα.
Και τότε ο Φοίβος κράζει ο Απόλλωνας τον αντρειωμένον Άρη:
«Άρη, φονιά κι αιματοστάλαχτε και καστροκαταλύτη,
δε θα μπορούσες απ᾽ τον πόλεμο να βγάλεις το Διομήδη;
τι ετούτος τώρα πια θα τα 'βαζε και με το Δία πατέρα.
Πρώτα ζυγώνοντας ελάβωσε στο χεραρμό την Κύπρη,
μετά, θεός λες κι ήταν, χίμιξε στον ίδιο εμένα πάνω.»

Ως είπε αυτά, ψηλά στα Πέργαμα πηγαίνει και καθίζει,
κι ευτύς ο γαύρος Άρης έτρεξε τους Τρώες για να γκαρδιώσει
με την είδη του λαύρου Ακάμαντα, που αφέντευε στους Θράκες,
και στους υγιούς του Πρίαμου φώναξε τους αρχοντοθρεμμένους:
«Του Πρίαμου, γιοί, του αρχοντογέννητου ρηγάρχη, ως πότε αλήθεια
απ᾽ τους Αργίτες να σκοτώνουνται θ᾽ αφήστε τους δικούς σας;
Μήπως ωσόπου στα καλόχτιστα τα καστροπόρτια φτάσουν
κι εκεί πιαστούν; Του λιονταρόκαρδου του Αγχίση ο γιος ο Αινείας
κρίτεται τώρα, που ως τον Έχτορα τον ετιμούσαμε όλοι.
Μα ομπρός, κι απ᾽ τη σφαγή ας γλιτώσουμε το μέγα σύντροφο μας.»

Έτσι είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους,
και τότε ο Σαρπηδόνας άσκημα τον Έχτορα μαλώνει:
«Έχτορα, πες μου, το κουράγιο σου, που 'χες πιο πριν, που πήγε;
Δίχως στρατό και δίχως σύμμαχους εσύ με τους γαμπρούς σου
μαζί καί με τ᾽ αδέρφια σου έλεγες το κάστρο θα κρατούσες.
Μα τώρα δεν μπορώ κανένα τους να ιδώ και να ξεκρίνω'
σα σκύλοι εζάρωσαν και λούφαξαν τρογύρα από λιοντάρι.
Τώρα μονάχα όσοι βρεθήκαμε σύμμαχοι πολεμούμε'
τι σύμμαχος κι εγώ είμαι κι έφτασα μακριάθε ξεκινώντας'
τι είναι μακριά η Λυκία, στο στρουφιχτό του Ξάνθου ρέμα πάνω,

κι έχω αφημένο εκεί το ταίρι μου και το μωρό το γιο μου
και βιος πολύ, που θα το ζήλευε κάθε φτωχός. Μα κι έτσι
γκαρδιώνω τους Λυκιώτες άπαυτα και λαχταρώ κι ατός μου
να κονταροχτυπιέμαι, τίποτα δω πέρα ας μην ορίζω,
για βιος οι Αργίτες να μου πάρουνε για ζά να μου ξεκόψουν.
Κι εσύ μου στέκεις κι ουδέ γνοιάζεσαι τους άλλους να προστάζεις
να μην τσακίσουν, μον᾽ τα ταίρια τους στητοί να διαφεντέψουν.
Μες στου διχτυού τα βρόχια τ᾽ άρπαγα μήπως πιαστείτε ξάφνου,
καί γίνετε όλοι των αντίμαχων διαγούμισμα και κουρσός,
που θα πατήσουν δίχως άργητα το πλούσιο σας το κάστρο.

Μα για όλα τούτα συ να γνοιάζεσαι πρεπό 'ναι μέρα νύχτα,
στους αρχηγούς των πολυδόξαστων προσπέφτοντας συμμάχων,
στη μάχη να κρατιούνται αλύγιστοι—και τις φωνές παράτα!»
Είπε, κι ο λόγος του τον Έχτορα κατάβαθα δαγκώνει,

πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ὤχετο πάντῃ
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν:
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀολλέες οὐδὲ φόβηθεν.
ὡς δ᾽ ἄνεμος ἄχνας φορέει ἱερὰς κατ᾽ ἀλωὰς

ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας,
αἳ δ᾽ ὑπολευκαίνονται ἀχυρμιαί: ὣς τότ᾽ Ἀχαιοὶ
λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὃν ῥα δι᾽ αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων

ἂψ ἐπιμισγομένων: ὑπὸ δ᾽ ἔστρεφον ἡνιοχῆες.
οἳ δὲ μένος χειρῶν ἰθὺς φέρον: ἀμφὶ δὲ νύκτα
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων
πάντοσ᾽ ἐποιχόμενος: τοῦ δ᾽ ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει

Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ᾽ Ἀθήνην
οἰχομένην: ἢ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
αὐτὸς δ᾽ Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἦκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ᾽ ἑτάροισι μεθίστατο: τοὶ δὲ χάρησαν,

ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
καὶ μένος ἐσθλὸν ἔχοντα: μετάλλησάν γε μὲν οὔ τι.
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν
Ἄρης τε βροτολοιγὸς Ἔρις τ᾽ ἄμοτον μεμαυῖα.
τοὺς δ᾽ Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης

ὄτρυνον Δαναοὺς πολεμιζέμεν: οἳ δὲ καὶ αὐτοὶ
οὔτε βίας Τρώων ὑπεδείδισαν οὔτε ἰωκάς,
ἀλλ᾽ ἔμενον νεφέλῃσιν ἐοικότες ἅς τε Κρονίων
νηνεμίης ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν ὄρεσσιν
ἀτρέμας, ὄφρ᾽ εὔδῃσι μένος Βορέao καὶ ἄλλων

ζαχρειῶν ἀνέμων, οἵ τε νέφεα σκιόεντα
πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες:
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
Ἀτρεΐδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων:
ὦ φίλοι ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἔλεσθε,

ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας:
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται:
φευγόντων δ᾽ οὔτ᾽ ἄρ κλέος ὄρνυται οὔτε τις ἀλκή.
ἦ καὶ ἀκόντισε δουρὶ θοῶς, βάλε δὲ πρόμον ἄνδρα
Αἰνείω ἕταρον μεγαθύμου Δῃϊκόωντα

κι ευτύς επήδηξε απ᾽ τ᾽ αμάξι του συνάρματος στο χώμα,
κι έτρεξε, σειώντας τα κοντάρια του τα σουβλερά, στο ασκέρι,
να μπουν στον πόλεμο φωνάζοντας, κι άγρια ξανάβει μάχη.
Κάνουν κι αυτοί στροφή και στάθηκαν αντίκρα απ᾽ τους Αργίτες.
Κι οι Αργίτες μαζωχτοί κρατήθηκαν, δεν το 'βαλαν στα πόδια.
Κι όπως ο αγέρας παίρνει τ᾽ άχερο μες στ᾽ αγιασμένα αλώνια,

σύντας λιχνίζουν, και στο φύσημα του ανέμου ξεχωρίζει
η ξανθή Δήμητρα από τ᾽ άχερο το στάρι, καί λευκαίνει
η άχνη τη γης, όπου στοιβάζεται᾽ το ίδιο κι οι Αργίτες άσπροι
από τη σκόνη ως πάνω βρέθηκαν, που ασκώναν κάτωθέ τους
ψηλά ως τον ουρανό το χάλκινο τα πόδια των αλόγων,
έτσι ξανά που σμίξαν, κι έστρεφαν οι αμαξολάτες τ᾽ άτια'
κι ο ένας στον άλλο αντίκρυ εμάχουνταν. Νύχτα βαθιά από πάνω
στη μάχη ο γαύρος Άρης άπλωνε, στους Τρώες να δώσει χέρι,
κι ολούθε πιλαλώντας τέλευε του Φοίβου τις αρμήνιες,
του μαλαμοσπαθάρη Απόλλωνα, που του 'χε παραγγείλει

ξανά στους Τρώες να δώσει ανάκαρα, την Αθηνά Παλλάδα
να φεύγει ως είδε, που παράστεκε βοηθώντας τους Αργίτες.
Ωστόσο εκείνος από τ᾽ άδυτο το μυριοπλούσιο βγάζει
το ρήγα Αινεία, και μες στα στήθη του καινούργια αντρεία φυτεύει.
Και βρέθη ο Αινείας μες στους συντρόφους του, κι εκείνοι
αναγάλλιασαν,
θωρώντας ζωντανός κι αλάβωτος να τους σιμώνει πάλε,
κι αντρεία γεμάτος· μα δε ρώτησε κανείς τους τι είχε γίνει'
καιρό δεν είχαν απ᾽ τον πόλεμο, που ο καταλύτης Άρης
κι ο Ασημοδόξαρος τους σήκωναν κι η φρενιασμένη Αμάχη.
Ωστόσο οι Δαναοί απ᾽ τους Αίαντες, τον Οδυσσέα το γαύρο

και το Διομήδη ξεσηκώνουνταν να πολεμούν κι ατοί τους'
των Τρωών τη δύναμη δε σκιάζουνταν μηδέ και τα γιουρούσια.
Σα σύγνεφα έστεκαν ασάλευτοι, που ο γιος του Κρόνου στήνει
πα στων βουνών ψηλά τ᾽ ακρόκορφα σε άπανεμιά, και διόλου
δε σειούνται, όσο ο βοριάς κι οι επίλοιποι κοιμούνται ακόμα άνεμοι'
μα σύντας σηκωθούν φρενιάζοντας με τ᾽ άγρια σφουριχτά τους
δεξιά ζερβά σκορπούν τα σύγνεφα τα γισκιοφορτωμένα'
όμοια στέκονταν στέριοι ουδ᾽ έφευγαν μπροστά στους Τρώες οι
Αργίτες'
κι ολούθε ο γιος του Ατρέα τριγύριζε γκαρδιώνοντας το ασκέρι:
«Άντρες φανείτε, φίλοι, κι όλοι σας κλείστε αςντριγιά στα στήθη,

κι ο ένας στον άλλο μπρος ας ντρέπεται στις άγριες μάχες μέσα᾽
τι όσοι κρατούν ντροπή δε χάνουνται, μα οι πιότεροι γλιτώνουν
κι όσοι τσακίζουν δε δοξάζουνται και γλιτωμό δε βρίσκουν.»
Είπε, και ρίχνει δίχως άργητα, και βρίσκει ένα ρηγάρχη,

Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι.
τόν ῥα κατ᾽ ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων:
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός,
νειαίρῃ δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε:

δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
ἔνθ᾽ αὖτ᾽ Αἰνείας Δαναῶν ἔλεν ἄνδρας ἀρίστους
υἷε Διοκλῆος Κρήθωνά τε Ὀρσίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸς βιότοιο, γένος δ᾽ ἦν ἐκ ποταμοῖο

Ἀλφειοῦ, ὅς τ᾽ εὐρὺ ῥέει Πυλίων διὰ γαίης,
ὃς τέκετ᾽ Ὀρτίλοχον πολέεσσ᾽ ἄνδρεσσιν ἄνακτα:
Ὀρτίλοχος δ᾽ ἄρ᾽ ἔτικτε Διοκλῆα μεγάθυμον,
ἐκ δὲ Διοκλῆος διδυμάονε παῖδε γενέσθην,
Κρήθων Ὀρσίλοχός τε μάχης εὖ εἰδότε πάσης.

τὼ μὲν ἄρ᾽ ἡβήσαντε μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰς εὔπωλον ἅμ᾽ Ἀργείοισιν ἑπέσθην,
τιμὴν Ἀτρεΐδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
ἀρνυμένω: τὼ δ᾽ αὖθι τέλος θανάτοιο κάλυψεν.
οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσιν

ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης:
τὼ μὲν ἄρ᾽ ἁρπάζοντε βόας καὶ ἴφια μῆλα
σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ:
τοίω τὼ χείρεσσιν ὑπ᾽ Αἰνείαο δαμέντε

καππεσέτην, ἐλάτῃσιν ἐοικότες ὑψηλῇσι.
τὼ δὲ πεσόντ᾽ ἐλέησεν ἀρηΐφιλος Μενέλαος,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ
σείων ἐγχείην: τοῦ δ᾽ ὄτρυνεν μένος Ἄρης,
τὰ φρονέων ἵνα χερσὶν ὑπ᾽ Αἰνείαο δαμείη.

τὸν δ᾽ ἴδεν Ἀντίλοχος μεγαθύμου Νέστορος υἱός,
βῆ δὲ διὰ προμάχων: περὶ γὰρ δίε ποιμένι λαῶν
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι:

Ἀντίλοχος δὲ μάλ᾽ ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ᾽ οὐ μεῖνε θοός περ ἐὼν πολεμιστὴς
ὡς εἶδεν δύο φῶτε παρ᾽ ἀλλήλοισι μένοντε.
οἳ δ᾽ ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων,

του Αινεία το σύντροφο του αντρόκαρδου, Δηκόωντας τ᾽ όνομά του,
το γιο του Πέργασου, που σέβουνταν, του Πρίαμου γιος σαν να 'ταν,
οι Τρώες, τι αλήθεια γοργοκίνητος χτυπιόταν μες στους πρώτους.
Κι ως ρίχνει ο ρήγας Αγαμέμνονας, τον βρίσκει στο σκουτάρι,
κι αυτό το χτύπημα δε βάσταξε, μέσα ο χαλκός εδιάβη,
και σκίζοντας τη ζώνη εχώθηκε βαθιά στο κατωκοίλι.

Βαρύς σωριάστη κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Ωστόσο ο Αινείας δυο Αργίτες σκότωσεν, από τους πιο αντρειωμένους,
τον Κρήθωνα και τον Ορτίλοχο, που ο κύρης τους κραζόταν
Διοκλής και ζούσε στην καλόχτιστη Φηρή, τρανός στα πλούτη'
απ'τον Αλφειό κρατούσε η ρίζα του, τον ποταμό που τρέχει
φαρδύς, περνώντας την πυλιώτικη τη χώρα πέρα ως πέρα.
Δικός του γιος ήταν ο Ορτίλοχος, που αφέντευε χιλιάδες,
κι ο Ορτίλοχος τον αντροδύναμο Διοκλή γεννάει, και πάλε
απ᾽ το Διοκλή στον κόσμο πρόβαλαν δυο αγόρια από μιά γέννα,
ο Κρήθωνας μαζί κι ο Οστίλονος, της μάχης κατεχάροι.

Στην πρώτη τούτοι απάνω νιότη τους μες στα καράβια εμπήκαν
στην Τροία να παν την καλοφόραδη μαζί με τους Αργίτες'
τους γιους του Ατρέα, τον Αγαμέμνονα και τον Μενέλαο, θέλαν
να γδικιωθοϋν κι αυτοί, μα ο θάνατος να που τους βρήκε τώρα.
Σα δυο λιοντάρια που τ᾽ ανάθρεψε ψηλά σε κορφοβούνια
μια λιόντισσα βαθιά στο σύλλογγο θεριακωμένου δάσου,
κι αυτά χιμούν και βόδια αρπάζουνε κι αρνιά καλοθρεμμένα,
του κόσμου τα μαντριά ρημάζοντας, ως που κι αυτά μια μέρα
να τα σκοτώσουν οι τσοπάνηδες με σουβλερά κοντάρια'
όμοια κι αυτούς τους δυο τους χάλασαν του Αινεία τα χέρια τότε

και καταγής του μακρού απλώθηκαν σαν τ᾽ αψηλά τα ελάτια.
Κι ως έπεσαν, ο πολεμόχαρος Μενέλαος τους λυπήθη'
γοργά κινάει μεσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος
κουνώντας άγρια το κοντάρι του᾽ του ξάναβε τη λύσσα
ο Άρης, που του 'θελε το θάνατο κάτω απ᾽ του Αινεία τα χέρια.
Όμως ο Αντίλοχος, του αντρόκαρδου Νεστόρου ο γιος, τον είδε'
ευτύς κινάει μεσ᾽ απ᾽ τους πρόμαχους, τι είχε έγνοια, ο βασιλιάς τους
μην πάθει τίποτα κι οι κόποι τους παν έτσι πια του ανέμου.
Κι όπως εκείνοι οι δυο τα χέρια τους και τα κοντάρια ασκώναν
τα μυτερά κι αντικριστήκανε να κονταροκρουστούνε,

σίμωσε ο Αντίλοχος και στάθηκε στο ρήγα πλάι, και τότε'
ο Αινείας δεν κράτησε, πολέμαρχος κι ας ήταν ψυχωμένος,
τους δυο τους άντρες αναντιάζοντας να παραστέκουν δίπλα.
Κι αυτοί τους δυο νεκρούς ως τράβηξαν προς τους Αργίτες πίσω,

αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισι μαχέσθην.
ἔνθα Πυλαιμένεα ἐλέτην ἀτάλαντον Ἄρῃϊ
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
τὸν μὲν ἄρ᾽ Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
ἑσταότ᾽ ἔγχεϊ νύξε κατὰ κληῖδα τυχήσας:

Ἀντίλοχος δὲ Μύδωνα βάλ᾽ ἡνίοχον θεράποντα
ἐσθλὸν Ἀτυμνιάδην: ὃ δ᾽ ὑπέστρεφε μώνυχας
ἵππους:
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον: ἐκ δ᾽ ἄρα χειρῶν
ἡνία λεύκ᾽ ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἀντίλοχος δ᾽ ἄρ᾽ ἐπαΐξας ξίφει ἤλασε κόρσην:

αὐτὰρ ὅ γ᾽ ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
δηθὰ μάλ᾽ ἑστήκει: τύχε γάρ ῥ᾽ ἀμάθοιο βαθείης:
ὄφρ᾽ ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι:
τοὺς ἵμασ᾽ Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ᾽
Ἀχαιῶν.

τοὺς δ᾽ Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ᾽ ἐπ᾽
αὐτοὺς
κεκλήγων: ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί: ἦρχε δ᾽ ἄρα σφιν Ἄρης καὶ πότνι᾽ Ἐνυώ,
ἡ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δῃϊοτῆτος,
Ἄρης δ᾽ ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα,

φοίτα δ᾽ ἄλλοτε μὲν πρόσθ᾽ Ἕκτορος, ἄλλοτ᾽
ὄπισθε.
τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης:
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀπάλαμνος ἰὼν πολέος πεδίοιο
στήῃ ἐπ᾽ ὠκυρόῳ ποταμῷ ἅλα δὲ προρέοντι
ἀφρῷ μορμύροντα ἰδών, ἀνά τ᾽ ἔδραμ᾽ ὀπίσσω,

ὣς τότε Τυδεΐδης ἀνεχάζετο, εἶπέ τε λαῷ:
ὦ φίλοι οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν:
τῷ δ᾽ αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει:
καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς.

ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
εἴκετε, μηδὲ θεοῖς μενεαινέμεν ἶφι μάχεσθαι.
ὣς ἄρ᾽ ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἦλυθον αὐτῶν.
ἔνθ᾽ Ἕκτωρ δύο φῶτε κατέκτανεν εἰδότε χάρμης
εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέσθην Ἀγχίαλόν τε.

τὼ δὲ πεσόντ᾽ ἐλέησε μέγας Τελαμώνιος Αἴας:
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἄμφιον Σελάγου υἱόν, ὅς ῥ᾽ ἐνὶ Παισῷ
ναῖε πολυκτήμων πολυλῆϊος: ἀλλά ἑ μοῖρα
ἦγ᾽ ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.

τους παραδώσαν τους κακότυχους στα χέρια των συντρόφων
μετά στραφήκαν, με τους πρόμαχους να πολεμήσουν πάλε.
Τον Πυλαιμένη τότε σκότωσαν, που αμάχουνταν σαν Άρης,
των Παφλαγόνων, των αντρόκαρδων πολεμιστών, το ρήγα.
Ο γιος του Ατρέα Μενέλαος του 'ριξε, στις κονταριές ο πρώτος,
κι εκεί που στέκουνταν τον πέτυχε στο κλειδοκόκαλό του.

Του Μύδωνα απ᾽ την άλλη ο Αντίλοχος του αμαξολάτη ρίχνει,
του γιου του Ατύμνιου, τα μονόνυχα φαριά καθώς γυρνούσε,
μ᾽ ένα λιθάρι, και μεσαγκωνα τον βρήκε, κι απ᾽ τα χέρια
στη σκόνη του 'πεσαν τα νιόλουρα τα λευκοφιλντισένια.
Με το σπαθί χιμίζει ο Αντίλοχος και στο μελίγγι απάνω
του δίνει μια, κι αυτός ρουχνίζοντας πετιέται από τ᾽ αμάξι
και βρέθη ορθός, με το κεφάλι του και με τους ώμους κάτω.
Ώρα στεκόταν έτσι, τι έτυχε σε άμμο βαθιά να πέσει,
ωσόπου σπρώχνοντας τον τ᾽ άλογα τον ξάπλωσαν στις σκόνες᾽
μετά με το μαστίγι ο Αντίλοχος τα φέρνει στους Αργίτες.

Κι όπως τους είδε ο μέγας Έχτορας μες στις γραμμές, χουγιάζει
και πέφτει απάνω τους, κι οι φάλαγγες των Τρωών ξοπίσω
ερχόνταν,
λύσσα γεμάτες· ο Άρης έτρεχε κι η Χουγιαχτώ μπροστά τους,
αύτη τη χλαλοή του αδιάντροπου πολέμου κουβαλώντας,
κι ο Άρης κουνούσε ένα θεόρατο κοντάρι στις παλάμες,
κι έτρεχε πότε ομπρός στον Έχτορα και πότε πίσω πάλε.
Καθώς τους είδε ο βροντερόφωνος Διομήδης, σύγκρυο του 'ρθε.
Πώς άνθρωπος διαβαίνει αβοήθητος κάμπο πλατύ, και στέκει
μπρος σε ποτάμι γοργορέματο, στη θάλασσα που τρέχει,
με αφρούς να χοχλακάει θωρώντας το, και πίσω αναδρομίζει'

όμοια ο Διομήδης πίσω εγύρισε και λέει στους συντρόφους του:
« Φίλοι, γιατί μωροθαμάζουμε του αρχοντικού του Εχτόρου
τη μαστοριά στο κονταρόκρουσμα και το τρανό κουράγιο;
Κάποιος θεός τον παραστέκεται και τον γλιτώνει πάντα.
Και τώρα να τος, ο Άρης δίπλα του με ανθρώπου θώρι στέκει.
Ομπρός, και δίχως᾽ να γυρίσετε τις πλάτες για τραβάτε
πίσω σιγά, και μη γυρεύετε με τους θεούς πολέμους.»
Έτσι μιλούσε, ωστόσο βρέθηκαν κιόλας οι Τρώες μπροστά τους,
κι ο Έχτορας τότε δυο πολέμαρχους σκοτώνει, το Μενέσθη
και τον Αγχίαλο, που στεκόντουσαν στο ίδιο το αμάξι μέσα.

Κι ο μέγας τελαμώνιος Αίαντας, πονώντας το χαμό τους,
κοντά κοντά τους πήγε κι έριξε το αστραφτερό κοντάρι,
και πέτυχε το γιο του Σέλαγου, τον Άμφιο, που 'χε πλήθος
κοπάδια, πλήθος είχε χτήματα στην Απαισό, μα η μοίρα

τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
νειαίρῃ δ᾽ ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος,
δούπησεν δὲ πεσών: ὁ δ᾽ ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων: Τρῶες δ᾽ ἐπὶ δούρατ᾽ ἔχευαν
ὀξέα παμφανόωντα: σάκος δ᾽ ἀνεδέξατο πολλά.

διαφεντευτής να 'ρθεί τον έσπρωχνε στον Πρίαμο και στους γιους του.
Και τώρα στο ζωστάρι του 'ριξεν ο τελαμώνιος Αίας
και κάτω εχώθη το μακροίσκιωτο κοντάρι στην κοιλιά του.
Πέφτει με βρόντο, κι ο Αίας ο ανέφοβος να γδύσει τ᾽ άρματά του
τρέχει γοργά, βροχή κι ας του 'ριχναν τα σουβλερά, φλογάτα
κοντάρια οί Τρώες, που το σκουτάρι του περίσσια εδέχτη απάνω.

αὐτὰρ ὁ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ': οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέσθαι: ἐπείγετο γὰρ βελέεσσι.
δεῖσε δ᾽ ὅ γ᾽ ἀμφίβασιν κρατερὴν Τρώων
ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε᾽ ἔχοντες,

Κι απ᾽ το νεκρό κορμί, πατώντας το, το χάλκινο κοντάρι
όξω τραβάει, μ᾽ από τους ώμους του δεν πρόφτασε να βγάλει
την ώρια αρμάτα, τι τον ζόριζαν ολόγυρα οι ριξιές τους.
Φοβήθηκε τους Τρώες τους πέρφανους—μπας και στενά τον
ζώσουν,
που πλήθος κι αντρειωμένοι στέκουνταν μπροστά του αρματωμένοι'
κι όσο κι αν ήταν γιγαντόκορμος και παλικάρι κι άντρας,
πέρα τον σπρώξαν, και τα σάστισε και πισωβηματίζει.
Να πώς πάλευαν τούτοι ανέσπλαχνα στην άγρια μάχη· ωστόσο
τον ηρακλείδη τον Τληπόλεμο, τον αντρειανό, το μέγα,
έσπρωξε η Μοίρα η τρανοδύναμη στο Σαρπηδόνα απάνω.

οἳ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦσαν ἀπὸ σφείων: ὁ δὲ χασσάμενος πελεμίχθη.
ὣς οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην:
Τληπόλεμον δ᾽ Ἡρακλεΐδην ἠῦν τε μέγαν τε
ὧρσεν ἐπ᾽ ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.

Κι όπως τρεχάτοι κοντοζύγωσαν χιμώντας ο ένας του άλλου,
— γιος ο ένας ήταν κι ο άλλος εγγονός του Νεφελοστοιβάχτη—
πιο πρώτα μίλησε ο Τληπόλεμος και λέει του Σαρπηδόνα:

οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες
υἱός θ᾽ υἱωνός τε Διὸς νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε:
Σαρπῆδον Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν ἐνθάδ᾽ ἐόντι μάχης ἀδαήμονι φωτί;

« Ποια ανάγκη, Σαρπηδόνα, σ᾽ έσπρωξε, των Λυκιωτών ρηγάρχη,
μια 'που 'σαι του πολέμου ακάτεχος, δω πέρα να ζαρώνεις;
Ψέματα λένε πως σε γέννησεν ο βροντοσκουταράτος
ο Δίας. Πολλά στ᾽ αλήθεια σου 'λειψαν για να 'σαι συ από κείνους
τους άντρες που απ᾽ το Δία γεννήθηκαν σε χρόνια περασμένα.
Για τον τρανό ποτέ δεν άκουσες τον Ηρακλή να λένε,
τον αντρειωμένο, λιονταρόκαρδο πατέρα έμενα, ως τώρα;

ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων:
ἀλλ᾽ οἷόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα:

Κάποτε εδώ του Λαομέδοντα να πάρει τ᾽ άτια εδιάβη
κι είχε έξι μοναχά πλεούμενα και λιγοστούς συντρόφους.
Το κάστρο ωστόσο το διαγούμισε κι ερήμωσε τις στράτες.
Μα εσύ καρδιά δεν έχεις, ρήμαξες και τους συντρόφους σου έτσι,
κι ουδέ φαντάζομαι πώς φτάνοντας απ᾽ τη Λυκία θα φέρεις
στους Τρώες ξαλάφρωμα, άντροδύναμος πολύ μαθές κι αν είσαι
μον᾽ σκοτωμένος άπ᾽ το χέρι μου θα κατεβείς στον Άδη.»

ὅς ποτε δεῦρ᾽ ἐλθὼν ἕνεχ᾽ ἵππων Λαομέδοντος
ἓξ οἵῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ᾽ ἀγυιάς:
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι

Κι ο Σαρπηδόνας του αποκρίθηκε, των Λυκιωτών ο ρήγας:
«Αλήθεια πάτησε, Τληπόλεμε, την Τροία την άγια εκείνος,
από αμυαλιά του Λαομέδοντα του αρχοντογεννημενού,

ἐλθόντ᾽ ἐκ Λυκίης, οὐδ᾽ εἰ μάλα καρτερός ἐσσι,
ἀλλ᾽ ὑπ᾽ ἐμοὶ δμηθέντα πύλας Ἄϊδαο περήσειν.
τὸν δ᾽ αὖ Σαρπηδὼν Λυκίων ἀγὸς ἀντίον ηὔδα:
Τληπόλεμ᾽ ἦτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν
ἀνέρος ἀφραδίῃσιν ἀγαυοῦ Λαομέδοντος,

που το καλό που εκείνος του 'κανε το αντίμεψε με λόγια.
κακά, και τ᾽ άλογα του αρνήθηκε, που αλάργα ήρθε να πάρει.
Μα τώρα εσύ από μένα θάνατο θα βρεις και μαύρη μοίρα·
θα σε σκοτώσει το κοντάρι μου, σ᾽ το λέω, και θα χαρίσεις

ὅς ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδ᾽ ἀπέδωχ᾽ ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
σοὶ δ᾽ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ᾽ ὑπὸ δουρὶ δαμέντα
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ᾽ Ἄϊδι κλυτοπώλῳ.

ὣς φάτο Σαρπηδών, ὃ δ᾽ ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος: καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρὰ
ἐκ χειρῶν ἤϊξαν: ὃ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδών, αἰχμὴ δὲ διαμπερὲς ἦλθ᾽ ἀλεγεινή:
τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.

Τληπόλεμος δ᾽ ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα
ὀστέω ἐγχριμφθεῖσα, πατὴρ δ᾽ ἔτι λοιγὸν ἄμυνεν.
οἳ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο: βάρυνε δέ μιν δόρυ μακρὸν
ἑλκόμενον: τὸ μὲν οὔ τις ἐπεφράσατ᾽ οὐδὲ νόησε
μηροῦ ἐξερύσαι δόρυ μείλινον ὄφρ᾽ ἐπιβαίη
σπευδόντων: τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δ᾽ ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
ἐξέφερον πολέμοιο: νόησε δὲ δῖος Ὀδυσσεὺς
τλήμονα θυμὸν ἔχων, μαίμησε δέ οἱ φίλον ἦτορ:
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
ἦ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν �έλοιτο.
οὐδ᾽ ἄρ᾽ Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέϊ χαλκῷ:
τώ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
ἔνθ᾽ ὅ γε Κοίρανον εἶλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ᾽ Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ᾽ ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεὺς
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ:
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ
δεῖμα φέρων Δαναοῖσι: χάρη δ᾽ ἄρα οἱ προσιόντι
Σαρπηδὼν Διὸς υἱός, ἔπος δ᾽ ὀλοφυδνὸν ἔειπε:
Πριαμίδη, μὴ δή με ἔλωρ Δαναοῖσιν ἐάσῃς
κεῖσθαι, ἀλλ᾽ ἐπάμυνον: ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἔγωγε
νοστήσας οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ,
ἀλλὰ παρῄϊξεν λελιημένος ὄφρα τάχιστα
ὥσαιτ᾽ Ἀργείους, πολέων δ᾽ ἀπὸ θυμὸν ἔλοιτο.
οἳ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
εἶσαν ὑπ᾽ αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ:
ἐκ δ᾽ ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦσε θύραζε

δόξα σε με, στον καλοφόραδο τον Άδη τη ζωή σου.»
Τέτοια μιλάει, μα κι ο Τληπόλεμος το φράξινο κοντάρι
ψηλά σηκώνει, και τινάχτηκαν τα ολόμακρα κοντάρια
μαζί απ᾽ τα χέρια τους. Και πέτυχε τον άλλο ο Σαρπηδόνας
στη μέση του λαιμού, κι ο ολόπικρος βγήκε χαλός ως πέρα,
κι ευτύς τα μάτια κατασκότεινη του αποσκεπάζει νύχτα.

Μα κι ο Τληπόλεμος τον χτύπησε με το μακρύ κοντάρι
πα στο ζερβό μερί, και χώθηκε βαθιά ο χαλός με λύσσα
ως μες στο κόκαλο, μα ο κύρης του τον γλίτωσε προσώρας.
Τότε οι σύντροφοι οι αρχοντογέννητοι το θείο το Σαρπηδόνα
όξω απ᾽ τον πόλεμο τον τράβηξαν μα το μακρύ κοντάρι
τον βάραινε, ως σερνόταν, τι ένας τους δεν πρόσεξε, δεν είπε
να βγάλει απ᾽ το μερί το φράξινο κοντάρι, να πατήσει,
μες στη βιασύνη τους· τους έπνιγε βαριά μαθές η ανάγκη.
Οι Αργίτες πάλε τον Τληπόλεμο τραβούσαν οι αντρειωμένοι
κι όξω απ᾽ τον πόλεμο τον έβγαλαν κι ως ο Οδυσσέας τον είδε,

ο αρχοντικός, ο καρτερόψυχος, ταράχτηκε η καρδιά του,
και διαλογίστη μες στα φρένα του και μέσα στην ψυχή του,
να κυνηγήσει του βροντόχαρου του Δία το γιο πιο πέρα,
για να σκοτώσει πλήθος, πέφτοντας απάνω στους Λυκιώτες.
Μα του Οδυσσέα του λιονταρόκαρδου γραφτό μαθές δεν ήταν
απ᾽ το χαλκό του ο γιος ο πέρφανος του Δία νεκρός να πέσει,
κι έτσι η Αθηνά τη γνώμη του 'στρέψε στων Λυκιωτών το πλήθος.
Τον Κοίρανο και τον Αλάστορα και το Χρομίο σκοτώνει,
τον Άλκαντρο και το Νοήμονα, τον Πρύτανη, τον Άλιο'
κι ακόμα πιότερους θα σκότωνε Λυκιώτες ο Οδυσσέας,

γοργό το μάτι αν δεν τον έπαιρνε του κρανοσείστη Εχτόρου.
Μεβιάς περνάει μεσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος,
στους Δαναούς τον τρόμο φέρνοντας᾽ κι έχάρη ο Σαρπηδόνας,
ο γιος του Δία, που ερχόταν, κι έβγαλε φωνή θλιφτή και του 'πε:
«Υγιέ του Πρίαμου, εδώ να κοίτομαι για κουρσός στους Αργίτες
αχ μη μ᾽ αφήνεις, μόνο βόηθα με! Μετά μες στο δικό σας
κάστρο ας πεθάνω᾽ τι δε μου 'τανε γραφτό, το βλέπω αλήθεια, ·
σπίτι μου πίσω, στης πατρίδας μου το χώμα να διαγύρω,
χαρά να δώσω και στο ταίρι μου και στο μικρό το γιο μου.»
Είπε, μα ο κρανοσείστης Έχτορας απηλογιά δε δίνει,

μον᾽ τον προσπέρασε, τι γύρευε να διώξει τους Αργίτες
μιαν ώρα αρχύτερα και θάνατο σε πλήθιους να σκορπίσει.
Τότε οι σύντροφοι οι αρχοντογέννητοι το θείο το Σαρπηδόνα
κάτω απ᾽ τον ώριο δρυ τον κάθισαν του Βροντοσκουταράτου,

ἴφθιμος Πελάγων, ὅς οἱ φίλος ἦεν ἑταῖρος.
τὸν δ᾽ ἔλιπε ψυχή, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς:
αὖτις δ᾽ ἐμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.
Ἀργεῖοι δ᾽ ὑπ᾽ Ἄρῃι καὶ Ἕκτορι χαλκοκορυστῇ

οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν
οὔτε ποτ᾽ ἀντεφέροντο μάχῃ, ἀλλ᾽ αἰὲν ὀπίσσω
χάζονθ᾽, ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
ἔνθα τίνα πρῶτον τίνα δ᾽ ὕστατον ἐξενάριξαν
Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ χάλκεος Ἄρης;

ἀντίθεον Τεύθραντ᾽, ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ᾽ αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε,
Οἰνοπίδην θ᾽ Ἕλενον καὶ Ὀρέσβιον αἰολομίτρην,
ὅς ῥ᾽ ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς,
λίμνῃ κεκλιμένος Κηφισίδι: πὰρ δέ οἱ ἄλλοι

ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον ἔχοντες.
τοὺς δ᾽ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα:
ὤ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,

ῥ᾽ ἄλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.

ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη πρέσβα θεὰ θυγάτηρ μεγάλοιο Κρόνοιο:
Ἥβη δ᾽ ἀμφ᾽ ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα
χάλκεα ὀκτάκνημα σιδηρέῳ ἄξονι ἀμφίς.
τῶν ἧτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθε

χάλκε᾽ ἐπίσσωτρα προσαρηρότα, θαῦμα ἰδέσθαι:
πλῆμναι δ᾽ ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν:
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν
ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι.
τοῦ δ᾽ ἐξ ἀργύρεος ῥυμὸς πέλεν: αὐτὰρ ἐπ᾽ ἄκρῳ

δῆσε χρύσειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
κάλ᾽ ἔβαλε χρύσει': ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππους ὠκύποδας, μεμαυῖ᾽ ἔριδος καὶ ἀϋτῆς.
αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ᾽ οὔδει

κι απ᾽ το μερί του επήρε κι έσυρε το φράξινο κοντάρι
ο λιονταρόκαρδος Πελάγονας, ο γκαρδιακός του ακράνης᾽
κι αυτός λιγώθηκε, και σκέπασε τα μάτια του καταχνιά,
μα ευτύς συνέφερε᾽ τι εδρόσιζε βοριάς, και την ψυχή του,
που ήταν κοντά να φύγει, ανάσταινε τρογύρα του φυσώντας.
Στον Άρη οι Αργίτες και στον Έχτορα μπροστά το χαλκοκράνη

μήτε στα πόδια πίσω το 'βαζαν, στα μαύρα πλοία να φτάσουν,
μηδέ και πόλεμο τους άνοιγαν πισωπατούσαν μόνο
σιγά σιγά, τον Άρη ως έμαθαν πως είναι μες στους Τρώες.
Την ώρα αυτή ποιόν πρώτο εσκότωσαν και ποιόν στερνόν οι δυο τους,
του Πριάμου ο γιος, ο μέγας Έχτορας, κι ο σιδερένιος Άρης;
Σκοτώσαν τον ισόθεο Τεύθραντα, τον αλογάρη Ορέστη,
τον Αιτωλό καστροπολέμαρχο τον Τρήχο, τον Οινόμαο,
του Οινόπου τον υγιό τον Έλενο και το λαμπροζωσμένο
Ορέσβιο, που μακριά το σπίτι του, στην Ύλη, πλάι στη λίμνη
του Κηφισού, με βιος αρίφνητο, κι ολόγυρα του εζούσαν

οι άλλοι Βοιωτοί, και τα πολύκαρπα χωράφια τους δούλευαν.
Μα μόλις η Ήρα, η κρουσταλλόχερη θεά, τους είδε τούτους
στους Δαναούς να δίνουν θάνατο μες στη σφαγή την άγρια,
λόγια ξεστόμιζε ανεμάρπαστα στην Αθηνά γυρνώντας:
«Ωχού μου, θυγατέρα αδάμαστη του Βροντοσκουταράτου,
ψεύτικο λόγο αλήθεια εδώσαμε του Μενελάου, πριν πάρει
πρώτα την Τροία την ωριοτείχιστη να μη διαγύρει πίσω,
τον άγριον Άρη αν τώρα αφήσουμε τέτοιο κακό να κάνει.
Μον᾽ έλα τώρα την αδάμαστη να θυμηθούμε αντρεία μας.»
Έτσι είπε, κι η Αθηνά την άκουσεν ευτύς η γλαυκομάτα.

Κι η Ήρα με βιάση τ᾽ άτια εσύνταζε τα χρυσοχαλινάτα,
μες στις θεές η πρώτη, του τρανού του Κρόνου η θυγατέρα'
κι η Ήβη γοργά τις ρόδες άρμοσε ζερβά δεξιά απ᾽ τ᾽ αμάξι,
τις χάλκινες, τις οχταδράχτινες, στο σιδερένιο αξόνι.
Μαλαματένιος, ακατάλυτος ο γύρος τους, κι απάνω
στεφάνια περασμένα χάλκινα, που να σαστίζει ο νους σου,
κι από καθάριο ασήμι ολόγυρα στις άκρες κεφαλάρια.
Λουριά από ασήμι κι από μάλαμα κρατούσαν στεριωμένη
την κάσα του αμαξιού, κι ολόγυρα δυο γύροι την έζωναν.
Κι είχε μπροστά τιμόνι ολάργυρο. Στην άκρη εκεί στεριώνει

τον όμορφο ζυγό από μάλαμα, και τα πανώρια δένει
μαλαματένια απάνω νιόλουρα, και ζεύει ατή της η Ήρα
τα γρήγορα άλογα της, πόλεμο κι αντάρες λαχταρώντας.
Πήρε η Αθηνά, του βροντοσκούταρου του Δία η κόρη, ωστόσο

ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν:
ἣ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετ᾽ αἰγίδα θυσσανόεσσαν
δεινήν, ἣν περὶ μὲν πάντῃ Φόβος ἐστεφάνωται,

ἐν δ᾽ Ἔρις, ἐν δ᾽ Ἀλκή, ἐν δὲ κρυόεσσα Ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου
δεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ᾽ ἀραρυῖαν:

ἐς δ᾽ ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ᾽ ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, οἷσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ᾽ ἄρ᾽ ἵππους:
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ ἃς ἔχον Ὧραι,

τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας ἔχον ἵππους:
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.

ἔνθ᾽ ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν᾽ ὕπατον Κρονίδην ἐξείρετο καὶ προσέειπε:
Ζεῦ πάτερ οὐ νεμεσίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα
ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
μάψ ἀτὰρ οὐ κατὰ κόσμον ἐμοὶ δ᾽ ἄχος, οἳ δὲ ἔκηλοι

τέρπονται Κύπρίς τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα οἶδε θέμιστα;
Ζεῦ πάτερ ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα
λυγρῶς πεπληγυῖα μάχης ἐξαποδίωμαι;
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς:

ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην,
ἥ μάλιστ᾽ εἴωθε κακῆς ὀδύνῃσι πελάζειν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
μάστιξεν δ᾽ ἵππους: τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.

ὅσσον δ᾽ ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον,
τόσσον ἐπιθρῴσκουσι θεῶν ὑψηχέες ἵπποι.
ἀλλ᾽ ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε,
ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,

και το αγανό μαντί της έβγαλε στο πατρικό παλάτι,
το πλουμιστό, που ατή της το ύφανε με τα ίδια της τα χέρια'
του Δία μετά φοράει το θώρακα του νεφελοστοιβάχτη
για τον πολύδακρο τον πόλεμο, και τ᾽ άρματά του βάζει.
Το κροσσωτό του βροντοσκούταρο περνά στους ώμους γύρω,
το τρομερό, που στεφανώνει το περίγυρα η Φευγάλα'

εκεί κι η Αμάχη, εκεί κι η Δύναμη, κι ο φοβερός εκεί 'ναι
Κυνηγημός, εκεί το ανήμερο κεφάλι της Γοργόνας,
το άγριο παράλλαμα, που στέκεται φριχτό του Δία σημάδι.
Το κράνος με τα δυο τα κέρατα, τα τέσσερα τ᾽ αφάλια
φοράει τ᾽ ολόχρυσο—από κάτω του στρατέματα από κάστρα
χωρούσαν εκατό—κι ανέβηκε στο αμάξι της, κι αδράχνει
το δυνατό, βαρύ, θεόρατο κοντάρι, που σκοτώνει
Όσους ηρώους του Τρανοδύναμου την κόρη έχουν θυμώσει.
Κι η Ήρα με βιάση τότε τ᾽ αλογα χτυπά με το μαστίγι,
κι οι πύλες τ᾽ ουρανού από μόνες τους βρόντηξαν, που απ᾽ τις Ώρες

φυλάγουνται᾽ τι αυτές τον Όλυμπο και τα πλατιά τα ουράνια
πήραν χρέη, με σύγνεφο πυκνό να τ᾽ ανοιγοσφαλνούνε.
Μέσα απ᾽ αυτές τα μαστιγόλαμνα πέρασαν άτια τώρα,
κι ήβραν στου Ολύμπου του πολύκορφου την πιο αψηλή τη ράχη
αλάργα απ᾽ τους θεούς να κάθεται το γιο του Κρόνου μόνο.
Εκεί τ᾽ αλόγατα ανακράτησεν η κρουσταλλόχερη Ήρα,
και των θεών τον πρώτο ρώτησε, το γιο του Κρόνου, κι είπε:
«Πατέρα Δία, με το άγριο φέρσιμο πώς δε θυμώνεις του Άρη;
Πόσους και τι λογής ερήμαξε για ιδές Αργίτες τώρα
δίχως ντροπή καμιά! Κι η πίκρα μου τρανή, μα κείνοι ανέγνοιοι

βρίσκουν χαρά, ο ασημοδόξαρος Απόλλωνας κι η Κύπρη,
τούτο τον άμυαλο ξαγγρίζοντας, που νόμο δεν κατέχει.
Πατέρα Δία, τον Άρη αν γύρευα να διώξω από τη μάχη,
αφού τον κρούσω πρώτα αλύπητα, θα θύμωνες μαζί μου;»
Και τότε ο Δίας της αποκρίθηκεν ο νεφελοστοιβάχτης:
«Ομπρός, την κουρσολόγα απάνω του την Αθηνά ξαμόλα·
πρώτη φορά δεν είναι σε βαριά τυράννια που τον ρίχνει.»
Αυτά είπε, κι η Ήρα η κρουσταλλόχερη μεμιάς τον συνακούει·
δίνει βιτσιά γοργά στ᾽ αλόγατα, κι αυτά πετούν και φεύγουν
προθυμερά, στη γης ανάμεσα και στ᾽ αστεράτα ουράνια.

Όσο το μάτι ενούς που κάθεται σε βίγλα φτάνει αλάργα
μες στη θολούρα ξαγναντεύοντας το πέλαο το κρασάτο,
τόσο πηδούν των θεών τ᾽ αλόγατα τα ψιλοχλιμιντράτα.
Φτάνουν στην Τροία και στα ποτάμια της που τρέχουν μέρα νύχτα,

ἔνθ᾽ ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
λύσασ᾽ ἐξ ὀχέων, περὶ δ᾽ ἠέρα πουλὺν ἔχευε:
τοῖσιν δ᾽ ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
αἳ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι
ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι:

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
ἕστασαν ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
εἰλόμενοι λείουσιν ἐοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ λευκώλενος Ἥρη

Στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ,
ὃς τόσον αὐδήσασχ᾽ ὅσον ἄλλοι πεντήκοντα:
αἰδὼς Ἀργεῖοι κάκ᾽ ἐλέγχεα εἶδος ἀγητοί:
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς,
οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων

οἴχνεσκον: κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος:
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται.
ὣς εἰποῦσ᾽ ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Τυδείδῃ δ᾽ ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη:
εὗρε δὲ τόν γε ἄνακτα παρ᾽ ἵπποισιν καὶ ὄχεσφιν

ἕλκος ἀναψύχοντα τό μιν βάλε Πάνδαρος ἰῷ.
ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος
ἀσπίδος εὐκύκλου: τῷ τείρετο, κάμνε δὲ χεῖρα,
ἂν δ᾽ ἴσχων τελαμῶνα κελαινεφὲς αἷμ᾽ ἀπομόργνυ.
ἵππειου δὲ θεὰ ζυγοῦ ἅψατο φώνησέν τε:

ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής:
καί ῥ᾽ ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον
οὐδ᾽ ἐκπαιφάσσειν, ὅτε τ᾽ ἦλυθε νόσφιν Ἀχαιῶν
ἄγγελος ἐς Θήβας πολέας μετὰ Καδμείωνας:

δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἔκηλον:
αὐτὰρ ὃ θυμὸν ἔχων ὃν καρτερὸν ὡς τὸ πάρος περ
κούρους Καδμείων προκαλίζετο, πάντα δ᾽ ἐνίκα
ῥηϊδίως: τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα.
σοὶ δ᾽ ἤτοι μὲν ἐγὼ παρά θ᾽ ἵσταμαι ἠδὲ φυλάσσω,

καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι:
ἀλλά σευ ἢ κάματος πολυΐδρις γυῖα δέδυκεν
ἦ νύ σέ που δέος ἴσχει ἀκήριον: οὐ σύ γ᾽ ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης:

κει που ο Σιμόης μαζί κι ο Σκάμαντρος συσμίγουν τα νερά τους.
Και τότες η Ήρα η κρουσταλλόχερη κρατώντας τ᾽ άλογα της
τα ξέζεψε απ᾽ τ᾽ αμάξι κι έχυσε πυκνή τρογύρα αντάρα,
κι αθάνατο ο Σιμόης τους έβγαλε χορτάρι να βοσκήσουν.
Και τότε αυτές, με το περπάτημα δειλιάρας περιστέρας,
κινούν, βοήθεια λαχταρίζοντας να φέρουν στους Αργίτες.

Κι ως έφτασαν εκεί που στέκουνταν οι πιο πολλοί κι οι κάλλιοι,
στον αλογάρη, λιονταρόκαρδο Διομήδη στριμωγμένοι
Ολόγυρα, με λιόντες μοιάζοντας, τρανούς αιματολάφτες,
για και με κάπρους, που στη δύναμη το ταίρι τους δεν έχουν,
ή Ήρα αποστάθη η κρουσταλλόχερη και φώναξε, παρόμοια
με το λιοντόκαρδο, χαλκόφωνο το Στέντορα στο θώρι,
που σαν πενήντα ανθρώπων έβγαζε φωνή, καθώς βρουχιόταν:
«Ντροπή σας! Κρίμα λέω στα κάλλη σας, Αργίτες τιποτένιοι!
Όσο στον πόλεμο ο άρχοντόγεννος μαχόταν Αχιλλέας,
απ᾽ του Δαρδάνου τις καστρόπορτες οι Τρώες δεν ξεμυτίζαν,

γιατί εκείνου περίσσια ετρόμαζαν το δυνατό κοντάρι.
Τώρα μακριά απ᾽ το κάστρο, στ᾽ άρμενα τα βαθουλά χτυπιούνται.»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους.
Τότε η Αθηνά, η θεά η γλαυκόματη, για το Διομήδη τρέχει,
και βρίσκει το ρηγάρχη που 'στεκε στο αμάξι πλάι και στ᾽ άτια,
και την πληγή που του 'χε ο Πάνταρος ανοίξει να δροσίσει
ζητούσε. Το λουρί τον παίδευε, που απάνω του κρεμόταν
το στρογγυλό σκουτάρι, κι ίδρωνε, τον βάραινε το χέρι,
και το λουρί τραβούσε, το αίμα του το μαύρο να σφουγγίξει.
Τον αλογίσιο τότε ακράγγιξε ζυγό η θεά και του 'πε:

«Υγιό ο Τυδέας αλήθεια εγέννησε που δεν του πολυμοιάζει.
Τρανό ο Τυδέας δεν είχε ανάστημα, μα είχε αντριγιά μεγάλη·
τι ακόμα κι όταν δεν τον άφηνα να δείξει την αντρεία του
και να παλέψει, τότε που 'φτασε στη Θήβα αποκρισάρης
μπρος στων Καδμείων την πλήθια σύναξη, δίχως συντρόφους
άλλους,
μον᾽ ήσυχα να τρώει τον πρόσταζα στου ρήγα το παλάτι,
αυτός με την καρδιά την άτρομη που 'χε στα στήθη πάντα
τους νιους της Θήβας αντροκάλεσε και σ᾽ όλα τους νικούσε
ανέκοπα, τι παραστάτισσα στο πλάι του εγώ στεκόμουν.
Μα εσένα, κι αν σου παραστέκομαι κι αν σε φυλάγω τώρα

και σε ορμηνεύω καλοπρόθετα τους Τρώες να πολεμήσεις,
πες πως σου κούρασεν ο κάματος τα μέλη απ᾽ τα γιουρούσια,
πες σε κρατάει τρομάρα ξέψυχη᾽ μα τότε εσύ δεν είσαι
γιος του Τυδέα, που 'χε για κύρη του τον αντρειωμένο Οινέα.»

γιγνώσκω σε θεὰ θύγατερ Διὸς αἰγιόχοιο:
τώ τοι προφρονέως ἐρέω ἔπος οὐδ᾽ ἐπικεύσω.
οὔτέ τί με δέος ἴσχει ἀκήριον οὔτέ τις ὄκνος,
ἀλλ᾽ ἔτι σέων μέμνημαι ἐφετμέων ἃς ἐπέτειλας:
οὔ μ᾽ εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι

Τότε ο Διομήδης ο λιοντόκαρδος απηλογιά της δίνει:
«Του Βροντοσκούταρου σε γνώρισα πως είσαι η θυγατέρα,
γι᾽ αυτό θα σου μιλήσω ξάστερα, δε θα κρυφτώ καθόλου:
Δε με κρατάει τρομάρα ξέψυχη μηδέ κι όκνιά καθόλου,
μον᾽ τις δικές σου εγώ δεν ξέχασα που μου 'δωκες ορμήνιες·
τι στους θεούς μαθές δε μ᾽ άφηνες τους τρισμακαρισμένους

τοῖς ἄλλοις: ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ᾽ ἐς πόλεμον, τήν γ᾽ οὐτάμεν ὀξέϊ χαλκῷ.
τοὔνεκα νῦν αὐτός τ᾽ ἀναχάζομαι ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας:
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα.

να ρίξω᾽ μόνο αν πει στον πόλεμο να 'ρθει η Αφροδίτη, η κόρη
του Δία, σ᾽ αυτήν να ρίξω ξέθαρρα τον κοφτερό χαλκό μου.
Γι᾽ αυτό κι ατός μου εγώ πισώστρεψα και πρόσταξα δω πέρα
να γύρουν κι οι άλλοι Αργίτες, όλοι τους να περιμαζωχτούνε'
τι εγώ τον Άρη τον εγνώρισα που κυβερνάει τη μάχη.»

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη:
Τυδεΐδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ
μήτε σύ γ᾽ Ἄρηα τό γε δείδιθι μήτε τιν᾽ ἄλλον
ἀθανάτων, τοίη τοι ἐγὼν ἐπιτάρροθός εἰμι:
ἀλλ᾽ ἄγ᾽ ἐπ᾽ Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους,

Τότε η Αθηνά, η θεά η γλαυκόματη, του απηλογήθη κι είπε:
«Γιε του Τυδέα, Διομήδη, η αγάπη μου τρανή για σένα πάντα.
Μήτε Άρη μήτε κι άλλο αθάνατο κανένα να φοβάσαι,
τι εγώ σου στέκω παραστάτισσα, τέτοια θεά μεγάλη.
Μα ομπρός, για γύρνα τα μονόνυχα φαριά στον Άρη πρώτα

τύψον δὲ σχεδίην μηδ᾽ ἄζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον,
ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ᾽ ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται.

και ρίξε από κοντά και χτύπα τον σέβας αυτός δε θέλει—
ο ανήλεος Άρης, ο πεντάγνωμος, ο μανιασμένος, που 'ναι
για το κακό φτιαγμένος᾽ που άλλοτε και μένα και της Ήρας
τους Τρώες να μάχεται μας έταζε, να πάει με τους Αργίτες,
καί τώρα με τους Τρώες τα ταίριαξε κι αλησμονάει τους άλλους!»·

ὣς φαμένη Σθένελον μὲν ἀφ᾽ ἵππων ὦσε χαμᾶζε,
χειρὶ πάλιν ἐρύσασ᾽, ὃ δ᾽ ἄρ᾽ ἐμμαπέως
ἀπόρουσεν:
ἣ δ᾽ ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά: μέγα δ᾽ ἔβραχε φήγινος ἄξων
βριθοσύνῃ: δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ᾽ ἄριστον.

Αυτά είπε, κι έβαλε το Σθένελο να κατεβεί απ᾽ τ᾽ αμάξι
κάτω τραβώντας τον, και πήδηξε στη γη με βιάση εκείνος.
Κι αυτή στο πλάι του αρχοντογέννητου Διομήδη ορμή γεμάτη
ανέβη, κι απ᾽ το βάρος έτριξε το ξύλινο τ᾽ αξόνι,
τι φοβερή θεά είχε απάνω του και τέτοιον αντρειωμένο.

λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη:
αὐτίκ᾽ ἐπ᾽ Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
ἤτοι ὃ μὲν Περίφαντα πελώριον ἐξενάριζεν
Αἰτωλῶν ὄχ᾽ ἄριστον Ὀχησίου ἀγλαὸν υἱόν:
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος: αὐτὰρ Ἀθήνη

Κι έτσι η Αθηνά Παλλάδα αρπάζοντας και γκέμια και μαστίγι᾽
πρώτα στον Άρη τα μονόνυχα ξαμόλησε άτια απάνω.
Ωστόσο εκείνος το θεόρατο ξαρμάτωνε Περίφα,
του Οχήσιου τον υγιό τον άτρομο, στους Αιτωλούς τον πρώτο'
και πάνω εκεί που τον ξαρμάτωνεν ο αιματολάφτης Άρης,
του Άδη η Αθηνά το κράνος φόρεσε, να μην τη νιώσει εκείνος.

δοῦν᾽ Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
ἤτοι ὃ μὲν Περίφαντα πελώριον αὐτόθ᾽ ἔασε
κεῖσθαι ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν,
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰθὺς Διομήδεος ἱπποδάμοιο.

Κι ο Άρης ο ανήλεος σαν αντίκρισε το θείο Διομήδη ομπρός του,
μεμιάς αφήνει το θεόρατο Περίφα ξαπλωμένο,
εκεί που απ᾽ την αρχή τον σκότωσε και τη ζωή του επήρε,
κι αυτός γραμμή στον αλογόχαρο Διομήδη πέφτει απάνω.

οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
πρόσθεν Ἄρης ὠρέξαθ᾽ ὑπὲρ ζυγὸν ἡνία θ᾽ ἵππων
ἔγχεϊ χαλκείῳ μεμαὼς ἀπὸ θυμὸν ἑλέσθαι:
καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
ὦσεν ὑπὲκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.

Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
πιο πάνω από ζυγό και νιόλουρα του ρίχνει πρώτος ο Άρης
με χάλκινο κοντάρι, θέλοντας να πάρει τη ζωή του.
Μα πρόλαβε η Αθηνά η γλαυκόματη και με το χέρι πέρα

δεύτερος αὖθ᾽ ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
ἔγχεϊ χαλκείῳ: ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη
νείατον ἐς κενεῶνα ὅθι ζωννύσκετο μίτρῃ:
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
ἐκ δὲ δόρυ σπάσεν αὖτις: ὃ δ᾽ ἔβραχε χάλκεος Ἄρης

ὅσσόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος.
τοὺς δ᾽ ἄρ᾽ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
δείσαντας: τόσον ἔβραχ᾽ Ἄρης ἅτος πολέμοιο.
οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ

καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο,
τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
φαίνεθ᾽ ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
καρπαλίμως δ᾽ ἵκανε θεῶν ἕδος αἰπὺν Ὄλυμπον,
παὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,

δεῖξεν δ᾽ ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς,
καί ῥ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα:
Ζεῦ πάτερ οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι, χάριν ἄνδρεσσι φέροντες.

σοὶ πάντες μαχόμεσθα: σὺ γὰρ τέκες ἄφρονα κούρην
οὐλομένην, ᾗ τ᾽ αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ
σοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος:
ταύτην δ᾽ οὔτ᾽ ἔπεϊ προτιβάλλεαι οὔτέ τι ἔργῳ,

ἀλλ᾽ ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ᾽ ἀΐδηλον:
ἣ νῦν Τυδέος υἱὸν ὑπερφίαλον Διομήδεα
μαργαίνειν ἀνέηκεν ἐπ᾽ ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὖτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος:

ἀλλά μ᾽ ὑπήνεικαν ταχέες πόδες: ἦ τέ κε δηρὸν
αὐτοῦ πήματ᾽ ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν,
ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη νεφεληγερέτα Ζεύς.
μή τί μοι ἀλλοπρόσαλλε παρεζόμενος μινύριζε.

ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν:
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐστὶν ἀάσχετον οὐκ ἐπιεικτὸν
Ἥρης: τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ᾽ ἐπέεσσι:
τώ σ᾽ ὧἵω κείνης τάδε πάσχειν ἐννεσίῃσιν.

του το 'σπρωξε, μακριά απ᾽ τ᾽ αμάξι τους, να φύγει στα χαμένα.
Δεύτερος χύθηκε ο βροντόφωνος απάνω του Διομήδης,
και το κοντάρι του το χάλκινο σπρώχνει η Αθηνά Παλλάδα
στο κατωκοίλι του Άρη, όπου 'δενε τρογύρα του το ζώμα.
Εκεί τον βρήκε και του ξέσκισε την όμορφή του σάρκα,
και το κοντάρι πίσω ανάσπασε᾽ κι ο σιδερένιος Άρης

εμούγκρισε, θαρρείς και φώναζαν εννιά χιλιάδες, δέκα,
θνητοί, τρανό που άνοιξαν πόλεμο και κονταροχτυπιούνται.
Οι Τρώες κι οι Αργίτες κατατρόμαξαν, τους λύθηκαν τα γόνα᾽
τόσο 'αγρια μούγκρισεν ο ανέμπληστος για μάχες Άρης τότε.
Όπως απλώνεται από σύγνεφο πηχτή μαυρίλα ολούθε,
μετά από λιόκαμα, προμήνυμα πως έρχεται μπουρίνι,
και στο Διομήδη τέτοιος φάνηκεν ο σιδερένιος Άρης,
στα ουράνια πλάτη όπως ανέβαινε σε νέφη τυλιγμένος.
Κι έφτασε γρήγορα στον Όλυμπο, στ᾽ αθάνατα λημέρια,
και πικραμένος δίπλα κάθισε στο Δία, το γιο του Κρόνου.

Του δείχνει την πληγή, το αθάνατο που του χυνόταν αίμα,
καί με κλαφτή φωνή άνεμάρπαστα του συντυχαίνει λόγια:
«Πατέρα Δία, το βλέπεις το άδικο κι αλήθεια δε θυμώνεις;
Όλοι οι θεοί βασανιζόμαστε φριχτά, κακό γυρεύει
ο ένας του άλλου να κάνει πάντα του για των θνητών τη χάρη.
Μαζί σου τώρα εμείς τα βάζουμε, τι άμυαλη κόρη εγέννας,
ανάθεμα τη, κι έχει αδιάκοπα δουλειές κακές στο νου της.
Οι άλλοι θεοί μαθές, στον Όλυμπο που ζούμε, ό,τι προστάζεις
το κάνουμε όλοι, κι ένας ένας μας στο θέλημα σου σκύβει.
Μονάχα αυτή ποτέ δεν παίδεψες με λόγο για με πράξη,

μον᾽ την αφήνεις, τι τη γέννησες τη διαστραμμένη ατός σου.
Κι έσπρωξε τώρα τον απόκοτο γιο του Τυδέα Διομήδη
χέρι ν᾽ ασκώσει στους αθάνατους θεούς ο μανιασμένος᾽
πρώτα ζυγώνοντας ελάβωσε στο χεραρμό την Κύπρη,
μετά, θεός λες κι ήταν, χίμιξε στον ίδιο εμένα πάνω.
Μα εμέ τα πόδια μου με γλίτωσαν τα γρήγορα, τι ειδάλλως
ακόμα εκεί θα βασανιζόμουν μες στα φριχτά κουφάρια,
για θα 'μουν ζωντανός, μα ξέψυχος απ᾽ του χαλκού τους
βρόντους.»
Κι είπεν ο Δίας ταυροκοιτώντας τον ο νεφελοστοιβάχτης:
«Τι μου 'ρχεσαι κοντά, πεντάγνωμε, και κλαψουρίζεις τώρα;

Απ᾽ τους θεούς του Ολύμπου οχτρεύομαι πιο πάνω εσένα απ᾽
όλους'
τι πάντα πόλεμοι σου αρέσουνε, συνερισιές κι αμάχες.
Έχεις της μάνας σου το αλύγιστο που δε βαστιέται πείσμα,

ἀλλ᾽ οὐ μάν σ᾽ ἔτι δηρὸν ἀνέξομαι ἄλγε᾽ ἔχοντα:
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ:
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ᾽ ἀϊδηλος
καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων.
ὡς φάτο, καὶ Παιήον᾽ ἀνώγειν ἰήσασθαι.

τῷ δ᾽ ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων
ἠκέσατ': οὐ μὲν γάρ τι καταθνητός γ᾽ ἐτέτυκτο.
ὡς δ᾽ ὅτ᾽ ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν
ὑγρὸν ἐόν, μάλα δ᾽ ὦκα περιτρέφεται κυκόωντι,
ὡς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.

τὸν δ᾽ Ἥβη λοῦσεν, χαρίεντα δὲ εἵματα ἔσσε:
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
αἳ δ᾽ αὖτις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηΐς Ἀθήνη
παύσασαι βροτολοιγὸν Ἄρη᾽ ἀνδροκτασιάων.

της Ήρας, που μαλλιάζει η γλώσσα μου, μαζί μου ως να συγκλίνει.
Και τώρα εκείνη λέω πως σ᾽ έσπρωξε για να τραβήξεις τόσα.
Μα κι άλλο εσύ να βασανίζεσαι κι εγώ δε θέλω τώρα'
σε γέννησε από μένα η μάνα σου κι είσαι γενιά δικιά μου.
Μ᾽ αν ήταν άλλος ο πατέρας σου, στριμμένε, χρόνια τώρα
θα σ᾽ είχα ρίξει μες στα Τάρταρα, πιο κάτω απ᾽ τους Τιτάνες.»
Είπε, και τον Παιήονα φώναξε να 'ρθεί και να τον γιάνει.

Τότε ο Παιήονας απιθώνοντας πα στην πληγή βοτάνια
μαλαχτικά μεμιάς τον έγιανε᾽ θνητός μαθές δεν ήταν.
Πώς με την πρώτη το συκόγαλο το άσπρο το γάλα πήζει,
κι ας είναι αριό, κι ως το ανακάτωσες θωρείς το ευτύς πηγμένο'
όμοια γοργά κι αυτός τον γιάτρεψε τον αντρειωμένον Άρη.
Κι η Ήβη τον έλουσε και του 'δωκε σκουτιά φρεσκοπλυμένα.
Μετά καθίζει καμαρώνοντας στο γιο του Κρόνου δίπλα.
Στου Δία κι εκείνες του τρισμέγαλου το αρχοντικό διαγύραν,
μαζί η Παλλάδα η στρατολάτισσα με την Αργίτισσα Ήρα,
μια και τον άγριον Άρη σκόλασαν απ᾽ τ᾽ αντροφονικά του.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Ζ-

-Ζ- Τρώων δ᾽ οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
πολλὰ δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθ᾽ ἴθυσε μάχη πεδίοιο
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα
μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.

Αἴας δὲ πρῶτος Τελαμώνιος ἔρκος Ἀχαιῶν
Τρώων ῥῆξε φάλαγγα, φόως δ᾽ ἑτάροισιν ἔθηκεν,
ἄνδρα βαλὼν ὃς ἄριστος ἐνὶ Θρῄκεσσι τέτυκτο
υἱὸν Ἐϋσσώρου Ἀκάμαντ᾽ ἠῢν τε μέγαν τε.
Τόν ῥ᾽ ἔβαλε πρῶτος κόρυθος φάλον
ἱπποδασείης,

ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ᾽ ἄρ᾽ ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Ἄξυλον δ᾽ ἄρ᾽ ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐϋκτιμένῃ ἐν Ἀρίσβῃ
ἀφνειὸς βιότοιο, φίλος δ᾽ ἦν ἀνθρώποισι.

Πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων.
Ἀλλά οἱ οὔ τις τῶν γε τότ᾽ ἤρκεσε λυγρὸν ὄλεθρον
πρόσθεν ὑπαντιάσας, ἀλλ᾽ ἄμφω θυμὸν ἀπηύρα
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ᾽ ἵππων
ἔσκεν ὑφηνίοχος· τὼ δ᾽ ἄμφω γαῖαν ἐδύτην.

Δρῆσον δ᾽ Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξε·
βῆ δὲ μετ᾽ Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
νηΐς Ἀβαρβαρέη τέκ᾽ ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ᾽ ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος
πρεσβύτατος γενεῇ, σκότιον δέ ἑ γείνατο μήτηρ·

ποιμαίνων δ᾽ ἐπ᾽ ὄεσσι μίγη φιλότητι καὶ εὐνῇ,
ἡ δ᾽ ὑποκυσαμένη διδυμάονε γείνατο παῖδε.
Καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
Μηκιστηϊάδης καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα.
Ἀστύαλον δ᾽ ἄρ᾽ ἔπεφνε μενεπτόλεμος
Πολυποίτης·

Πιδύτην δ᾽ Ὀδυσεὺς Περκώσιον ἐξενάριξεν
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ᾽ Ἀρετάονα δῖον.
Ἀντίλοχος δ᾽ Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεστορίδης, Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Σατνιόεντος ἐϋρρείταο παρ᾽ ὄχθας

Πήδασον αἰπεινήν. Φύλακον δ᾽ ἕλε Λήϊτος ἥρως
φεύγοντ᾽· Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηστον δ᾽ ἄρ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ζωὸν ἕλ᾽· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ ἀγκύλον ἅρμα

Έτσι απόμειναν πια στον πόλεμο μονάχοι οι Τρώες κι οι Αργίτες,
κι άπλωσε η μάχη ακόμα πιότερο μια δώθε και μια κείθε
στον κάμπο, ανάμεσα στου Σκάμαντρου και στου Σιμόη το ρέμα,
ο ένας στον άλλο απάνω ως έριχναν με τα χαλκά κοντάρια.
Ο τελαμώνιος Αίας πρωτόσπασε, των Αχαιών ο πύργος,
των Τρωών τη φάλαγγα και χάρισε το φως στους συντρόφους του,
τον πιο αντρειωμένο πετυχαίνοντας μες στους Θρακιώτες όλους, .
το γιο του Ευσώρου, τον Ακάμαντα τον αντρειανό, το μέγα.
Πρώτος του χτύπησε το κέρατο στο αλογουρίσιο κράνος'

τρυπάει το μέτωπο και πέρασε το κόκαλο ως τα μέσα
ο χάλκινος χαλός, και σκέπασε τα μάτια του σκοτάδι.
Μετά ο Διομήδης ο βροντόφωνος τον Άξυλο σκοτώνει,
το γιο του Τεύθρα, στην καλόχτιστη που ζούσε την Αρίσβη,
κι είχε και βιος τρανό κι ολόκαρδα τον αγαπούσαν όλοι,
τι ήταν στη στράτα απά το σπίτι του και φίλευε τον κόσμο.
Κι όμως την ώρα αυτή δε στάθηκε κανένας τους μπροστά του,
να τον γλιτώσει από το θάνατο᾽ σκοτώθηκαν κι οι δυο τους
τότε μαζί, κι αυτός κι ο ακράνης του Καλήσιος, που τα γκέμια
κρατούσε απ᾽ τ᾽ άτια, κι έτσι βούλιαξαν συντροφιαστοί στον Άδη.

Το Δρήσο ακόμα ο Ευρύαλος έριξε και τον Οφέλτιο κάτω,
κι ήρθε μετά η σειρά του Πήδασου και του Αίσηπου᾽ τους είχε
από νεράιδα, την Αβάρβαρην, ο Βουκολίωνας κάνει'
κι ο Βουκολίωνας το Λαομέδοντα τον αντρειανό είχε κύρη,
κι ήταν ο γιος του ο μεγαλύτερος, μα κλεφτογεννη μένος'
με τη νεράιδα τούτος έσμιξε, τα πρόβατα ως βοσκούσε,
κι αυτή γκαστρώθη και του γέννησε δυο γιους από μια γέννα.
και τώρα εκείνος τους παράλυσε και γόνατα και φόρα,
ο γιος του Μηκιστέα, και τ᾽ άρματα τους πήρε από τους ώμους.
Κι ο Αστύαλος πέφτει απ᾽ τον πολέμαρχο τον Πολυποίτη κάτω'

μετά ο Οδυσσέας με το κοντάρι του σκοτώνει τον Πιδύτη
απ᾽ την Περκώτη, και τον άψεγο τον Αρετάονα ο Τεύκρος.
Κι ο Αντίλοχος, ο γιος του Νέστορα, τον Άβληρο βαρίσκει
με το κοντάρι, κι ο Αγαμέμνονας τον Έλατο, που ζούσε
στην Πήδασο, στου ομορφορέματου του Σατνιόη τους όχτους.
Κι ο Λήιτος ο αντρειωμένος σκότωσε το Φύλακο, την ώρα
μπροστά του που 'φευγε, κι ο Ευρύπυλος τον αντρειανό Μελάνθιο.
Μετά ο Μενέλαος ο βροντόφωνος τον Άδραστο τσακώνει
ζωντάρι᾽ τ᾽ άτια του που σκιάχτηκαν και τρέχαν μες στον κάμπο
σε αρμυριχιάς κλαδί μπερδεύτηκαν, κι ως του 'σπασαν τ᾽ αμάξι

ἄξαντ᾽ ἐν πρώτῳ ῥυμῷ αὐτὼ μὲν ἐβήτην
πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
αὐτὸς δ᾽ ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη
πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα· πὰρ δέ οἱ ἔστη
Ἀτρεΐδης Μενέλαος ἔχων δολιχόσκιον ἔγχος.

Ἄδρηστος δ᾽ ἄρ᾽ ἔπειτα λαβὼν ἐλίσσετο γούνων·
ζώγρει Ἀτρέος υἱέ, σὺ δ᾽ ἄξια δέξαι ἄποινα·
πολλὰ δ᾽ ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι᾽ ἄποινα

εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε·
καὶ δή μιν τάχ᾽ ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν ᾧ θεράποντι καταξέμεν· ἀλλ᾽ Ἀγαμέμνων
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας ἔπος ηὔδα·

ὦ πέπον ὦ Μενέλαε, τί ἢ δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων; τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χειρός θ᾽ ἡμετέρας, μηδ᾽ ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ᾽ ὃς φύγοι, ἀλλ᾽ ἅμα πάντες

Ἰλίου ἐξαπολοίατ᾽ ἀκήδεστοι καὶ ἄφαντοι.
Ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως
αἴσιμα παρειπών· ὃ δ᾽ ἀπὸ ἕθεν ὦσατο χειρὶ
ἥρω᾽ Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὃ δ᾽ ἀνετράπετ᾽, Ἀτρεΐδης δὲ

λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
Νέστωρ δ᾽ Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε
μιμνέτω ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,

ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας.
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Ἔνθά κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,

εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
Πριαμίδης Ἕλενος οἰωνοπόλων ὄχ᾽ ἄριστος·
Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ᾽ ἄριστοι
πᾶσαν ἐπ᾽ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,

στου τιμονιού την άκρη, το 'βαλαν στα πόδια για το κάστρο,
κει που και τ᾽ άλλα έτρεχαν άλογα, σαν τα 'πιάνε τρομάρα.
Κι εκείνος έξω από το αμάξι του πλάι στον τροχό, στη σκόνη,
μπρούμυτα, απίστομα, κυλίστηκε᾽ κι ήρθε ο Μενέλαος μπρος του,
ο γιος του Ατρέα, με το μακρόισκιωτο κοντάρι του κι εστάθη.
Κι ο Άδραστος του 'πιασε τα γόνατα και τον παρακαλιόταν:
« Υγιέ του Ατρέα, ζωντάρι πιάσε με, και ξαγορά παράξια
δέξου απ᾽ τον κύρη μου᾽ στο σπίτι του μύρια αγαθά βρίσκονται,
χρυσάφι και χαλκός και σίδερο με κόπο δουλεμένο.
Αρίφνητα από τούτα θα 'δινε για ξαγορά μου ο κύρης,

πως είμαι ζωντανός αν μάθαινε στ᾽ Αργίτικα καράβια.»
Είπε, και την καρδιά μαλάκωσε στου γιου του Ατρέα τα στήθη,
κι ότι λογάριαζε του ακράνη του να πει να τόνε πάρει
και να τον πάει στ᾽ Αργίτικα άρμενα, πετάχτη ξάφνου ομπρός του
γοργοτρεχάτος ο Αγαμέμνονας και λέει μαλώνοντας τον:
« Καημένε εσύ Μενέλαε, γνοιάζεσαι τόσο για τούτους τώρα;
Καλά μαθές σου το συγύρισαν οι Τρώες το σπιτικό σου!
Όχι, κανείς τους απ᾽ τα χέρια μας κι από το μαύρο Χάρο
να μη γλιτώσει, ουδ᾽ όποιο αγέννητο στης μάνας του τα σπλάχνα
κρυμμένο ακόμα αγόρι βρίσκεται, κι αυτό να μη γλιτώσει,

μον᾽ όλοι σύψυχοι άχναροι, άκλαφτοι μεσ᾽ απ᾽ την Τροία να σβήσουν!»
Είπε ο αντρειωμένος και μετάστρεψε τη γνώμη του αδερφού του,
σωστά μιλώντας· με το χέρι του τον Άδραστο αποδιώχνει
αμπώθοντάς τον κι ο Αγαμέμνονας ευτύς ο πρωταφέντης
πα στο λαγγόνι τον εχτύπησε και τον ξαπλώνει χάμω'
μετά, πατώντας τον, ανάσπασε το φράξινο κοντάρι.
Και τότε ο Νέστορας γκαρδιώνοντας τους Δαναούς φωνάζει:
« Αργίτες αντρειωμένοι, φίλοι μου, πιστοί σύντροφοι του Άρη,
στα κούρσα μη ριχτεί κανένας σας και μείνει τώρα πίσω,
για να γυρίσει στο καράβι του περίσσια κουβαλώντας᾽

μόνο ας ριχτούμε κι ας σκοτώνουμε᾽ μετά με τη βολή σας
στον κάμπο τα κουφάρια γδύνετε των σκοτωμένων όλα.»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους'
και τότε οι Αργίτες οι πολέμαρχοι τους Τρώες το δίχως άλλο
χωρίς κουράγιο πια κι άνακαρα στην Τροία θα τους μαντρίζαν,
αν δεν ερχόταν πλάι στον Έχτορα και στον Αινεία τρεχάτος
και τέτοια τους μιλούσεν ο Έλενος, ο πρώτος ορνιομάντης:
«Το πιο μεγάλο βάρος, Έχτορα κι Αινεία, σε σας απ᾽ όλους
τους Τρώες και τους Λυκιώτες έπεσε, τι είστε μαθές οι πρώτοι
σε πάσα μας δουλειά, για πόλεμο για συντυχιά βαστούμε.

στῆτ᾽ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
Αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ᾽ αὖθι μένοντες,

καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ ἀτὰρ σὺ πόλιν δὲ μετέρχεο, εἰπὲ δ᾽ ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο

πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατος αὐτῇ,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἥνις ἠκέστας ἱερευσέμεν, αἴ κ᾽ ἐλεήσῃ

ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
ὥς κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς
ἄγριον αἰχμητὴν κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι.
Οὐδ᾽ Ἀχιλῆά ποθ᾽ ὧδέ γ᾽ ἐδείδιμεν ὄρχαμον
ἀνδρῶν,

ὃν πέρ φασι θεᾶς ἐξέμμεναι· ἀλλ᾽ ὅδε λίην
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν.
Ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι κασιγνήτῳ ἀπίθησεν.
Αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ

ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
Οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο,
φὰν δέ τιν᾽ ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν, ὡς ἐλέλιχθεν.

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ᾽ ἐπίκουροι
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ᾽ ἂν ἐγὼ βείω προτὶ Ἴλιον, ἠδὲ γέρουσιν
εἴπω βουλευτῆσι καὶ ἡμετέρῃς ἀλόχοισι

δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ᾽ ἑκατόμβας.
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα
κελαινὸν
ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ὁμφαλοέσσης.
Γλαῦκος δ᾽ Ἱππολόχοιο πάϊς καὶ Τυδέος υἱὸς

Σταθείτε αυτού λοιπόν και τρέχοντας μια δω μια κει κρατήστε
στο καστροπόρτι ομπρός το ασκέρι μας, στων γυναικών τα χέρια
πρίν πέσουν φεύγοντας κι ανάμπαιγμα γενούνε των οχτρών μας.
Κι αφού τους λόχους δυναμώσετε και στυλωθεί η καρδιά τους,
εμείς οι επίλοιποι, κι ας είμαστε του κόπου αφανισμένοι,
με τους Αργίτες θα παλέψουμε᾽ βαριά μας σφίγγει ανάγκη.
Έχτορα, ωστόσο εσύ στο κάστρο μας για ανέβα, στω δυονώ μας
να πεις τη μάνα, τις αρχόντισσες μες στο ναό να μάσει
της Αθηνάς της γαλανομάτης, πα στην κορφή του κάστρου,
και της θεάς τον οίκο ανοίγοντας με τα κλειδιά τον άγιο,

το ανυφαντό, που πιο της φαίνεται πανώριο και μεγάλο
απ᾽ όλα όσα φυλάει στο σπίτι μας, το πιο της αρεσκιάς της,
να το πιθώσει στης ωριόμαλλης της Αθηνάς τα γόνα,
και να της τάξει ακόμα, δώδεκα δαμάλες στο ναό της
μονοχρονιάρες, αβουκέντρωτες, να σφάξει, αν ίσως θέλει
τώρα την Τροία και τις γυναίκες μας και τα μωρά παιδιά μας
να σπλαχνιστεί κι απ᾽ το άγιο κάστρο μας να διώξει του Τυδέα
το γιο τον άγριο, τον ανήμερο, που όλοι λακούν μπροστά του.
Ο πιο αντρειωμένος λέω πως στάθηκε μες στους Αργίτες όλους·
τόσο ποτέ του δε μας τρόμαξε μηδ᾽ ο Αχιλλέας ο ρήγας,

κι όμως θεά, όπως λεν, τον γέννησε᾽ μα τούτος πια φρενιάζει
κι ουδέ μπορεί κανείς στη δύναμη να μετρηθεί μαζί του.»
Είπε, και κείνος δεν παράκουσε στο λόγο του αδερφού του'
μεμιάς επήδηξε απ᾽ το αμάξι του συνάρματος στο χώμα
κι έτρεξε, σειώντας τα κοντάρια του τα σουβλερά, στο ασκέρι,
να μπουν στον πόλεμο φωνάζοντας, κι άγρια ξανάβει μάχη.
Κάνουν κι αυτοί στροφή και βρέθηκαν στους Αχαιούς αντίκρυ.
Κι οι Αργίτες τη σφαγή παράτησαν κι έκαμαν όλοι πίσω'
και σαν τους είδαν πώς ξανάστρεψαν, κάποιος θεός έλεγαν
τ᾽ αστράτα ουράνια αφήκε κι έφτασε τους Τρώες να διαφεντέψει.

Φώναξε τότε ο μέγας Έχτορας στους Τρώες γκαρδιώνοντάς τους:
« Ακούστε, Τρώες εσείς αντρόκαρδοι και ξακουστοί σύμμαχοι,
άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιας τη φλόγα,
ως να βρεθεί καιρός, στο κάστρο μας να φτάσω εγώ τρεχάτος,
και να μιλήσω στους πρωτόγερους και στις γυναίκες όλες,
πλήθια να τάξουν στους αθάνατους σφαχτά, προσπέφτοντας τους.»
Είπε και φεύγει ο μέγας Έχτορας μεμιάς ο κρανοσείστης'
στους αστραγάλους και στο σβέρκο του το μαύρο δέρμα εχτύπα
απ᾽ το λουρί που ακροσειράδωνε το αφαλωτό σκουτάρι.
Ο Γλαύκος τότε, ο γιος του Ιππόλοχου, με το Διομήδη σμίγει

ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
Οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντε,
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
τίς δὲ σύ ἐσσι φέριστε καταθνητῶν ἀνθρώπων;
οὐ μὲν γάρ ποτ᾽ ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ

τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων
σῷ θάρσει, ὅ τ᾽ ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας·
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν.
Εἰ δέ τις ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθας,
οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος
δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν·
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ᾽ ἠγάθεον Νυσήϊον· αἳ δ᾽ ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν ὑπ᾽ ἀνδροφόνοιο Λυκούργου

θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
δύσεθ᾽ ἁλὸς κατὰ κῦμα, Θέτις δ᾽ ὑπεδέξατο κόλπῳ
δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῆ.
Τῷ μὲν ἔπειτ᾽ ὀδύσαντο θεοὶ ῥεῖα ζώοντες,
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάϊς· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν

ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσιν·
οὐδ᾽ ἂν ἐγὼ μακάρεσσι θεοῖς ἐθέλοιμι μάχεσθαι.
Εἰ δέ τίς ἐσσι βροτῶν οἳ ἀρούρης καρπὸν ἔδουσιν,
ἆσσον ἴθ᾽ ὡς κεν θᾶσσον ὀλέθρου πείραθ᾽ ἵκηαι.
Τὸν δ᾽ αὖθ᾽ Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·

Τυδεΐδη μεγάθυμε τί ἢ γενεὴν ἐρεείνεις;
οἵη περ φύλλων γενεὴ τοίη δὲ καὶ ἀνδρῶν.
Φύλλα τὰ μέν τ᾽ ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ᾽ ὕλη
τηλεθόωσα φύει, ἔαρος δ᾽ ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύει ἣ δ᾽ ἀπολήγει.

Εἰ δ᾽ ἐθέλεις καὶ ταῦτα δαήμεναι ὄφρ᾽ ἐῦ εἰδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ᾽ ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὃ δ᾽ ἄρα Γλαῦκον τέκεθ᾽ υἱόν,

εκεί στη μέση, και λαχτάριζαν κι οι δυο τους να πιαστούνε.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
πρώτος εμίλησε ο βροντόφωνος γιος του Τυδέα και του 'πε:
« Ποιος να 'σαι τάχα, αρχοντογέννητε; σαν ποιου θνητού λογιέσαι;
Δε σ᾽ έχουν δει ποτέ τα μάτια μου στη δοξανΦούσα μάχη
ως τώρα᾽ κι όμως τους ξεπέρασες στην αντριγιά τους άλλους,
που δε φοβήθης το μακρόισκιωτο κοντάρι μου θωρώντας.
Μονάχα τα παιδιά των άμοιρων τη λύσσα μου αντικρίζουν.
Αν είσαι πάλε απ᾽ τους αθάνατους, φτασμένος απ᾽ τα ουράνια,
με τ᾽ ουρανοῦ θεό δε θα 'θελα ποτέ μου να τα βάλω·

τι μήτε κι ο Λυκούργος μπόρεσε, του Δρύαντα ο γιος ο γαύρος,
χρόνια πολλά να ζήσει, ως τα 'βαλε με τους θεούς στα ουράνια.
Στο άγιο βουνό της Νύσας κάποτε του Διόνυσου τις βάγιες,
του βακχευτη θεού, κυνήγησε᾽ κι ευτύς ετούτες όλες
πετούσαν καταγής τους θύρσους τους᾽ κι ο αντροφονιάς Λυκούργος
με τη βουκέντρα του τις κέντριζε, κι ο Διόνυσος φοβήθη
και στο γιαλό βουτάει᾽ κι η Θέτιδα τον δέχτη στην αγκάλη
σκιαγμένο᾽ τι οι φωνές τον τρόμαξαν περίσσια του Λυκούργου.
Με τούτον όμως οι τρισεύτυχοι θεοί θύμωσαν τότε,
κι ο γιος του Κρόνου τον ετύφλωσε᾽ χρόνια πολλά και πάλι

Όμως δεν έζησε, τι οι αθάνατοι τον οχτρεύτηκαν όλοι.
Γι᾽ αυτό κι εγώ με τους τρισεύτυχους θεούς μελιές δε θέλω.
Μ᾽ αν είσαι απ᾽ τους θνητούς που θρέφουνται με τον καρπό της γης μας,
έλα κοντά, μιαν ώρα αρχύτερα το Χάρο ν᾽ αντκμώσεις.»
Κι ο γιος του Ιππόλοχου ο τρισεύγενος του απηλογήθη κι είπε:
« Διομήδη αντρόκαρδε, τι κάθεσαι και τη γενιά ρωτάς μου;
Καθώς των φύλλων, απαράλλαχτη κι η φύτρα των ανθρώπων:
άλλα απ᾽ τα φύλλα ρίχνουν οι άνεμοι στο χώμα κι άλλα πάλε
το δάσος ξεπετά τ᾽ ολόχλωρο την άνοιξη· παρόμοια
και των θνητών η μια ξεπέταξε κι η άλλη γενιά πεθαίνει.

Μ᾽ αν να τα μάθεις τώρα θα 'θελες κι αυτά, γι᾽ να κατέχεις
ποια'ναι η γενιά μου, όσοι την ξέρουνε πολλοί θαρρώ λογιοῦνται.
Στην άκρη απ᾽ το Άργος το αλογόθροφο τρανό αγναντεύεις κάστρο,
την Εφύρα, όπου ζούσε ο Σίσυφος, ο πιο στη γη πανούργος-
κι είχε τον Αίολο κύρη ο Σίσυφος, κι εγέννησε το Γλαύκο,

αὐτὰρ Γλαῦκος τίκτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλός τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπασαν· αὐτάρ οἱ Προῖτος κακὰ μήσατο θυμῷ,
ὅς ῥ᾽ ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρῳ ἐδάμασσε.

Τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο δῖ᾽ Ἄντεια
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ᾽ ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην.
Ἣ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
τεθναίης ὦ Προῖτ᾽, ἢ κάκτανε Βελλεροφόντην,
ὅς μ᾽ ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ.
Ὣς φάτο, τὸν δὲ ἄνακτα χόλος λάβεν οἷον ἄκουσε·
κτεῖναι μέν ῥ᾽ ἀλέεινε, σεβάσσατο γὰρ τό γε θυμῷ,
πέμπε δέ μιν Λυκίην δέ, πόρεν δ᾽ ὅ γε σήματα λυγρὰ
γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ᾽ ἠνώγειν ᾧ πενθερῷ ὄφρ᾽ ἀπόλοιτο.
Αὐτὰρ ὁ βῆ Λυκίην δὲ θεῶν ὑπ᾽ ἀμύμονι πομπῇ.
Ἀλλ᾽ ὅτε δὴ Λυκίην ἶξε Ξάνθόν τε ῥέοντα,
προφρονέως μιν τῖεν ἄναξ Λυκίης εὐρείης·
ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.
Ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος Ἠώς
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ἰδέσθαι
ὅττί ῥά οἱ γαμβροῖο πάρα Προίτοιο φέροιτο.
Αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευσε
πεφνέμεν· ἣ δ᾽ ἄρ᾽ ἔην θεῖον γένος οὐδ᾽ ἀνθρώπων,
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο,
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας.
Δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι·
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
Τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.
Τῷ δ᾽ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·
κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
εἷσε λόχον· τοὶ δ᾽ οὔ τι πάλιν οἶκον δὲ νέοντο·
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.
Ἀλλ᾽ ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠΰν ἐόντα
αὐτοῦ μιν κατέρυκε, δίδου δ᾽ ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης·
καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων

κι ο Γλαύκος γέννησε τον άψεγο Βελλεροφόντη πάλε.
Σε τούτον κι όμορφάδα εχάρισαν κι αντρεία χαριτωμένη
οι αθάνατοι, μα ο Προίτος έβαλε κακά γι᾽ αυτον στο νου του,
κι απ᾽ το Άργος μέσα τον φευγάτισε, τι ήταν τρανότερος του
και του 'χε δώσει ο Δίας τη δύναμη να τον κρατεί δικό του.

Κι η Άντεια, του Προίτου η αρχοντογέννητη γυναίκα, εξετρελάθη
μαζί του να χαρεί τον έρωτα κρυφά᾽ μα ο μυαλωμένος
Βελλεροφόντης δεν εσύγκλινε, τι ήταν αγνή η ψυχή του.
Κι είπε η γυναίκα τότε ψέματα στο βασιλιά τον Προίτο:
,,Προίτε, για πέθανε για σκότωσε το γιο του Γλαύκου τώρα,
που στο κλινάρι μου βουλήθηκε ν᾽ ανέβει αθέλητα μου."
Είπε, κι ο ρήγας αγανάχτησε τέτοιο κακό ν᾽ ακούσεί'
να τον σκοτώσει δεν το θέλησε, δε βάσταξε η καρδιά του,
μον᾽ στη Λυκία τον στέλνει του χάμου σημάδια δίνοντας του,
πολλά θανατερά χαράζοντας στο διπλωτό πιτάκι,
του πεθερού του εκεί να τα 'δειχνε και να 'βρει το χαμό του.
Κι αυτός κινάει, και των αθάνατων τον προβοδούσε η χάρη,
στη χώρα της Λυκίας ως που 'φτασε και στις οχτιές του Ξάνθου,
Εκεί με αγάπη της απλόχωρης Λυκίας τον δέχτη ο ρήγας'
μέρες εννιά τον καλοσκάμνισε κι εννιά του σφάζει βόδια'
μα όταν στις δέκα πάνω πρόβαλεν η ροδοδαχτυλάτη
Αυγή, τον ρώτησε και ζήτησε να ιδεί και τα σημάδια,
πού ό Προίτος ο γαμπρός του του 'δωκε να του κρατάει᾽ κι ως πήρε
και τ᾽ άσκημα σημάδια ξέκρινε, που του 'στελνε ο γαμπρός του,
πρώτα τη Χίμαιρα τον πρόσταξε την άγρια να σκοτώσει.
Από θεούς κρατούσε η φύτρα της, όχι απ᾽ ανθρώπους, κι είχε
λιόντα κεφάλι, ουρά δρακόφιδου και μεσοκόρμι γίδας,
και ξεπετούσε απ᾽ τα ρουθούνια της φωτιές τρανές και φλόγες,
θεϊκά σημάδια τόνε γκάρδιωσαν και τη ζωή της παίρνει.
Δεύτερα πάλεψε με τους Σόλυμους τους ξακουστούς χτυπιόταν
τέτοιο, όπως έλεγε, αντροπάλεμα δεν είδε στη ζωή του.
Τρίτη φορά τις αντροδύναμες εσκότωσε Αμαζόνες.
Μα όπως γυρνούσε, ο ρήγας του 'στησε καινούργιο δόλο πάλε:
απ᾽ την πλατιά Λυκία ξεδιάλεξε, καρτέρι να του στήσουν,
τους πιο αντρειωμένους᾽ μα κανένας τους δε γύρισε πια πίσω'
τι εκεί τους σκότωσε ο αψεγάδιαστος Βελλεροφόντης όλους.
και τότε εκείνος πια κατάλαβε θεού πώς ήταν φύτρα,
κι έτσι τον κράτησε και του 'δωκε την κόρη του γυναίκα,
κι όλα του ρήγα τα χαρίσματα μοιράστηκε μαζί του.

καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο.
Ἣ δ᾽ ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ
Ἰσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
ἣ δ᾽ ἔτεκ᾽ ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.

Ἀλλ᾽ ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,
ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων·
Ἰσανδρον δέ οἱ υἱὸν Ἄρης ἅτος πολέμοιο
μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισι·

τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.
Ἱππόλοχος δέ μ᾽ ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι·
πέμπε δέ μ᾽ ἐς Τροίην, καί μοι μάλα πόλλ᾽ ἐπέτελλεν
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἵ μέγ᾽ ἄριστοι

ἔν τ᾽ Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ὣς φάτο, γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης·
ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὰρ ὃ μειλιχίοισι προσηύδα ποιμένα λαῶν·

ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός·
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
ξείνισ᾽ ἐνὶ μεγάροισιν ἐείκοσιν ἤματ᾽ ἐρύξας·
οἵ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά·
Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν,

Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ᾽ ἐμοῖσι.
Τυδέα δ᾽ οὐ μέμνημαι, ἐπεί μ᾽ ἔτι τυτθὸν ἐόντα
κάλλιφ᾽, ὅτ᾽ ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.
Τὼ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ

εἰμί, σὺ δ᾽ ἐν Λυκίῃ ὅτε κεν τῶν δῆμον ἵκωμαι.
Ἔγχεα δ᾽ ἀλλήλων ἀλεώμεθα καὶ δι᾽ ὁμίλου·
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ᾽ ἐπίκουροι
κτείνειν ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχείω,
πολλοὶ δ᾽ αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν ὅν κε δύνηαι.

Τεύχεα δ᾽ ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ᾽ εἶναι.
Ὣς ἄρα φωνήσαντε καθ᾽ ἵππων ἀΐξαντε
χεῖράς τ᾽ ἀλλήλων λαβέτην καὶ πιστώσαντο·
ἔνθ᾽ αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,

Το πιο καλύτερο του εχάρισαν μετόχι κι οι Λυκιώτες,
να το 'χει να το χαίρεται, όμορφο, με αμπέλια, με χωράφια.
Τρία παιδιά απ᾽ αυτήν ανάστησε μετά ο Βελλεροφόντης,
τον Ίσαντρο και τον Ιππόλοχο, στερνά τη Λαοδάμεια.
Μαζί της πλάγιασε ο βαθύγνωμος ο Δίας, κι η Λαοδάμεια
το χαλκαρματωμένο εγέννησεν ισόθεο Σαρπηδόνα.

Μα ήρθε καιρός κι αυτόν που μίσησαν όλοι οι θεοί, και τότε
μονάχος, έρμος ετριγύριζε στης Ερημιάς τον κάμπο᾽
σκουλήκι στην καρδιά τον έτρωγε κι αρνήθηκε τον κόσμο.
Κι ο Άρης, της μάχης ο ανεχόρταγος, τον Ίσαντρο το γιο του᾽
σκοτώνει, εκεί που με τους Σόλυμους τους ξακουστούς χτυπιόταν'
Την κόρη η χρυσοχάλινη Άρτεμη θυμώνοντας σκοτώνει᾽
κι ο Ιππόλοχος εμένα εγέννησε και σπέρμα του λογιέμαι᾽
κι όταν στην Τροία με ξεπροβόδιζε, διπλοπαράγγελνέ μου
να θέλω να 'μαι ο πρώτος πάντα μου, να ξεπερνώ τους άλλους,

να μην ντροπιάσω τους προγόνους μου ποτέ μου, που στάθηκαν
οι πιο αντρειωμένοι μες στην Εφύρα και στην πλατιά Λυκία.
Τέτοια η γενιά μου εμένα πέτομαι πως είναι, τέτοια η φύτρα.
Έτσι μιλούσε, κι ο βροντόφωνος εχάρηκε Διομήδης,
και το κοντάρι κάτω μπήγοντας στη γη την πολυθρόφα
στον αντρολάτη ευτύς με πρόσχαρα γλυκομιλούσε λόγια:
« Παλιός λοιπόν λογιέσαι φίλος μου, προγονικός, αλήθεια!
τι ο αρχοντικός Οινέας τον άψεγο Βελλεροφόντη, ξέρω,
κράτησε κάποτε στο σπίτι του καλοσκαμνίζοντάς τον
είκοσι μέρες, κι ώρια αλλάξανε δώρα φίλιας οι δυο τους'

ο Οινέας ζωστάρι λαμπροπόρφυρο του χάρισε να το 'χει,
και δέχτηκε απ᾽ αυτόν διπλόγουβη μαλαματένια κούπα,
που τώρα ακόμα στο παλάτι μου μισεύοντας αφήκα.
Μα δε θυμούμαι εγώ τον κύρη μου, τι ήμουν μικρός ακόμα,
σύντας στη Θήβα πέρα εχάθηκαν των Αχαιών τ᾽ ασκέρια.
Λοιπόν μες στο Άργος καλοπρόσδεχτος θα μου 'σαι ξένος πάντα'
κι εγώ δικός σου, αν έρθω κάποτε στων Λυκιωτών τη χώρα.
Κι όταν ακόμα ανάβει ο πόλεμος, ας κρατηθούμε αλάργα'
πολλοί'ναι οι Τρώες, πολλοί οι σύμμαχοι τους, για να 'χω να σχοίω
όποιον μου ρίξει ο θεός στα χέρια μου για τρέχοντας τον φτάσω·

Κι έχεις και συ Αχαιούς, αν δύνεσαι, πολλούς να ρίξεις κάτω.
και τ᾽ άρματά μας ας αλλάξουμε, και τούτοι για να μάθουν
πως φίλοι γονικοί λογιόμαστε κι απ᾽ τα παλιά τα χρόνια.»
Έτσι σα μίλησαν, απήδηξαν από τ᾽ αμάξια κάτω,

ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε᾽ ἄμειβε
χρύσεα χαλκείων, ἑκατόμβοι᾽ ἐννεαβοίων.
Ἕκτωρ δ᾽ ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν,
ἀμφ᾽ ἄρα μιν Τρώων ἅλοχοι θέον ἠδὲ θύγατρες
εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ἔτας τε

καὶ πόσιας· ὃ δ᾽ ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει
πάσας ἑξείης· πολλῇσι δὲ κήδε᾽ ἐφῆπτο.
Ἀλλ᾽ ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ᾽ ἵκανε
ξεστῇς αἰθούσῃσι τετυγμένον· αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ᾽ ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο

πλησίον ἀλλήλων δεδμημένοι, ἔνθα δὲ παῖδες
κοιμῶντο Πριάμοιο παρὰ μνηστῇς ἀλόχοισι,
κουράων δ᾽ ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
δώδεκ᾽ ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο
πλησίον ἀλλήλων δεδμημένοι, ἔνθα δὲ γαμβροὶ

κοιμῶντο Πριάμοιο παρ᾽ αἰδοίῃς ἀλόχοισιν·
ἔνθά οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην·
ἕν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τέκνον τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;

ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες Ἀχαιῶν
μαρνάμενοι περὶ ἄστυ· σὲ δ᾽ ἐνθάδε θυμὸς ἀνῆκεν
ἐλθόντ᾽ ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
Ἀλλὰ μέν᾽ ὄφρά κέ τοι μελιηδέα οἶνον ἐνείκω,
ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι

πρῶτον, ἔπειτα δὲ καὐτὸς ὀνήσεαι αἴ κε πίῃσθα.
Ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει,
ὡς τύνη κέκμηκας ἀμύνων σοῖσιν ἔτῃσι.
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ,

μή μ᾽ ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι·
χερσὶ δ᾽ ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον
ἄζομαι· οὐδέ πῃ ἔστι κελαινεφέϊ Κρονίωνι
αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι.
Ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης

ἔρχεο σὺν θυέεσσιν ἀολλίσσασα γεραιάς·
πέπλον δ᾽, ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ

δώσαν τα χέρια τους κι ορκίστηκαν πιστή φιλιά κι αγάπη.
Τότε του Γλαύκου επαρασάλεψε τα φρένα ο γιος του Κρόνου,
που τ᾽ άρματά του πήγε κι άλλαξε με του τρανού Διομήδη,
χρυσά με χάλκινα, εκατόβοδα μ᾽ εννιάβοδα μονάχα.
Στο δρυν ωστόσο ο μέγας Έχτορας, στο Ζερβοπόρτι, φτάνει'
κι εκεί των Τρωών τον ζώσαν τρέχοντας οι κόρες κι οι γυναίκες
για γιους ρωτώντας και για ξάδερφους και γι᾽ αδερφούς και γι᾽ άντρες'

Κι εκείνος στους θεούς παράκλησες τις έσπρωχνε να κάνουν
όλες γραμμή, μα κιόλα οι πιότερες είχαν δικούς να κλάψουν.
Όμως στου Πριάμου το πεντάμορφο σαν έφτασε παλάτι,
πελεκητές που το περίζωναν στοές και του 'χαν χτίσει
πενήντα ολόγυρα του κάμαρες πετροπελεκημένες,
χτισμένες κολλητά, για να 'χουνε και να κοιμούνται μέσα
οι γιοί του Πρίαμου πλάι στ᾽ αγαπητά βλογητικά τους ταίρια'
και για τις κόρες του άλλες δώδεκα μες στην αυλή απαντίκρυ
στο ανώι ψηλά χτισμένες κάμαρες πετροπελεκημένες
η μια στην άλλη δίπλα βρίσκουνταν, κι εκεί οι γαμπροί κοιμόνταν

του Πρίαμου, πλάι στις πολυσέβαστες γυναίκες τους το βράδυ—
εκεί η γλυκοδωρούσα ή μάνα του τον πέτυχε απαντίκρυ,
στης Λαοδίκης όπως έμπαινε, της πιο όμορφης της κόρης.
Σφίγγει το χέρι του, του μίλησε κι αυτά του λέει τα λόγια:
« Γιατί ήρθες, γιε μου, και παράτησες την άγρια μάχη τώρα;
Περίσσια αλήθεια οι τρισκατάρατοι μας τυραννούν Αργίτες
γύρω απ᾽ το κάστρο πολεμώντας μας. Μα σένα εδώ η καρδιά σου
σε σπρώχνει χέρια απ᾽ την ακρόπολη ψηλά στο Δία ν᾽ ασκώσεις.
Μα για περίμενε, γλυκόπιοτο κρασί για να σου φέρω,
στον κύρη Δία και στους επίλοιπους θεούς να κάνεις πρώτα

σπονδή᾽ μετά κι ατός σου αν έπινες, πολύ θα το χαιρόσουν.
Πληθαίνει το κρασί τη δύναμη μαθές του κουρασμένου᾽
και τώρα εσύ πολύ κουράστηκες βοηθώντας τους δικούς σου.»
Κι ο μέγας κρανοσείστης Έχτορας απηλογιά της δίνει:
«Όχι, κρασί γλυκό, μητέρα μου, μη με κεράσεις τώρα'
μπορεί να μου κοπούν τα γόνατα και της αντρείας ξεχάσω.
Με άπλυτα χέρια ακόμα σκιάζομαι στο Δία κρασί φλογάτο
να στάξω᾽ ουδέ το μαυροσύγνεφο του Κρόνου υγιό ταιριάζει
κανείς ν᾽ ανακαλιέται σ᾽ αίματα λουσμένος και σε λύθρο.
Μα εσύ για πάρε τις αρχόντισσες και στο ναό με δώρα

της κουρσολόγας γαλανομάτης Παλλάδας μαζωχτείτε᾽
και το υφαντό, που πιο σου φαίνεται πανώριο και μεγάλο
απ᾽ όλα όσα φυλάς στο σπίτι μας, το πιο της αρεσκιάς σου,
απίθωσε το στης ωριόμαλλης της Αθηνάς τα γόνα᾽

ἥνις ἠκέστας ἱερευσέμεν, αἴ κ᾽ ἐλεήσῃ
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς
ἄγριον αἰχμητὴν κρατερὸν μήστωρα φόβοιο.
Ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης

ἔρχευ, ἐγὼ δὲ Πάριν μετελεύσομαι ὄφρα καλέσσω
αἴ κ᾽ ἐθέλῃσ᾽ εἰπόντος ἀκουέμεν· ὥς κέ οἱ αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα
Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισίν.
Εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ᾽ Ἄϊδος εἴσω

φαίην κε φρέν᾽ ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.
Ὣς ἔφαθ᾽, ἡ δὲ μολοῦσα ποτὶ μέγαρ᾽ ἀμφιπόλοισι
κέκλετο· ταὶ δ᾽ ἄρ᾽ ἀόλλισσαν κατὰ ἄστυ γεραιάς.
Αὐτὴ δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
ἔνθ᾽ ἔσάν οἱ πέπλοι παμποίκιλα ἔργα γυναικῶν

Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν·
τῶν ἕν᾽ ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,

ἀστὴρ δ᾽ ὡς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
Βῆ δ᾽ ἰέναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί.
Αἳ δ᾽ ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλει ἄκρῃ,
τῇσι θύρας ὤϊξε Θεανὼ καλλιπάρῃος
Κισσηΐς ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·

τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν.
Αἳ δ᾽ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·
ἡ δ᾽ ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
εὐχομένη δ᾽ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·

πότνι᾽ Ἀθηναίη ἐρυσίπτολι δῖα θεάων
ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρά τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἥνις ἠκέστας ἱερεύσομεν, αἴ κ᾽ ἐλεήσῃς

ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα.
Ὣς ἔφατ᾽ εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη.
Ὣς αἳ μέν ῥ᾽ εὔχοντο Διὸς κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸς δώματ᾽ Ἀλεξάνδροιο βεβήκει
καλά, τά ῥ᾽ αὐτὸς ἔτευξε σὺν ἀνδράσιν οἳ τότ᾽
ἄριστοι

και τάξε της ακόμα, δώδεκα δαμάλες στο ναό της
μονοχρονιάρες, αβουκέντρωτες, να σφάξεις, αν θελήσει
τώρα την Τροία και τις γυναίκες μας και τα μωρά παιδιά μας
να σπλαχνιστεί κι απ᾽ το άγιο κάστρο μας να διώξει του Τυδέα
το γιο τον άγριο, τον ανήμερο, που όλοι λακούν μπροστά του.
Λοιπόν στης κουρσολόγας πήγαινε της Αθηνάς τον άγιο

ναό, κι ωστόσο εγώ στου Αλέξαντρου θα πάω να τον φωνάξω,
τα λόγια μου ν᾽ ;κούσει, αν θα 'θελε. Ν᾽ άνοιγε η γη μπροστά του
να τον κατάπινε! τι ανείπωτο κακό τον γέννα ο Δίας
σε όλους τους Τρώες και στον αντρόκαρδο τον Πρίαμο και στους
γιους του.
Ας ήταν, θέ μου, να τον έβλεπα στον Άδη να κατέβει,
και θα 'λεγα μεμιάς πως ξέχασα τα τόσα βάσανα μας!»
Είπε, κι η Εκάβη πάει στο σπίτι της και φώναξε τις βάγιες,
κι αυτές μάζεψαν τις αρχόντισσες στην πόλη δώθε κείθε.
Κι εκείνη ευτύς στο μοσκομύριστο κατέβηκε κελάρι
με τα υφαντά τα μυριοξόμπλιαστα, φασμένα από γυναίκες

Σιδώνισσες, που ατός του ο Αλέξαντρος τις έφερε ο πανώριος
απ᾽ τη Σιδώνα, σύντας έσκιζε τ᾽ απέραντα πελάγη,
την αρχοντοθρεμμένη φέρνοντας Ελένη από τα ξένα.
Ένα από τούτα τότε εδιάλεξεν η Εκάβη να χαρίσει
στην Αθηνά, πιο ψιλοπλούμιστο και πιο φαρδύ από τ᾽ άλλα,
σαν άστρο που 'λαμπε, και το 'κρυβε βαθιά πιο κάτω απ᾽ όλα.
Κι έτσι κινάει, και πλήθος πίσω της αρχόντισσες δρομούσαν.
Και στο ναό ψηλά σαν έφτασαν της Αθηνάς, στο κάστρο,
η ροδομάγουλη τους άνοιξε Θεανώ τις πόρτες να 'μπουν,
η κόρη του Κισσέα, του Αντήνορα του αλογατά το ταίρι'

τι αυτή είχαν κάνει οι Τρώες ιέρεια της Αθηνάς· και τότε
σκληρίζοντας σήκωσαν όλες τους στην Αθηνά τα χέρια,
και το υφαντό σκουτί η ροδόκαλη Θεανώ με βιάση παίρνει
και το απιθώνει στης ωριόμαλλης της Αθηνάς τα γόνα,
κι ανακαλιόταν του τρισμέγαλου του Δία τη θυγατέρα:
«Ω δέσποινα Αθηνά, καστρίτισσα, τρανή θεά, για κάμε
κομμάτια του Διομήδη τ᾽ άρματα᾽ δώσε κι αυτός να πέσει
μπροστά στο Ζερβοπόρτι απίστομα δίχως πνοή στο χώμα,
και τάζουμε σου ακόμα, δώδεκα δαμάλες στο ναό σου
μονοχρονιάρες, αβουκέντρωτες, να σφάξουμε. Σπλαχνίσου

των Τρωών το κάστρο και τα ταίρια τους και τα μωρά παιδιά μας!»
Έτσι είπε αυτή, μα την παράκληση δεν άκουσε η Παλλάδα.
Στου τρισμέγαλου Δία προσεύκουνταν την κόρη αυτές, κι ωστόσο
ο μέγας Έχτορας στου Αλέξαντρου το αρχοντικό τραβούσε,
που ατός του το 'φτιαξε πανέμορφο με όσους χτιστάδες ήταν

ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἄνδρες,
οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος ἐν πόλει ἄκρῃ.
Ἔνθ᾽ Ἕκτωρ εἰσῆλθε Διῒ φίλος, ἐν δ᾽ ἄρα χειρὶ
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο
δουρὸς

αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.
Τὸν δ᾽ εὗρ᾽ ἐν θαλάμῳ περικαλλέα τεύχε᾽ ἕποντα
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ᾽ ἀφόωντα·
Ἀργείη δ᾽ Ἑλένη μετ᾽ ἄρα δμῳῇσι γυναιξὶν
ἧστο καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε.

Τὸν δ᾽ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσι·
δαιμόνι᾽ οὐ μὲν καλὰ χόλον τόνδ᾽ ἔνθεο θυμῷ,
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι· σέο δ᾽ εἵνεκ᾽ ἀϋτή τε πτόλεμός τε
ἄστυ τόδ᾽ ἀμφιδέδηε· σὺ δ᾽ ἂν μαχέσαιο καὶ ἄλλῳ,

ὅν τινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο.
Ἀλλ᾽ ἄνα μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται.
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ ἐπεί με κατ᾽ αἶσαν ἐνείκεσας οὐδ᾽ ὑπὲρ
αἶσαν,
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο καί μευ ἄκουσον·

οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι
ἥμην ἐν θαλάμῳ, ἔθελον δ᾽ ἄχεϊ προτραπέσθαι.
Νῦν δέ με παρειποῦσ᾽ ἄλοχος μαλακοῖς ἐπέεσσιν
ὄρμησ᾽ ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώϊον ἔσσεσθαι· νίκη δ᾽ ἐπαμείβεται ἄνδρας.

Ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον, Ἀρήϊα τεύχεα δύω·
ἢ ἴθ᾽, ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ᾽ ὀΐω.
Ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κορυθαίολος
Ἕκτωρ·
τὸν δ᾽ Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι·
δᾶερ ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης,

ὥς μ᾽ ὄφελ᾽ ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ
οἰχέσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθά με κῦμ᾽ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
Αὐτὰρ ἐπεὶ τάδε γ᾽ ὧδε θεοὶ κακὰ τεκμήραντο,

ἀνδρὸς ἔπειτ᾽ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς ᾔδη νέμεσίν τε καὶ αἴσχεα πόλλ᾽ ἀνθρώπων.
Τούτῳ δ᾽ οὔτ᾽ ἄρ νῦν φρένες ἔμπεδοι οὔτ᾽ ἄρ᾽
ὀπίσσω
ἔσσονται· τὼ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
Ἀλλ᾽ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷδ᾽ ἐπὶ δίφρῳ

τότε στην Τροία την παχιοχώματη μαστόροι ξακουσμένοι'
κι αυτοί αντρωνίτη του μαστόρεψαν κι αυλή και γυναικίτη,
κοντά στον Πρίαμο και στον Έχτορα, πα στην κορφή του κάστρου.
Κι ο Έχτορας μπήκε το εντεκάπηχο στο χέρι του κρατώντας
κοντάρι, και μπροστά στην άκρη του στραφτάλιζε ο χαλός του

χαλκένιος, και χρυσό τον έζωνε τρογύρα δαχτυλίδι.
Στο γυναικίτη αυτός τα λιόκαλα συγύριζε άρματα του
—σκουτάρι, θώρακα—και χάιδευε το γυριστό δοξάρι'
κι η Ελένη εκάθουνταν η Αργίτισσα, και γύρα της οι σκλάβες,
κι ωριόπλουμα στις βάγιες έδειχνε να της κεντήσουν ξόμπλια.
Κι ο Έχτορας, ως τον είδε, με άσκημα τον αποπήρε λόγια:
« Ανέμυαλε, ντροπή το χόλιασμα που κρύβεις στην καρδιά σου!
Στην Τροία τρογύρα και στ᾽ ορθόψηλο τειχί ο στρατός χτυπιέται
και ρέβει᾽ κι η σφαγή κι ο πόλεμος απ᾽ αφορμή δική σου
στο κάστρο ανάβουν τούτο ολόγυρα᾽ κι ωστόσο εσύ και με άλλον

θα τα 'βαζες, στην άγρια αν έβλεπες σφαγή να μη ζυγώνει.
Για σήκω, αλλιώς το κάστρο σίγουρα θα γένει ετούτο στάχτη!»
Κι ο παγκαλόμορφος Αλέξαντρος απηλογιά του δίνει:
«Έχτορα, μια και δίκια τα 'βαλες, όχι άδικα μαζί μου,
θα σου μιλήσω, και τα λόγια μου στοχάσου κι άκουσέ μου:
Στο γυναικίτη εδώ δεν καθόμουν τι χόλιασα η θυμώνω
τόσο των Τρωών, μα με τον πόνο μου να μείνω επόθουν μόνος.
Μα τώρα μ᾽ έσπρωξε η γυναίκα μου με τα γλυκά της λόγια
να βγω στον πόλεμο᾽ καλύτερο, κι ατός μου το κατέχω,
πως θα 'ναι τούτο᾽ η νίκη πάντα της τους άντρες συναλλάζει.

Κάτσε λοιπόν, καρτέρα, τ᾽ άρματα να βάλω του πολέμου,
για κάλλιο τράβα, θα 'ρθω πίσω σου᾽ θαρρώ, θα σε προφτάσω.»
Είπε, μα ο κρανοσείστης Έχτορας απηλογιά δε δίνει'
και τότε η Ελένη με γλυκόλογα του μίλησε και του 'πε:
« Κουνιάδε εμένα της κακοέργαστης, καταραμένης σκύλας,
να 'ταν τη μέρα που με γέννησεν η μάνα μου να 'ρχόταν
να με σηκώσει ανεμορούφουλας κακός και να με πάρει
για στο βουνό για στου πολύβογγου πελάου μακριά το κύμα,
πριν όλα αυτά γενούν, να μ᾽ έπαιρνε το κύμα να με πνίξει.
Μα μια οι θεοί και τ᾽ αποφάσισαν τέτοια κακά να γίνουν,

ας ήμουν καν αντρούς καλύτερου γυναίκα, που να νιώθει
του κόσμου ολόγυρα το σούσουρο και την καταλαλιά του.
Μ᾽ αυτός μήτε έχει μήτε γίνεται μυαλό ποτέ να βάλει᾽
γι᾽ αυτό θα 'ρθεί λέω μέρα κάποτε να τα βαριοπλερώσει.
Μα κόπιασε πιο μέσα, κάθισε πα στο σκαμνί, κουνιάδε᾽

δâερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ᾽ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἄτης,
οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ᾽ ἀοίδιμοι ἐσσομένοισι.
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ

μή με κάθιζ᾽ Ἑλένη φιλέουσά περ· οὐδέ με πείσεις·
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ᾽ ἐπαμύνω
Τρώεσσ᾽, οἳ μέγ᾽ ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
Ἀλλὰ σύ γ᾽ ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτός,
ὥς κεν ἔμ᾽ ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.

Καὶ γὰρ ἐγὼν οἶκον δὲ ἐλεύσομαι ὄφρα ἴδωμαι
οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
Οὐ γὰρ οἶδ᾽ εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις,
ἦ ἤδη μ᾽ ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·

αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους εὖ ναιετάοντας,
οὐδ᾽ εὗρ᾽ Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,
ἀλλ᾽ ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ
πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
Ἕκτωρ δ᾽ ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν

ἔστη ἐπ᾽ οὐδὸν ἰών, μετὰ δὲ δμῳῇσιν ἔειπεν·
εἰ δ᾽ ἄγε μοι δμῳαὶ νημερτέα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πῃ ἐς γαλόων ἢ εἰνατέρων ἐϋπέπλων
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι

Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται;
τὸν δ᾽ αὖτ᾽ ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔειπεν·
Ἕκτορ ἐπεὶ μάλ᾽ ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτέ πῃ ἐς γαλόων οὔτ᾽ εἰνατέρων ἐϋπέπλων
οὔτ᾽ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι

Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
ἀλλ᾽ ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ᾽ ἄκουσε
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
Ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
μαινομένῃ ἐΐκυῖα· φέρει δ᾽ ἅμα παῖδα τιθήνη.

Ἣ ῥα γυνὴ ταμίη, ὃ δ᾽ ἀπέσσυτο δώματος Ἕκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτις ἐϋκτιμένας κατ᾽ ἀγυιάς.
Εὖτε πύλας ἵκανε διερχόμενος μέγα ἄστυ
Σκαιάς, τῇ ἄρ᾽ ἔμελλε διείμεναι πεδίον δέ,
ἔνθ᾽ ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα

τι εσένα πέφτει απ᾽ όλους πιότερο το βάρος του πολέμου
για εμέ τη σκύλα και του Αλέξαντρου τη μανιασμένη τρέλα.
Άχαρη μοίρα ο Δίας μας έγραψε, πολυτραγουδημένο
μες στους ανθρώπους τους μελλούμενους να μείνει τ᾽ όνομά μας!»
Κι ο μέγας κρανοσείστης Έχτορας απηλογιά της δίνει:

«Ελένη, ας μ᾽ αγαπάς, δεν κάθομαι, κι ουδέ μου αλλάζεις γνώμη᾽
την ώρα αυτή η καρδιά μου βιάζεται στους Τρώες να δώσει χέρι,
που τόσο, τώρα πού τους έλειψα, με λαχταρούν κοντά τους.
Μα τούτον τώρα εσύ ξεσήκωσε, και να βιαστεί κι ατός του
να με προφτάσει όσο θα βρίσκομαι στο κάστρο μέσα ακόμα'
τι εγώ θα τρέξω τώρα σπίτι μου, να ιδώ τους ιδικούς μου,
να ιδώ και το ακριβό το ταίρι μου και το μωρό το γιο μου.
Ποιος ξέρει αν πάλε από τον πόλεμο θα τους γυρίσω πίσω,
για κι οι θεοί από χέρια Αργίτικα θα με σκοτώσουν τώρα.»
Είπε, και φεύγει ο μέγας Έχτορας μεμιάς ο κρανοσείστης,

κι έφτασε γρήγορα στο σπίτι του το αρχοντοκαμωμένο'
ωστόσο την κρουσταλλοβράχιονη δε βρήκε εκεί Αντρομάχη᾽
τι με το γιο της και τη βάγια της την ομορφομαντούσα ;
στο καστροπύργι απάνω κλαίγοντας, βογγώντας εστεκόταν.
Κι ο μέγας Έχτορας, την άψεγη γυναίκα του ως δε βρήκε,
στης πόρτας το κατώφλι στάθηκε και ρώτησε τις σκλάβες:
« Ελάτε, σεις οι σκλάβες, πέστε μου την πάσα αλήθεια τώρα:
Που πηγεν η Αντρομάχη φεύγοντας η χιονοβραχιονάτη;
Μήνα σε κάποια συννυφάδα της, μη σε κουνιάδα επήγε;
για ανέβη με τις καλοπλέξουδες αρχόντισσες, που πάνε'

στη φοβερή θεά παράκληση, την Αθηνά, να κάνουν;»
Και τότε η πρόθυμη κελάρισσα του άπηλογήθη κι είπε:
« Έχτορα, τώρα αφού με πρόσταξες να πω την πάσα αλήθεια᾽
μήτε σε κάποια συννυφάδα της για σε κουνιάδα επήγε,
μήτε και με τις καλοπλέξουδες αρχόντισσες, που πάνε
στη φοβερή θεά παράκληση, την Αθηνά, να κάνουν
μόνο στο μέγα πύργο ανέβηκε, σαν άκουσε οι δικοί μας
πως τσάκισαν, κι οι Αργίτες έχουνε τρανή κερδέψει νίκη.
Πήγε λοιπόν τρεχάτη κι έφτασε στο καστροτείχι απάνω,
ίδια τρελή, μαζί κι η βάγια της το γιο σας κουβαλώντας.»

Έτσι του μίλησε η κελάρισσα, κι αυτός γοργά απ᾽ το σπίτι
κινάει, τον ίδιο δρόμο παίρνοντας μεσ᾽ απ᾽ τις ώριες ρούγες.
Μα την τρανή ως αφήκε πίσω του την πόλη κι είχε φτάσει
στο Ζερβοπόρτι, οπούθε θα 'βγαινε στον κάμπο, βλέπει ομπρός του

Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος
Ἠετίων ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ
Θήβῃ Ὑποπλακίῃ Κιλίκεσσ᾽ ἄνδρεσσιν ἀνάσσων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ᾽ Ἕκτορι χαλκοκορυστῇ.
Ἣ οἱ ἔπειτ᾽ ἤντησ᾽, ἅμα δ᾽ ἀμφίπολος κίεν αὐτῇ

παῖδ᾽ ἐπὶ κόλπῳ ἔχουσ᾽ ἀταλάφρονα νήπιον αὖτως
Ἕκτορίδην ἀγαπητὸν ἀλίγκιον ἀστέρι καλῷ,
τόν ῥ᾽ Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ᾽· οἷος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
Ἤτοι ὃ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·

Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δάκρυ χέουσα,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
δαιμόνιε φθίσει σε τὸ σὸν μένος, οὐδ᾽ ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἢ τάχα χήρη
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ

πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
ἔσται θαλπωρὴ ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς
ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
Ἤτοι γὰρ πατέρ᾽ ἀμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,

ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυμῷ,
ἀλλ᾽ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
ἠδ᾽ ἐπὶ σῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν

νύμφαι ὀρεστιάδες κοῦραι Διὸς αἰγιόχοιο.
Οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν
οἳ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἐπ᾽ εἰλιπόδεσσι καὶ ἀργεννῇς οἰέσσι.

Μητέρα δ᾽, ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
τὴν ἐπεὶ ἄρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοισι κτεάτεσσιν,
ἄψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι᾽ ἄποινα,
πατρὸς δ᾽ ἐν μεγάροισι βάλ᾽ Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ

ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης·
ἀλλ᾽ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν᾽ ἐπὶ πύργῳ,
μὴ παῖδ᾽ ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα·
λαὸν δὲ στῆσον παρ᾽ ἐρινεόν, ἔνθα μάλιστα
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.

το ακριβαγόραστο το ταίρι του να τρέχει να τον φτάσει,
την Αντρομάχη, του Ηετίωνα του αντρόκαρδου την κόρη,
στην Υποπλάκια Θήβα που 'μενε, στους Κίλικες ρηγάρχης
—στη Θήβα, πάνω της που υψώνουνταν η δασωμένη Πλάκο—
κι είχε την κόρη του στον Έχτορα το χαλκοκράνη δώσει.
Ήρθε λοιπόν κι εστάθη αντίκρυ του, κι η βάγια από κοντά της

μες στην αγκάλη το απονήρευτο κρατώντας μωρουδάκι,
το γιο του Εχτόρου το μονάκριβο, πανώριο σαν αστέρι'
Σκαμάντριο το 'κραζε ο πατέρας του και Καστραφέντη ο κόσμος'
τι ο Έχτορας ήταν που διαφέντευε το κάστρο μοναχός του.
Κι αυτός δίχως μιλιά αχνογέλασε σαν είδε τον υγιό του'
και δίπλα του η Αντρομάχη στάθηκε με μάτια δακρυσμένα,
το χέρι του 'σφιξε, του μίλησε κι αυτά του λέει τα λόγια:
« Απ᾽ την ορμή την ίδια σου, άμοιρε, θα βρεις το θάνατο σου,
και το μωρό σου δε σπλαχνίζεσαι κι ουδέ τη μαύρη εμένα,
που γρήγορα θα μείνω χήρα σου᾽ τι ευτύς οι Αργίτες όλοι

θα σε σκοτώσουνε χιμίζοντας. Μ᾽ αν είναι να σε χάσω,
ν᾽ ανοίξει η γη να μπω καλύτερα χίλιες φορές, τι πια άλλη
δε θα 'χω ζεστασιά, αν μου πέθαινες, τρανούς μονάχα θα 'χω
καημούς· κι ουδέ καν ζουν ο κύρης μου κι η σεβαστή μου η μάνα.
Τον κύρη μου ο Αχιλλέας τον σκότωσεν ο αρχοντογεννημένος,
και των Κιλίκων το αψηλόπορτο, το μυριοπλούσιο κάστρο,
τη Θήβα, επάτησε, και σκότωσε τον Ηετίωνα ακόμα,
μα δεν τον έγδυσε, το σπλάχνο του βαθιά τον εσεβάστη᾽
με τα πολύπλουμά του τ᾽ άρματα τον έθαψε, και μνήμα
του ασκώνει· και φτελιές του φύτεψαν ολόγυρα οι πανώριες

Νεράιδες του βουνού, που εγέννησεν ο Βροντοσκουταράτος.
Κι είχα κι εφτά αδερφούς που χαιρόμουν στο αρχοντικό μας μέσα,
κι όλοι την ίδια μέρα εδιάβηκαν στον Άδη κάτω᾽ τι όλους
τους σκότωσε ο Αχιλλέας ο πέρφανος, την ώρα που βοσκούσαν
τα στριφτοζάλικα τα βόδια μας και τ᾽ άσπρα πρόβατα μας,
και τη μητέρα μου, που αφέντευε στης δασωμένης Πλακός
τα ριζοπλάγια, εδώ την έφερε με τ᾽ άλλα του τα κούρσα,
και ξαγορά αφού πήρε αρίφνητη τη λευτερώνει πάλε᾽
τότε όμως η Άρτεμη στου κύρη της τη σκότωσε η δοξεύτρα.
Έχτορα, τώρα εσύ πατέρας μου και σεβαστή μου μάνα

κι αδέρφι, εσύ και λεβεντόκορμος στην κλίνη σύντροφος μου.
Αχ έλα τώρα πια, σπλαχνίσου μας και μείνε εδώ στον πύργο,
μην κάνεις ορφανό το σπλάχνο σου, μην κάνεις χήρα έμενα.
Στην άγρια τη συκιά το ασκέρι σου για στήσε δίπλα τώρα,

Τρὶς γὰρ τῇ γ᾽ ἐλθόντες ἐπειρήσανθ᾽ οἱ ἄριστοι
ἀμφ᾽ Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ᾽ ἀμφ᾽ Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων ἐῢ εἰδώς,
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.

Τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς

αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ᾽ ἐμὸν αὐτοῦ.
Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἰρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

Ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ᾽ αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων

δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας·
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
πόλλ᾽ ἀεκαζομένη, κρατερὴ δ᾽ ἐπικείσετ᾽ ἀνάγκη·
καί ποτέ τις εἴπῃσιν ἰδὼν κατὰ δάκρυ χέουσαν·

Ἕκτορος ἥδε γυνὴ ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων ὅτε Ἴλιον ἀμφεμάχοντο.
Ὣς ποτέ τις ἐρέει· σοὶ δ᾽ αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ᾽ ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ.
Ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι

πρίν γέ τι σῆς τε βοῆς σοῦ θ᾽ ἑλκηθμοῖο πυθέσθαι.
Ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
ἂψ δ᾽ ὃ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
ἐκλίνθη ἰάχων πατρὸς φίλου ὄψιν ἀτυχθείς
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,

δεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
Ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
αὐτίκ᾽ ἀπὸ κρατὸς κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
αὐτὰρ ὅ γ᾽ ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσὶν

κει πού το κάστρο ευκολοπαίρνεται και τα τειχιά πατιούνται.
Ν᾽ ανέβουν τρεις φορές δοκίμασαν με διαλεγμένο ασκέρι
οι γιοι του Ατρέα κι ο πολυδόξαστος ο Ιδομενέας κι ο γαύρος
Διομήδης κι ο Αίας κι ο συνονόματος υγιός του Οϊλέα, δω πάνω᾽
θες κάποιος μάντης τους αρμήνεψε, τις θείες βουλές που ξέρει,
θες και μονάχοι τους δοκίμασαν κι από δικού τους ήρθαν.»

Κι ο μέγας κρανοσείστης Έχτορας απηλογιά της δίνει:
« Κι εγώ όλα τούτα τα στοχάζομαι, καλή μου, αλήθεια᾽ ωστόσο
μπροστά στους Τρώες περίσσια ντρέπουμαι και στις
μακρομαντούσες
Τρωαδίτισσες, μακριά απ᾽ τον πόλεμο σαν τον κιοτή να φεύγω'
μήτε το λέει η καρδιά μου, τι έμαθα να 'μαι αντρειωμένος πάντα
και μέσα στη σφαγή να βρίσκομαι στους Τρώες τους
μπροστομάχους,
την τρανή δόξα του πατέρα μου και μένα να κρατήσω'
τι εγώ στο νου μου και στα φρένα μου καλά το ξέρω αλήθεια:
Θα ξημερώσει μέρα κάποτε πού θα χαθεί το κάστρο
της Τροίας κι ο Πρίαμος ο πολέμαρχος κι όλος μαζί ο λαός του.

Μα τόσο για των Τρωών δε νοιάζομαι τα πάθη όπου 'ναι να 'ρθουν,
κι ουδέ για την Εκάβη νοιάζομαι και για τον Πρίαμο τόσο
και για τ᾽ αδέρφια μου, που κάποτε περίσσια κι αντρειωμένα
θα κυλιστούν στη σκόνη, πέφτοντας απ᾽ των οχτρών τα χέρια —
όσο για σένα, όταν χαλκάρματος κάποιος Αργίτης πάρει
τη λευτεριά σου και ξοπίσω του σε σέρνει δακρυσμένη᾽
και στο Άργος πέρα υφαίνεις έπειτα στον αργαλειό μιας ξένης,
κι απ᾽ τη Μεσσήιδα η την Υπέρεια σου λεν νερό να φέρνεις,
πολύ άθελα σου, μα ανημπόρετη θα σε βαραίνει, ανάγκη'
και κάποιος πει τυχόν, θωρώντας σε να χύνεις μαύρα δάκρυα:

,,Γιά κοίτα τη γυναίκα του Έχτορα, που ήταν στη μάχη ο πρώτος
μέσα στους Τρώες τους αλογάρηδες, σύντας την Τροία χτυπούσαν."
Αυτά θα πει, και τότε μέσα σου ξανά θ᾽ ανάψει ο πόνος,
τι έλειψε αυτός που δε θα σ᾽ άφηνε να σκλαβωθείς ποτέ του.
Μα κάλλιο να μη ζω, να βρίσκομαι βαθιά στη γη χωσμένος,
το σούρσιμό σου και το σκούξιμο προτού στ᾽ αφτιά μου φτάσουν!»
Αυτά είπε ο ξακουσμένος Έχτορας, κι ανοιεί στο γιο τα χέρια'
μα το παιδί στης ομορφόζωστης τον κόρφο εκρύφτη βάγιας
με δυνατές φωνές, τι έτρόμαξε τον κύρη του θωρώντας,
απ᾽ το χαλκό που τον εσκέπαζε σκιαγμένο κι απ᾽ τη φούντα

την αλογίσια, που άγρια σάλευε κατάκορφα στο κράνος.
Με την καρδιά τους τότε γέλασαν ο κύρης του κι η μάνα,
κι ευτύς ο ξακουσμένος Έχτορας απ᾽ το κεφάλι βγάζει
το κράνος, και στη γη το απίθωσε λαμποκοπώντας όλο.

εἶπε δ᾽ ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι·
Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμὸν ὡς καὶ ἐγώ περ ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ᾽ ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴποι πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων
ἐκ πολέμου ἀνιόντα· φέροι δ᾽ ἔναρα βροτόεντα
κτείνας δῃΐον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
Ὣς εἰπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ᾽ ἑόν· ἣ δ᾽ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
δακρυόεν γελάσασα· πόσις δ᾽ ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
δαιμονίη μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίς μ᾽ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι
ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα
γένηται.
Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε
ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· πόλεμος δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
Ὣς ἄρα φωνήσας κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ
ἵππουριν· ἄλοχος δὲ φίλη οἶκον δὲ βεβήκει
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
Αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο, κιχήσατο δ᾽ ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
Αἳ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἴξεσθαι προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.
Οὐδὲ Πάρις δήθυνεν ἐν ὑψηλοῖσι δόμοισιν,
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα ποικίλα
χαλκῷ,
σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
Ὡς δ᾽ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων
εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὃ δ᾽ ἀγλαΐῃφι πεποιθὼς
ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν
ἵππων·
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων ὥς τ᾽ ἠλέκτωρ ἐβεβήκει
καγχαλόων, ταχέες δὲ πόδες φέρον· αἶψα δ᾽
ἔπειτα

Παίρνει μετά το γιο, τον φίλησε, τον χόρεψε στα χέρια,
κι έτσι μετά στο Δία προσεύκουνταν και στους θεούς τους άλλους:
«Πατέρα Δία κι εσείς οι επίλοιποι θεοί, και τούτος δώστε,
ο γιος μου, όπως εγώ περίλαμπρος μέσα στους Τρώες να γένει,
άντρας τρανός, και πολυδύναμα την Τροία να κυβερνήσει'
κι ένας να πει: ,,πολύ καλύτερος απ᾽ το γονιό του ετούτος,"
σα θα γυρίζει από τον πόλεμο με κούρσα αιματωμένα᾽
οχτρού που σκότωσε, κι η μάνα του βαθιά ν᾽ αναγαλλιάσει.»
Έτσι μιλεί, και στης γυναίκας του τα χέρια τον υγιό τους
απίθωσε, κι αυτή τον δέχτηκε στο μυρωδάτο κόρφο
δακρυογελώντας᾽ την επόνεσε καθώς την είδε εκείνος,
και με το χέρι του τη χάιδεψε κι αυτά της λέει τα λόγια:
«Άμοιρη εσύ, μη μου πικραίνεσαι μες στην καρδιά σου τόσο'
κανείς, αν δεν το στρέγει η μοίρα μου, στον Άδη δε με στέλνει·
το ξέρω, απ᾽ το γραφτό κανένας μας, κιοτής για παλικάρι,
μια και στον κόσμο αυτό γεννήθηκε, δε γλίτωσε ποτέ του.
Μον᾽ τώρα εσύ στο σπίτι πήγαινε και τις δουλειές σου κοίτα,
τον αργαλειό, την αλακάτη σου, και πρόσταζε τις βάγιες
να πιάνουνε δουλειά᾽ τον πόλεμο θα τον κοιτάξουν οι άντρες
όλοι όσοι μες στην Τροία γεννήθηκαν, κι εγώ περίσσια απ᾽ όλους.»
Αυτά είπε ο ξακουσμένος Έχτορας, και σήκωσε το κράνος
το αλογουρίσιο᾽ κι η γυναίκα του τραβούσε για το σπίτι,
όλο και πίσω της γυρίζοντας, στα δάκρυα βουτημένη.
Κι ήταν σε λίγο στο καλόφτιαχτο το αρχοντικό φτασμένη
του αντροφονιά του Εχτόρου, κι έσμιξε κει μέσα με τις βάγιες·
λίγες δεν ήταν, κι όλες άσκωσαν μαζί το μοιρολόγι.
Έτσι τον Έχτορα στο σπίτι του και ζωντανό τον κλαίγαν,
τι δεν ελπιζαν πια, ξεφεύγοντας των Αχαιών τα χέρια
και την ορμή, ξανά απ᾽ τον πόλεμο να τόνε ιδούν να γύρει.
Μα ουδέ κι ο Πάρης χασομέρησε μες στο αψηλό του σπίτι'
τα ξακουστά του ως ζώστηκε άρματα τα χαλκοδουλεμένα,
ευτύς το κάστρο εδιάβη τρέχοντας με γρήγορα ποδάρια.
Πως ξάφνου το άτι, που ξαπόστασε και χόρτασε κριθάρι
μες στο παχνί του, σπάει τα χάμουρα και πιλαλάει στον κάμπο
ποδοβολώντας, τι να λούζεται του αρέσει στο ποτάμι,
καμαρωτό, και το κεφάλι του κρατάει ψηλά, κι οι χήτες
πίσω στις πλάτες του ανεμίζουνται, κι αυτό αντριγιά γεμάτο
το φέρνουν γρήγορα τα γόνατα στις γνώριμες βοσκές του'
όμοια κι ο Πάρης απ᾽ τα Πέργαμα να κατεβαίνει επήρε,
του Πρίαμου ο γιος, σαν ήλιος λάμποντας μες στην αρματωσιά του,
κι όλο χαρά και γέλιο γρήγορα τα πόδια του τον φέρναν.
Τον Έχτορα σε λίγο επρόλαβε, μόλις κι αυτός κινούσε,

Ἕκτορα δῖον ἔτετμεν ἀδελφεὸν εὖτ᾽ ἄρ᾽ ἔμελλε
στρέψεσθ᾽ ἐκ χώρης ὅθι ᾗ ὀάριζε γυναικί.
Τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδής·
ἦθεῖ᾽ ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίσιμον ὡς ἐκέλευες;

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ·
δαιμόνι᾽ οὐκ ἄν τίς τοι ἀνὴρ ὃς ἐναίσιμος εἴη
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ᾽ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ᾽ ὑπὲρ σέθεν αἴσχε᾽ ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
Ἀλλ᾽ ἴομεν· τὰ δ᾽ ὄπισθεν ἀρεσσόμεθ᾽, αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν
ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.

όθε πιο πριν γλυκοκουβέντιαζε με το ακριβό του ταίρι.
και πρώτος μίλησε ο θεόμορφος Αλέξαντρος και του 'πε:
« Μήπως τυχόν, καλέ, και σε άργησα στην τόση βιάση που 'χεις,
κι απά στην ώρα μου δεν έφτασα, καθώς παράγγελνες μου;»

Κι ο μέγας κρανρσείστης Έχτορας απηλογιά του δίνει:
« Καημένε, όποιος σε ιδεί στον πόλεμο και θέλει δίκιος να 'ναι
πως δεν αξίζεις δε θα το 'λεγε, τι αντρίστικη η καρδιά σου'
μα θες κι οκνεύεις και δε γνοιάζεσαι για τίποτα, κι εμένα
πονάει η καρδιά τους Τρώες ακούγοντας το τι για σένα σέρνουν,
που τόσα χρόνια βασανίζουνται στ᾽ αλήθεια απ᾽ αφορμή σου.
Μ᾽ ας πάμε τώρα, αυτά τα φτιάνουμε κι αργότερα, μονάχα
να δώσει ο Δίας, κροντήρι ελεύτερο να στήσουμε μια μέρα
στο αρχοντικό μας, τους αθάνατους θεούς ψηλά τιμώντας,
ως πια απ᾽ την Τροία τους ωριομάλληδες θα 'χουμε διώξει Αργίτες.»

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Η-

-Η- ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ,
τῷ δ' ἅμ' Ἀλέξανδρος κί' ἀδελφεός· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι.
ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν

οὖρον, ἐπεί κε κάμωσιν ἐϋξέστῃς ἐλάτῃσι
πόντον ἐλαύνοντες, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
ὡς ἄρα τὼ Τρώεσσιν ἐελδομένοισι φανήτην.
ἔνθ' ἑλέτην ὃ μὲν υἱὸν Ἀρηϊθόοιο ἄνακτος
Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης

γείνατ' Ἀρηΐθοος καὶ Φυλομέδουσα βοῶπις·
Ἕκτωρ δ' Ἠϊονῆα βάλ' ἔγχεϊ ὀξυόεντι
αὐχέν' ὑπὸ στεφάνης εὐχάλκου, λύντο δὲ γυῖα.
Γλαῦκος δ' Ἱππολόχοιο πάϊς Λυκίων ἀγὸς ἀνδρῶν
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην

Δεξιάδην ἵππων ἐπιάλμενον ὠκειάων
ὦμον· ὃ δ' ἐξ ἵππων χαμάδις πέσε, λύντο δὲ γυῖα.
τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
βῆ ῥα κατ' Οὐλύμποιο καρήνων ἀΐξασα

Ἴλιον εἰς ἱερήν· τῇ δ' ἀντίος ὄρνυτ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ βούλετο νίκην·
ἀλλήλοισι δὲ τώ γε συναντέσθην παρὰ φηγῷ.
τὴν πρότερος προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
τίπτε σὺ δ' αὖ μεμαυῖα Διὸς θύγατερ μεγάλοιο

ἦλθες ἀπ' Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῷῃς; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ' εἴ μοί τι πίθοιο τό κεν πολὺ κέρδιον εἴη·
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα

σήμερον· ὕστερον αὖτε μαχήσοντ' εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
ὑμῖν ἀθανάτῃσι, διαπραθέειν τόδε ἄστυ.
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ὣδ' ἔστω ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ

ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε πῶς μέμονας πόλεμον καταπαυσέμεν
ἀνδρῶν;
τὴν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἷος

Αυτά είπε ο ξακουσμένος Έχτορας, κι από τις πόρτες βγαίνει'
μαζί κι ο Αλέξαντρος το αδέρφι του τραβούσε, και βαθιά τους
κι οι δυο λαχτάριζαν στον πόλεμο και στη σφαγή να μπούνε.
Κι όπως οι ναύτες, πια που απόκαμαν τα τορνευτά κουπιά τους
στο πέλαο να χτυπούν, κι ο κάματος τους έλυσε τα γόνα,
ποθούν αγέρα πρίμο, κι άξαφνα κάποιος θεός τον στέλνει'
όμοια κι οι δυο τους τότε φάνηκαν στους Τρώες που τους
ποθούσαν.
Του ρήγα Αρήθοου τότε σκότωσεν ο ένας το γιο, που ζούσε
στην Άρνη και Μενέσθιος κράζουνταν ο Αρήθοος ο απελάτης

τον είχε από τη Φυλομέδουσα τη βοϊδομάτα κάνει.
Κι ο Έχτορας δεύτερος κοντάρεψε τον Ηονέα στο σβέρκο,
κάτω απ' το κράνος το καλόχαλκο, και του 'λυσε τα γόνα.
Κι ο Γλαύκος τότε, ο γιος του Ιππόλοχου, των Λυκιωτών ο ρήγας,
στον ώμο τον Ιφίνοο πέτυχε μες στη σφαγή την άγρια,
του Δεξιού τον υγιό, στο γρήγορο το αμάξι του ως πηδούσε'
κι ευτύς σωριάστη από το αμάξι του κι ελύθη η δύναμη του.
Μα ως η Αθηνά, η θεά η γλαυκόματη, τους είδε να σκορπίζουν,
στη μάχη μέσα την ανέσπλαχνη, το χάρο στους Αργίτες,
τις κορυφές του Ολύμπου αφήνοντας μεβιας εχύθη κάτω

στην Τροία την άγια' τότε ο Απόλλωνας πετάχτηκε αντικρύ της,
ψηλά απ' τα Πέργαμα ως τη βίγλισε, στους Τρώες να δώσει χέρι.
Κι όπως οι δυο συναπαντήθηκαν στο δρυ αποδίπλα, πρώτος
αρχίζει ο βασιλιάς Απόλλωνας, ο γιος του Δία, και λέει:
« Τι θέλεις κι έρχεσαι απ' τον Όλυμπο, του Δία του τρισμεγάλου
η κόρη εσύ; Σέ τι να σ' έσπρωξε ξανά ο τρανός ο νους σου;
Ακέρια μπας και θες ζυγιάζοντας στους Δαναούς τη νίκη
να δώσεις; τι στους Τρώες που χάνουνται σπλάχνος εσύ δεν έχεις.
Μ' αν να με ακούσεις θες, τρανότερο θα 'ταν θαρρώ το κέρδος.
Έλα, τον πόλεμο ας σκολάσουμε και τη σφαγή προσώρας,

κι αύριο ξανά ας αρχίσουν πόλεμο, την άκρα πια ως να βρούνε
της Τροίας μια μέρα' τι έτσι οι αθάνατες οι δυο το αποφασίστε
και σας καλάρεσε, συθέμελο το κάστρο αυτό να πέσει.»
Τότε η Αθηνά, η θεά η γλαυκόματη, του απηλογήθη κι είπε:
« Έτσι να γίνει, μακροδόξαρε, με αυτή κι εγώ τη γνώμη
από τον Όλυμπο κατέβηκα στους Τρώες και στους Αργίτες.
Όμως για λέγε, πώς ο πόλεμος νογας να πάρει τέλος;»
Και τότε ο βασιλιάς Απόλλωνας, ο γιος του Δία, της είπε:
«Την άγρια την ορμή ας ανάψουμε του αλογομάχου Εχτόρου,
κάποιον μονάχος, ολομόναχος ν' αντροκαλέσει Αργίτη,

ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι,
οἳ δέ κ᾽ ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἷον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
τῶν δ᾽ Ἕλενος Πριάμοιο φίλος παῖς σύνθετο θυμῷ

βουλήν, ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι·
στῆ δὲ παρ᾽ Ἕκτορ᾽ ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ υἱὲ Πριάμοιο Διὶ μῆτιν ἀτάλαντε
ἦ ῥά νύ μοί τι πίθοιο, κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,

αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν·
ὡς γὰρ ἐγὼ ὄπ᾽ ἄκουσα θεῶν αἰειγενετάων.
ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτε χάρη μέγα μῦθον ἀκούσας,

καί ῥ᾽ ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών· οἳ δ᾽ ἱδρύνθησαν ἅπαντες.
κὰδ δ᾽ Ἀγαμέμνων εἷσεν ἐϋκνήμιδας Ἀχαιούς·
κὰδ δ᾽ ἄρ᾽ Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέσθην ὄρνισιν ἐοικότες αἰγυπιοῖσι

φηγῷ ἐφ᾽ ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο
ἀνδράσι τερπόμενοι· τῶν δὲ στίχες εἵατο πυκναὶ
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι.
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ᾽ αὐτῆς,

τοῖαι ἄρα στίχες εἵατ᾽ Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροισιν ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,

ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείετε ποντοπόροισιν.
ὑμῖν δ᾽ ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει

δεῦρ᾽ ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ᾽ ἄμμ᾽ ἐπιμάρτυρος ἔστω·
εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα δὲ οἴκαδ᾽ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με

αντίκρα οι δυο τους σε άγριο πάλεμα να κονταροκρουστούνε᾽
και τότε οι Αργίτες οι χαλκάρματοι πα στο φιλότιμο τους
θα βάλουν έναν με τον Έχτορα να βγει να πολεμήσει.»
Αυτά είπε, κι η Αθηνά η γλαυκόματη στη γνώμη του συγκλίνει.
Κι ο γιος του Πρίαμου τότες, ο Έλενος, καθώς ψυχανεμίστη
σαν ποια βουλή οι θεοί που μίλησαν είχαν παρμένη αντάμα,
πήγε και στάθη, πλάι στον Έχτορα κι έτσι μιλάει και κρένει:
«Έχτορα, γιε του Πρίαμου ασύγκριτε, που 'χεις του Δία τη γνώση,
τάχα θ᾽ ακούσεις λέω τη γνώμη μου, που μ᾽ έχεις κι αδερφό σου;
Τους άλλους Τρώες να κάτσουν βάλε τους και τους Αργίτες όλους,

και συ ν᾽ αντροκαλέσεις έπειτα τον πιο αντρειωμένο Αργίτη,
αντίκρα οι δυο σας σε άγριο πάλεμα να κονταροκρουστείτε.
Γραφτό δεν είναι τώρα ο θάνατος να σε 'βρει και να πέσεις'
τέτοια άκουσα από τους αθάνατους φωνή να λέει στ᾽ αφτί μου.»
Είπε, κι εχάρη ο μέγας Έχτορας τα λόγια αυτά ν᾽ ακούσει,
και τρέχοντας των Τρωών αντίσκοφτε τις φάλαγγες, κρατώντας
από τη μέση το κοντάρι του, κι αυτοί σταθήκαν όλοι.
Καθίζει τότε κι ο Αγαμέμνονας τους χαλκαρματωμένους
Αργίτες· κι η Αθηνά κι ο Απόλλωνας ο ασημοδοξαράτος
στον αψηλό του βροντοσκούταρου του Δία το δρυ κάθισαν,

με αγιούπες μοιάζοντας, και χαίρουνταν μπροστά τους ως θωρούσαν
τους δυο στρατούς᾽ και τούτοι εκάθουνταν πυκνές πυκνές αράδες,
και τρικύμιζαν τα σκουτάρια τους, τα κράνη, τα κοντάρια.
Πώς, σα φυσήξει ξάφνου Ζέφυρος, στο πρώτο σήκωμα του
μεμιάς ανατριχιάζει η θάλασσα και μαύρισε το κύμα'
όμοια κι οι Τρώες κι οι Αργίτες μαύριζαν, στον κάμπο όπως
καθίζαν.
Κι ο Έχτορας πήρε τότε κι έλεγε καταμεσός στ᾽ ασκέρια:
«Για ακούστε τώρα, Τρώες, τα λόγια μου, κι Αργίτες αντρειωμένοι,
το τι η καρδιά βαθιά στα στήθη μου με σπρώχνει να μιλήσω'
τους όρκους μας ο Δίας δεν τέλεψεν ο αψηλοθρονιασμένος,

μόνο κακό τρανό στα φρένα του και για τους δυο μας κλώθει,
ως που την Τροία την καλοπύργωτη να κάνετε δική σας,
για κι οι ίδιοι πλάι στα πελαγόδρομα καράβια σας χαθείτε.
Έχει το ασκέρι σας πολέμαρχους τους πιο αντρειανούς Αργίτες'
ποιανού το λέει η καρδιά στα στήθη του να χτυπηθεί μαζί μου;
Ας έρθει ομπρός στο θείο τον Έχτορα, κι ας μείνουν οι άλλοι πίσω.
Κι εγώ σας λέω—κι ας είναι μάρτυρας ο Δίας και για τους δυο μας—
με το μακρύ χαλκό του ο αντίμαχος αν με σκοτώσει, ας γδύσει
κι ας κουβαλήσει την αρμάτα μου στα βαθουλά καράβια᾽
μα το νεκρό κορμί στο σπίτι μου να δώσει, για να βάλουν

Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ᾽ ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος Ἀπόλλων,
τεύχεα σύλησας οἴσω προτὶ Ἴλιον ἱρήν,
καὶ κρεμόω προτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω,

ὄφρά ἑ ταρχύσωσι κάρη κομόωντες Ἀχαιοί,
σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ.
καί ποτέ τις εἴπῃσι καὶ ὀψιγόνων ἀνθρώπων
νηῒ πολυκλήϊδι πλέων ἐπὶ οἴνοπα πόντον·
ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος,

ὅν ποτ᾽ ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ.
ὥς ποτέ τις ἐρέει· τὸ δ᾽ ἐμὸν κλέος οὔ ποτ᾽ ὀλεῖται.
ὡς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
αἰδέσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ᾽ ὑποδέχθαι·
ὀψὲ δὲ δὴ Μενέλαος ἀνίστατο καὶ μετέειπε

νείκει ὀνειδίζων, μέγα δὲ στεναχίζετο θυμῷ·
ὤ μοι ἀπειλητῆρες Ἀχαιΐδες οὐκέτ᾽ Ἀχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ᾽ ἔσσεται αἰνόθεν αἰνῶς
εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσιν.
ἀλλ᾽ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε

ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι ἀκλεὲς αὔτως·
τῷδε δ᾽ ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθε
νίκης πείρατ᾽ ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.
ὡς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά.
ἔνθά κέ τοι Μενέλαε φάνη βιότοιο τελευτὴ

Ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
εἰ μὴ ἀναΐξαντες ἕλον βασιλῆες Ἀχαιῶν,
αὐτός τ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
δεξιτερῆς ἕλε χειρὸς ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
ἀφραίνεις Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ

ταύτης ἀφροσύνης· ἀνὰ δὲ σχέο κηδόμενός περ,
μηδ᾽ ἔθελ᾽ ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι
Ἕκτορι Πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ᾽ Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
ἔρριγ᾽ ἀντιβολῆσαι, ὅ περ σέο πολλὸν ἀμείνων.

ἀλλὰ σὺ μὲν νῦν ἴζευ ἰὼν μετὰ ἕθνος ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
εἴ περ ἀδειής τ᾽ ἐστὶ καὶ εἰ μόθου ἔστ᾽ ἀκόρητος,
φημί μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγῃσι

δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
ὡς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως
αἴσιμα παρειπών, ὃ δ᾽ ἐπείθετο· τοῦ μὲν ἔπειτα
γηθόσυνοι θεράποντες ἀπ᾽ ὤμων τεύχε᾽ ἔλοντο·
Νέστωρ δ᾽ Ἀργείοισιν ἀνίστατο καὶ μετέειπεν·
ὦ πόποι ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.

οι Τρώες μαζί με τις γυναίκες τους φωτιά και να με κάψουν.
Μ᾽ αν τον σκοτώσω εγώ, κι ο Απόλλωνας τρανή μου δώσει δόξα,
στην Τροία την αγία την αρμάτα του θα φέρω, γδύνοντας τον,
και στο ναό του μακροδόξαρου θα την κρεμάσω Φοίβου᾽
μα το νεκρό στα καλοκούβερτα καράβια θα γυρίσω,
για να τον θάψουν οι μακρόμαλλοι στο χώμα μέσα Αργίτες,
και μνήμα στον πλατύν Ελλήσποντο χυτό να του σηκώσουν.
Κι ελιάς θα πει από τους μελλούμενους θνητούς, ως ταξιδεύει
με το πολύσκαρμο καράβι του στο πέλαο το κρασάτο:
,,Κάποιος στο μνήμα τούτο κοίτεται καιρούς και χρόνια τώρα,

που ο μέγας Έχτορας τον σκότωσε, κι ας ήταν παλικάρι."
Αυτά θα πει κανείς, κι αθάνατο θα μείνει τ᾽ όνομα μου.»
Έτσι μιλούσε, κι όλοι απόμειναν και δεν έβγαζαν άχνα'
όχι να πουν, ντροπή τους έπιανε, και ναι να πουν, τρόμαζαν.
Αργά ο Μενέλαος ξεπετάχτηκε και σε φωνές ξεσπάζει,
όλο θυμό κι οργή, και μέσα του βαριά η καρδιά βογγούσε:
«Ωχού μου, καυκησιάροι, Αργίτισσες! τι Αργίτες πια δεν είστε!
Αληθινά βαριά, κατάβαρη ντροπή μας απαντέχει,
αν Αχαιός κανείς τον Έχτορα δε βγει ν᾽ αντιπαλέψει.
Νερό και χώμα αχ άμποτε όλοι σας να γίνετε, που τώρα

αθάρρευτοι, άτιμοι κι αδόξαστοι μου κάθεστε ένας ένας!
Εγώ μπροστά σ᾽ αυτόν με τ᾽ άρματα λοιπόν θα βγω, κι η νίκη
σε ποιόν θα κλίνει, μόν᾽ οι αθάνατοι που 'ναι ψηλά τ᾽ ορίζουν.»
Έτσι τους μίλησε, και ντύθηκε την ώρια αρματωσιά του'
και τότε πια, Μενέλαε, θα 'βλεπες την ύστερη σου μέρα,
στα χέρια του Έχτορα—τρανότερος πολύ μαθές εκείνος—
των Αχαιών αν δεν πετάγουνταν οι αρχόντοι να σε πιάσουν,
κι ο πρωταφέντης Αγαμέμνονας ατός του, ο γιος του Ατρέα,
που απ᾽ το δεξιό το χέρι σ᾽ έπιασε κι αυτά τα λόγια σου 'πε:
«Ευγενικέ Μενέλαε, τα 'χασες, κι ουδέ ταιριάζει εσένα

μια τέτοια τρέλα᾽ υπομονέψου το, με όση κι αν έχεις πίκρα,
και μη ζητάς ν᾽ ανοίξεις πόλεμο με τον καλύτερο σου,
του Πρίαμου τον υγιό τον Έχτορα, που κι άλλοι τον τρομάζουν.
Ως κι ο Αχιλλέας το τρέμει, αντίκρα του στη δοξαντρούσα μάχη
να χτυπηθεί, κι ας λογαριάζεται πολύ καλύτερος σου.
Μα τώρα εσύ με τους συντρόφους σου για σύρε να καθίσεις,
κι άλλον πολέμαρχο θ᾽ ασκώσουμε να μετρηθεί μαζί του.
Κι όσο κι αν είναι τούτος άφοβος κι ανέμπλητος για μάχη,
όλο χαρά θαρρώ τα γόνατα στη γη θα γείρει, αν ίσως
γλιτώσει απ᾽ τον ανήλεο πόλεμο κι απ᾽ τη σφαγή την άγρια.»

Είπε ο αντρειωμένος, και μετάστρεψε τη γνώμη του αδερφού του,
σωστά μιλώντας᾽ κι ως τον άκουσεν εκείνος, τους συντρόφους
αφήνει να του βγάλουν τ᾽ άρματα χαρούμενοι απ᾽ τους ώμους.
Και τότε ο Νέστορας σηκώθηκε και στους Αργίτες είπε:
«Ωχού, κακό τρανό που πλάκωσε στων Αχαιών τη χώρα!

ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεὺς
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ᾽ ἀγορητής,
ὅς ποτέ μ᾽ εἰρόμενος μέγ᾽ ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺς νῦν εἰ πτώσσοντας ὑφ᾽ Ἕκτορι πάντας ἀκούσαι,

πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
αἴ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
ἡβῷμ᾽ ὡς ὅτ᾽ ἐπ᾽ ὠκυρόῳ Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι

Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ᾽ Ἐρευθαλίων πρόμος ἵστατο ἰσόθεος φὼς
τεύχε᾽ ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος
δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες

οὕνεκ᾽ ἄρ᾽ οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῷ,
ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας.
τὸν Λυκόοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε,
στεινωπῷ ἐν ὁδῷ ὅθ᾽ ἄρ᾽ οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πρὶν γὰρ Λυκόοργος ὑποφθὰς

δουρὶ μέσον περόνησεν, ὃ δ᾽ ὕπτιος οὔδει ἐρείσθη·
τεύχεα δ᾽ ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης.
καὶ τὰ μὲν αὐτὸς ἔπειτα φόρει μετὰ μῶλον Ἄρηος·
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
δῶκε δ᾽ Ἐρευθαλίωνι φίλῳ θεράποντι φορῆναι·

τοῦ ὅ γε τεύχε᾽ ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἳ δὲ μάλ᾽ ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη·
ἀλλ᾽ ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ᾧ· γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.

τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ᾽ ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
τώ κε τάχ᾽ ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ.
ὑμέων δ᾽ οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν

οὐδ᾽ οἳ προφρονέως μέμαθ᾽ Ἕκτορος ἀντίον ἐλθεῖν.
ὡς νείκεσσ᾽ ὃ γέρων, οἳ δ᾽ ἐννέα πάντες ἀνέσταν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
τῷ δ᾽ ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης,
τοῖσι δ᾽ ἐπ᾽ Αἴαντες θοῦριν ἐπιειμένοι ἀλκήν,

τοῖσι δ᾽ ἐπ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ,
τοῖσι δ᾽ ἐπ᾽ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός,
ἂν δὲ Θόας Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς·
πάντες ἄρ᾽ οἵ γ᾽ ἔθελον πολεμίζειν Ἕκτορι δίῳ.

Θρήνο ο Πηλέας βαρύ θα σήκωνεν, ο γέρο αλογολάτης,
και αγορητής και πρωτοστάτορας τρανός των Μυρμιδόνων
που όλο χαρά στο σπίτι του άλλοτε ρωτώντας με ολοένα
να μάθει κάθε Αργίτη γύρευε και φαμελιά και φύτρα.
Και τώρα αν άκουε, μπρος στον Έχτορα πως όλοι τους ζάρωσαν,

τα χέρια στους θεούς θα σήκωνε μερονυχτίς, ζητώντας
απ᾽ το κορμί η ψυχή του βγαίνοντας να πάει στον Άδη κάτω.
Να 'ταν, πατέρα Δία κι Απόλλωνα και συ Αθηνά, τα νιάτα
να 'χω όπως τότε, σαν εμάχουνταν όλοι μαζί οι Πυλιώτες
στο γοργορέματο Κελάδοντα με τους τρανούς Άρκάδες
μπρος στα τειχιά της Φειας, στου Γιάρδανου τα ρέματα τρογύρα.
Ίδια θεός ο Ερευθαλίωνας στεκόταν μπροστομάχος,
του βασιλιά του Αρήθοου τ᾽ άρματα στους ώμους του φορώντας,
του θείου του Αρήθοου, που παράνομα του βγάλαν᾽ ο Απελάτης᾽,
κι έτσι τον λέγαν κι οι ομορφόζωνες γυναίκες κι οι άντρες όλοι'

τι με δοξάρι αυτός δε μάχουνταν για με μακρύ κοντάρι᾽
με σιδερένιο τους αντίμαχους τσακούσε απελατίκι.
Αυτόν με πονηριά τον σκότωσε, κι όχι μ᾽ αντρειά ο Λυκούργος
σ᾽ ένα στενό᾽ το σιδερένιο του δε μπόρειε απελατίκι
να τον γλιτώσει, κι έτσι πρόφτασε και τον τρυπά ο Λυκούργος
με το κοντάρι του. Τ᾽ ανάσκελα στη γη ξαπλώθη, κι ο άλλος
του γδύνει τ᾽ άρματα, απ᾽ το χάλκινο τον Άρη χαρισμένα.
Κι έτσι τα φόρειε αυτός, στον πόλεμο και στη σφαγή ως κινούσε.
Μα σύντας ο Λυκούργος γέρασε στο αρχοντικό του μέσα,
του Ερευθαλίωνα του συντρόφου του να τα φοράει τα δίνει.

Κι αυτός μ᾽ εκείνα τους καλύτερους αντροκαλιόταν όλους᾽
μ᾽ αυτοί φοβούνταν και τον τρόμαζαν, κι ουδέ κανείς εδέχτη'
μόνο η καρδιά η δική μου αφόβητη να χτυπηθώ ζητούσε'
τόσο είχε αυτή κουράγιο, απ᾽ όλους μας ο πιο μικρός κι ας ήμουν.
Κι ως πάλεψα, τη νίκη εχάρισε σε μένα η Γλαυκομάτα.
Ο πιο αψηλός απ᾽ όσους σκότωσα κι ο πιο τρανός εστάθη·
τι ως πέρα ξαπλωμένος κοίτουνταν μακρύς φαρδύς στο χώμα.
Νιος να 'μουν μόνο κι αξεθύμαστη την πρώτη ορμή μου να 'χα,
και θα 'χε ο κρανοσείστης Έχτορας με ποιόν να πολεμήσει!
Μα εσείς, ακόμα κι όσοι ακούγεστε των Αχαιών οι πρώτοι,

δε σας καλόρχεται τον Έχτορα μπροστά σας ν᾽ αντικριστέ.»
Έτσι τους μάλωνεν ο γέροντας, κι εννιά μεμιάς πετιούνται'
πρώτος απ᾽ όλους ο Αγαμέμνονας ασκώθη ο πρωταφέντης,
μετά ο Διομήδης, ο αντροδύναμος γιος του Τυδέα, σηκώθη'
οι δυο ξοπίσω αμέσως Αίαντες, όλο αντριγιά και θάρρος,
μετά κι ο Ιδομενέας κι ο σύντροφος του Ιδομενέα Μηριόνης,
που το κουράγιο του ισοζύγιαζε με του αντροφόνου του Άρη'
μετά κι ο Ευρύπυλος, του Ευαίμονα σηκώθη ο γιος ο γαύρος,
στερνά κι ο Θόας, ο γιος του Αντραίμονα, κι ο ισόθεος Οδυσσέας'
κι όλοι ζητούσαν με τον Έχτορα το θείο να χτυπηθούνε.

τοῖς δ᾽ αὖτις μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
κλήρῳ νῦν πεπάλασθε διαμπερὲς ὅς κε λάχῃσιν·
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς,
καὶ δ᾽ αὐτὸς ὃν θυμὸν ὀνήσεται αἴ κε φύγῃσι

δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
ὣς ἔφαθ᾽, οἱ δὲ κλῆρον ἐσημήναντο ἕκαστος,
ἐν δ᾽ ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρεΐδαο.
λαοὶ δ᾽ ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέος υἱόν,

ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης.
ὣς ἄρ᾽ ἔφαν, πάλλεν δὲ Γερήνιος ἱππότα Νέστωρ,
ἐκ δ᾽ ἔθορε κλῆρος κυνέης ὃν ἄρ᾽ ἤθελον αὐτοὶ
Αἴαντος· κῆρυξ δὲ φέρων ἀν᾽ ὅμιλον ἁπάντῃ
δεῖξ᾽ ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν.

οἱ δ᾽ οὐ γιγνώσκοντες ἀπηνήναντο ἕκαστος.
ἀλλ᾽ ὅτε δὴ τὸν ἵκανε φέρων ἀν᾽ ὅμιλον ἁπάντῃ
ὅς μιν ἐπιγράψας κυνέῃ βάλε φαίδιμος Αἴας,
ἤτοι ὑπέσχεθε χεῖρ᾽, ὁ δ᾽ ἄρ᾽ ἔμβαλεν ἄγχι παραστάς,
γνῶ δὲ κλήρου σῆμα ἰδών, γήθησε δὲ θυμῷ.

τὸν μὲν πὰρ πόδ᾽ ἐὸν χαμάδις βάλε φώνησέν τε·
ὦ φίλοι ἦτοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτὸς
θυμῷ, ἐπεὶ δοκέω νικησέμεν Ἕκτορα δῖον.
ἀλλ᾽ ἄγετ᾽ ὄφρ᾽ ἂν ἐγὼ πολεμήϊα τεύχεα δύω,
τόφρ᾽ ὑμεῖς εὔχεσθε Διὶ Κρονίωνι ἄνακτι

σιγῇ ἐφ᾽ ὑμείων ἵνα μὴ Τρῶές γε πύθωνται,
ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης·
οὐ γάρ τίς με βίῃ γε ἑκὼν ἀέκοντα δίηται
οὐδέ τι ἰδρείῃ, ἐπεὶ οὐδ᾽ ἐμὲ νήϊδά γ᾽ οὔτως

ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.
ὣς ἔφαθ᾽, οἱ δ᾽ εὔχοντο Διὶ Κρονίωνι ἄνακτι·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ Ἴδηθεν μεδέων κύδιστε μέγιστε
δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ,

ἴσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον.
ὣς ἄρ᾽ ἔφαν, Αἴας δὲ κορύσσετο νώροπι χαλκῷ.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ ἔσσατο τεύχεα,
σεύατ᾽ ἔπειθ᾽ οἷός τε πελώριος ἔρχεται Ἄρης,
ὅς τ᾽ εἶσιν πόλεμον δὲ μετ᾽ ἀνέρας οὓς τε Κρονίων

Και τότες ο γερήνιος Νέστορας τους είπε ο αλογολάτης:
«Τώρα λαχνό να ρίξετε όλοι σας, να ιδούμε ποιου θα πέσει'
αυτός θα δώσει στους χαλκάρματους Αργίτες αναγάλλια'
όμως κι ατός του μες στα φρένα του θ᾽ αναγαλλιάσει, αν ίσως
γλιτώσει από τον άγριο πόλεμο κι απ᾽ το σκληρό το απάλε.»
Έτσι μιλεί, κι αυτοί τον κλήρο τους χάραξαν ένας ένας,
και μες στο κράνος του Αγαμέμνονα, του γιου του Ατρέα, τον ρίξαν
κι οι άλλοι αψηλά τα χέρια εσήκωναν και στους θεούς ευκιούνταν,
κι αυτά ένας ένας έλεε βλέποντας ψηλά στα ουράνια πλάτη :
«Πατέρα Δία, στον Αίαντα δώσε μας να λάχει, η στο Διομήδη,

για και στον ίδιο της πολύχρυσης Μυκήνας το ρηγάρχη.»
Έτσι έλεγαν, κι ο γέρο Νέστορας πήρε να σείει το κράνος,
και το σημάδι ξεπετάχτηκε κείνου που θέλαν όλοι,
του Αίαντα᾽ τότε ο κράχτης κίνησε δεξιά μεριά και πήρε
το ασκέρι γύρω, στους αντρόκαρδους για να το δείξει Αργίτες'
κι αυτοί, ως θωρώντας δεν το γνώριζαν, τον στέλναν παρακάτω.
Μα όταν ο κράχτης τριγυρνώντας το σίμωσε αυτόν, στο κράνος
που το 'χε ρίξει σημαδεύοντας, στον Αία τον αντρειωμένο,
μπροστά του ως στάθηκε, του το 'δείξε᾽ κι αυτός το χέρι απλώνει,
κι όπως θωρούσε το σημάδι του, το γνώρισε κι εχάρη,

κι ομπρός στα πόδια του, κατάχαμα, το ρίχνει και φωνάζει:
«Είναι δικός μου ο κλήρος, σύντροφοι, και χαίρομαι κι ατός μου
βαθιά, τι λέω το θείο τον Έχτορα πως θα τον ρίξω κάτω.
Μα ομπρός, την ώρα εγώ που τ᾽ άρματα θα βάζω του πολέμου,
εσείς παράκληση να κάνετε στο Δία, το γιο του Κρόνου,
με σιγανή φωνή, από μέσα σας, οι Τρώες να μην ακούσουν
μ᾽ ας ειν᾽ και δυνατά᾽ δε σκιάζομαι κανένα, όπως και να 'ναι'
μεβιας κανένας δε θα μ᾽ έκανε να φύγω αθέλητα μου,
μηδέ με μαστοριά, τι ακάτεχο θαρρώ κι μένα τόσο
η Σαλαμίνα δε με γέννησε, μηδέ κι ανάστησε με!»

Είπε, κι αυτοί παράκληση έκαναν στο Δία, το γιο του Κρόνου,
κι αυτά ένας ένας έλεε βλέποντας ψηλά στα ουράνια πλάτη:
«Πατέρα Δία, τρανέ κι ασύγκριτε, που κυβερνάς την Ίδα,
δώσε στον Αία τη νίκη, κάνε τον να δοξαστεί περίσσια.
Μα αγάπη αν έχεις και στον Έχτορα και γνοιάζεσαι για τούτον,
τότε ίδια και στους δυο σομοίρασε και δύναμη και δόξα.»
Έτσι έλεγαν, κι ο Αίας με ολάστραφτο χαλκό γοργά αρματώθη,
κι ως όλα τ᾽ άρματα του εφόρεσε τρογύρα στο κορμί του,
χύθηκε ομπρός, σαν το θεόρατο τον Άρη, σύντας τρέχει
να μπει κι αυτός στο απάλε που άνοιξαν θνητοί, απ᾽ το γιο του Κρόνου

θυμοβόρου ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι.
τοῖος ἄρ᾽ Αἴας ὦρτο πελώριος ἔρκος Ἀχαιῶν
μειδιόων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶν
ἧΐε μακρὰ βιβάς, κραδάων δολιχόσκιον ἔγχος.
τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰσορόωντες,

Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
Ἕκτορί τ᾽ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν·
ἀλλ᾽ οὔ πως ἔτι εἶχεν ὑποτρέσαι οὐδ᾽ ἀναδῦναι
ἂψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ.
Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον

χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίος κάμε τεύχων
σκυτοτόμων ὄχ᾽ ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων,
ὅς οἱ ἐποίησεν σάκος αἰόλον ἑπταβόειον
ταύρων ζατρεφέων, ἐπὶ δ᾽ ὄγδοον ἤλασε χαλκόν.
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας

στῆ ῥα μάλ᾽ Ἕκτορος ἐγγύς, ἀπειλήσας δὲ προσηύδα·
Ἕκτορ νῦν μὲν δὴ σάφα εἴσεαι οἰόθεν οἷος
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι
καὶ μετ᾽ Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
ἀλλ᾽ ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι

κεῖτ᾽ ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν·
ἡμεῖς δ᾽ εἰμὲν τοῖοι οἵ ἄν σέθεν ἀντιάσαιμεν
καὶ πολέες· ἀλλ᾽ ἄρχε μάχης ἠδὲ πτολέμοιο.
τὸν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Αἶαν διογενὲς Τελαμώνιε κοίρανε λαῶν

μή τί μευ ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικός, ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα.
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ᾽ ἀνδροκτασίας τε·
οἶδ᾽ ἐπὶ δεξιά, οἶδ᾽ ἐπ᾽ ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην, τό μοι ἔστι ταλαύρινον πολεμίζειν·

οἶδα δ᾽ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ᾽ ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἀρῆϊ.
ἀλλ᾽ οὐ γάρ σ᾽ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύσας, ἀλλ᾽ ἀμφαδόν, αἴ κε τύχωμι.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,

καὶ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ᾽ αὐτῷ.
ἐξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής,
ἐν τῇ δ᾽ ἑβδομάτῃ ῥινῷ σχέτο· δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος,

σπρωγμένοι, για να στήσουν πόλεμο σε καρδιοφάουσα αμάχη.
Τέτοιος ασκώθη κι ι Αίας ο γίγαντας, των Αχαιών ο πύργος,
χαμογελώντας με άγριο πρόσωπο᾽ κι εχύθη με μεγάλες
μπρος δρασκελιές, το μακρογίσκιωτο κοντάρι του κουνώντας.
Κι οι Αργίτες χάρηκαν θωρώντας τον, όμως οι Τρώες ένιωσαν
απ᾽ άγριο φόβο να τους λύνουνται κάτω μεριά τα γόνα.
Ακόμα και στα στήθη του Έχτορα βαριά η καρδιά χτυπούσε,
όμως να φύγει πια δε δύνουνταν, μια κι είχε αντροκαλέσει,
κι ουδέ και να χωθεί γυρίζοντας μέσα στους Τρώες τους άλλους.
Κι ο Αίας ζυγώνει· το εφταβόδινο, το χάλκινο σκουτάρι

σαν πύργος φάνταζε στα χέρια του· του το 'χε μαστορέψει
πετσωματής τρανός, ο Μάστορας, που μες στην Ύλη εζούσε.
Το πλουμιστό σκουτάρι του 'στρωσε μ᾽ εφτά τομάρια ταύρων
καλοθρεμμένων, κι απανώβαλε χαλκένια ακόμα στρώση.
Τούτο στο στήθος μπρος ασκώνοντας ο γιος του Τελαμώνα
ζύγωσε απόκοντα τον Έχτορα κι όλο φοβέρα κρένει:
«Έχτορα, ατός σου και μονάχος σου καλά θα μάθεις τώρα
σαν τι λογής Αργίτες βρίσκουνται ξεχωριστοί, και δίχως
τον Αχιλλέα το λιονταρόκαρδο, το στρατοκαταλύτη.
Τούτος μακριά στα πελαγόδρομα, δοξαρωτά καράβια

κάθεται αργός, τι του Αγαμέμνονα κρατάει θυμό του ρήγα.
Όμως κι εμείς να σε αντικρίσουμε βαστούμε, κι όχι λίγοι.
Ομπρός λοιπόν, τον πόλεμο άνοιξε πρώτος εσύ καί χτύπα!»
Κι ο μέγας, κρανοσείστης Έχτορας απηλογιά του δίνει:
«Του Τελαμώνα υγιέ αρχοντόγεννε, τρανέ ρηγάρχη, αχ όχι,
μη θες να με τρομάξεις, άπλερο παιδί λες κι είμαι τάχα,
για και γυναίκα, που από πόλεμο καθόλου δεν κατέχει.
Εγώ καλά από αντροσκοτώματα κι από πολέμους ξέρω'
ξέρω δεξιά το βοϊδοσκούταρο, ξέρω ζερβά πιδέξια
να κυβερνώ, καί μου 'ναι σύνεργο βασταγερό πολέμου᾽

ξέρω να χύνουμαι στον τάραχο των γρήγορων αλόγων
ξέρω να στήνω στο αντροπάλεμα χορό στον Άρη αντρίκειο.
Μα ενός τρανού όπως συ δε θα 'θελα παραμονεύοντας τον
κρυφά να ρίξω᾽ θέλω φανερά να τόνε κρούσω, αν κρούσω!»
Είπε, και το μακροίσκιωτο έριξε κοντάρι του με φόρα,
και του Αία το φοβερό εφταβόδινο σκουτάρι πετυχαίνει
πα στη στερνή χαλκένια στρώση του, που το 'σκεπε από πάνω.
Περνάει τις έξι στρώσες ο άσπλαχνος χαλκός ξεσκίζοντας τις,
και μόνο απ᾽ τη στερνή εκρατήθηκε. Με τη σειρά του ρίχνει
κι ο τρανός Αίας το μακρογίσκιωτο κοντάρι του με φόρα,

καὶ βάλε Πριαμίδαο κατ᾽ ἀσπίδα πάντοσ᾽ ἴσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὃ δ᾽ ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.

τὼ δ᾽ ἐκσπασσαμένω δολίχ᾽ ἔγχεα χερσὶν ἄμ᾽ ἄμφω
σύν ῥ᾽ ἔπεσον λείουσιν ἐοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί,
οὐδ᾽ ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμή.

Αἴας δ᾽ ἀσπίδα νύξεν ἐπάλμενος· ἣ δὲ διαπρὸ
ἦλυθεν ἐγχείη, στυφέλιξε δέ μιν μεμαῶτα,
τμήδην δ᾽ αὐχέν᾽ ἐπῆλθε, μέλαν δ᾽ ἀνεκήκιεν αἷμα,
ἀλλ᾽ οὐδ᾽ ὣς ἀπέληγε μάχης κορυθαίολος Ἕκτωρ,
ἀλλ᾽ ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ

κείμενον ἐν πεδίῳ μέλανα τρηχύν τε μέγαν τε·
τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἐπταβόειον
μέσσον ἐπομφάλιον· περιήχησεν δ᾽ ἄρα χαλκός.
δεύτερος αὖτ᾽ Αἴας πολὺ μείζονα λᾶαν ἀείρας
ἧκ᾽ ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν᾽ ἀπέλεθρον,

εἴσω δ᾽ ἀσπίδ᾽ ἔαξε βαλὼν μυλοειδέϊ πέτρῳ,
βλάψε δέ οἱ φίλα γούναθ᾽· ὃ δ᾽ ὕπτιος ἐξετανύσθη
ἀσπίδι ἐγχριμφθείς· τὸν δ᾽ αἶψ᾽ ὤρθωσεν Ἀπόλλων.
καί νύ κε δὴ ξιφέεσσ᾽ αὐτοσχεδὸν οὐτάζοντο,
εἰ μὴ κήρυκες Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν

ἦλθον, ὁ μὲν Τρώων, ὃ δ᾽ Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε καὶ Ἰδαῖος πεπνυμένω ἄμφω·
μέσσῳ δ᾽ ἀμφοτέρων σκῆπτρα σχέθον, εἶπέ τε μῦθον
κῆρυξ Ἰδαῖος πεπνυμένα μήδεα εἰδώς·
μηκέτι παῖδε φίλω πολεμίζετε μηδὲ μάχεσθον·

ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεύς,
ἄμφω δ᾽ αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντες.
νὺξ δ᾽ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
Ἰδαῖ᾽ Ἕκτορα ταῦτα κελεύετε μυθήσασθαι·

αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείσομαι ᾗ περ ἂν οὗτος.
τὸν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Αἶαν ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε
καὶ πινυτήν, περὶ δ᾽ ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι,

και το λαμπρό, το ολούθε ισόκυκλο σκουτάρι πετυχαίνει
του γιου του Πρίαμου, κι ως το πέρασε το δυνατό κοντάρι,
τρυπάει και χώνεται στο θώρακα τον πολυξομπλιασμένο,
και δίπλα στο λαγγόνι του έσκισε το ρούχο πέρα ως πέρα'
μ᾽ αυτός ανάγειρε και γλίτωσε του ασβολωμένου Χάρου.
Κι εκείνοι τα μακριά κοντάρια τους μαζί ανασπάσαν τότε,
κι ο ένας του άλλου χιμίξαν, μοιάζοντας μ᾽ αιματολάφτες λιόντες,
για και με κάπρους, που στη δύναμη το ταίρι τους δεν έχουν.
Ο Έχτορας έπειτα του πέτυχε στη μέση το σκουτάρι,
μα δεν το τρύπησε, τι στράβωσε του κονταριού του η μύτη.

Χιμίζει κι ο Αίας, και πετυχαίνοντας, στη μέση το σκουτάρι
του τρύπησε και τον αντίσκοψε, με όσην ορμή κι αν εϊχε,
κι από το σβέρκο που του χάραξε μαύρο πετάχτηκε αίμα.
Μα κι έτσι ο κρανοσείστης Έχτορας δεν παρατάει το απάλε,
μόνο πισώγυρε, κι αρπάζοντας με το χοντρό του χέρι
μιαν πέτρα από τη γη θεόρατη κι αγκαθωτή και μαύρη,
πα στου Αία το φοβερό, εφταβόδινο σκουτάρι πετυχαίνει,
στο αφάλι απάνω, κι αντιβρόντηξε γύρα ο χαλκός ολούθε.
Μετά κι ο Αίας πολύ τρανύτερη στα χέρια ασκώνει πέτρα,
και την πετάει στριφογυρνώντας τη με φόρα γιγαντένια—

όμοια μυλόπετρα, που του 'σπάσε στα μέσα το σκουτάρι
και του 'λυσε τα γόνα᾽ ανάσκελα ξαπλώθη πλακωμένος
απ᾽ το σκουτάρι, όμως ο Απόλλωνας μεμιάς τον ανασκώνει.
Και τότε τα σπαθιά τους θα 'βγαζαν να χτυπηθούν οι δυο τους,
αν ο Ταλθύβιος, των χαλκάρματων των Αχαιών ο κράχτης,
κι ο Ιδαίος, των Τρωών, σιμά δεν έτρεχαν, κι οι δυο τους
μυαλωμένοι,
αποκρισάροι πολυσέβαστοι του Δία και των ανθρώπων
και στους αντίμαχους ανάμεσα σήκωναν τα ραβδιά τους'
κι ο Ιδαίος, ο κράχτης ο βαθύγνωμος, τους μίλησε έτσι κι είπε:
«Σκολνατε πια και μην παλεύετε, παιδιά μου᾽ την αγάπη

ίσα του Δία κι οι δυο σας έχετε του νεφελοστοιβάχτη᾽
είστε κι οι δυο τρανοί πολέμαρχοι και το κατέχουμε όλοι.
Πλακώνει η νύχτα, ας γένει η χάρη της· καλό να την ακούμε.»
Κι ο μέγας Αίαντας του αποκρίθηκεν, ο γιος του Τελαμώνα:
«Ιδαίε, τον Έχτορα να βάλετε να πει το λόγο ετούτο'
τι ήταν αυτός που αντροκαλέστηκε τους πιο τρανούς μας όλους.
Ας κάνει αρχή λοιπόν, στα λόγια του μεμιάς κι εγώ θα κλίνω.»
Κι ο μέγας κρανοσείστης Έχτορας απηλογιά του δίνει:
«Αίαντα, αλήθεια, ο θεός εχάρισε και διώμα εσέ και γνώση
κι αντρεία, και στο κοντάρι στέκεσαι μες στους Αργίτες πρώτος.

νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
σήμερον· ὕστερον αὖτε μαχησόμεθ᾽ εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ᾽ ἑτέροισί γε νίκην.
νὺξ δ᾽ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι,
ὡς σύ τ᾽ ἐϋφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,

σούς τε μάλιστα ἕτας καὶ ἑταίρους, οἵ τοι ἔασιν·
αὐτὰρ ἐγὼ κατὰ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Τρῶας ἐϋφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.
δῶρα δ᾽ ἀγ᾽ ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,

ὅφρά τις ὧδ᾽ εἴπῃσιν Ἀχαιῶν τε Τρώων τε·
ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,
ἠδ᾽ αὖτ᾽ ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.
ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον
σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι·

Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.
τὼ δὲ διακρινθέντε ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν
ᾔϊ᾽, ὃ δ᾽ ἐς Τρώων ὅμαδον κίε· τοὶ δὲ χάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα,
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους·

καί ῥ᾽ ἦγον προτὶ ἄστυ ἀελπτέοντες σόον εἶναι.
Αἴαντ᾽ αὖθ᾽ ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
εἰς Ἀγαμέμνονα δῖον ἄγον κεχαρηότα νίκῃ.
οἳ δ᾽ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο,
τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων

ἄρσενα πενταέτηρον ὑπερμενέϊ Κρονίωνι.
τὸν δέρον ἀμφί θ᾽ ἕπον, καί μιν διέχευαν ἅπαντα,
μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,

δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
νώτοισιν δ᾽ Αἴαντα διηνεκέεσσι γέραιρεν
ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν

Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομόωντες Ἀχαιοί,
τῶν νῦν αἶμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον

ἐσκέδασ᾽ ὀξὺς Ἄρης, ψυχαὶ δ᾽ Ἀΐδος δὲ κατῆλθον·
τώ σε χρὴ πόλεμον μὲν ἅμ᾽ ἠοῖ παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ᾽ ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτοὺς
τυτθὸν ἀπὸ πρὸ νεῶν, ὥς κ᾽ ὀστέα παισὶν ἕκαστος

Τώρα τον πόλεμο ας σκολάσουμε λοιπόν και το άγριο απάλε,
για σήμερα, μετά χτυπιόμαστε ξανά, ως που να 'ρθει η μέρα
να μας χωρίσει ο θεός χαρίζοντας σ᾽ ένα απ᾽ τους δυο τη νίκη.
Πλακώνει η νύχτα, ας γένει η χάρη της᾽ καλό να την ακούμε.
Γύρισε τώρα στα πλεούμενα, τους Αχαιούς να φράνεις,
κι απ᾽ όλους πιο πολύ τους φίλους σου, τα συμπαλίκαρά σου'
κι εγώ στου ρήγα Πρίαμου φτάνοντας το μέγα κάστρο απάνω
τους Τρώες θα φράνω, τις Τρωαδίτισσες τις μεγαλομαντούσες,
που σε όλων των θεών τη σύναξη δοξολογία θα κάνουν.
Μον᾽ έλα, δώρα συνάλληλος μας ν᾽ αλλάξουμε πανώρια,

τούτα για μας κανένας κάποτε για Τρώας να πεί για Αργίτης:
,,Εκείνοι οι δυο τους και πολέμησαν σε καρδιοφάουσα αμάχη,
και πάλε πριν χωρίσουν μόνιασαν και φύγαν φιλιωμένοι".»
Είπε, και παίρνει ασημοκάρφωτο σπαθί και του χαρίζει᾽
μες στο θηκάρι του, που εκρέμουνταν από λουρί πανώριο.
Κι ο Αίας ζουνάρι λαμπροπόρφυρο στον Έχτορα χαρίζει.
Κι ως εχωρίσαν, τούτος τράβηξε για τους Αργίτες πίσω,
κι ο άλλος στων Τρωών το ασκέρι κίνησε᾽ κι εκείνοι αναγάλλιασαν,
κοντά τους να τον δουν ολαβωτος και ζωντανός να φτάνει,
να 'χει ξεφύγει του Αία τ᾽ ανίκητα τα χέρια και τη λύσσα'

τον παν στο κάστρο και πώς γλίτωσε δεν πίστευαν ακόμα.
Τον Αίαντα απ᾽ την άλλη επήγαιναν οι Αργίτες οι αντρειωμένοι
στον αρχοντόγεννο Αγαμέμνονα, χαρούμενο απ᾽ τη νίκη.
Και σύντας στις καλύβες έφτασαν του γιου του Ατρέα, μοσκάρι
ο πρωταφέντης Αγαμέμνονας αναμεσό τους σφάζει,
αρσενικό, πενταχρονίτικο, στο μέγα υγιό του Κρόνου.
Κι αφού το γδάραν και το γνοιάστηκαν και το 'κοψαν πιδέξια,
το λιάνισαν μετά και πέρασαν στις σούβλες τα κομμάτια'
κι ως στη φωτιά με τέχνη τα 'ψησαν, τ᾽ αποτραβήξαν όλα.
Κι απ᾽ τις δουλειές αυτές σα σκόλασαν κι ετοίμασαν τις τάβλες,

έτρωγαν, κι είχεν, ως εταίριαζε, καθείς το μερτικό του.
Κι ο πρωταφέντης Αγαμέμνονας, ο γιος του Ατρέα, τιμώντας
τον Αίαντα πλήθος μπρος του σώριαζε μερίδες απ᾽ την πλάτη.
Και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
πρώτος ο γέροντας ο Νέστορας, που η γνώμη του είχε δείξει
και πριν η πιο καλή, στοχάστηκε βουλή καινούργια πάλε'
κι έτσι τους μίλησε καλόγνωμος κι αναμεσό τους είπε:
« Υγιέ του Ατρέα και σεις οι επίλοιποι των Αχαιών αρχόντοι,
τώρα στερνά πολλοί μακρόμαλλοι σκοτώθηκαν Αργίτες,
και σκόρπισε το μαύρο γαίμα τους ο γαύρος Άρης γύρω

στου Σκάμαντρου το ρέμα, κι έστειλε στον Άδη τις ψυχές τους.
Γι᾽ αυτό των Αχαιών τον πόλεμο, μόλις που φέξει, σκόλνα,
και τους νεκρούς να κουβαλήσουμε με βόδια, με μουλάρια,
όλοι μαζί, και να τους κάψουμε παρέκει απ᾽ τα καράβια.
Και σύντας γύρει πια ο καθένας μας στη γη την πατρική του,

οἴκαδ᾽ ἄγῃ ὅτ᾽ ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον δ᾽ ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ᾽ αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλοὺς εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ᾽ αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,

ὄφρα δι᾽ αὐτάων ἱππηλασίη ὁδὸς εἴῃ·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ᾽ ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ᾽ ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐπῄνησαν βασιλῆες.

Τρώων αὖτ᾽ ἀγορὴ γένετ᾽ Ἰλίου ἐν πόλει ἄκρῃ
δεινὴ τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃσι·
τοῖσιν δ᾽ Ἀντήνωρ πεπνυμένος ἦρχ᾽ ἀγορεύειν·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι,
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.

δεῦτ᾽ ἄγετ᾽ Ἀργείην Ἑλένην καὶ κτήματ᾽ ἄμ᾽ αὐτῇ
δώομεν Ἀτρεΐδῃσιν ἄγειν· νῦν δ᾽ ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα· τὼ οὔ νύ τι κέρδιον ἡμῖν
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
ἤτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη

δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο,
ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἀντῆνορ σὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύεις·
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ᾽ ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ᾽ ἱπποδάμοις ἀγορεύσω·
ἀντικρὺ δ᾽ ἀπόφημι γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ᾽ ὅσσ᾽ ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ

πάντ᾽ ἐθέλω δόμεναι καὶ οἴκοθεν ἄλλ᾽ ἐπιθεῖναι.
ἤτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος,
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι,
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.

νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν ὡς τὸ πάρος περ,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
ἠῶθεν δ᾽ Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
εἰπέμεν Ἀτρεΐδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·

να δώσει στα παιδιά, τα κόκαλα να θάψουν των γονιών τους.
Και γύρω απ᾽ την πυρά ν᾽ ασκώσουμε κοινό μνημούρι σ᾽ όλους,
χώμα απ᾽ τον κάμπο ολούθε υψώνοντας, και πλάι του πυργοτείχι .
ψηλό στα πεταχτά να χτίσουμε, κι εμάς και τ᾽ άρμενα μας
να κλείνει γύρα᾽ και να βάλουμε καλαρμοσμένες πόρτες,

πλατύς για να περνά από μέσα τους για τ᾽ άλογα μας δρόμος.
Κι απόξω εδώ κοντά ν᾽ ανοίξουμε βαθύ χαντάκι ελάτε,
γύρα τρογύρα, και τ᾽ αλόγατα και μας να διαφεντεύει,
μπας και μια μέρα οι Τρώες οι πέρφανοι χιμώντας μας
στριμώξουν.»
Είπε, και στη βουλή του εσύγκλιναν οι βασιλιάδες όλοι.
Κάναν κι οι Τρώες ωστόσο σύναξη πα στην κορφή του κάστρου
όλο βοή, φωνές και τάραχο, στου Πρίαμου πλάι τις πόρτες'
κι ο γνωστικός αρχίζει Αντήνορας τέτοια να λέει μπροστά τους:
«Ακούστε, Τρώες εσείς και Δάρδανοι και σύμμαχοι μας όλοι,
το τι η καρδιά στα στήθη μέσα μου με σπρώχνει να μιλήσω:

Λέω την Ελένη την Αργίτισσα κι όλο το βιος στου Ατρέα
τους γιους να δώσουμε, τι αμάλαγους εμείς πατώντας όρκους
ξανασηκώσαμε τον πόλεμο᾽ κι αλήθεια εγώ φοβούμαι,
τη συβουλή μου αν δεν ακούσετε, δε θα 'βγει σε καλό μας.»
Είπε και κάθισε᾽ κι ο Αλέξαντρος, της ομορφομαλλούσας
Ελένης ο άντρας ο αρχοντόγεννος, σηκώθη τότε ομπρός τους,
κι αντιμιλώντας με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Τα λόγια που μας λες, Αντήνορα, καθόλου δε μ᾽ αρέσουν
κι άλλη βουλή να δώσεις δύνεσαι καλύτερη από τούτη.
Όμως αλήθεια, τούτα που 'λεγες, με τα σωστά σου αν τα 'πες,

ατοί τους οι θεοί σου σήκωσαν τα φρένα δίχως άλλο.
Τώρα στους Τρώες τους αλογάρηδες εγώ θα πω τι θέλω:
Δε δίνω πίσω τη γυναίκα μου, το διαλαλώ μπρος σ᾽ όλους'
όμως το βιος που απ᾽ το Άργος έφερα στο σπιτικό μου, ακέριο
το δίνω πίσω, κι από πάνωθε δικά μου κι άλλα ακόμα.»
Είπε και κάθισε᾽ του Δάρδανου το αγγόνι ασκώθη τότε,
ο Πρίαμος, που στο νου παράβγαινε με τους θεούς τους ίδιους,
κι έτσι τους μίλησε καλόγνωμος κι αναμεσό τους είπε:
«Ακούστε, Τρώες εσείς και Δάρδανοι και σύμμαχοι μας όλοι,
το τι η καρδιά στα στήθη μέσα μου με σπρώχνει να μιλήσω:

Στο κάστρο τώρα να δειπνήσετε, καθώς το συνηθατε,
κι ας μην ξεχνά κανείς τη βάρδια του, κι όλοι σας ξύπνιοι πάντα.
Κι ως ξημερώσει, ο Ιδαίος για τ᾽ άρμενα τα βαθουλά να φύγει,
στους γιους του Ατρέα, στον Αγαμέμνονα και στο Μενέλαο, να
'ρθει
να πει το λόγο αυτό του Αλέξαντρου᾽ τι απ᾽ αφορμή του ασκώθη

καὶ δὲ τόδ᾽ εἰπέμεναι πυκινὸν ἔπος, αἴ κ᾽ ἐθέλωσι
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ᾽ εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ᾽ ἑτέροισί γε νίκην.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽
ἐπίθοντο·

δόρπον ἔπειθ᾽ εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν·
ἠῶθεν δ᾽ Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας·
τοὺς δ᾽ εὗρ᾽ εἰν ἀγορῇ Δαναοὺς θεράποντας Ἄρηος
νηῒ πάρα πρύμνῃ Ἀγαμέμνονος· αὐτὰρ ὃ τοῖσι
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·

Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἠδὺ γένοιτο,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
κτήματα μὲν ὅσ᾽ Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν

ἠγάγετο Τροίηνδ᾽· ὡς πρὶν ὤφελλ᾽ ἀπολέσθαι·
πάντ᾽ ἐθέλει δόμεναι καὶ οἴκοθεν ἄλλ᾽ ἐπιθεῖναι·
κουριδίην δ᾽ ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ᾽ ἠνώγεον εἰπεῖν ἔπος αἴ κ᾽ ἐθέλητε

παύσασθαι πολέμοιο δυσηχέος εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ᾽ εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ᾽ ἑτέροισί γε νίκην.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·

μήτ᾽ ἄρ τις νῦν κτήματ᾽ Ἀλεξάνδροιο δεχέσθω
μήθ᾽ Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ᾽ ἐφῆπται.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο·

καὶ τότ᾽ ἄρ᾽ Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
Ἰδαῖ᾽ ἦτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ᾽ ἐπιανδάνει οὕτως
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων

γίγνετ᾽ ἐπεί κε θάνωσι πυρὸς μειλισσέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς ἴστω ἐρίγδουπος πόσις Ἥρης.
ὣς εἰπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν,
ἄψορρον δ᾽ Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἳ δ᾽ ἔατ᾽ εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες

η αμάχη μας. Κι αυτό το φρόνιμο να τους μηνύσει λόγο,
ο τρισκατάρατος ο πόλεμος να πάψει, τους νεκρούς μας,
αν θεν, να κάψουμε᾽ τον πόλεμο μετά ξαναρχινάμε,
ωσόπου ο θεός, τη νίκη δίνοντας ενούς, μας διαχωρίσει.»
Είπε, κι αυτοί, γρικώντας, πρόθυμα συνάκουσαν το λόγο,

κι έτσι δειπνήσαν στο στρατόπεδο, στο λόχο του ο καθένας.
Κι ως έφεξεν, ο Ιδαίος για τ᾽ άρμενα τα βαθουλά κινούσε,
και βρήκε τους καστροπολέμαρχους Αργίτες συναγμένους
πλάι στο καράβι του Αγαμέμνονα το πιο ακρινό᾽ κι εστάθη
στη μέση ο κράχτης ο βροντόφωνος κι αυτά τους λέει τα λόγια:
«Ύγιέ του Ατρέα και σεις οι επίλοιποι των Αχαιών αρχόντοι,
ο Πρίαμος κι οι άλλοι πρωτοστάτορες της Τροίας μου δώκαν διάτα
το λόγο να σας πω του Αλέξαντρου, που απ᾽ αφορμή του ασκώθη
η αμάχη, αν ίσως και τον βρίσκετε και σεις της αρεσκιάς σας:
Το βιος που ο Πάρης στα καράβια του τα βαθουλά εδώ 'πέρα

κουβάλησε—αχ, μακάρι να 'βρισκε πιο πριν το θάνατο του!—
το δίνει πίσω, κι από πάνωθε κι άλλα δικά του ακόμα.
Μα του Μενέλαου του τρισεύγενου λέει τη γυναίκα πίσω
πως δε θα τη γυρίσει, απάνω του κι ας πέφτουμε όλοι οι Τρώες.
Κι ακόμα αυτό το λόγο μ᾽ έβαλαν να σας μηνύσω: Αν θέτε,
τον τρισκατάρατο τον πόλεμο να πάψουμε, τους έρμους
νεκρούς να κάψουμε᾽ τον πόλεμο μετά ξαναρχινάμε,
ωσόπου ο θεός, τη νίκη δίνοντας ενούς, μας διαχωρίσει.»
Αυτά είπε, κι όλοι τους εσώπαιναν και δεν έβγαναν άχνα'
αργά στο τέλος ο βροντόφωνος τους μίλησε Διομήδης:

«Το βιος να μη δεχτεί κανένας μας που δίνει ο Πάρης πίσω,
μηδέ και την Ελένη· σίγουρα κι ο ανέμυαλος το νιώθει
πως τώρα οι Τρώες στην άκρα του άπατου γκρεμού
κοντοζυγώνουν.»
Είπε ο Διομήδης ο αλογάτορας᾽ τα λόγια του γρικώντας
οι γιοι των Αχαιών ολόγυρα με μια φωνή αλάλαξαν.
Κι ο πρωταφέντης Αγαμέμνονας στον κράχτη απηλογιέται:
«Ιδαίε, τον άκουσες μονάχος σου των Αχαιών το λόγο,
τι σου αποκρίνουνται, κι η γνώμη τους πολύ της αρεσκιάς μου.
Μα τους νεκρούς δε φέρνω αντίλογο να κάψουμε᾽ σωστό 'ναι
όσοι σκοτώθηκαν στον πόλεμο, να δώσεις στα κορμιά τους

μιαν ώρα αρχύτερα, σαν πέθαναν, καν της φωτιάς τη χάρη.
Κι ας είναι μάρτυρας στον όρκο μας ο Δίας, της Ήρας ο άντρας.»
Είπε, και το βασιλοράβδι του σ᾽ όλους τους θεούς σηκώνει,
και πίσω ο Ιδαίος να φύγει εκίνησε κατά την άγια Τροία.
Ωστόσο εκείνοι, Τρώες και Δάρδανοι, κάθονταν μαζεμένοι

πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ᾽ ἄρ᾽ ἔλθοι
Ἰδαῖος· ὁ δ᾽ ἄρ᾽ ἦλθε καὶ ἀγγελίην ἀπέειπε
στὰς ἐν μέσσοισιν· τοὶ δ᾽ ὁπλίζοντο μάλ᾽ ὦκα,
ἀμφότερον νέκυάς τ᾽ ἀγέμεν ἔτεροι δὲ μεθ᾽ ὕλην·
Ἀργεῖοι δ᾽ ἐτέρωθεν ἐϋσσέλμων ἀπὸ νηῶν

στη σύναξη όλοι και τον πρόσμεναν, πότε θα γύρει πίσω
ο Ιδαίος· κι εκείνος, μόλις έφτασε, στη μέση εστάθη κι είπε
το μήνυμα᾽ κι αυτοί συντάζουνταν όλοι με πλήθια βιάση,
ποιοι τους νεκρούς θα κουβαλήσουνε και ποιοι θα παν για ξύλα.
Κι από την άλλη, απ᾽ τα καλόστρωτα καράβια τους οι Αργίτες

ὀτρύνοντο νέκυς τ᾽ ἀγέμεν, ἔτεροι δὲ μεθ᾽ ὕλην.
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἳ δ᾽ ἤντεον ἀλλήλοισιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον·

ποιοι τους νεκρούς θα φέρναν έλεγαν και ποιοι θα παν για ξύλα.
Και σύντας ο ήλιος, ανεβαίνοντας τον ουρανό, τις πρώτες
πα στα χωράφια αχτίδες του έριξεν απ᾽ το βαθύ κινώντας
τον Ωκεανό τον αργοσάλευτο, στον κάμπο εκείνοι έσμιξαν.
Μα τους νεκρούς δεν ήταν εύκολο να ξεχωρίσουν όλους'
γι᾽ αυτό και με νερό τα γαίματα τους πλέναν τα πηγμένα,

ἀλλ᾽ ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα
δάκρυα θερμὰ χέοντες ἀμαξάων ἐπάειραν.
οὐδ᾽ εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἐπινήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.

χύνοντας μαύρα δάκρυα, κι έπειτα στ᾽ αμάξια τους φόρτωναν.
Μα ο μέγας Πρίαμος δεν τους άφηνε να κλαιν κι εκείνοι τότε
βουβοί πα στην πυρά τους σώριαζαν με σπαραγμένα σπλάχνα'
κι αφού τους κάψαν, πίσω εκίνησαν να παν στην Τροία την άγια.

ὣς δ᾽ αὖτως ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
νεκροὺς πυρκαϊῆς ἐπινήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
ἦμος δ᾽ οὔτ᾽ ἄρ πω ἠώς, ἔτι δ᾽ ἀμφιλύκη νύξ,
τῆμος ἄρ᾽ ἀμφὶ πυρὴν κριτὸς ἔγρετο λαὸς Ἀχαιῶν,

Κι από την άλλη οι Αργίτες σώριαζαν οι χαλκαρματωμένοι
πα στην πυρά τους σκοτωμένους τους με σπαραγμένα σπλάχνα'
κι αφού τους κάψαν, πίσω εγύρισαν στα βαθουλά καράβια.
Αυγή δεν ήταν ασπρογάλιαζε το φως στη νύχτα ακόμα,
σα γύρω απ᾽ την πυρά μαζώχτηκαν Αργίτες διαλεγμένοι
και πήραν γύρα της κι ανάσκωσαν κοινό μνημούρι σε όλους,

τύμβον δ᾽ ἀμφ᾽ αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου, ποτὶ δ᾽ αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ᾽ ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ᾽ αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι᾽ αὐτάων ἱππηλασίη ὁδὸς εἴη·

χώμα απ᾽ τον κάμπο ολούθε υψώνοντας, καί πλάι του πυργοτείχι
και πύργους έχτισαν τετράψηλους, κι αυτούς και τ᾽ άρμενα τους
να διαφεντεύουν βάλαν έπειτα καλαρμοσμένες πόρτες,
πλατύς για να περνά από μέσα τους για τ᾽ άλογα τους δρόμος'

ἔκτοσθεν δὲ βαθεῖαν ἐπ᾽ αὐτῷ τάφρον ὄρυξαν
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.
ὣς οἳ μὲν πονέοντο κάρη κομόωντες Ἀχαιοί·
οἳ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.

κι απόξω ένα χαντάκι διάπλατο, βαθύ, μεγάλο, άνοιξαν
στο καστροτείχι δίπλα, κι έμπηξαν παλούκια στις πλαγιές του.
Οι Αργίτες έτσι οι μακρομάλληδες χαράματα εδουλεύαν
κι οι αθάνατοι στον κεραυνόχαρο το Δία κάθονταν πλάι,
το έργο το μέγα αποθαμάζοντας των Αχαιών μπροστά τους·

τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ᾽ ἀπείρονα γαῖαν
ὅς τις ἔτ᾽ ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει;
οὐχ ὁρᾷς ὅτι δ᾽ αὖτε κάρη κομόωντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον

κι ο Ποσειδώνας πρώτος μίλησεν ο κοσμοσείστης κι είπε:
«Πατέρα Δία, θνητός στην άμετρη τη γης απάνω αλήθεια
πια θα βρεθεί, που στους αθάνατους θα πει τους λογισμούς του;
Και δε θωράς τους μακρομάλληδες Αργίτες, καστροτείχι
που χτίσαν πάνω απ᾽ τα καράβια τους κι ολόγυρα του άνοιξαν

ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας;
τοῦ δ᾽ ἤτοι κλέος ἔσται ὅσον τ᾽ ἐπικίδναται ἠώς·
τοῦ δ᾽ ἐπιλήσονται τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·

χαντάκι, δίχως στους αθάνατους τρανές θυσίες να κάνουν;
Θα δοξαστεί το καστροτείχι τους ως κει που απλώνει η μέρα,
μα το άλλο, αυτό που εγώ κι ο Απόλλωνας με ιδρώτα έχουμε χτίσει
για τον τρανό το Λαομέδοντα, θα το ξεχάσει ο κόσμος.»
Συχύστη τότε ο Δίας κι απάντησεν ο νεφελοστοιβάχτης:

ὦ πόποι ἐννοσίγαι᾽ εὐρυσθενές, οἷον ἔειπες.
ἄλλός κέν τις τοῦτο θεῶν δείσειε νόημα,
ὅς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ᾽ ἤτοι κλέος ἔσται ὅσον τ᾽ ἐπικίδναται ἠώς.
ἄγρει μὰν ὅτ᾽ ἂν αὖτε κάρη κομόωντες Ἀχαιοὶ

«Ωχού μου, Κοσμοσείστη ανίκητε, τι λόγια αυτά που κρένεις;
Άλλος θεός μια τέτοια απόφαση μπορεί και να φοβόταν,
αν ήταν πιο αχαμνός στη δύναμη και στην καρδιά από σένα.
Μα έσέ θα λάμπει πάντα η δόξα σου μακριά ως που απλώνει η
μέρα.
Άκου: την ώρα που οι μακρόμαλλοι θα ξεκινούν Αργίτες

οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ᾽ ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,

δύσετο δ᾽ ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν,
βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
νῆες δ᾽ ἐκ Λήμνοιο παρέσταν οἶνον ἄγουσαι
πολλαί, τὰς προέηκεν Ἰησονίδης Εὔνηος,
τόν ῥ᾽ ἔτεχ᾽ Ὑψιπύλη ὑπ᾽ Ἰήσονι ποιμένι λαῶν.

χωρὶς δ᾽ Ἀτρεΐδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ χίλια μέτρα.
ἔνθεν οἰνίζοντο κάρη κομόωντες Ἀχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ᾽ αὐτῇσι βόεσσιν,

ἄλλοι δ᾽ ἀνδραπόδεσσι· τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντες Ἀχαιοὶ
δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ᾽ ἐπίκουροι·
παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα Ζεὺς
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δέος ᾕρει·

οἶνον δ᾽ ἐκ δεπάων χαμάδις χέον, οὐδέ τις ἔτλη
πρὶν πιέειν πρὶν λεῖψαι ὑπερμενέϊ Κρονίωνι.
κοιμήσαντ᾽ ἄρ᾽ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

στην πατρική τους γη διαγέρνοντας, το καστροτείχι ετούτο
θρουβάλιασέ το και στη θάλασσα να το γκρεμίσεις όλο'
και με άμμο το φαρδύ το ακρόγιαλο ν᾽ αποσκεπάσεις πάλε,
και τότε το τειχί το Αργίτικο θ᾽ αφανιστεί απ᾽ τον κόσμο.»
Αυτά μιλούσαν συναλλήλως τους εκείνοι τότε᾽ ωστόσο
ο γήλιος έπεσε και τέλεψαν οι Αργίτες τη δουλειά τους'
καί στα καλύβια βόδια εσφάζανε, και πήραν και δειπνούσαν
κι είχαν κρασί απ᾽ τη Λήμνο, που 'φεραν πολλά καράβια εκείθε,
σταλμένα από το γιο του Ιάσονα στους Αχαιούς, τον Εύνηο,
που 'χε γεννήσει στον Ιάσονα το βασιλιά η Υψιπύλη.

Στους γιους του Ατρέα, τον Αγαμέμνονα και το Μενέλαο, χώρια
είχε σταλμένα ο γιος του Ιάσονα κρασί, λαγήνια χίλια.
Εκείθε οι Αργίτες οι μακρόμαλλοι ψώνιζαν το κρασί τους,
κι έδινε ποιος χαλκό, ποιος σίδερο στραφταλιστό, ποιος πάλε
με βόδια ζωντανά του τ᾽ άλλαζε, ποιος με βοδιώ τομάρια,
ποιος και με σκλάβους, κι έτσι εχαίρουνταν πλούσιο τραπέζι
πάντα.
Ολονυχτίς οι μακρομάλληδες Αργίτες τότε έτρωγαν,
κι από την άλλη οι Τρώες κι οι σύμμαχοι μέσα στο κάστρο ολούθε᾽
κι ολονυχτίς κακά ο βαθύγνωμος ο Δίας τους μελετούσε
βροντώντας δυνατά, κι ολόχλωμη τους έκοβε τρομάρα.

Κι απά στη γη με τα ποτήρια τους χύναν κρασί, κι ουτ᾽ ένας
κότας να πιει, στον πολυδύναμο το Δία σταλιές πριν στάξει.
Πλάγιασαν έπειτα και φράθηκαν την άγια του ύπνου χάρη.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Θ-

-Θ- Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν,
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
αὐτὸς δέ σφ᾽ ἀγόρευε, θεοὶ δ᾽ ὑπὸ πάντες ἄκουον·

κέκλυτέ μευ πάντές τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτέ τις οὖν θήλεια θεὸς τό γε μήτέ τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ᾽ ἅμα πάντες
αἰνεῖτ᾽, ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.

ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ᾽ ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπον δέ·
ἥ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα
τῆλε μάλ᾽, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,

ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
τόσσον ἔνερθ᾽ Ἀΐδεω ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης·
γνώσετ᾽ ἔπειθ᾽ ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ᾽ ἄγε πειρήσασθε θεοὶ ἵνα εἴδετε πάντες·
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες

πάντές τ᾽ ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ᾽ οὐκ ἂν ἐρύσαιτ᾽ ἐξ οὐρανόθεν πεδίον δὲ
Ζῆν᾽ ὕπατον μήστωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ᾽ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ·

σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ᾽ αὖτε μετήορα πάντα γένοιτο.
τόσσον ἐγὼ περί τ᾽ εἰμὶ θεῶν περί τ᾽ εἴμ᾽ ἀνθρώπων.
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.

ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ὦ πάτερ ἡμέτερε Κρονίδη ὕπατε κρειόντων
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν·
ἀλλ᾽ ἔμπης Δαναῶν ὀλοφυρόμεθ᾽ αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.

ἀλλ᾽ ἤτοι πολέμου μὲν ἀφεξόμεθ᾽ ὡς σὺ κελεύεις·
βουλὴν δ᾽ Ἀργείοις ὑποθησόμεθ᾽ ἥ τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
τὴν δ᾽ ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς·
θάρσει Τριτογένεια φίλον τέκος· οὐ νύ τι θυμῷ

Στην πάσα γης απάνω απλώνουνταν η Αυγή η κροκομαντούσα,
κι έκραξε ό Δίας ο κεραυνόχαρος τους αθανάτους όλους
να᾽ ρθούν στου Ολύμπου του πολύκορφου την πιο αψηλή τη ράχη,
κι ατός του αναμεσό τους μίλησε, κι όλοι οι θεοί γρικούσαν:
«Όσοι θεοί που ζουν στον Όλυμπο κι όσες θεές, γρικήστε,
το τι η καρδιά στα στήθη μέσα μου με σπρώχνει να μιλήσω:
αρσενικός θεός κανένας σας και θηλυκός κανένας
μην αψηφήσει λέω το λόγο μου, μόνο συγκλίνετε όλοι
σε ό,τι θα πω, μιαν ώρα αρχύτερα τούτη η δουλειά να γένει.

Μα όποιον αλάργα απ᾽ τους επίλοιπους θεούς θα ιδώ να θέλει
να πάει μαθές να δώσει βόηθηση στους Τρώες για στους Αργίτες,
θα του 'ρθει αστροπελέκι κι άσκημα στον Όλυμπο θα γύρει᾽
για θα τον ρίξω μες στα Τάρταρα τα μαύρα, αρπάζοντας τον,
μακριά, στης γης τα ριζοκάτωφλα, στην πιο βαθιά κουφάλα,
με σιδερένιες πόρτες, χάλκινο κατώφλι, από τον Άδη
τόσο πιο απόβαθα, όσο βρίσκεται πιο κάτω η γη απ᾽ τα ουράνια᾽
να νιώσει τότε, απ᾽ τους αθάνατους ο πιο τρανός πως είμαι.
Ομπρός, θεοί, για δοκιμάσετε, για να το μάθετε όλοι:
Δέστε σκοινί απ᾽ τα ουράνια ολόχρυσο και κρεμαστείτε εκείθε,

κι αρσενικοί μαζί να σύρετε και θηλυκοί· και πάλε
κάτω στη γη δε θα τραβήξετε ψηλά απ᾽ τα ουράνια εμένα,
τον πιο τρανό του κόσμου κύβερνο, και μ᾽ όλο σας το μόχτο.
Μ᾽ αν να τραβήξω το αποφάσιζα κι εγώ με τα σωστά μου,
και με τη γη και με τη θάλασσα θα σας ανάσερνα όλους᾽
και το σκοινί θα μπορούν έπειτα σε μια κορφή του Ολύμπου
να δέσω, κι έτσι τότε μέτωρα θα κρέμουνταν τα πάντα.
Τόσο περνώ και τους αθάνατους, περνώ και τους ανθρώπους.»
Έτσι μιλούσε, κι όλοι απόμειναν και δεν έβγαναν άχνα,
τι είχαν σαστίσει που τους μίλησε πολύ πεισματωμένα'

μον᾽ η Αθηνά, η θεά η γλαυκόματη, στερνά του μίλησε έτσι:
«Υγιέ του Κρόνου και πατέρα μας, μες στους θεούς ο πρώτος,
όλοι το ξέρουμε, ακατάλυτη πως είναι η δύναμη σου'
μα κι έτσι εμείς για τους πολέμαρχους θρηνούμε τώρα Αργίτες,
που 'ναι γραφτό τους να 'βρουν θάνατο κακό και να χαθούνε.
Ως το προστάζεις, απ᾽ τον πόλεμο τραβούμε τώρα χέρι,
μα άσε βουλή σωστή να βάλουμε στων Αχαιών τα στήθη,
να μη χαθούν δω πέρα σύψυχοι, μια κι έτσι τους οχτρεύτης.»
Κι ο Δίας χαμογελώντας μίλησεν ο νεφελοστοιβάχτης:
«Παιδί μου, Τριτογένεια, θάρρεψε, κι αλήθεια δε μιλούσα

πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
ὡς εἰπὼν ὑπ᾽ ὄχεσφι τιτύσκετο χαλκόποδ᾽ ἵππω
ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,
χρυσὸν δ᾽ αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ᾽ ἰμάσθλην
χρυσείην εὔτυκτον, ἐοῦ δ᾽ ἐπεβήσετο δίφρου,

μάστιξεν δ᾽ ἐλάαν· τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Ἴδην δ᾽ ἵκανεν πολυπίδακα μητέρα θηρῶν
Γάργαρον, ἔνθά τέ οἱ τέμενος βωμός τε θυήεις.
ἔνθ᾽ ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε

λύσας ἐξ ὀχέων, κατὰ δ᾽ ἠέρα πουλὺν ἔχευεν.
αὐτὸς δ᾽ ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.
οἳ δ᾽ ἄρα δεῖπνον ἕλοντο κάρη κομόωντες Ἀχαιοὶ
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ᾽ αὐτοῦ θωρήσσοντο.

Τρῶες δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο
παυρότεροι· μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ᾽ ὠΐγνυντο πύλαι, ἐκ δ᾽ ἔσσυτο λαός,
πεζοί θ᾽ ἱππῆές τε· πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει.

οἳ δ᾽ ὅτε δή ῥ᾽ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο
σύν ῥ᾽ ἔβαλον ῥινούς, σὺν δ᾽ ἔγχεα καὶ μένε᾽ ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ᾽ ἀλλήλῃσι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν

ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ᾽ αἵματι γαῖα.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἤπτετο, πῖπτε δὲ λαός.
ἦμος δ᾽ Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·

ἐν δ᾽ ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ᾽ αἴσιμον ἦμαρ Ἀχαιῶν.
αἳ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν·

αὐτὸς δ᾽ ἐξ Ἴδης μεγάλ᾽ ἔκτυπε, δαιόμενον δὲ
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν· οἳ δὲ ἰδόντες
θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
ἔνθ᾽ οὔτ᾽ Ἰδομενεὺς τλῆ μίμνειν οὔτ᾽ Ἀγαμέμνων,
οὔτε δύ᾽ Αἴαντες μενέτην θεράποντες Ἄρηος·

με την καρδιά μου᾽ θέλω πάντα μου καλός μαζί σου να 'μαι.»
Αυτά είπε, κι έζεψε στο αμάξι του δυο χαλκοπόδαρα άτια,
γοργόφτερα, με χήτες που 'πεφταν χρυσές από το σβέρκο.
Χρυσά μετά κι ατός του εφόρεσε, και πήρε ένα μαστίγι
χρυσό, καλοφτιαγμένο, κι έπειτα, στο αμάξι του πηδώντας,
δίνει βιτσιά γοργά στ᾽ αλόγατα, που ολομεμιάς πέταξαν
προθυμερά, στη γης ανάμεσα και στ᾽ αστεράτα ουράνια.
Φτάνει στην Ίδα την πολύπηγη, των αγριμιών τη μάνα,
στο Γάργαρο, όπου του 'χαν τέμενος κι ένα βωμό ευωδάτο.
Κει πέρα τ᾽ άτια των αθάνατων και των θνητών ο κύρης

κρατάει, ξεζεύει, κι 'ως τους έχυσε πυκνή καταχνιά γύρω,
καθίζει ατός του καμαρώνοντας πα στην κορφή, τα μάτια
στ᾽ Αργίτικα καράβια ρίχνοντας και μες στων Τρωών το κάστρο.
Κι οι Αργίτες απ᾽ τη μια οι μακρόμαλλοι παίρναν μεβιάς και τρώγαν
μες στα καλύβια, και σαν τέλεψαν, ντύνονταν τ᾽ άρματά τους'
κι από την άλλη οι Τρώες στο κάστρο τους αρματώνονταν όλοι,
πιο λιγοστοί, μα κι έτσι εγύρευαν στη μάχη να χυθούνε,
τι η ανάγκη ήταν βαριά, και ταίρια τους και τέκνα να γλιτώσουν.
Κι άνοιξαν όλες οι καστρόπορτες κι έξω ο στρατός εχύθη,
πεζοί κι αμαξολάτες, κι έφτανε τ᾽ αψήλου ο τάραχος τους.

Κι όπως τα δυο τ᾽ ασκέρια τρέχοντας σμίξαν μαζί, σκουντρήξαν
ένα με τ᾽ άλλο τα κοντάρια τους, σκουντρήξαν τα σκουτάρια
και των αντρών των χαλκοθώρακων η αντρεία, κι αντιχτυπούσαν
οι αφαλωτές ασπίδες, κι έβραζεν ο σάλαγος περίσσιος·
και γρίκαες καυκησιές και γόσματα μαζί την ίδιαν ώρα,
αυτών που έσφαζαν και που εσφάζουνταν, κι η γης πλημμύριζε
αίμα.
Όσο βαστούσε η αυγή και πλήθαινε το φως της άγιας μέρας,
κι από τους δυο στρατούς σωριάζουνταν περίσσιοι απ᾽ τις ριξιές
τους·
μα ο γήλιος πια, καταμεσούρανα σαν έφτασε κι εστάθη,
ο Δίας πατέρας την ολόχρυση σηκώνει ζυγαριά του,

και κλήρους δυο του Χάρου του άσπλαχνου πιθώνει στα παλάγγια,
δώθε των Τρωών των αλογάρηδων, των Αχαιών εκείθε᾽
κι από τη μέση την εσήκωσε, κι η μαύρη μοίρα γέρνει
των Αχαιών στη γης ο κλήρος τους την πολυθρόφα πάνω
καθίζει, και των Τρωών ασκώθηκε ψηλά στα ουράνια πλάτη.
Κι από την Ίδα ο Δίας εβρόντηξε βαριά, και πυρωμένο
ρίχνει αστραπόφωτο στ᾽ Αργίτικα φουσάτα, που όπως το 'δαν,
σαστίσαν όλοι τους κι ολόχλωμη τους έκοψε τρομάρα.
Και τότε πια μήτε ο Αγαμέμνονας και μήτε ο Ιδομενέας,
μήτε οι τρανοί πολέμαρχοι Αίαντες να κρατηθούν βάσταξαν.

Νέστωρ οἷος ἔμιμνε Γερήνιος οὖρος Ἀχαιῶν
οὔ τι ἑκών, ἀλλ᾽ ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.

ἀλγήσας δ᾽ ἀνέπαλτο, βέλος δ᾽ εἰς ἐγκέφαλον δῦ,
σὺν δ᾽ ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ᾽ ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
φασγάνῳ ἀΐσσων, τόφρ᾽ Ἕκτορος ὠκέες ἵπποι
ἦλθον ἀν᾽ ἰωχμὸν θρασὺν ἡνίοχον φορέοντες

Ἕκτορα· καί νύ κεν ἔνθ᾽ ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης·
σμερδαλέον δ᾽ ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ
πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὡς ἐν ὁμίλῳ;

μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ·
ἀλλὰ μέν᾽ ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα.
ὣς ἔφατ᾽, οὐδ᾽ ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς,
ἀλλὰ παρήϊξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδεΐδης δ᾽ αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,

στῆ δὲ πρόσθ᾽ ἵππων Νηληϊάδαο γέροντος,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ γέρον ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί,
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει,
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.

ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
οἷοι Τρώϊοι ἵπποι ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,
οὕς ποτ᾽ ἀπ᾽ Αἰνείαν ἑλόμην μήστωρε φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶϊ

Τρωσὶν ἐφ᾽ ἱπποδάμοις ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
Νεστορέας μὲν ἔπειθ᾽ ἵππους θεράποντε κομείτην
ἴφθιμοι Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.

τὼ δ᾽ εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην·
Νέστωρ δ᾽ ἐν χείρεσσι λάβ᾽ ἡνία σιγαλόεντα,
μάστιξεν δ᾽ ἵππους· τάχα δ᾽ Ἕκτορος ἄγχι γένοντο.
τοῦ δ᾽ ἰθὺς μεμαῶτος ἀκόντισε Τυδέος υἱός·
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρτεν, ὃ δ᾽ ἡνίοχον θεράποντα

Κι είχε μονάχα μείνει ο Νέστορας, των Αχαιών η σκέπη,
δίχως να θέλει, τι ένα απ᾽ τ᾽ άτια του βογγούσε, από τον Πάρη,
το θείο τον άντρα της ωριόμαλλης Ελένης, δοξεμένο
στο κορφοκέφαλο, όπου στ᾽ άλογα φυτρώνει η πρώτη τρίχα,
ψηλά, και πίζουλο το λάβωμα στέκει εδώ πέρα πάντα.
Και πήδηξε απ᾽ τον πόνο, ως χώθηκε μες στο μυαλό η σαγίτα,
και γύρα στο χαλκό σπαράζοντας και τ᾽ άλλα μπέρδεψε άτια.
Κι εκεί πού ο γέροντας πετάχτηκε με το σπαθί να κόψει
του αλόγου τα λουριά, τον πρόφτασαν του Εχτόρου τ᾽ άτια ξάφνου
με τον τρανόν αμαξολάτη τους χιμώντας μες στη μάχη,

τον Έχτορα· και τότε ο γέροντας αλήθεια θα χανόταν
όμως τον πήρε του βροντόφωνου Διομήδη ευτύς το μάτι,
και του Οδυσσέα βοήθεια γύρεψε βροντοφωνάζοντας του:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
που φεύγεις σαν κιοτής, τις πλάτες σου γυρνώντας, μες στ᾽ ασκέρι;
Το νου σου, ως φεύγεις, μην πισώπλατα κανείς σε κονταρέψει!
Στάσου, απ᾽ το γέροντα να διώξουμε τον άγριο ετούτον άντρα!»
Αυτά είπε, όμως ο θείος, πολύπαθος δεν άκουσε Οδυσσέας,
μόνο προσπέρασε, στ᾽ Αργίτικα καράβια για να φτάσει.
Τότε ο Διομήδης και μονάχος του στους μπροστομάχους τρέχει,

στάθηκε ομπρός από του γέροντα του Νέστορα τ᾽ αμάξι
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Γέροντα, αλήθεια, οι νιοι πολέμαρχοι πολύ σε τυραννούνε,
και σένα επλάκωσαν τα γέρατα κι η δύναμη σου εκόπη,
κι είναι αχαμνός ο αλογολάτης σου κι οκνά τ᾽ αλόγατά σου.
Όμως για ανέβα απά στο αμάξι μου, να δεις και συ τι αξίζουν
του Τρώα τ᾽ αλόγατα, πώς ξέρουνε στον κάμπο δώθε κείθε
μια γρήγορα μπροστά να χύνουνται καί μια να φεύγουν πίσω.
Τα πήρα απ᾽ τον Αινεία κι ειν᾽ άφταστα, σύντας χυθούν κυνήγι.
Οι σύντροφοι ας γνοιαστούνε τ᾽ άτια σου, κι εμείς μ᾽ αυτά στους Τρώες

τους αλογάρηδες θα πέσουμε, που ως κι ο Έχτορας να μάθει
αν δε φρενιάζει στις παλάμες μου κι εμένα το κοντάρι.»
Αυτά είπε, κι ο γερήνιος Νέστορας συγκλίνει ο αλογολάτης.
Τ᾽ άτια του Νέστορα στους συντρόφους να τα γνοιαστούν αφήνουν,
στον πρόσχαρο τον Ευρυμέδοντα, στο Σθένελο το γαύρο,
κι εκείνοι οι δυο μαζί ανεβήκανε στο αμάξι του Διομήδη·
και τότε ο Νέστορας τα νιόλουρα τ᾽ αστραφτερά φουχτώνει,
τ᾽ αλόγατά βαράει και γρήγορα τον Έχτορα σιμώνουν.
Κι όπως χιμούσε αυτός απάνω τους, του ρίχνει ο Διομήδης᾽
μα το κοντάρι δεν τον πέτυχε, τον Ηνιοπέα μονάχα,

υἱὸν ὑπερθύμου Θηβαίου Ἠνιοπῆα
ἵππων ἡνί᾽ ἔχοντα βάλε στῆθος παρὰ μαζόν.
ἤριπε δ᾽ ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
ὠκύποδες· τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ᾽ αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·

τὸν μὲν ἔπειτ᾽ εἴασε καὶ ἀχνύμενός περ ἑταίρου
κεῖσθαι, ὃ δ᾽ ἡνίοχον μέθεπε θρασύν· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἵππω δευέσθην σημάντορος· αἶψα γὰρ εὗρεν
Ἰφιτίδην Ἀρχεπτόλεμον θρασύν, ὅν ῥα τόθ᾽ ἵππων
ὠκυπόδων ἐπέβησε, δίδου δέ οἱ ἡνία χερσίν.

ἔνθά κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠῢτε ἄρνες,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
βροντήσας δ᾽ ἄρα δεινὸν ἀφῆκ᾽ ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόσθ᾽ ἵππων Διομήδεος ἧκε χαμᾶζε·

δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ᾽ ἵππω δείσαντε καταπτήτην ὑπ᾽ ὄχεσφι·
Νέστορα δ᾽ ἐκ χειρῶν φύγον ἡνία σιγαλόεντα,
δείσε δ᾽ ὅ γ᾽ ἐν θυμῷ, Διομήδεα δὲ προσέειπε·
Τυδεΐδη ἄγε δ᾽ αὖτε φόβον δ᾽ ἔχε μώνυχας ἵππους.

ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ᾽ ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ᾽ ἐθέλῃσι,
δώσει· ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο
οὐδὲ μάλ᾽ ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι.

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Διομήδης·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες·
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ᾽ ἀγορεύων·
Τυδεΐδης ὑπ᾽ ἐμεῖο φοβεύμενος ἴκετο νῆας.

ὥς ποτ᾽ ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
ὤ μοι Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες.
εἴ περ γάρ σ᾽ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ᾽ οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες

καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας.
ὣς ἄρα φωνήσας φύγαδε τράπε μώνυχας ἵππους
αὖτις ἀν᾽ ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.

το σύντροφο του, του αντροδύναμου Θηβαίου το γιο, που εκράτει
τα νιόλουρα στο χέρι, εχτύπησε πα στο βυζί, στο στήθος·
κι από το αμάξι εκατρακύλησε και τ᾽ άτια έκαμαν πίσω
τα γρήγορα, κι ευτύς παράλυσαν εκεί η ψυχή κι η αντρεία του.
Πίκρα μεγάλη για το σύντροφο τα σωθικά του Εχτόρου
πλακώνει, όμως εκεί τον άφησε, κι ας καίγουντα η καρδιά του,
κι αμαξολάτην άλλο ατρόμητο ζητούσε, μα πολληώρα
με δίχως κυβερνήτη τ᾽ άτια του δε μείναν τι σε λίγο
το λιονταρόκαρδο Αρχεπτόλεμο, το γιο του Ιφίτου, ως βρήκε,
στο αμάξι απάνω τον ανέβασε και τα λουριά του δίνει.

Κι οι Τρώες θα χάνουνταν κι αγιάτρευτες δουλειές θα τους σκάρωναν,
και μες στο κάστρο τότε ως πρόβατα θα τους μαντρίζαν, ξάφνου
αν δεν τους θώραε των αθάνατων και των θνητών ο κύρης.
Φλογάτο αστροπελέκι αμόλησε μεμιάς, με οργή βροντώντας,
και στου Διομήδη ομπρός τ᾽ αλόγατα το σφεντονίζει κάτω,
και φλόγα από το θειάφι που άναβε τρομαχτικιά ετινάχτη'
κι από το φόβο τους εζάρωσαν κάτω απ᾽ το αμάξι τ᾽ άτια,
και τα λαμπρά λουριά απ᾽ του Νέστορα ξεφύγανε τα χέρια,
και στο Διομήδη τότε μίλησε με φοβισμένα σπλάχνα:
«Τ᾽ άλογα γύρνα τα μονόνυχα, Διομήδη, για φευγάλα'

μη δε θωράς που τώρα βόηθηση καμιά δε δίνει ο Δίας;
Τώρα σε τούτον δόξα αθάνατη του Κρόνου ο γιος χαρίζει,
για σήμερα᾽ σε μας αργότερα θα δώσει, αν το θελήσει.
Θνητός κανείς του Δία δε δύνεται τη γνώμη ν᾽ αντισκόψει,
όσο αντρειωμένος, τι στη δύναμη τρανότερος εκείνος.»
Τότε γυρνώντας ο βροντόφωνος Διομήδης του αποκρίθη:
«Όσα μου λες αλήθεια, γέροντα, πολύ σωστά και δίκια,
μα πίκρα ασήκωτη τα φρένα μου και την καρδιά πλακώνει'
τι μες στους Τρώες μιλώντας ο Έχτορας μια μέρα θα φωνάξει:
,,Μπροστά σε με ο Διομήδης έφυγε και στα καράβια εχώθη."

Τέτοια θα πει, μα τότε ας άνοιγεν η γης για να με φάει.»
Γυρνώντας ο γερήνιος Νέστορας ο αλογολάτης του 'πε:
«Γιε του Τυδέα του πολεμόχαρου, τι λόγια αυτά που κρένεις;
Ακόμα κι ο Εχτορας αν σ᾽ έλεγε κιοτή και φοβιτσάρη,
μα μήτε οι Τρώες και μήτε οι Δάρδανοι θα τον πίστευαν, μήτε
των Τρωών τα ταίρια, των αντρόκαρδων πολέμαρχων, ποτέ τους,
στη σκόνη που 'ριξες τους άντρες τους μες στα χρυσά τους νιάτα.»
Είπε, και τ᾽ άτια τα μονόνυχα γυρνάει γοργά να φύγουν
μέσα στον τάραχο· κι απάνω τους με αλαλητό μεγάλο
πλήθος οι Τρώες έριχναν κι ο Έχτορας ριξιές φαρμακωμένες.

τῷ δ᾽ ἐπὶ μακρὸν ἄϋσε μέγας κορυθαίολος Ἕκτωρ·
Τυδεΐδη περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι
ἔδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι·
νῦν δέ σ᾽ ἀτιμήσουσι· γυναικὸς ἄρ᾽ ἀντὶ τέτυξο.
ἔρρε κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο

πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω.
ὣς φάτο, Τυδεΐδης δὲ διάνδιχα μερμήριξεν
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,

τρὶς δ᾽ ἄρ᾽ ἀπ᾽ Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺς
σῆμα τιθεὶς Τρώεσσι μάχης ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταὶ
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.

γιγνώσκω δ᾽ ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ᾽ οὐδενόσωρα· τὰ δ᾽ οὐ μένος ἀμὸν ἐρύξει·
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.

ἀλλ᾽ ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτοὺς
Ἀργείους παρὰ νηυσὶν ἀτυζομένους ὑπὸ καπνοῦ.
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·

Ξάνθέ τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπέ τε δῖε
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
οἶνόν τ᾽ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,

ἠ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ᾽ ἐφομαρτεῖτον καὶ σπεύδετον ὄφρα λάβωμεν
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
αὐτὰρ ἀπ᾽ ὤμοιιν Διομήδεος ἱπποδάμοιο

δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ νηῶν ἐπιβησέμεν ὠκειάων.
ὣς ἔφατ᾽ εὐχόμενος, νεμέσησε δὲ πότνια Ἥρη,
σείσατο δ᾽ εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,

καί ῥα Ποσειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα·
ὦ πόποι ἐννοσίγαι᾽ εὐρυσθενές, οὐδέ νυ σοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός.
οἳ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ᾽ ἀνάγουσι
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι βούλεο νίκην.

Κι ο μέγας κρανοσείστης Έχτορας φωνή μεγάλη σέρνει:
«Διομήδη, οι Αργίτες οι αλογάρηδες περίσσια σε τιμούσαν,
με κρέατα, με ποτήρια ξέχειλα, πα στην κορφή της τάβλας·
μα τώρα ποιος θα σε λογάριαζε; Κατάντησες γυναίκα!
Χάσου απ᾽ τα μάτια μου, παλιόμουτρο, και δε θα κάνω πίσω,
για ν᾽ ανεβείς εσύ στους πύργους μας, και στ᾽ άρμενα να φέρεις
τα ταίρια μας, τι εγώ πρωτύτερα του Χάρου θα σε δώσω!»
Αυτά είπε, κι ο Διομήδης δίγνωμος αναρωτήθη τότε,
τάχα ξοπίσω τ᾽ άτια στρέφοντας να χτυπηθεί μαζί του;
Τρεις απ᾽ το νου φορές του πέρασε κι από τα φρένα μέσα,

και τρεις εβρόντηξε ο βαθύγνωμος ο Δίας από την Ίδα,
σημάδι για τους Τρώες, πώς χάριζε σ᾽ αυτούς τη νίκη ακέρια.
Φώναξε τότε ο μέγας Έχτορας στους Τρώες γκαρδιώνοντάς τους:
« Λυκιώτες και Δάρδανοι αντρόψυχοι και Τρώες, ακούστε με όλοι!
Άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιας τη φλόγα!
Τώρα το ξέρω πως εσύγκλινε του Κρόνου ο γιος και δίνει
νίκη σε με και δόξα αθάνατη, και πίκρες στους Αργίτες.
Οι ανέμυαλοι! που πήραν κι έχτισαν το καστροτείχι ετούτο,
κούφιο και τιποτένιο, ανήμπορο τη λύσσα μας να κόψει᾽
τι το σκαφτό χαντάκι τ᾽ άτια μας μεμιάς θα το πηδήξουν.

Μα οντάς εγώ μπρος στα καράβια τους τα βαθουλά πια φτάσω,
την καταλύτρα ας μην ξεχάσουμε φωτιά την ώρα εκείνη᾽
θέλω να κάψω τα πλεούμενα κι αυτούς να τους σκοτώσω,
τους Δαναούς, πλάι στα καράβια τους, μες στον καπνό
πνιγμένους.»
Είπε, και τ᾽ άτια του γκαρδιώνοντάς αυτά τους λέει τα λόγια:
« Αίθωνα, Λάμπε αρχοντογέννητε, και Πόδαργε και Ξάνθε,
καιρός την έγνοια να ξοφλήσετε που 'χε η Αντρομάχη ως τώρα
για σας περίσσια, του Ηετίωνα του ψυχωμένου η κόρη·
που πρώτα εσάς ακριβοτάγιζε το στάρι το μελένιο,
για σας κρασί, καθώς διψούσατε, πιο πρώτα συγκερνούσε,

παρά για μένα, λεβεντόκορμο που ταίρι της λογιέμαι.
Ομπρός λοιπόν και δίχως άργητα τραβάτε, το σκουτάρι
βέλω να πάρουμε του Νέστορα, που η δόξα του έχει φτάσει
στον ουρανό, πως είναι ολόχρυσο, κι αυτό κι οι πήχες του όλες.
Κι απ᾽ του Διομήδη του αλογάτορα τους ώμους θέλω ακόμα
τον ξομπλιασμένο ολούθε θώρακα, τρανή του Ηφαίστου τέχνη.
Τούτα στα χέρια μας αν έπεφταν, λογιάζω, τους Αργίτες
αυτή τη νύχτα θ᾽ ανεβάζαμε πα στα γοργά καράβια.»
Έτσι καυκιόταν, και στο θρόνο της η Ήρα η σεβάσμια εσείστη
από θυμό που τ᾽ άκουε, κι ο Όλυμπος τραντάζουνταν ο μέγας.

Γυρνάει και λέει του τρανοδύναμου του Ποσειδώνα τότε:
«Ωχού μου, Κοσμοσείστη ανίκητε, μηδέ η καρδιά η δική σου
σπαράζει μες στα στήθη βλέποντας οι Αργίτες που χαλνιούνται;
Κι όμως εκείνοι πλήθια κι όμορφα σου φέρνουν στην Ελίκη
και στις Αίγες κανίσκια᾽ στρέξε τους και συ τη νίκη τώρα'

εἴ περ γάρ κ᾽ ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί,
Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν,
αὐτοῦ κ᾽ ἔνθ᾽ ἀκάχοιτο καθήμενος οἷος ἐν Ἴδῃ.
τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη κρείων ἐνοσίχθων·
Ἥρη ἀπτοεπὲς ποῖον τὸν μῦθον ἔειπες.

οὐκ ἂν ἔγωγ᾽ ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τῶν δ᾽ ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε
πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων

εἰλομένων· εἴλει δὲ θοῷ ἀτάλαντος Ἀρῃϊ
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε.
καί νύ κ᾽ ἐνέπρησεν πυρὶ κηλέῳ νῆας ἐΐσας,
εἰ μὴ ἐπὶ φρεσὶ θῆκ᾽ Ἀγαμέμνονι πότνια Ἥρη
αὐτῷ ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.

βῆ δ᾽ ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ,
στῆ δ᾽ ἐπ᾽ Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
ἥ ῥ᾽ ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
ἠμὲν ἐπ᾽ Αἴαντος κλισίας Τελαμωνιάδαο

ἠδ᾽ ἐπ᾽ Ἀχιλλῆος, τοί ῥ᾽ ἔσχατα νῆας ἐΐσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν·
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
αἰδὼς Ἀργεῖοι, κάκ᾽ ἐλέγχεα, εἶδος ἀγητοί·
πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι,

ἃς ὁπότ᾽ ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε,
ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων
πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο,
Τρώων ἄνθ᾽ ἑκατόν τε διηκοσίων τε ἕκαστος
στήσεσθ᾽ ἐν πολέμῳ· νῦν δ᾽ οὐδ᾽ ἑνὸς ἄξιοί εἰμεν

Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.
Ζεῦ πάτερ, ἦ ῥά τιν᾽ ἤδη ὑπερμενέων βασιλήων
τῇδ᾽ ἄτῃ ἄασας καί μιν μέγα κῦδος ἀπηύρας;
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηῒ πολυκλήϊδι παρελθέμεν ἐνθάδε ἔρρων,

ἀλλ᾽ ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί᾽ ἔκηα
ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλὰ Ζεῦ τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ·
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι,
μηδ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.

τι εμείς εδώ, που παραστέκουμε τους Δαναούς, αν πούμε
τους Τρώες να διώξουμε, αμποδίζοντας το Δία να δώσει χέρι,
στην Ίδα να κλωσάει θ᾽ απόμενε την πίκρα του μονάχος.»
Βαρυγκομώντας την αντίσκοψεν ο ρήγας Κοσμοσείστης:
«Ήρα ατσαλόγλωσση, τι τα 'θελες τα λόγια ετούτα τώρα;

Σκοπό δεν το 'χω, εμείς οι επίλοιποι με τον υγιό του Κρόνου
να χτυπηθούμε, τι στη δύναμη μας ξεπερνάει περίσσια.»
Τέτοια λαλούσαν συνάλληλος τους αυτοί, κι ωστόσο ο τόπος
έξω απ᾽ τα πλοία, μπρος στο καστρότειχο και πίσω απ᾽ το χαντάκι,
φαριά, σκουταροφόρους σύσμιχτα ξεχείλαε στριμωγμένους'
ό Έχτορας ήταν που τους στρίμωχνε, του Πρίαμου ο γιος, παρόμοιος
με το γοργό τον Άρη, ως του 'δινε τη νίκη τώρα ο Δίας.
Κι αλήθεια θα 'καιγε τα ισόβαρα καράβια με άγρια φλόγα,
τον Αγαμέμνονα αν δε φώτιζεν η Ήρα η σεβάσμια τότε
να δώσει, τρέχοντας μονάχος του, κουράγιο στους Αργίτες.

Και κίνησε να πάει στ'Αργίτικα καλύβια και καράβια,-
την πορφυρή κρατώντας κάπα του στο δυνατό του χέρι'
και πλάι στο μαύρο εστάθη απλόχωρο καράβι του Οδυσσέα,
που ήταν στη μέση, για ν᾽ ακούγεται δεξιά ζερβά η φωνή του
ως πέρα στα καλύβια του Αίαντα, του γιου του Τελαμώνα,
κι ως στου Αχιλλέα᾽ κι οι δυο τους τ᾽ άρμενα στις άκρες τα 'χαν σύρει,
τι είχαν κι οι δυο τα χέρια ανίκητα και την αντρεία περίσσια.
Κείθε φωνή τρανή τους έσυρε, ν᾽ ακούσουν όλοι οι Αργίτες:
«Ντροπή σας! Κρίμα λέω στα κάλλη σας, Αργίτες τιποτένιοι!
Οι καυκησιές λοιπόν τι γίνηκαν, πως ήμασταν οι πρώτοι,

που κάποτε στη Λήμνο ελέγατε—μεγάλα λόγια κούφια—
με πλήθος κρέατα απ᾽ ορθοκέρατα βόδια στην τάβλα ομπρός σας
και πίνοντας κρασί γλυκόπιοτο σε ξέχειλα ποτήρια,
πως ο καθένας σας θα τα 'βαζε και μ᾽ εκατό Τρωαδίτες
και με διακόσιους; τώρα αντίκρα μας στέκει ένας και νίκα μας,
ο Έχτορας, που σε λίγο τ᾽ άρμενα θα κάψει με άγρια φλόγα.
Πατέρα Δία, και ποιος περίτρανος ρηγάρχης άλλος είναι,
που τέτοια συφορά τον χόρτασες και ντροπιασμένο αφήκες;
Κι όμως κανένα δεν προσπέρασα βωμό σου, ως εκινούσα
με το πολύκουπο καράβι μου—που να μην είχα σώσει!—

για να 'ρθω εδώ᾽ μον᾽ σε όλους έκαψα βοδιών μεριά και ξίγκια,
την ωριοτείχιστη γυρεύοντας την Τροία να ξεπατώσω.
Ωστόσο, Δία, καν τώρα επάκουσε την πεθυμιά μου ετούτη:
Βόηθα μας καν να τους ξεφύγουμε και λυτρωμό να βρούμε,
και μην αφήνεις ν᾽ αφανίζουνται πια από τους Τρώες οι Αργίτες.»

ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
νεῦσε δέ οἱ λαὸν σόον ἔμμεναι οὐδ᾽ ἀπολέσθαι.
αὐτίκα δ᾽ αἰετὸν ἦκε τελειότατον πετεηνῶν,
νεβρὸν ἔχοντ᾽ ὀνύχεσσι τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέϊ κάββαλε νεβρόν,

ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
οἳ δ᾽ ὡς οὖν εἶδονθ᾽ ὅ τ᾽ ἄρ᾽ ἐκ Διὸς ἤλυθεν ὄρνις,
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθ᾽ οὔ τις πρότερος Δαναῶν πολλῶν περ ἐόντων
εὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους

τάφρου τ᾽ ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστὴν
Φραδμονίδην Ἀγέλαον· ὃ μὲν φύγαδ᾽ ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·

ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
τὸν δὲ μετ᾽ Ἀτρεΐδαι Ἀγαμέμνων καὶ Μενέλαος,
τοῖσι δ᾽ ἐπ᾽ Αἴαντες θοῦριν ἐπιειμένοι ἀλκήν,
τοῖσι δ᾽ ἐπ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ,

τοῖσι δ᾽ ἐπ᾽ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός·
Τεῦκρος δ᾽ εἵνατος ἦλθε παλίντονα τόξα τιταίνων,
στῆ δ᾽ ἄρ᾽ ὑπ᾽ Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
ἔνθ᾽ Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ᾽ ἥρως
παπτήνας, ἐπεὶ ἄρ τιν᾽ ὀϊστεύσας ἐν ὁμίλῳ

βεβλήκοι, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσεν,
αὐτὰρ ὃ αὖτις ἰὼν πάϊς ὣς ὑπὸ μητέρα δύσκεν
εἰς Αἴανθ᾽· ὃ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.
ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων;
Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ᾽ Ὀφελέστην

Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον,
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
τὸν δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας·

στῆ δὲ παρ᾽ αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπε·
Τεῦκρε φίλη κεφαλή, Τελαμώνιε κοίρανε λαῶν
βάλλ᾽ οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
πατρί τε σῷ Τελαμῶνι, ὅ σ᾽ ἔτρεφε τυτθὸν ἐόντα,
καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ·

Είπε, κι ο κύρης τον σπλαχνίστηκε τους θρήνους του γρικώντας,
κι έγνεψε απείραχτο το ασκέρι του κι αχάλαστο να μείνει'
κι έναν αϊτό, που απ᾽ τα πετούμενα μηνάει την πάσα αλήθεια,
του στέλνει, λαφομόσκι που 'σφίγγε, γοργής λαφίνας σπλάχνο,
στα νύχια του, και το ξαμόλησε πα στο βωμό, όπου έσφαζαν

οι Αργίτες πάντα τα σφαχτάρια τους στο Δία, τον τέλειο μάντη.
Κι αυτοί, μπροστά τους ως αντίκρισαν πουλί απ᾽ το Δία να φτάνει,
με νέαν ορμή, διψώντας πόλεμο, πάνω στους Τρώες χύθηκαν.
Απ᾽ τους Αργίτες τότε, αρίφνητοι κι ας ήταν, τ᾽ άλογα του
ποιος θα παινιόταν πως πιλάλησε πιο μπρος απ᾽ το Διομήδη,
κι άνοιξε πόλεμο διαβαίνοντας πιο πρώτα το χαντάκι;
Πρώτος αυτός των Τρωών εσκότωσε κάποιον τρανό αντρειωμένο,
Αγέλαος κράζουνταν, του Φράδμονα παιδί᾽ τ᾽ αλόγατά του
να φύγει ως γύριζε, στη ράχη του καρφώνει το κοντάρι
μεσοπλατίς, κι εκείνο διάβηκε το στήθος πέρα ως πέρα.

Πέφτει απ᾽ τ᾽ αμάξι, κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Πίσω του οι Ατρείδες, ο Αγαμέμνονας με το Μενέλαο, βγήκαν,
κι ευτύς οι δυο ακλουθήξαν Αίαντες, όλο αντριγιά καί θάρρος·
μετά κι ο Ιδομενέας κι ο σύντροφος του Ιδομενέα Μηριόνης,
που το κουράγιο του ισοζύγιαζε με του αντροφόνου του Άρη·
μετά κι ο Ευρύπυλος, του Ευαίμονα πετάχτη ο γιος ο γαύρος,
κι ο Τεύκρος ύστερνά τεντώνοντας το λυγερό δοξάρι'
κι εκρύφτη στο σκουτάρι του Αίαντα, του γιου του Τελαμώνα'
κι όπως εκείνος το σκουτάρι του τραβούσε λίγο, ο Τεύκρος
παραμονεύοντας εδόξευε μες στο σωρό, κι εχτύπα

κάποιον οχτρό᾽ κι αυτός ως έπεφτε στη γη και ξεψυχούσε,
ο Τεύκρος, σαν παιδί στη μάνα του, χωνόταν πάλε πίσω
στον Αίαντα, που ξανά τον έκρυβε με το λαμπρό σκουτάρι.
Ποιόν πρώτο από τους Τρώες εσκότωσεν ο άψεγος Τεύκρος τότε;
Τον Όρμενο και τον Ορσίλοχο, μετά τον Οφελέστη,
το Δαίτορα και το Μελάνιππο, το θείο το Λυκοφόντη,
τον Αμοπάονα, του Πυλυαίμονα το γιο, και το Χρομίο.
Όλους αράδα εκεί τους έστρωσε στη γη την πολυθρόφα.
Τον είδε ο ρήγας Αγαμέμνονας και φράθηκε η καρδιά του,
απ᾽ το δοξάρι του πως θέριζε γραμμή των Τρωών τους λόχους.

Πήγε λοιπόν και στάθη δίπλα του κι έτσι μιλεί και κρένει:
«Τεύκρε ακριβέ μου, ρήγα ασύγκριτε και υγιέ του Τελαμώνα,
ρίχνε, μη στέκεις, κάποια ανάσαση να δώσεις στους Αργίτες,
να δώσεις και χαρά στον κύρη σου τον Τελαμώνα, που 'σουν
κλεφτόγεννό του και σε ανάστησε στο αργοντικό του μέσα,

τὸν καὶ τηλόθ᾽ ἐόντα ἐϋκλείης ἐπίβησον.
σοὶ δ᾽ ἐγὼ ἐξερέω ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώῃ Ζεύς τ᾽ αἰγίοχος καὶ Ἀθήνη
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
πρώτῳ τοι μετ᾽ ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,

ἢ τρίποδ᾽ ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
ἠὲ γυναῖχ᾽, ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.
τὸν δ᾽ ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος
ἀμύμων·
Ἀτρεΐδη κύδιστε τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν τοι ὅση δύναμίς γε πάρεστι

παύομαι, ἀλλ᾽ ἐξ οὗ προτὶ Ἴλιον ὡσάμεθ᾽ αὐτοὺς
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀϊστούς,
πάντες δ᾽ ἐν χροὶ πῆχθεν ἀρηϊθόων ἀᾠζηῶν·
τοῦτον δ᾽ οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

ἦ ῥα καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός·
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρθ᾽, ὃ δ᾽ ἀμύμονα Γοργυθίωνα
υἱὸν ἐΰν Πριάμοιο κατὰ στῆθος βάλεν ᾗῷ,
τόν ῥ᾽ ἐξ Αᾐσύμηθεν ὀπυιομένη τέκε μήτηρ

καλὴ Καστιάνειρα δέμας ἐϊκυῖα θεῇσι.
μήκων δ᾽ ὡς ἑτέρωσε κάρη βάλεν, ἥ τ᾽ ἐνὶ κήπῳ
καρπῷ βριθομένη νοτίῃσί τε ἐᾳρινῇσιν,
ὡς ἑτέρωσ᾽ ἤμυσε κάρη πήληκι βαρυνθέν.
Τεῦκρος δ᾽ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν

Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός.
ἀλλ᾽ ὅ γε καὶ τόθ᾽ ἅμαρτε· παρέσφηλεν γὰρ
Ἀπόλλων·
ἀλλ᾽ Ἀρχεπτόλεμον θρασὺν Ἕκτορος ἡνιοχῆα
ἱέμενον πόλεμον δὲ βάλε στῆθος παρὰ μαζόν·
ἤριπε δ᾽ ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι

ὠκύποδες· τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ᾽ αᾖνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·
τὸν μὲν ἔπειτ᾽ εἴασε καὶ ἀχνύμενός περ ἑταίρου,
Κεβριόνην δ᾽ ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα
ἵππων ἡνί᾽ ἑλεῖν· ὃ δ᾽ ἄρ᾽ οὐκ ἀπίθησεν ἀκούσας.

αὐτὸς δ᾽ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος
σμερδαλέα ᾐάχων· ὃ δὲ χερμάδιον λάβε χειρί,
βῆ δ᾽ ᾐθὺς Τεύκρου, βαλέειν δέ ἑ θυμὸς ἀνώγει.
ἤτοι ὃ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀϊστόν,
θῆκε δ᾽ ἐπὶ νευρῇ· τὸν δ᾽ αὖ κορυθαίολος Ἕκτωρ

Μόχτα! Μακριά κι αν είναι, η δόξα του παντού ν᾽ απλώσει τώρα.
Κι άκουσε ακόμα κάποιο λόγο μου, που θα τον δεις να γένει:
Αν η Αθηνά κι ο βροντοσκούταρος ο Δίας μια μέρα δώσουν
της Τροίας εγώ τ᾽ ομορφοτείχιστο να ξεπατώσω κάστρο,
αρχοντομοίρι εσένα ολόπρωτα μετά από με θα δώσω,

τριπόδι θες, θες και στο αμάξι τους διπλά φαριά ζεμένα,
για και γυναίκα θες, αντάμα σου να πέφτει στο κλινάρι.»
Γυρνώντας τότε ο Τεύκρος ο άψεγος απηλογιά του δίνει:
«Υγιέ του Ατρέα τρανέ, και μόνος μου τόσην ορμή μια κι έχω,
τι με κεντάς εσύ; Τη δύναμη που κλείνω στο κορμί μου
δεν κόβω᾽ απ᾽ τη στιγμή που διώξαμε στο κάστρο πίσω ετούτους,
με το δοξάρι απ᾽ το καρτέρι μου σκοτώνω οχτρούς αράδα.
Οχτώ έχω ως τώρα μακρομύτικες σαγίτες ρίξει, κι όλες
σε αντριγιωμένων γοργοπόδαρων εμπήχτηκαν τη σάρκα.
Μονάχα αυτόν να βρω δεν πέτυχα, το λυσσασμένο σκύλο!»

Ως είπε τούτα, από την κόρδα του κι άλλη σαγίτα ρίχνει
στον Έχτορα αντικρύ, κι ολόκαρδα να τον πετύχει επόθεί'
μ᾽ αντίς γι᾽ αυτόν τον αψεγάδιαστο το Γοργυθίωνα βρίσκει,
του Πριάμου τον υγιό τον Ιμνοστο, κατάστηθα η σαγίτα.
Απ᾽ την Αισύμη νύφη η μάνα του τον είχε γεννημένα,
η Καστιάνειρα η πανέμορφη, θεά θαρρείς στο διώμα.
Κι ως γέρνει δίπλα το κεφάλι της στον κήπο η παπαρούνα,
που την εβάρυνε η ανοιξιάτικη δροσιά για κι ο καρπός της,
και το κεφάλι του όμοια απόγειρε, βαρύ απ᾽ το κράνος, δίπλα.
Κι ο Τεύκρος τότε από την κόρδα του κι άλλη σαγίτα ρίχνει

στον Έχτορα αντικρύ, κι ολόκαρδα να τον πετύχει επόθεί᾽
μα δεν τον πέτυχε, τι ο Απόλλωνας της ζάβωσε το δρόμο'
τον Αρχεπτόλεμο έτσι, του Έχτορα το γαύρο αλογολάτη,
μπροστά πού εχύνουνταν, εχτύπησε πα στο βυζί, στο στήθος·
κι από το αμάξι εκατρακύλησε και τ᾽ άτια έκαμαν πίσω
τα γρήγορα, 'κι ευτύς παράλυσαν εκεί η ψυχή κι η αντρεία του.
Πίκρα μεγάλη για το σύντροφο τα σωθικά του Εχτόρου
πλακώνει, όμως εκεί τον άφησε, κι ας καίγουντα η καρδιά του'
και στον Κεβριόνη, δίπλα ποτ 'λαχε, τον αδερφό του κράζει,
τα νιόλουρα να πιάσει απ᾽τ᾽ άλογα, κι αυτός ακούει και τρέχει.

Κι ο Έχτορας πήδηξε απ᾽ τ'ολόφωτο το αμάξι απά στο χώμα
σκούζοντας άγρια, και φουχτώνοντας βαριά στο χέρι πέτρα
ίσια στον Τεύκρο απάνω εχίμιξε, ζητώντας να του ρίξει.
Πικρή σαγίτα εκείνος έβγαλεν απ᾽ το σαγιτολόγο,
και την κοκιάζει απά στην κόρδα του, μα ως έκανε να σύρει,

αὐερύοντα παρ᾽ ὦμον, ὅθι κληῖς ἀποέργει
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι,
τῇ ῥ᾽ ἐπὶ οἱ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
ῥῆξε δέ οἱ νευρήν· νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ,
στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεσε χειρός.

Αἴας δ᾽ οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ᾽ ὑποδύντε δύω ἐρίηρες ἑταῖροι
Μηκιστεὺς Ἐχίοιο πάϊς καὶ δῖος Ἀλάστωρ
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.

ἄψ δ᾽ αὖτις Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν·
οἳ δ᾽ ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς·
Ἕκτωρ δ᾽ ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων.
ὡς δ᾽ ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται κατόπισθε ποσὶν ταχέεσσι διώκων

ἰσχία τε γλουτούς τε, ἑλισσόμενόν τε δοκεύει,
ὣς Ἕκτωρ ὤπαζε κάρη κομόωντας Ἀχαιούς,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δὲ φέβοντο.
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερσίν,

οἳ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ᾽ εὐχετόωντο ἕκαστος·
Ἕκτωρ δ᾽ ἀμφιπεριστρώφα καλλίτριχας ἵππους
Γοργοῦς ὄμματ᾽ ἔχων ἠδὲ βροτολοιγοῦ Ἄρηος.

τοὺς δὲ ἰδοῦσ᾽ ἐλέησε θεὰ λευκώλενος Ἥρη,
αἶψα δ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
ὤ πόποι αἰγιόχοιο Διὸς τέκος οὐκέτι νῶϊ
ὀλλυμένων Δαναῶν κεκαδησόμεθ᾽ ὑστάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται

ἀνδρὸς ἑνὸς ῥιπῇ, ὃ δὲ μαίνεται οὐκέτ᾽ ἀνεκτῶς
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ἔοργε.
τὴν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
καὶ λίην οὗτός γε μένος θυμόν τ᾽ ὀλέσειε
χερσὶν ὑπ᾽ Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ·

ἀλλὰ πατὴρ οὑμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι
σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς·
οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν
τειρόμενον σώεσκον ὑπ᾽ Εὐρυσθῆος ἀέθλων.
ἤτοι ὃ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς

στον ώμο ο κρανοσείστης Έχτορας, πα στο κλειδί, που στήθος
χωρίζει και λαιμό, κι ειν᾽ άσκημο το λάβωμα αυτού πάντα,
κει πάνω, ως του 'ριχνε, τον πέτυχε με το τραχύ κοτρόνι
και σπάει την κόρδα του, και μούδιασε το χέρι στον αρμό του᾽
κι όπως σωριάστη γονατίζοντας, του φεύγει το δοξάρι.

Όμως ο μέγας Αίας το αδέρφι του δεν παρατάει πεσμένο,
μον᾽ τρέχει ομπρός του και τον σκέπασε με το σκουτάρι ολούθε.
Και τότε σκύψαν και τον σήκωσαν δυο γκαρδιακοί συντρόφοι,
ο αρχοντογέννητος Αλάστορας κι ο Μηκιστέας, του Εχίου
ο γιος, και τον πήγαιναν στ᾽ άρμενα, κι αυτός βαριά εβογγούσε.
Ορμή καινούργια ο ρήγας του Ολύμπου βάζει στους Τρώες, κι εκείνοι
τους Αχαιούς γραμμή κυνήγησαν προς το βαθύ χαντάκι'
κι έτρεχε μες στους πρώτους ο Έχτορας, όλο καρδιά και πείσμα.
Πώς σκύλος λιόντα για αγριογούρουνο στρώνει μπροστά και τρέχει
με πόδια γρήγορα, δαγκώνοντας ξοπίσω τα μεριά τους

και τα καπούλια, και φυλάγεται στο στριφογύρισμά τους᾽
όμοια κι εκείνος τους μακρόμαλλους Αργίτες κυνηγούσε,
και κάθε τόσο κι έναν σκότωνε, τον πιο στερνό, ως έφευγαν.
Μα τα παλούκια πια σα διάβηκαν και το χαντάκι πέρα
μες στο φευγιό τους—και σκοτώθηκαν πολλοί απ᾽ των Τρωών τα χέρια—
έτσι κλεισμένοι δίπλα στ᾽ άρμενα κρατιόντουσαν, και κράζαν
ο ένας του άλλου κουράγιο δίνοντας, και σήκωναν τα χέρια
και ξεφωνώντας τους αθάνατους ανακαλιόνταν όλους.
Και στριφογυρνά ο μέγας Έχτορας τα ωριότριχα άλογα του,
κι ως της Γοργόνας λες τα μάτια του για ως του αντροφόνου του Άρη.

Κι όπως τους είδε, τους σπλαχνίστηκεν η κρουσταλλόχερη Ήρα,
και λόγια μίλησε ανεμάρπαστα στην Αθηνά γυρνώντας:
«Ωχού, του Δία του βροντοσκούταρου παιδί, να μη γνοιαστούμε
τους Αχαιούς, εδώ που χάνουνται, καν για στερνή φορά τους;
κι είναι γραφτό τους να 'βρουν θάνατο κακό και να χαθούνε
μόνο από ένούς τη λύσσα. Φρένιασε του Πρίαμου ο γιος αλήθεια,
ο Έχτορας, δε βαστιέται πιότερο, τόσο κακό που κάνει.»
Τότε η Αθηνά, η θεά η γλαυκόματη, γυρνώντας αποκρίθη:
«Να 'ταν ετούτος—πώς θα το 'θελα!—ζωή κι αντρεία να χάσει,
πεσμένος από χέρια Αργίτικα στη γη την πατρική του!

Μα τώρα ο κύρης μου φρενιάζοντας κακά στο νου του κλώθει,
πίβουλος, φταίχτης πάντα, αμπόδιστρο σ᾽ όποια βουλή κι αν πάρω.
Καί δε θυμάται εγώ πως γλίτωσα τόσες φορές το γιο του,
σαν ο Ευρυσθέας με τις αγγαρείες του βαριά τον τυραννούσε;
κι έκλαιγε αυτός στα ουράνια ασκώνοντας την κεφαλή, και μένα

τῷ ἐπαλεξήσουσαν ἀπ᾽ οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε ᾔδε᾽ ἐνὶ φρεσὶ πευκαλίμῃσιν
εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν
ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.

νῦν δ᾽ ἐμὲ μὲν στυγέει, Θέτιδος δ᾽ ἐξήνυσε βουλάς,
ἥ οἱ γούνατ᾽ ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
ἔσται μὰν ὅτ᾽ ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.
ἀλλὰ σὰ μὲν νῦν νῶϊν ἐπέντυε μώνυχας ἵππους,

ὄφρ᾽ ἂν ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο
τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι
ἢ νῶϊ Πριάμοιο πάϊς κορυθαίολος Ἕκτωρ
γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ᾽ οἰωνοὺς

δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη πρέσβα θεὰ θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο

πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ᾽ οὐδει
ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
ἣ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἐς δ᾽ ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ᾽ ἔγχος

βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ᾽ ἄρ᾽ ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε

ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε χώσατ᾽ ἄρ᾽ αἰνῶς,
Ἶριν δ᾽ ὄτρυνε χρυσόπτερον ἀγγελέουσαν·
βάσκ᾽ ἴθι Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ᾽ ἔα ἄντην

ἔρχεσθ᾽· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμον δέ.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωϊν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέω κατά θ᾽ ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς

ψηλά απ᾽ τα ουράνια ο Δίας με πρόσταζε βοηθός του να κατέβω.
Όμως εγώ όλα αυτά αν τα κάτεχα μες στα βαθιά μου φρένα,
σύντας στον Άδη τον ξαπόστειλε τον κλειδαμπαρωμένο,
το σκύλο του άγριου του Άδη απ᾽ το Έρεβος να πάει να φέρει
απάνω,
τα κρεμαστά νερά δε γλίτωνε της Στύγας, όξω να 'βγει!

Τώρα με όχτρεύεται και σύγκλινε στο θέλημα της Θέτης,
που του 'πεσε στα πόδια, του 'πιασε τα γένια, να τιμήσει
τον Αχιλλέα παρακαλώντας τον τον καστροπολεμίτη.
Μα θα 'ρθει μέρα Γλαυκομάτα μου᾽ που θα με κράξει πάλε!
Ας είναι᾽ τώρα τα μονόνυχα για σύνταξε άλογα μας,
κι εγώ στου Δία του βροντοσκούταρου θα τρέξω το παλάτι,
να βάλω του πολέμου τ᾽ άρματα, και τότε του Πριάμου
ο γιος, ο κρανοσείστης Έχτορας, θα ιδούμε αν θα γελάσει
από αναγάλλιαση, στα διάβατα καθώς μας δει της μάχης.
Αλήθεια, κάποιος Τρώας με ξίγκια του και σάρκες θα χορτάσει

όρνια και σκύλους, δίπλα πέφτοντας στ᾽ Αργίτικα καράβια.»
Αυτά είπε, κι άκουσε τα λόγια της η κρουσταλλόχερη Ήρα,
και τ᾽ άλογα με βιάση εσύνταζε τα χρυσοχαλινάτα,
μες στις θεές η πρώτη, του τρανού του Κρόνου η θυγατέρα.
Πήρε η Αθηνά, του βροντοσκούταρου του Δία η κόρη, ωστόσο
και το αγανό μαντί της έβγαλε στο πατρικό παλάτι,
το πλουμιστό, που ατή της ύφανε με τα δικά της χέρια.
Του Δία μετά φοράει το θώρακα του νεφελοστοιβάχτη
για τον πολύδακρο τον πόλεμο, και τ᾽ άρματα του βάζει.
Κι απά στο αμάξι τότε ανέβηκε το λιόφωτο, κι αδράχνει

το δυνατό, βαρύ, θεόρατο κοντάρι, που σκοτώνει
όσους ηρώους του Τρανοδύναμου την κόρη έχουν θυμώσει.
Κι η Ήρα με βιάση τότε τ᾽ άλογα χτυπά με το μαστίγι,
κι οι πύλες τ᾽ ουρανού από μόνες τους βρόντηξαν, πού απ᾽ τις Ώρες
φυλάγουνται· τι αυτές τον Όλυμπο και τα πλατιά τα ουράνια
πήραν χρέη με σύγνεφο πυκνό να τ᾽ ανοιγοσφαλνούνε.
Μέσα απ᾽ αυτές τα μαστιγόλαμνα πέρασαν άτια τώρα.
Κι ο κύρης Δίας, ως τις αντίκρισεν από την Ίδα, οργίστη,
και τη χρυσόφτερη την Ίριδα μαντατοφόρα στέλνει:
«Ίριδα, τρέχα, γοργοπόδαρη, γύρνα τις πίσω, ανάντια

να μη μου πάνε πια᾽ τι αν πιάσουμε και χτυπηθούμε, αλί τους!
Κι ας τον ακούσουνε το λόγο μου, που σίγουρα θα γένει:
Τα γρήγορα φαριά στο αμάξι τους θα σακατέψω, πέρα
θα ρίξω εκείνες απ᾽ το κάθισμα, θα σπάσω και τ᾽ αμάξι'
κι ουδέ σε δέκα αγανυρίσματα του χρόνου θα μπορέσουν

ἔλκε᾽ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·
ὄφρα ἰδῇ γλαυκῶπις ὅτ᾽ ἂν ᾧ πατρὶ μάχηται.
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὁπτί κεν εἴπω.
ὡς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,

βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
ἀντομένη κατέρυκε, Διὸς δέ σφ᾽ ἔννεπε μῦθον·
πῇ μέματον; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν.

ὧδε γὰρ ἠπείλησε Κρόνου πάϊς, ᾗ τελέει περ,
γυιώσειν μὲν σφῶϊν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέειν κατά θ᾽ ἅρματα ἄξειν·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἔλκε᾽ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·

ὄφρα ἰδῇς γλαυκῶπι ὅτ᾽ ἂν σῷ πατρὶ μάχηαι.
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπῃ·
ἀλλὰ σύ γ᾽ αἰνοτάτη κύον ἀδεὲς εἰ ἐτεόν γε
τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.

ἦ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν·
ὢ πόποι αἰγιόχοιο Διὸς τέκος, οὐκέτ᾽ ἔγωγε
νῶϊ ἐῶ Διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν·
τῶν ἄλλος μὲν ἀποφθίσθω, ἄλλος δὲ βιώτω,

ὅς κε τύχῃ· κεῖνος δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῷ
Τρωσί τε καὶ Δαναοῖσι δικαζέτω, ὡς ἐπιεικές.
ὣς ἄρα φωνήσασα πάλιν τρέπε μώνυχας ἵππους·
τῇσιν δ᾽ Ὧραι μὲν λῦσαν καλλίτριχας ἵππους,
καὶ τοὺς μὲν κατέδησαν ἐπ᾽ ἀμβροσίῃσι κάπῃσιν,

ἅρματα δ᾽ ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·
αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι κάθιζον
μίγδ᾽ ἄλλοισι θεοῖσι, φίλον τετιημέναι ἦτορ.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐΰτροχον ἅρμα καὶ ἵππους
Οὔλυμπον δὲ δίωκε, θεῶν δ᾽ ἐξίκετο θώκους.

τῷ δὲ καὶ ἵππους μὲν λῦσε κλυτὸς ἐννοσίγαιος,
ἅρματα δ᾽ ἂμ βωμοῖσι τίθει κατὰ λῖτα πετάσσας·
αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύοπα Ζεὺς
ἕζετο, τῷ δ᾽ ὑπὸ ποσσὶ μέγας πελεμίζετ᾽ Ὄλυμπος.
αἳ δ᾽ οἶαι Διὸς ἀμφὶς Ἀθηναίη τε καὶ Ἥρη

να γιάνουν οι πληγές, που πέφτοντας θ᾽ ανοίξει ο κεραυνός μου'
η Γλαυκομάτα με τον κύρη της να μάθει να τα βάζει.
Μα με την Ήρα δε συχύζομαι κι ουδέ χολιάζω τόσο,
τι εκείνη στέκει πάντα αμπόδιστρο σ᾽ ό,τι κι αν πω να κάνω.»
Αυτά είπε, κι η ανεμόποδη Ίριδα χιμάει μαντατοφόρα,

κι απ᾽ τις κορφές της Ίδας έφτασε στον Όλυμπο το μέγα᾽
κι εκεί στου Ολύμπου του πολύκορφου καταμπροστά τις πύλες
τις βρήκε, κι είπε, ανακρατώντας τις, την προσταγή του Δία:
« Για που τραβάτε; Ποιο ξεφρένιασμα το νου σας συνεπήρε;
Δε θέλει ο γιος του Κρόνου βόηθηση να δώστε στους Αργίτες.
Κι ακούστε τώρα τις φοβέρες του, που δε θα μείνουν λόγια:
Τα γρήγορα φαριά στο αμάξι σας θα σακατέψει, πέρα
θα ρίξει εσάς από το κάθισμα, θα σπάσει και τ᾽ αμάξι·
κι ουδέ σε δέκα αναγυρίσματα του χρόνου θα μπορέσουν
να γιάνουν οι πληγές, που πέφτοντας θ᾽ ανοίξει ο κεραυνός του'

η Γλαυκομάτα με τον κύρη της να μάθει να τα βάζει.
Μα με την Ήρα δε συχύζεται κι ουδέ χολιάζει τόσο,
τι εκείνη στέκει πάντα αμπόδιστρο σ᾽ ό,τι κι αν πει να κάνει.
Μα εσύ 'σαι ανήλεη, σκύλα αδιάντροπη, κουράγιο αν πάρεις τώρα
στο Δία κατάντικρα θεόρατο κοντάρι να σηκώσεις.»
Σαν είπε αυτά η γοργόποδη Ίριδα, μισεύει πίσω πάλε,
κι η Ήρα γυρνώντας στη γλαυκόματη την Αθηνά της κάνει:
«Ωχού, του Δία του βροντοσκούταρου παιδί, πια εγώ δε θέλω
για τους θνητούς ν᾽ αντιμαχόμαστε με τον υγιό του Κρόνου.
Ποιος ζει απ᾽ αυτούς και ποιος σκοτώνεται, σαν που το φέρνει η τύχη,

πια δε με νιάζει᾽ ο Δίας, τελεύοντας τα που 'χει στο μυαλό του,
σε Δαναούς καί Τρώες ανάμεσα, καθώς ταιριάζει, ας κρίνει.»
Είπε, καί πίσω τα μονόνυχα γυρνούσε αλόγατά τους·
κι οι Τρώες ευτύς τα ωριότριχα έλυσαν απ᾽ το ζυγό άλογα τους,
και τα 'δεσαν μπροστά απ᾽ τ᾽ αθάνατα παχνιά, μετά τ᾽ άμάξι
γερτό στον τοίχο το αποκούμπησαν το λιόφωτο απ᾽ αντίκρυ.
Κι εκείνες τράβηξαν στα ολόχρυσα θρονιά για να καθίσουν
μες στους θεούς τους αποδέλοιπους, με πικραμένα σπλάχνα.
Κι ο κύρης Δίας με το καλότροχο το αμάξι από την Ίδα
κίνησε κι έφτασε στον Όλυμπο, μες στα θεϊκά παλάτια.

Κι ο μέγας Κοσμοσείστης τ᾽ άλογα του ξέζεψε, και στήνει,
στη θέση του το αμάξι, κι άπλωσε το σκέπασμα από πάνω.
Κι ο βροντολάλος Δίας στ᾽ ολόχρυσο θρονί του πάει καθίζει,
με τα ποδάρια του τραντάζοντας τον Όλυμπο το μέγα.
Τότε η Ήρα κι η Αθηνά τραβήχτηκαν μακριά απ᾽ το Δία και κάτσαν,

ἥσθην, οὐδέ τί μιν προσεφώνεον οὐδ᾽ ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
τίφθ᾽ οὕτω τετίησθον Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.

πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ.
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα
πρὶν πόλεμόν τε ἰδεῖν πολεμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν·

οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ
ἆψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν᾽ ἀθανάτων ἕδος ἐστίν.
ὣς ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πλησίαι αἵ γ᾽ ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε

σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει·
Ἥρῃ δ᾽ οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν·
ἀλλ᾽ ἔμπης Δαναῶν ὀλοφυρόμεθ᾽ αἰχμητάων,

οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
ἀλλ᾽ ἤτοι πολέμου μὲν ἀφεξόμεθ᾽, εἰ σὺ κελεύεις·
βουλὴν δ᾽ Ἀργείοις ὑποθησόμεθ᾽ ἥ τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα
Ζεύς·

ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα, βοῶπις πότνια Ἥρη
ὀλλύντ᾽ Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα,

ἦματι τῷ ὅτ᾽ ἂν οἳ μὲν ἐπὶ πρύμνῃσι μάχωνται
στείνει ἐν αἰνοτάτῳ περὶ Πατρόκλοιο θανόντος·
ὡς γὰρ θέσφατόν ἐστι· σέθεν δ᾽ ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ᾽ εἴ κε τὰ νείατα πείραθ᾽ ἵκηαι
γαίης καὶ πόντοιο, ἵν᾽ Ἰάπετός τε Κρόνος τε

ἧμενοι οὔτ᾽ αὐγῇς Ὑπερίονος Ἠελίοιο
τέρποντ᾽ οὔτ᾽ ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος
ἀμφίς·
οὐδ᾽ ἣν ἔνθ᾽ ἀφίκηαι ἀλωμένη, οὔ σευ ἔγωγε
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο.
ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη λευκώλενος Ἥρη.

ξέχωρα αυτές, κι ουδέ του μίλησαν κι ουδέ και τον ρωτούσαν
μα κείνος το ψυχανεμίστηκε κι έτσι μιλάει και κρένει:
«Αθηνά κι Ήρα, τι μου κάθεστε τόσο βαριά θλιμμένες;
Δεν είναι δα που κουραστήκατε στη δοξαντρούσα μάχη
τους Τρώες σκοτώνοντας, που οχτρεύεστε τόσο άσπλαχνα κι οι δυο
σας!

Καθόλου! τι είναι αλήθεια ανίκητα τα χέρια μου κι η ορμή μου,
κι όλοι οι θεοί που ζουν στον Όλυμπο δε με καταπονούνε.
Κρύος ιδρώτας πριν περέχυσε τα λιόκαλα κορμιά σας,
προτού αντικρίστε καν τον πόλεμο και τις φριχτές δουλειές του.
Ακούστε τώρα και το λόγο μου, που θα 'χε γίνει κιόλα:
Θα σας χτυπούσε αστραποπέλεκο, και πίσω με τ᾽ αμάξι
δε θα γυρνούσατε στον Όλυμπο, στ᾽ αθάνατα λημέρια.»
Αυτά είπε, κι η Αθηνά μουρμούρισε κλεφτάτα με την Ήρα᾽
κοντά κοντά κάθονταν κι έκλωθαν κακά στους Τρώες κι οι δυο τους.
Αμίλητη η Αθηνά εκρατήθηκε και σώπαινε, κι ας τα 'χε

με τον πατέρα Δία, κι ας ένιωθε βαρύ θυμό στα φρένα.
Της Ήρας όμως εξεχείλισεν η οργή στο στήθος κι είπε:
«Υγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;
Όλοι το ξέρουμε, ακατάλυτη πως είναι η δύναμη σου᾽
μα κι έτσι εμείς για τους πολέμαρχους θρηνούμε τώρα Αργίτες,
που 'ναι γραφτό τους να 'βρουν θάνατο κακό και να χαθούνε.
Ως το προστάζεις, απ᾽ τον πόλεμο τραβούμε τώρα χέρι᾽
μ᾽ άσε βουλή σωστή να βάλουμε στων Αχαιών τα στήθη,
να μη χαθούν δω πέρα σύψυχοι, μια κι έτσι τους οχτρεύτης.»
Και τότε ο Δίας της αποκρίθηκεν ο νεφελοστοιβάχτης:

«Αύριο πουρνό τον τρανοδύναμο του Κρόνου υγιό, σα θέλεις,
με πιο μεγάλη ακόμα μάνητα θα ιδείς, βοϊδομάτη Ήρα,
πλήθος αρίφνητο απ᾽ το Αργίτικο το ασκέρι ν᾽ αφανίζει'
τι ο γαύρος Έχτορας τον πόλεμο δεν είναι να σκολάσει,
πριν ο Αχιλλέας ο γοργοπόδαρος σκωθεί από τα καράβια,
τη μέρα εκείνη που στις πρύμνες τους τ᾽ ασκέρια στριμωγμένα
θα στήσουν πόλεμο στου Πάτροκλου τρογύρα το κουφάρι.
Έτσι απ᾽ τη Μοίρα ετούτα γράφτηκαν, κι εγώ την όργητά σου
καθόλου δεν ψηφώ, στην τελείωση της γης και του πελάγου
κι αν πορευτείς ακόμα, φτάνοντας κει που κάθονται ο Κρόνος

κι ο Ιαπετός, χωρίς να χαίρουνται του ήλιου το φως καθόλου
και τους αγέρηδες, τι ο Τάρταρος βαθύς τους περιζώνει'
μηδέ κι εκεί αν βρεθείς γυρίζοντας τον κόσμο, το θυμό σου
λογιάζω᾽ τι άλλο δεν εγνώρισα πιο αδιάντροπο από σένα.»
Είπε, μα δεν του απηλογήθηκεν η κρουσταλλόχερη Ήρα.
Στον Ωκεανό σε λίγο ολόγυρισα του ήλιου το φως βυθίζει

ἐν δ᾽ ἔπεσ᾽ Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Τρωσὶν μέν ῥ᾽ ἀέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖς
ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή.
Τρώων αὖτ᾽ ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ

στην πλούσια γης απάνω σέρνοντας τη μαύρη νύχτα, κι ήταν
καημός στους Τρώες το ηλιοβασίλεμα, για τους Αργίτες όμως
η νύχτα η σκοτεινή που πλάκωνε χαρά και τρισχαρά τους.
Κι ο τρανός Έχτορας σε σύναξη τους Τρώες μαζώνει τότε,

νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
ἐν καθαρῷ ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
ἐξ ἵππων δ᾽ ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον
τόν ῥ᾽ Ἕκτωρ ἀγόρευε Διῒ φίλος· ἐν δ᾽ ἄρα χειρὶ
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς

στον ποταμό το βαθιοστρόβιλο, μακριά από τα καράβια,
σε ξάγναντο, που δεν το σκέπαζαν κουφάρια σκοτωμένων.
Κι από τ᾽ αμάξια τους κατέβηκαν στη γη, για να γρικήσουν
τον ακριβό του Δία, τον Έχτορα· κι αυτός κοντάρι εκράτα
στο χέρι του σφιχτά εντεκάπηχο, που γυάλιζε ο χαλός του
χαλκένιος, και χρυσό τον έζωνε τρογύρα δαχτυλίδι.

αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης,
τῷ ὅ γ᾽ ἐρεισάμενος ἔπεα Τρώεσσι μετηύδα·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι·
νῦν ἐφάμην νῆάς τ᾽ ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·

Πάνω σ᾽ αυτό ακουμπώντας άρχισε μέσα στους Τρώες να λέει:
« Ακούστε, Τρώες εσείς και Δάρδανοι κι οι σύμμαχοι μας όλοι᾽
έλεγα τώρα πως θ᾽ αφάνιζα και πλοία μαζί κι Αργίτες,
προτού στην Τροία την ανεμόδαρτη ξανά βρεθούμε πίσω.

ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἀλλ᾽ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ᾽ ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους
λύσαθ᾽ ὑπὲξ ὀχέων, παρὰ δέ σφισι βάλλετ᾽
ἐδωδήν·

Μα το σκοτάδι μας επρόλαβε, κι αυτό 'ναι τους Αργίτες
και τα καράβια τους που γλίτωσε κοντά στο γυρογιάλι.
Πλάκωσε η μαύρη νύχτα᾽ η χάρη της ας γένει᾽ ελάτε τώρα
το δείπνο να γνοιαστούμε γρήγορα, και λύστε από τ᾽ αμάξια
τ᾽ αλόγατά σας τα καλότριχα, και βάλτε τους να φανέ᾽
και φέρτε βόδια εδώ και πρόβατα παχιά απ᾽ το κάστρο μέσα
αμέσως τώρα, και μελόγλυκο κρασί να 'ρθεί γνοιαστείτε,
κι ακόμα και ψωμί απ᾽ τα σπίτια σας· σωρό μαζεύτε ξύλα,
κι ολονυχτίς, την πουρνογέννητην Αυγή ως να ιδούμε, ας καίμε
φωτιές πολλές ολούθε, η λάμψη τους στον ουρανό να φτάνει.

ἐκ πόλιος δ᾽ ἄξεσθε βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε
σῖτόν τ᾽ ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ᾽ ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ᾽ εἰς οὐρανὸν ἵκῃ,

Μήπως οι Αργίτες οι μακρόμαλλοι λογιάσουν μες στη νύχτα
να φύγουν από δω, στης θάλασσας την πλατιά ράχη απάνω.
Όχι, δε θέλω δίχως πόλεμο ν᾽ ανέβουν στα καράβια,
μόνο γυρνώντας ο καθένας τους να 'χει πληγή να γιάνει,
από σαγίτα ή καλοακόνιστο κοντάρι λαβωμένος,
την ώρα στο καράβι που 'μπαίνε, για να φοβούνται κι άλλοι
στους Τρώες τους αλογάδες πόλεμο πολύδακρο ν᾽ ασκώνουν.
Κι ας διαλαλήσουν θεοφίλητοι σε όλο το κάστρο κράχτες,
τα νέα τ᾽ αγόρια με τους γέροντες τους ψαρομελιγγάτους
γύρω στου κάστρου τους θεόχτιστους να μαζωχτούνε πύργους'

μή πως καὶ διὰ νύκτα κάρη κομόωντες Ἀχαιοὶ
φεύγειν ὁρμήσωνται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ᾽ ὥς τις τούτων γε βέλος καὶ οἰκοθι πέσσῃ
βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι

νηὸς ἐπιθρῴσκων, ἵνα τις στυγέῃσι καὶ ἄλλος
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
κήρυκες δ᾽ ἀνὰ ἄστυ Διῒ φίλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·

και κάθε μια από τις γυναίκες μας τρανή φωτιά ν᾽ ανάψει
μέσα στο σπίτι της᾽ κι ας βάλουμε δικούς μας να φυλάνε,
κρυφά μην μπουν οχτροί στο κάστρο μας, όσο ο στρατός μας λείπει.
Έτσι να γίνουν, Τρώες αντρόκαρδοι, καθώς ορίζω τώρα.
Ειπώθη ο λόγος που συνταίριαζε στις ώρες που περνούμε᾽

θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
ὧδ᾽ ἔστω Τρῶες μεγαλήτορες ὡς ἀγορεύω·
μῦθος δ᾽ ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω,

τὸν δ᾽ ἠοῦς Τρώεσσι μεθ᾽ ἱπποδάμοις ἀγορεύσω.
ἔλπομαι εὐχόμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσιν
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους,
οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
ἀλλ᾽ ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,

πρῶϊ δ᾽ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἴσομαι εἴ κέ μ᾽ ὁ Τυδεΐδης κρατερὸς Διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἦ κεν ἐγὼ τὸν
χαλκῷ δῃώσας ἔναρα βροτόεντα φέρωμαι.

αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ᾽ ἐμὸν ἔγχος
μείνῃ ἐπερχόμενον· ἀλλ᾽ ἐν πρώτοισιν ὀΐω
κείσεται οὐτηθείς, πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
ἠελίου ἀνιόντος ἐς αὔριον· εἰ γὰρ ἐγὼν ὡς
εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,

τιοίμην δ᾽ ὡς τίετ᾽ Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν.
ὣς Ἕκτωρ ἀγόρευ᾽, ἐπὶ δὲ Τρῶες κελάδησαν.
οἳ δ᾽ ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
δῆσαν δ᾽ ἱμάντεσσι παρ᾽ ἅρμασιν οἷσιν ἕκαστος·

ἐκ πόλιος δ᾽ ἄξοντο βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο,
σῖτόν τ᾽ ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.

κνίσην δ᾽ ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω.

οἳ δὲ μέγα φρονέοντες ἐπὶ πτολέμοιο γεφύρας
εἵατο παννύχιοι, πυρὰ δέ σφισι καίετο πολλά.

ὡς δ᾽ ὅτ᾽ ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
φαίνετ᾽ ἀριπρεπέα, ὅτε τ᾽ ἔπλετο νήνεμος αἰθήρ·
ἔκ τ᾽ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
καὶ νάπαι· οὐρανόθεν δ᾽ ἄρ᾽ ὑπερράγη ἄσπετος
αἰθήρ,
πάντα δὲ εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν·

τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι᾽ ἄρ᾽ ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ
εἵατο πεντήκοντα σέλᾳ πυρὸς αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας

ἑσταότες παρ᾽ ὄχεσφιν ἐΰθρονον Ἠῶ μίμνον.

τ᾽ άλλα στους Τρώες τους αλογάρηδες θα πω ταχιά σα φέξει.
Θαρρώ—κι ο Δίας με τους αθάνατους τους άλλους ας μ᾽ ακούσουν—
πώς τα σκυλιά από δω θα διώξουμε τα λαμιοσκοτωμένα,
που οι μαύρες Λάμιες να τους σκότωναν στα μαύρα τους καράβια!
Τη νύχτα τώρα αυτή ας κοιτάξουμε να καλοφυλαχτούμε,

και το πουρνό, τα ξημερώματα, συνάρματοι θα πάμε
τον άγριον Άρη να σηκώσουμε μπρος στα βαθιά καράβια.
Τότε θα μάθουμε αν ο αντρόκαρδος γιος του Τυδέα Διομήδης
θα διώξει πίσω εμένα απ᾽ τ᾽ άρμενα στο κάστρο, για εγώ πάλε
σκοτώνοντας τον αιματόβαφα θα κουβαλήσω κούρσα.
Αύριο θα δείξει το κουράγιο του κι αν θα μπορέσει ατός του
να κρατηθεί μπρος στο κοντάρι μου᾽ μ᾽ από τους πρώτους λέω
θα πέσει λαβωμένος με άμετρους τρογύρα του συντρόφους,
αύριο ταχιά στου ήλιου το χάραμα. Να 'ταν εγώ να ζούσα
για πάντα αθάνατος κι αγέραστος, να με τιμούν κι εμένα

ως την Παλλάδα ή τον Απόλλωνα τιμούν, όσο 'ναι αλήθεια
η μέρα αυτή κακά περίτρανα πως φέρνει στους Αργίτες.»
Αυτά είπε ο Έχτορας, και χούγιαξαν γρικώντας τον οι Τρώες·
και τα ιδρωμένα επήραν κι έλυσαν απ᾽ το ζυγό άλογά τους,
και με λουριά ο καθένας τα᾽ δεσε στο αμάξι του αποδίπλα.
Και φέραν βόδια εκεί και πρόβατα παχιά απ᾽ το κάστρο μέσα
πάνω στην ώρα, και μελόγλυκο κρασί να 'ρθεί γνοιάστηκαν,
κι ακόμα και ψωμί απ᾽ τα σπίτια τους, και μάζεψαν και ξύλα'
και σφάζαν πλήθος στους αθάνατους σφαχτά χωρίς ψεγάδι.
Κι οι άνεμοι από τον κάμπο ανέβαζαν τη νόστιμη την κνίσα

ψηλά στα ουράνια, μα οι τρισεύτυχοι θεοί δεν την γευόνταν,
κι ουδέ τη δέχουνταν, τι ολόκαρδα την άγια Τροία μισούσαν,
το ίδιο τον Πρίαμο τον πολέμαρχο και το λαό του ακέριο.
Όμως αυτοί, γεμάτοι ξέπαρση, στα διάβατα της μάχης
ολονυχτίς κάθονταν, κι άναβαν φωτιές πολλές κοντά τους.
Πως στο λαμπρό φεγγάρι ολόγυρα, ψηλά στα ουράνια, τ᾽ άστρα
στράφτουν ολόφωτα, κι απάνεμος κρατιέται ολούθε ο αιθέρας,
καί γύρα οι βίγλες όλες φαίνουνται, τ᾽ ακρόκορφα, οι λαγκάδες,
κι από τα ουράνια κάτω απέραντος ανοίγει ξάφνου ο αιθέρας,
κι ως όλα βγαίνουν τ᾽ άστρα, ευφράθηκε βαθιά ο βοσκός στα φρένα'

τόσες φωτιές οι Τρώες φεγγοβολές στο κάστρο ομπρός άναβαν,
αναμεσός στα πλοία τ᾽ Αργίτικα και στα νερά του Ξάνθου.
Χίλιες φωτιές στον κάμπο εκόρωναν, κι ολόγυρα στη λάμψη
της κάθε μιας φωτιάς που εφούντωνε πενήντα Τρώες κάθονταν.
Καί πλάι στ᾽ αμάξια εστέκαν τ᾽ άλογα κι άσπρο κριθάρι ετρώγαν
και βίκο, πότε η Αυγή η χρυσόθρονη θα φτάσει καρτερώντας.

-Ι- ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
θεσπεσίη ἔχε φύζα φόβου κρυόεντος ἑταίρη,
πένθεϊ δ᾽ ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.
ὡς δ᾽ ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα

Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον
ἐλθόντ᾽ ἐξαπίνης· ἅμυδις δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρὲξ ἄλα φῦκος ἔχευεν·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Ἀτρεΐδης δ᾽ ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ

φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων
κλῆδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
μὴ δὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
ἷζον δ᾽ εἰν ἀγορῇ τετιηότες· ἂν δ᾽ Ἀγαμέμνων
ἵστατο δάκρυ χέων ὥς τε κρήνη μελάνυδρος

ἥ τε κατ᾽ αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
ὣς ὃ βαρὺ στενάχων ἔπε᾽ Ἀργείοισι μετηύδα·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατένευσεν

Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα

ἠδ᾽ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.

δὴν δ᾽ ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἀτρεΐδη σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι

φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
ἴσασ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
σοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω·
σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων,
ἀλκὴν δ᾽ οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον.

Έτσι τη νύχτα οι Τρώες εφύλαγαν μα τους Αργίτες τρόμος
κρατούσε ανείπωτος, ο σύντροφος της παγερής φευγάλας,
κι αβάσταχτος καημός εβάραινε τους πολεμάρχους όλους.
Μαζί δυο άνεμοι πώς ξεσήκωσαν φυσώντας απ᾽ τη Θράκη,
πονέντες και βοριάς, το πέλαγο το ψαροθρόφο, ξάφνου
χιμώντας πάνω του, και γρήγορα μαυρίζοντας το κύμα
πυργώθη, και σωρός στοιβάχτηκαν στο ακρόγιαλο τα φύκια'
παρόμοια κι η καρδιά σπαράζουνταν στων Αχαιών τα στήθη.
Κι ωστόσο ο γιος του Ατρέα με ολόβαρη καρδιά απ᾽ την πλήθια
πίκρα

έτρεχε ολούθε, στους βοντόφωνους να δώσει διάτα κράχτες,
με τ᾽ όνομά τους τους πρωτόγερους να κράξουν έναν έναν,
δίχως φωνές· κι ατός του γνοιάζουνταν μοχτώντας μες στους
πρώτους.
Κι ως τούτοι εκάθισαν στη σύναξη βαριοθλιμμένοι, ασκώθη
θρηνώντας μπρος τους ο Αγαμέμνονας, σα μαύρη νερομάνα,
που από ψηλά κρεμάει κατάγκρεμα τα σκοτεινά νερά της·
όμοια κι αυτός βαριά στενάζοντας μιλούσε στους Αργίτες:
« Φίλοι μου εσείς, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
ο Δίας, ο γιος του Κρόνου, μ᾽ έμπλεξε σε συφορά μεγάλη,
ο ανέσπλαχνος, που πριν μου το 'ταξε και δέχτηκε, πριν πάρω

πρώτα την Τροία την ωριοτείχιστη, να μη διαγύρω πίσω.
και τώρα δόλο μου 'στησε άσκημο και με προστάζει στο Άργος,
τόσο πολύ στρατό αφού ξέκανα, να γύρω ντροπιασμένος.
Έτσι μαθές στον παντοδύναμο του Κρόνου υγιό θ᾽ αρέσει,
που πλήθος κάστρα ξεκεφάλισε και θα ξεκεφαλίσει
πλήθος ακόμα, τι στη δύναμη ποιος είναι που τον φτάνει;
Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Με τα καράβια πίσω ας γύρουμε στην ποθητή πατρίδα,
τι πια την Τροία δε θα την πάρουμε με τις φαρδιές τις ρούγες!»
Έτσι μιλούσε, κι όλοι εκόμπιασαν και δεν έβγαζαν άχνα,

κι ώρα πολλή βουβοί εκρατιόντουσαν οι Αργίτες πικραμένοι᾽
αργά στο τέλος ο βροντόφωνος Διομήδης πήρε κι είπε:
«Με σένα πρώτα, Ατρείδη, έτσι άμυαλα που κρένεις, θα τα βάλω,
καθώς ταιριάζει μες στη σύναξη, και μη θυμώνεις, ρήγα.
Μια μέρα την αντρεία μου ντρόπιασες μπρος στους Αργίτες, κι
είπες
κιοτής πως είμαι εγώ κι απόλεμος᾽ μ᾽ αν είμαι κι αν δεν είμαι,
απ᾽ τους Αργίτες τόσο οι γέροντες όσο κι οι νιοι το ξέρουν.
Ήταν για να 'χεις δυο, μα σου 'δωκε μονάχα το 'να ο Δίας:
βασιλικιά τιμή σου εχάρισε την πιο τρανή στον κόσμο,
Όμως καθόλου αντρεία δε σου 'δωκε, που αξίζει πάνω απ᾽ όλα.

δαιμόνι᾽ οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ᾽ ἔμεναι καὶ ἀνάλκιδας ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥς τε νέεσθαι
ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶσ᾽, αἵ τοι ἔποντο Μυκήνηθεν μάλα πολλαί.

ἀλλ᾽ ἄλλοι μενέουσι κάρη κομόωντες Ἀχαιοὶ
εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοὶ
φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
νῶϊ δ᾽ ἐγὼ Σθένελός τε μαχησόμεθ᾽ εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖσι δ᾽ ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·
Τυδεΐδη περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος.

οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
ὁπλότατος γενεῇφιν· ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.

ἀλλ᾽ ἄγ᾽ ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει᾽, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

ἀλλ᾽ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ᾽ ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ᾽ ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα
Ἀτρεΐδη σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.

δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρῄκηθεν ἐπ᾽ εὐρέα πόντον ἄγουσι·
πᾶσά τοί ἐσθ᾽ ὑποδεξίη, πολέεσσι δ᾽ ἀνάσσεις.
πολλῶν δ᾽ ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην

βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δὴϊοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
νὺξ δ᾽ ἦδ᾽ ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.

Φαντάστηκες στ᾽ αλήθεια, αστόχαστε, των Αχαιών τους γόνους
τόσο κιοτήδες, τόσο απόλεμους, καθώς μας τα 'πες τώρα;
Μ᾽ αν η ψυχή η δικιά σου επόθησε να γύρει στην πατρίδα,
τράβα, ανοιχτός ο δρόμος! Στέκουνται στο ακρόγιαλο σερμένα
πλήθος καράβια σου, που σ᾽ έφεραν δω πέρα απ᾽ τη Μυκήνα.
Όμως οι Αργίτες οι μακρόμαλλοι θα μείνουν δίχως άλλο,
της Τροίας το κάστρο ως να πατήσουμε- μ᾽ αν θεν και τούτοι, ας μπούνε
στα πλοία κι ας φύγουν αρμενίζοντας στην ποθητή πατρίδα.
Μα εγώ κι ο Σθένελος τον πόλεμο κρατάμε, πια ως να βρούμε
της Τροίας την άκρα᾽ τι μας έφερε θεού βουλή εδώ πέρα.»

Είπε, κι οι γιοί αλάλαξαν σύψυχοι των Αχαιών, τα λόγια
του αλογατά Διομήδη ακούγοντας, και τον εκαμαρώναν.
και τότε ασκώθηκεν ο Νέστορας ο αλογολάτης κι είπε:
«Γιε του Τυδέα, περίσσια αντρόκαρδος και στη σφαγή λογιέσαι,
και στη βουλή τους συνομήλικους όλους περνάς αλήθεια.
Κανένας Αχαιός το λόγο σου δε θ᾽ αψηφήσει, κι ούτε
θ᾽ αντιλογήσει, μα δεν έβγαλες το λόγο σου ως την άκρη.
Είσαι μαθές και νιος, θα ταίριαζε και γιος δικός μου να 'σαι,
ο πιο μικρός, μα ειν᾽ οι κουβέντες σου περίσσια μυαλωμένες,
τι στους ρηγάδες όσα μίλησες των Αχαιών σωστά 'ναι.

Όμως εγώ είμαι γεροντότερος, λοιπόν θα τα ξηγήσω
τα πάντα ως πέρα, όσα εστοχάστηκα᾽ τα λόγια μου κανένας,
μηδέ κι ο αφέντης ο Αγαμέμνονας θαρρώ δε θ᾽ αψηφήσει.
Άσογος, άσπιτος, παράνομος, που χαίρεται αν ξεσπάσει
σε φίλους και δικούς ανάμεσα ξεφρενιασμένη αμάχη.
Μα ή μαύρη νύχτα τώρα επλάκωσεν᾽ η χάρη της ας γένει'
πάμε το δείπνο να συντάξουμε, κι ας κάτσουν χώρια χώρια
οι βάρδιες έξω απ᾽ το καστρότειχο, πλάι στο ανοιχτό χαντάκι.
Αυτή 'ναι για τους νιους η διάτα μου᾽ μα εσύ ξεκίνα πρώτος,
υγιέ του Ατρέα, τι εσύ κι απ᾽ όλους μας πιο βασιλιάς λογιέσαι·

και στρώσε τάβλες για τους γέροντες᾽ περίσσια αυτό πρεπό σου᾽
κρασί γιομάτα ειν᾽ τα καλύβια σου, που Αργίτικα καράβια
οληερίς περνούν το πέλαγο και φέρνουν απ᾽ τη Θράκη'
κι είναι δικό σου κάθε φίλεμα, τι σε πολλούς ορίζεις.
Κι ως συναχτούμε τόσοι γέροντες, θ᾽ ακούσεις όποιον δώκει
την πιο καλή βουλή᾽ τι σ᾽ όλους μας βαριά πλακώνει ανάγκη
από σωστή βουλή και φρόνιμη᾽ τι δίπλα στ᾽ αρμενά μας
πλήθιες φωτιές οι οχτροί μας άναψαν ποιος να χαρεί με τούτα;
Αύτη τη νύχτα για αφανίστηκε για γλίτωσε τ᾽ ασκέρι.»
Είπε, κι αυτοί, γρικώντας, πρόθυμα συνάκουσαν το λόγο'

ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
ἀμφί τε Νεστορίδην Θρασυμήδεα ποιμένα λαῶν,
ἠδ᾽ ἀμφ᾽ Ἀσκάλαφον καὶ Ἰάλμενον υἷας Ἄρηος
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηΐπυρόν τε,
ἠδ᾽ ἀμφὶ Κρείοντος υἱὸν Λυκομήδεα δῖον.

ἕπτ᾽ ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
κοῦροι ἅμα στεῖχον δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντες·
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἵζον ἰόντες·
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπα ἕκαστος.
Ἀτρεΐδης δὲ γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν

ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα.
οἳ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·

ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
ἐν σοὶ μὲν λήξω, σέο δ᾽ ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσι ἄναξ καί τοι Ζεὺς ἐγγυάλιξε
σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας, ἵνά σφισι βουλεύῃσθα.

τώ σε χρὴ περὶ μὲν φάσθαι ἔπος ἠδ᾽ ἐπακοῦσαι,
κρῆναι δὲ καὶ ἄλλῳ, ὅτ᾽ ἄν τινα θυμὸς ἀνώγῃ
εἰπεῖν εἰς ἀγαθόν· σέο δ᾽ ἔξεται ὅττί κεν ἄρχῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει

οἷον ἐγὼ νοέω ἠμὲν πάλαι ἠδ᾽ ἔτι καὶ νῦν
ἐξ ἔτι τοῦ ὅτε διογενὲς Βρισηΐδα κούρην
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας
οὔ τι καθ᾽ ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
πόλλ᾽ ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ

εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας, ἑλὼν γὰρ ἔχεις γέρας· ἀλλ᾽ ἔτι καὶ νῦν
φραζώμεσθ᾽ ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν
δώροισίν τ᾽ ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισι.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·

ὦ γέρον οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας·
ἀασάμην, οὐδ᾽ αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐστὶν ἀνὴρ ὅν τε Ζεὺς κῆρι φιλήσῃ,
ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
ἀλλ᾽ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,

ἄψ ἐθέλω ἀρέσαι δόμεναί τ᾽ ἀπερείσι᾽ ἄποινα.
ὑμῖν δ᾽ ἐν πάντεσσι περικλυτὰ δῶρ᾽ ὀνομήνω
ἕπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
αἴθωνας δὲ λέβητας ἑείκοσι, δώδεκα δ᾽ ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.

κι οι βάρδιες έξω απ᾽ το καστρότειχο με τ᾽ άρματα τους τρέχαν,
άλλοι κοντά στο γιο του Νέστορα, τον άρχο Θρασυμήδη,
στον Ιάλμενο και στον Ασκάλαφο, του Άρη τους γιους, καμπόσοι,
και στο Μηριόνη και στο Δήπυρο, στο θείο το Λυκομήδη,
το γιο του Κρέοντα, κι άλλοι απόμειναν στον Αφαρέα τροχύρα.
Εφτά ήταν οι άρχοι στους βαρδιάτορες, κι από εκατό καθέναν
άγουροι ακλούθουν, και στα χέρια τους μακριά κοντάρια έσφιγγαν.
Στη μέση απ᾽ το τειχί ως εκάθισαν κι απ᾽ το χαντάκι τότε,
φωτιές ανάψανε, και σύνταζε το δείπνο του ο καθένας.
Κι ωστόσο ο γιος του Ατρέα τους γέροντες των Αχαιών συνάζει,

και στο καλύβι του τους έστρωσε χορταστικό τραπέζι.
Και κείνοι ευτύς ομπρός τους στα έτοιμα φαγιά τα χέρια άπλωσαν.
Και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
πρώτος ο γέροντας ο Νέστορας, που η γνώμη του είχε δείξει
και πριν ή πιο καλή, στοχάστηκε βουλή καινούργια πάλε,
κι έτσι τους μίλησε καλόγνωμος κι αναμεσό τους είπε:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
αρχή και τέλος πέφτει ο λόγος μου σε σένα, πλήθος που 'χεις
λαούς και κυβερνάς, και σου 'βαλε στη φούχτα ο Δίας, ρηγάρχη,
βασιλικό ραβδί και δύναμη, το δίκιο για να κρίνεις.

Κι έχεις χρέη να πεις το λόγο σου, ν᾽ ακούσεις τον δικό μας,
κι ακόμα, πιο σωστά αν κανένας μας μιλήσει, ν᾽ ακλουθήξεις
τη γνώμη του᾽ δικό σου διάφορο, κι ας είναι ο λόγος άλλου.
Λοιπόν ακούστε τι μου εικάζεται το πιο σωστό πως είναι'
άλλος κανείς βουλή καλύτερη δε δύνεται να δώσει
απ᾽ τη δικιά μου, που και σήμερα και πριν την είχα πάντα,
απ'την ημέρα, αρχοντογέννητε, που πήγες στου Αχιλλέα
και μ᾽ όλο το θυμό του του άρπαξες τη Βρισοπούλα κόρη,
δίχως και μεις να θέμε᾽ μόχτησα τότε κι εγώ ζητώντας
ν᾽ αλλάξεις γνώμη᾽ εσύ όμως άκουσες της πέρφανης καρδίας σου,

κι αυτόν που τίμησαν οι αθάνατοι, τον πιο αντρειωμένο απ᾽ όλους,
τον καταφρόνεσες και του άρπαξες το άρχοντομοίρι᾽ ωστόσο
και τώρα πως θα τον μερώσουμε να ιδούμε, το θυμό του
με πλούσια δώρα μαλακώνοντας και με μελένια λόγια.»
Κι ο πρωταφέντης Αγαμέμνονας γυρνώντας του αποκρίθη:
«Τα που 'φταιξα αραδιάζεις, γέροντα, και ψέματα δεν είναι'
το διαλαλώ κι εγώ: τυφλώθηκα! Μεγάλο αντιζυγιάζει
ασκέρι εκείνος που αγαπήθηκε περίσσια από το Δία.
Όμοια και τώρα, ετούτον τίμησε χτυπώντας τους Αργίτες.
Όμως μια κι έφταιξα κι ακλούθηξα τις στραβοκεφαλιές μου,

να τα βολέψω θέλω, δίνοντας ξεπλερωμή μεγάλη.
Ακούστε με όλοι, τα περίλαμπρα να νοματίσω δώρα:
Εφτά τριπόδια αγκίνιαστα, είκοσι στραφταλιστά λεβέτια,
δίσκους χρυσάφι δέκα, δώδεκα καλοθρεμμένους μαύρους
στεφανοφόρους, που αγωνίστηκαν στο δρόμο και νικήσαν.

οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσά μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
δώσω δ᾽ ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς

ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν οἱ δώσω, μετὰ δ᾽ ἔσσεται ἣν τότ᾽ ἀπηύρων
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἢ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν.

ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ᾽ ἁλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
εἰσελθών, ὅτε κεν δατεώμεθα λῆϊδ᾽ Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,

αἳ κε μετ᾽ Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ᾽ Ἀχαιϊκὸν οὖθαρ ἀρούρης
γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον Ὀρέστῃ,
ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ

Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα,
τάων ἥν κ᾽ ἐθέλῃσι φίλην ἀνάεδνον ἀγέσθω
πρὸς οἶκον Πηλῆος· ἐγὼ δ᾽ ἐπὶ μείλια δώσω
πολλὰ μάλ᾽, ὅσσ᾽ οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί·
ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα

Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαθέας ἠδ᾽ Ἄνθειαν βαθύλειμον
καλήν τ᾽ Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ᾽ ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
ἐν δ᾽ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,

οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσι
καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ οἱ τελέσαιμι μεταλήξαντι χόλοιο.
δμηθήτω· Ἀΐδης τοι ἀμείλιχος ἠδ᾽ ἀδάμαστος,
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων·

καί μοι ὑποστήτω ὅσσον βασιλεύτερός εἰμι
ἠδ᾽ ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
δῶρα μὲν οὐκέτ᾽ ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·

ἀλλ᾽ ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ᾽ ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
εἰ δ᾽ ἄγε τοὺς ἂν ἐγὼ ἐπιόψομαι οἵ δὲ πιθέσθων.
Φοίνιξ μὲν πρώτιστα Διΐ φίλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ᾽ Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·

Με δίχως χτήματα δε θα᾽ μένε που θα 'παιρνε όλα τούτα,
μήτε καθόλου το αξετίμητο θα του 'λειπε χρυσάφι,
αν είχε τα όσα τ᾽ άτια μου 'φεραν απ᾽ τους αγώνες πλούτη.
Κι εφτά γυναίκες που αψεγάδιαστες κατέχουν τέχνες δίνω,
Λέσβισσες, που όντας την καλόχτιστη πάτησε Λέσβο ατός του,

μου τις διάλεξαν, και το ταίρι τους στην ομορφιά δεν είχαν.
Κι αυτές θα δώσω, κι από πάνω τους την που του πήρα τότε,
τη Βρισοπούλα κόρη, δίνω του᾽ κι όρκο τρανό του κάνω,
πως δεν ανέβηκα στην κλίνη της, δεν έσμιξα μαζί της,
καθώς το συνηθίζουμε όλοι μας στη γη, γυναίκες κι άντρες.
Αυτά θα τα 'χει ευτύς· κι αργότερα, σαν οι θεοί μας δώσουν
το μέγα κάστρο να πατήσουμε του Πρίαμου, και τα κούρσα
οι Αργίτες βάλουμε στο μοίρασμα, τότε ο Αχιλλέας ας έρθει
και το καράβι του με μάλαμα και με χαλκό ας φορτώσει·
κι ατός του της Τρωάδας είκοσι γυναίκες ας διαλέξει,

που μοναχά η Ελένη η Αργίτισσα να τις περνά στα κάλλη.
και στο Άργος πίσω το πολύκαρπο σα γύρουμε, γαμπρός μου
να γίνει, και τιμή περίτρανη θα του 'χω, σαν του Ορέστη,
που χαϊδεμένος μου ανασταίνεται μες σε αρχοντιά μεγάλη.
Τρεις θυγατέρες στο παλάτι μου το καλοστεριωμένο,
τη Λαοδίκη, την Ιφιάνασσα και τη Χρυσόθεμη, έχω.
Ποια θέλει απ᾽ όλες; αξαγόραστη να μου την πάρει, να 'χει
ταίρι ακριβό να πάει στου κύρη του᾽ κι εγώ πολλά θα δώσω
προικιά από πάνω, όσα δεν έδωκε στην κόρη του κανένας.
και πολιτείες εφτά πεντάμορφες να πάρει απάνω στ᾽ άλλα,

την Καρδαμύλη, τον ολόχλωρην Ιρή και την Ενόπη,
την άγια τη Φηρά, την όμορφη την Αίπεια, και την Άνθεια
με τα λιβάδια, και την Πήδασο την πολυκληματούσα᾽
κι είναι όλες στο γιαλό, στο σύνορο της αμμουδάτης Πύλος᾽
και μέσα ζούνε πολυπρόβατοι και πολυγελαδάροι
νοικοκυραίοι, που σαν αθάνατο θα τον τιμούν με δώρα,
και θα πλερώνουν και δοσίματα, σα ρήγας τους που θα 'ναι.
Αυτά θα του 'δινα, αν τη μάνητα σκολάσει. Μ᾽ ας μερώσει!
Ο Άδης μονάχα μένει αμέρωτος κι αλύγιστος, για τούτο
πιότερο απ᾽ όλους τους αθάνατους του 'χουν οι άνθρωποι αμάχη.

Ας κάνει τώρα το χατίρι μου, τι πιο τρανός λογιέμαι
ρήγας εγώ, κι αν πεις τα χρόνια μου, περνούνε τα δικά του.»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
στον Αχιλλέα τα δώρα που 'ταξες, του πεταμού δεν είναι.
Ελατέ, διαλεχτούς να στείλουμε, να τρέξουν στο καλύβι,
και του Πηλέα το γιο να σμίξουνε, τον Αχιλλέα, με βιάση.
Όποιους διαλέξω τώρα, πρόθυμα ν᾽ ακούσουν. Μην αργούμε!
Ο αρχοντογέννητος ο Φοίνικας να σύρει πρώτος πρώτος,
κι ο μέγας Αίας κι ο αρχοντοθώρητός μαζί Οδυσσέας να πάνε,

κηρύκων δ᾽ Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ᾽ ἐπέσθων.
φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρησόμεθ᾽, αἴ κ᾽ ἐλεήσῃ.
ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,

κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμός,
ὁρμῶντ᾽ ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρεΐδαο.
τοῖσι δὲ πόλλ᾽ ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ

δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα,
πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.
τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης
πολλὰ μάλ᾽ εὐχομένω γαιηόχῳ ἐννοσιγαίῳ
ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.

Μυρμιδόνων δ᾽ ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην,
τὸν δ᾽ εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ
καλῇ δαιδαλέῃ, ἐπὶ δ᾽ ἀργύρεον ζυγὸν ἦεν,
τὴν ἄρετ᾽ ἐξ ἐνάρων πόλιν Ἠετίωνος ὀλέσσας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ᾽ ἄρα κλέα ἀνδρῶν.

Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ,
δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων,
τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς,
στὰν δὲ πρόσθ᾽ αὐτοῖο· ταφὼν δ᾽ ἀνόρουσεν Ἀχιλλεὺς
αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος ἔνθα θάασσεν.

ὡς δ᾽ αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη.
τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον ἦ τι μάλα χρεώ,
οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον.
ὣς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς,

εἶσεν δ᾽ ἐν κλισμοῖσι τάπησί τε πορφυρέοισιν.
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα·
μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίστα,
ζωρότερον δὲ κέραιε, δέπας δ᾽ ἔντυνον ἑκάστῳ·
οἵ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.

ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ᾽ ἑταίρῳ.
αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ᾽ ἄρα νῶτον ἔθηκ᾽ ὄϊος καὶ πίονος αἰγός,
ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ᾽ ἔχεν Αὐτομέδων, τάμνεν δ᾽ ἄρα δῖος Ἀχιλλεύς.

και πίσω να 'ρχουνται οι διαλάληδες, ο ίδιος κι ο Ευρυβάτης.
Φέρτε νερό και για τα χέρια μας, κι άκρα σιγή προστάχτε,
στο Δία παράκληση να κάνουμε, για να μας συμπονέσει.»
Έτσι είπε αυτός, και σ᾽ όλους άρεσαν τα λόγια του που άκουσαν
κι οι κράχτες πήραν και τους έχυναν νερό στα χέρια πάνω᾽
και τα κροντήρια τα παιδόπουλα κρασί τα ξεχείλισαν,
και σε όλους τα ποτήρια γιόμωσαν, απ᾽ τις σπονδές ν᾽ αρχίσουν.
Κι ως κάναν τις σπονδές κι ευφράθηκαν όσο πιοτό ποθούσαν,
απ᾽ τα καλύβια του Αγαμέμνονα, του γιου του Ατρέα, κινούνε'
κι ο γέρο αλογολάτης Νέστορας διπλοπαράγγελνέ τους,

και σ᾽ όλους έγνεφε, μα πιότερο στον Οδυσσέα, να κάνουν
ό,τι μπορούν, τη γνώμη του άψεγου γιου του Πηλέα ν᾽ αλλάξουν.
Πήραν αυτοί του πολυτάραχου γιαλού τον άμμον άμμο,
κι όλο προσεύκουνταν στον άρχοντα της γης, τον Κοσμοσείστη,
να κάνουν του Αχιλλέα την πέρφανη ψυχή ν᾽ αλλάξει γνώμη.
Κι ως τέλος στα καλύβια κι άρμενα των Μυρμιδόνων φτάσαν,
να φραίνεται τον βρήκαν με όμορφη, πολύπλουμη κιθάρα,
γλυκόφωνη, που ο καβαλάρης της ξεχώριζε ασημένιος—
κουρσός δικό του, του Ητίωνα σαν πάτησε το κάστρο.
Με αύτη φραινόταν τώρα κι έψελνε παλικαριές μεγάλες.

Κι ο Πάτροκλος αντίκρα εκάθουνταν, δίχως μιλιά, μονάχος,
και καρτερούσε, το τραγούδι του πότε ο Αχιλλέας θα πάψει.
Κι αυτοί εσιμώσαν —ο αρχοντόγεννος μπροστά Οδυσσέας
τραβούσε—
κι ομπρός του στάθηκαν. Ξαφνιάστηκεν εκείνος και πετάχτη
απ᾽ το σκαμνί που ως τώρα έκάθουνταν, κρατώντας την κιθάρα.
Το ίδιο κι ο Πάτροκλος θωρώντας τους να φτάνουν προσηκώθη.
Κι είπε ο Αχιλλέας ο φτεροπόδαρος καλωσορίζοντας τους:
« Γεια και χαρά σας! (κάποια θα 'σφιξεν ανάγκη)· απ᾽ τους Αργίτες
εσάς λογιάζω φίλους πιότερο, κι ας είμαι θυμωμένος.»
Είπε ο Αχιλλέας, και τους συνέμπασε πιο μέσα στο καλύβι,

και σε θρονιά τους καλοσκάμνισε, σε πορφυρένια πευκιά,
Κι ευτύς γυρνώντας λέει στον Πάτροκλο, που 'στεκε εκεί κοντά του:
«Κροντήρι στήσε μεγαλύτερο, γιε του Μενοίτιου, κι έλα,
πιο δυνατό συγκέρνα το κρασί, και μοίρασε και κούπες,
τι οι πιο ακριβοί μου φίλοι εκόπιασαν στη στέγη μου από κάτω.»
Είπε, κι ο Πάτροκλος του ακράνη του συναγρικάει το λόγο.
Κι αυτός τρανό σανίδι ακούμπησε μπρος στης φωτιάς τη λάμψη,
κι απάνω του την πλάτη ολόπαχης γίδας κι αρνιού πιθώνει,
και ράχη ακόμα απ᾽ αγριογούρουνο, που γυάλιζε του πάχους.
Και του κρατούσεν ο Αυτομέδοντας, το κρέας να κόψει εκείνος.

καὶ τὰ μὲν εὖ μίστυλλε καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειρε,
πῦρ δὲ Μενοιτιάδης δαΐεν μέγα ἰσόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε,
πάσσε δ᾽ ἁλὸς θείοιο κρατευτάων ἐπαείρας.

αὐτὰρ ἐπεί ῥ᾽ ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔχευε,
Πάτροκλος μὲν σῖτον ἐλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
αὐτὸς δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο
τοίχου τοῦ ἑτέροιο, θεοῖσι δὲ θῦσαι ἀνώγει

Πάτροκλον ὃν ἑταῖρον· ὃ δ᾽ ἐν πυρὶ βάλλε θυηλάς.
οἳ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
νεῦσ᾽ Αἴας Φοίνικι· νόησε δὲ δῖος Ὀδυσσεύς,
πλησάμενος δ᾽ οἴνοιο δέπας δείδεκτ᾽ Ἀχιλῆα·

χαῖρ᾽ Ἀχιλεῦ· δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς
ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο
ἠδὲ καὶ ἐνθάδε νῦν, πάρα γὰρ μενοεικέα πολλὰ
δαίνυσθ᾽· ἀλλ᾽ οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα διοτρεφὲς εἰσορόωντες

δείδιμεν· ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι
νῆας ἐϋσσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν.
ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ᾽ ἐπίκουροι
κηάμενοι πυρὰ πολλὰ κατὰ στρατόν, οὐδ᾽ ἔτι φασὶ

σχήσεσθ᾽, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων
ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων
μαίνεται ἐκπάγλως πίσυνος Διί, οὐδέ τι τίει
ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.

ἀρᾶται δὲ τάχιστα φανήμεναι Ἠῶ δῖαν·
στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
αὐτάς τ᾽ ἐμπρήσειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιοὺς
δῃώσειν παρὰ τῇσιν ὀρινομένους ὑπὸ καπνοῦ.
ταῦτ᾽ αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς

ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἴσιμον εἴη
φθίσθαι ἐνὶ Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
ἀλλ᾽ ἄνα εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
αὐτῷ τοι μετόπισθ᾽ ἄχος ἔσσεται, οὐδέ τι μῆχος

ῥεχθέντος κακοῦ ἔστ᾽ ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζευ ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
ὦ πέπον ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε·
τέκνον ἐμὸν κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη

Κι αφού το λιάνισε, το πέρασε τρογύρα από τις σούβλες᾽
κι ο Πάτροκλος ο ισόθεος άναβε φωτιά μεγάλη ωστόσο.
Και σύντας η φωτιά κατάκατσε κι η φλόγα της μαράθη,
στρώνει τη θράκα κι από πάνω της τις σούβλες βάζει αράδα,
κι ανασηκώνοντας πασπάλισε θεϊκό στο κρέας αλάτι.
Και σύντας το 'ψήσε και τ᾽ άπλωσε πα στο σανίδι, επήρε
ψωμί και μοίρασεν ο Πάτροκλος σ᾽ ώρια πανέρια μέσα'
το κρέας ωστόσο στο τραπέζι τους το μοίραζε ο Αχιλλέας.
Μετά κι ατός του αντίκρυ εκάθισε στον Οδυσσέα, στον τοίχο
τον άλλον πλάι, κι είπε του Πάτροκλου για τους θεούς να κάνει

θυσία, και κείνος τα δοσίματα στις φλόγες μέσα ρίχνει.
Και τούτοι ευτύς ομπρός τους στα έτοιμα φαγιά τα χέρια άπλωσαν.
και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
γνέφει μεμιάς ο Αίας του Φοίνικα᾽ μα το 'νιωσε ο Οδυσσέας
και το ποτήρι του γεμίζοντας το άσκώνει του Αχιλλέα:
« Γεια σου, Αχιλλέα! Δε μας απόλειψαν τ᾽ αρχοντικά τραπέζια,
και στο καλύβι του Αγαμέμνονα, του γιου του Ατρέα, και τώρα
εδώ κοντά σου᾽ πλήθος έχουμε καλά μαθές να φάμε.
Μα ο νους μας τώρα σε ξεφάντωσες και σε χαρές δεν είναι'
τι συφορά τρανή, αρχοντόγεννε, θωρούμε να πλακώνει

και τρέμουμε, τα καλοκούβερτα καράβια αν θα γλιτώσουν,
για θα χαθούν, ποιος ξέρει, τ᾽ άρματα στα χέρια σου αν δεν πάρεις'
τι ομπρός στα πλοία και στο καστρότειχο τ᾽ ορδί τους έχουν τώρα
ριγμένο οι Τρώες οι λιονταρόκαρδοι κι οι ξακουστοί σύμμαχοι'
κι εκεί που κάτσαν πλήθος άναψαν φωτιές, και λεν πως τώρα
πια δε βαστούμε, μόνο στ᾽ άρμενα τα μαύρα θα μας ρίξουν.
Κι ο Δίας, ο γιος του Κρόνου, αστράφτοντας, καλότυχα σημάδια
τους δείχνει. Ξεπαρμένος ο Έχτορας μες στην τρανήν ορμή του
μανιάζει, κι έβαλε τα θάρρη του στο Δία, και μήτε ανθρώπους
μήτε θεούς ψηφάει· τι αλάγιαστη τον έχει πιάσει λύσσα.

Και την Αυγή το γρηγορότερο να φέξει ανακαλιέται᾽
τι φοβερίζει τ᾽ αντικόρακα των καραβιών να κόψει,
κι άγρια φωτιά να βάλει στ᾽ άρμενα, και τους Αργίτες όλους
εκεί στο πλάι τους, ως θα πνίγουνται μες στον καπνό, να σφάξει.
Φόβος τρανός κρατάει τα φρένα μου, πως οι θεοί θ᾽ ακούσουν
και θα τελέψουν τις φοβέρες του, κι εμάς η μοίρα γράφει
μακριά από το Άργος το αλογόθροφο στην Τροία ν᾽ αφανιστούμε.
Για σήκω, αργά κι ας είναι, απόφαση να πάρεις, τους Αργίτες,
που βασανίζουνται απ᾽ τον τάραχο των Τρωών, να τους γλιτώσεις.
Ατός σου κάποτε θα θλίβεσαι και πια δε θα 'ναι τρόπος

στο κακό που 'γινε θαράπαψη να βρεις᾽ πιο πριν στοχάσου
τους Δαναούς πώς θα τους γλίτωνες απ᾽ την κακιά την ώρα.
Φίλε καλέ, το τι σ᾽ αρμήνεψεν ο κύρης σου ο Πηλέας,
από τη Φθία στον Αγαμέμνονα σα σ᾽ έστελνε, θυμάσαι;
,,Στην Αθηνά τη νίκη χρωστά τη, παιδί μου, και στην Ήρα᾽

δώσουσ᾽ αἵ κ᾽ ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων·
ληγέμεναι δ᾽ ἔριδος κακομηχάνου, ὄφρά σε μᾶλλον
τίωσ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
ὣς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι· ἀλλ᾽ ἔτι καὶ νῦν

παύε᾽, ἔα δὲ χόλον θυμαλγέα· σοὶ δ᾽ Ἀγαμέμνων
ἄξια δῶρα δίδωσι μεταλήξαντι χόλοιο.
εἰ δὲ σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω
ὅσσά τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ᾽ Ἀγαμέμνων·
ἕπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,

αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ᾽ ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσ᾽ Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.

δώσει δ᾽ ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς
ἐξέλεθ᾽, αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν τοι δώσει, μετὰ δ᾽ ἔσσεται ἣν τότ᾽ ἀπηύρα
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται

μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι
ἢ θέμις ἐστὶν ἄναξ ἦτ᾽ ἀνδρῶν ἤτε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ᾽ ἁλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι

εἰσελθών, ὅτε κεν δατεώμεθα λῃΐδ᾽ Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,
αἵ κε μετ᾽ Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ᾽ Ἀχαιϊκὸν οὖθαρ ἀρούρης
γαμβρός κέν οἱ ἔοις· τίσει δέ σε ἶσον Ὀρέστῃ,

ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ οἱ εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα,
τάων ἥν κ᾽ ἐθέλῃσθα φίλην ἀνάεδνον ἄγεσθαι
πρὸς οἶκον Πηλῆος· ὁ δ᾽ αὖτ᾽ ἐπὶ μείλια δώσει

πολλὰ μάλ᾽, ὅσσ᾽ οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί·
ἑπτὰ δέ τοι δώσει εὖ ναιόμενα πτολίεθρα
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαθέας ἠδ᾽ Ἄνθειαν βαθύλειμον
καλήν τ᾽ Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.

πᾶσαι δ᾽ ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
ἐν δ᾽ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι
καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ τοι τελέσειε μεταλήξαντι χόλοιο.

αν θεν αυτές, νικάς᾽ την πέρφανη καρδιά σου εσύ ανακράτα
στο στήθος᾽ το γλυκό το φέρσιμο ποτέ μαθές δε βλάφτει'.
Και δίνε τέλος στις κακότροπες μαλιές, οι Αργίτες όλοι,
νιοι και γερόντοι, ακόμα πιότερο να σε τιμούν στ᾽ ασκέρι."
Τέτοια σε αρμήνευεν ο γέροντας, μα το ξεχνάς᾽ ωστόσο

καν τώρα το θυμό παράτησε τον άγριο᾽ σου χαρίζει
δώρα που αξίζουν ο Αγαμέμνονας, τη μάνητα αν σκολάσεις.
Κι αν θες αφτί να βάλεις, άκουσε, κι εγώ θα σου αραδιάσω
όλα τα σου 'ταξε ο Αγαμέμνονας μες στο καλύβι δώρα:
Εφτά τριπόδια αγκίνιαστα, είκοσι στραφταλιστά λεβέτια,
δίσκους χρυσάφι δέκα, δώδεκα καλοθρεμμένους μαύρους
στεφανοφόρους, που αγωνίστηκαν στο δρόμο και νικήσαν.
Με δίχως χτήματα δε θα 'μένε που θα 'παιρνε όλα τούτα,
μήτε καθόλου το αξετίμητο θα του 'λειπε χρυσάφι,
αν είχε τα όσα τ᾽ άτια του 'φεραν απ᾽ τους αγώνες πλούτη.

Κι εφτά γυναίκες που αψεγάδιαστες κατέχουν τέχνες δίνει,
Λέσβισσες, που όντας την καλόχτιστη πάτησες Λέσβο ατός σου,
του τις διάλεξαν, και το ταίρι τους στην ομορφιά δεν είχαν.
Κι αυτές θα δώσει, κι από πάνω τους την που σου πήρε τότε,
τη Βρισοπούλα κόρη, δίνει σου᾽ κι όρκο τρανό σου κάνει,
πως δεν ανέβηκε στην κλίνη της, δεν έσμιξε μαζί της,
καθώς το συνηθίζουμε όλοι μας στη γη, γυναίκες κι άντρες.
Και τούτα τώρα ευτύς· κι αργότερα, σαν οι θεοί μας δώσουν
το μέγα κάστρο να πατήσουμε του Πριάμου, και τα κούρσα
οι Αργίτες βάλουμε στο μοίρασμα, τότε να 'ρθείς ατός σου,

το πλοίο σου με χαλκό και μάλαμα περίσσιο να φορτώσεις.
Κι ατός σου της Τρωάδας είκοσι γυναίκες να διαλέξεις,
που μοναχά η Ελένη η Αργίτισσα να τις περνά στα κάλλη.
Και στο Άργος πίσω το πολύκαρπο σα γύρουμε, γαμπρός του
να γίνεις, και τιμή περίτρανη θα σου 'χει, σαν του Ορέστη,
που χαϊδεμένος του ανασταίνεται μες σε αρχοντιά μεγάλη.
Τρεις θυγατέρες στο παλάτι του το καλοστεριωμένο,
τη Λαοδίκη, την Ιφιάνασσα και τη Χρυσόθεμη, έχει.
Ποια θες απ᾽ όλες; αξαγόραστη να του την πάρεις, να 'χεις
ταίρι ακριβό να πας στου κύρη σου᾽ κι αυτός πολλά θα δώσει

προικιά από πάνω, όσα δεν έδωκε στην κόρη του κανένας.
και πολιτείες εφτά πεντάμορφες να πάρεις πάνω στ᾽ άλλα,
την Καρδαμύλη, την ολόχλωρην Ιρή και την Ενόπη,
την άγια τη Φηρά, την όμορφη την Αίπεια, και την Άνθεια
με τα λιβάδια, και την Πήδασο την πολυκληματούσα'
κι είναι όλες στο γιαλό, στο σύνορο της αμμουδάτης Πύλος'
και μέσα ζούνε πολυπρόβατοι και πολυγελαδάροι
νοικοκυραίοι, που σαν αθάνατο θα σε τιμούν με δώρα,
και θα πλερώνουν και δοσίματα, σα ρήγας τους που θα 'σαι.
Αυτά θα σου 'δινε, αν τη μάνητα θελήσεις να σκολάσεις.

εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον
αὐτὸς καὶ τοῦ δῶρα, σὺ δ᾽ ἄλλους περ Παναχαιοὺς
τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὣς
τίσουσ᾽· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο·
νῦν γάρ χ᾽ Ἕκτορ᾽ ἔλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν
ἔλθοι

λύσσαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον
οἱ ἔμεναι Δαναῶν οὓς ἐνθάδε νῆες ἔνεικαν.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,

ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·

οὔτ᾽ ἔμεγ᾽ Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ᾽ ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ᾽ ἀνδράσι νωλεμὲς αἰεί.
ἴση μοῖρα μένοντι καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·

κάτθαν᾽ ὁμῶς ὅ τ᾽ ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ
αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ᾽ ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
μάστακ᾽ ἐπεί κε λάβῃσι, κακῶς δ᾽ ἄρα οἱ πέλει αὐτῇ,

ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ᾽ αἱματόεντα διέπρησσον πολεμίζων
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νησὶ πόλεις ἀλάπαξ᾽ ἀνθρώπων,
πεζὸς δ᾽ ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·

τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρεΐδῃ· ὃ δ᾽ ὄπισθε μένων παρὰ νησὶ θοῇσι
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ᾽ ἔχεσκεν.
ἄλλα δ᾽ ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι·

τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ᾽ ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ᾽, ἔχει δ᾽ ἄλοχον θυμαρέα· τῇ παριαύων
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ᾽ ἀγείρας
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ᾽ ἠϋκόμοιο;

Μ᾽ αν τον υγιό του Ατρέα κατάκαρδα μισείς—κι αυτόν τον ίδιο
κι ό,τι σου δίνει—καν το Αργίτικο το ασκέρι εσύ σπλαχνίσου,
που τυραννιέται στα λημέρια του᾽ κι αυτοί τιμή θα σου 'χουν
σάμπως θεό, και δόξα ασύγκριτη μπροστά τους θα κερδέψεις'
τι τώρα εσύ μπορείς τον Έχτορα να θανατώσεις, σύντας
έρθει κοντά σου μες στη λύσσα του, τι λέει δε βρίσκεται όμοιος
μ᾽ αυτόν μες στους Αργίτες που άραξαν εδώ με τα καράβια.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
πρεπό'ναι καθαρά και ξάστερα να σου μιλήσω τώρα,

ποιας γνώμης είμαι και τα πράματα σαν ποιο θα πάρουν τέλος᾽
για να μην κάθεστε ολοτρόγυρα και παίρνετε τ᾽ αφτιά μου
καθένας κι απ᾽ αλλού᾽ τι οχτρεύομαι σαν και τις πύλες του Άδη
εκείνον που άλλα κρύβει μέσα του κι άλλα απ᾽ το στόμα βγάζει.
Λοιπόν ακούστε, τι μου εικάζεται το πιο σωστό πως είναι:
Έμενα λέω μήτε ο Αγαμέμνονας τη γνώμη θα γυρίσει,
μήτε κι Αργίτης άλλος᾽ τι άπαφτα μέρα και νύχτα ως τώρα
που τους οχτρούς χτυπώντας πάλευα, σαν τι ήταν τ᾽ όφελός μου;
Για πολεμάς για πίσω εστάθηκες, ίδια μερίδα παίρνεις᾽
όμοια τιμή χαιρόμαστε όλοι μας, κιοτήδες κι αντρειωμένοι'

πολυκαμάτης κι ανεπρόκοπος, κι οι δυο πεθαίνουμε ίδια.
Ποιο κέρδος έχω, τόσα βάσανα που 'χω τραβήξει ως τώρα,
στις μάχες τη ζωή μου παίζοντας χωρίς να ξαποσταζω;
Η κλωσομάνα πως στ᾽ αφτέρουγα πουλιά της, μόλις βρίσκει
θροφή, τη δίνει, κι ουδέ νοιάζεται σπυρί γι᾽ αυτή αν θα μείνει᾽
όμοια κι εγώ νυχτιές εγνώρισα περίσσιες δίχως ύπνο,
και πολεμώντας μέρες πέρασα στο γαίμα βουτηγμένες,
κι όλο χτυπιόμουν με άντρες που 'θελα τα ταίρια τους να πάρω.
Με τα καράβια κάστρα δώδεκα πάτησα ως τώρα ατός μου,
κι έντεκα λέω πεζός, διαβαίνοντας την καρπερή Τρωάδα'

κι απ᾽ όλα τούτα εγώ εξεδιάλεγα πολλά και πλούσια κούρσα,
κι όλα ως γυρνούσα του Αγαμέμνονα τα χάριζα᾽ κι εκείνος,
ο γιος του Ατρέα, ξοπίσω μένοντας στα γρήγορα καράβια,
ως τα δεχόταν, λίγα εμοίραζε, πολλά κρατούσε, κι άλλα
σε αρχόντους και ρηγάδες τα 'δινε, το μερτικό τους να 'χουν.
Οι άλλοι το κράτησαν απείραχτο, μονάχα εμένα απ᾽ όλους
το πήρε, κι έχει τη γυναίκα μου την ακριβή᾽ μα τώρα
ας την κοιμάται κι ας τη χαίρεται. Γιατί χτυπιούνται αλήθεια
οι Τρώες κι οι Αργίτες; γιατί μάζεψε κι έφερε εδώ τ᾽ ασκέρι
ο γιος του Ατρέα; Για την ωριόμαλλην Ελένη—ή μήπως όχι;

ἦ μοῦνοι φιλέουσ᾽ ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
ἐκ θυμοῦ φίλεον δουρικτητήν περ ἐοῦσαν.
νῦν δ᾽ ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ᾽ ἀπάτησε

μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει.
ἀλλ᾽ Ὀδυσεῦ σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ᾽ αὐτῷ

εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
ἀλλ᾽ οὐδ᾽ ὣς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
ἴσχειν· ὅφρα δ᾽ ἐγὼ μετ᾽ Ἀχαιοῖσιν πολέμιζον
οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
ἀλλ᾽ ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·

ἔνθά ποτ᾽ οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
νῦν δ᾽ ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ
αὖριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσι
νηήσας εὖ νῆας, ἐπὴν ἅλα δὲ προερύσσω,
ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,

ἦρι μάλ᾽ Ἑλλήσποντον ἐπ᾽ ἰχθυόεντα πλεούσας
νῆας ἐμάς, ἐν δ᾽ ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸς ἐννοσίγαιος
ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
ἔστι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·

ἄλλον δ᾽ ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον
ἄξομαι, ἅσσ᾽ ἔλαχόν γε· γέρας δέ μοι, ὅς περ
ἔδωκεν,
αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρεΐδης· τῷ πάντ᾽ ἀγορευέμεν ὡς ἐπιτέλλω

ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοὶ
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν
αἰὲν ἀναιδείην ἐπιειμένος· οὐδ᾽ ἂν ἔμοιγε
τετληίη κύνεός περ ἐὼν εἰς ὦπα ἰδέσθαι·
οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον·

ἐκ γὰρ δή μ᾽ ἀπάτησε καὶ ἤλιτεν· οὐδ᾽ ἂν ἔτ᾽ αὖτις
ἐξαπάφοιτ᾽ ἐπέεσσιν· ἅλις δέ οἱ· ἀλλὰ ἕκηλος
ἐρρέτω· ἐκ γάρ εὐ φρένας εἵλετο μητίετα Ζεύς.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ.
οὐδ᾽ εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη

Οι Ατρεΐδες μόνο στις γυναίκες τους απ᾽ όλους τους ανθρώπους
έχουν αγάπη; Ποιος καλόγνωμος και μυαλωμένος άντρας
δε νιώθει αγάπη και δε γνοιάζεται το ταίρι του; και τούτη
όμοια κι εγώ περίσσια αγάπησα, κι ας ήταν σκλαβοπούλα.
Μ᾽ αφού μου πήρε ξεγελώντας με το αρχοντομοίρι, τώρα
πια ας μη ζήτα από μένα τίποτα᾽ δε με γελάει, τον ξέρω.
Με σε, Οδυσσέα, και τους επίλοιπους ρηγάδες ας φροντίσει
πώς θα γλιτώσει τα καράβια σας απ᾽ τη φωτιά την άγρια.
Δίχως εμένα πλήθος έφτιασε δουλειές αλήθεια κιόλα
με το καστρότειχο που σήκωσε και το φαρδύ, το μέγα

χαντάκι που άνοιξε και φύτεψε παλούκια στις πλαγιές του.
Μα κι έτσι την ορμή δε δύνεται του αντροφονιά του Εχτόρου
να κόψει᾽ ωστόσο εγώ σα μάχουμουν μαζί με τους Αργίτες,
μακριά από τα τειχιά τους δείλιαζε να πολεμήσει εκείνος᾽
μόνο ως το δρυ κι ως τη Ζερβόπορτα να φτάσει αποκοτούσε,
και μια φορά που ομπρός μου στάθηκε, τη γλίτωσε από τρίχα.
Μα τώρα με το θείο τον Έχτορα να πολεμώ δε θέλω᾽
στο Δία και σε όλους τους αθάνατους ταχιά θυσία θα κάνω
και στο γιαλό θα ρίξω τ᾽ άρμενα, θα τα καλοφορτώσω,
και τότε πια θα ιδείς, αν γνοιάζεσαι και θες, σα φέξει η μέρα,

στον ψαροθρόφο απάνω Ελλήσποντο να φεύγουν τ᾽ άρμενα μου,
κι οι ναύτες στα κουπιά να κάθουνται με προθυμία μεγάλη.
Κι αν πρίμο ο Κοσμοσείστης δώσει μας καιρό, στη Φθία την
πλούσια
σε τρεις μονάχα μέρες φτάνουμε᾽ κι έχω αγαθά εκεί πέρα
πολλά, που αφήκα εδώ σαν έφτανα—που να μην είχα σώσει!
Κοκκινωπό χαλκό και μάλαμα κι άλλο από δω θα φέρω,
και σίδερο ψαρί κι ωριόζωνες γυναίκες—όσα επήρα.
και μοναχά το αρχοντομοίρι μου με το έτσι-θέλω πίσω
αυτός που το 'δωκε, ο Αγαμέμνονας, μου το 'χει αρπάξει, ο ρήγας.
Ό,τι γρικήστε τώρα πέστε το στο γιο του Ατρέα γυρνώντας,

Σε όλους μπροστά, για να θυμώσουνε μαζί του κι οι άλλοι Αργίτες,
ακόμα αν λογαριάζει κάποιον τους να ξεγελάσει, τι είναι
και μένει αποκορφής ξαδιάντροπος! Με όση μαθές κι αν έχει
σκυλίσια αδιαντροπιά, κατάματα και πώς να με αντικρίσει;
Μαζί του πια ποτέ δεν έρχομαι σε λόγια για σε πράξη,
γιατί με γέλασε, με αδίκησε. Καλά τη μια, μα κι άλλη ·
δε με αναμπαίζει με τα λόγια του᾽ μα ό,τι του δόξει ας κάνει,
που να μη σώσει! τι ο βαθύγνωμος ο Δίας το νου του επήρε.
Κι όλα τα δώρα του τα οχτρεύομαι και για σκουπίδια τα 'χω.
Κι αν μου 'δινε και δέκα κι είκοσι φορές πιο πλήθια απ᾽ ό,τι

ὅσσά τέ οἱ νῦν ἔστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ᾽ ὅσ᾽ ἐς Ὀρχομενὸν ποτινίσεται, οὐδ᾽ ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
αἵ θ᾽ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ᾽ ἀν᾽ ἑκάστας
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·

οὐδ᾽ εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε,
οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει᾽ Ἀγαμέμνων
πρίν γ᾽ ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο,
οὐδ᾽ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,

ἔργα δ᾽ Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι·
οὐδέ μιν ὣς γαμέω· ὃ δ᾽ Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅς τις οἵ τ᾽ ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν.
ἢν γὰρ δή με σαῶσι θεοὶ καὶ οἴκαδ᾽ ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκά γε μάσσεται αὐτός.

πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν᾽ Ἑλλάδα τε Φθίην τε
κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται,
τάων ἥν κ᾽ ἐθέλωμι φίλην ποιήσομ᾽ ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
γήμαντα μνηστὴν ἄλοχον ἐϊκυῖαν ἄκοιτιν

κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς·
οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ᾽ ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον
τὸ πρὶν ἐπ᾽ εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει

Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ.
λῃϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵπποι ξανθὰ κάρηνα,
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ
οὔθ᾽ ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δέ.
εἰ μέν κ᾽ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ᾽ ἵκωμι φίλην ἐς πατρίδα γαῖαν,

ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ᾽ ὦκα τέλος θανάτοιο κιχείη.
καὶ δ᾽ ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
οἴκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἔθεν εὐρύοπα Ζεὺς

χεῖρα ἐὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ᾽ ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε· τὸ γὰρ γέρας ἐστὶ γερόντων·
ὅφρ᾽ ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆάς τε σαῷ καὶ λαὸν Ἀχαιῶν

το βιος του τώρα ακέριο, κι έβαζε κι άλλα από πάνω ακόμα᾽
του Ορχομενού τα πλούτη αν μου 'δινε και της Αιγύπτιας Θήβας,
που θησαυρούς κει πέρα αρίφνητους το κάθε σπίτι κρύβει,
κι είναι κι ατή της εκατόπορτη, κι από την κάθε πόρτα
διακόσιοι πολέμαρχοι χύνουνται με αμάξια ομάδι κι άτια·
κι ακόμα τόσα δώρα αν μου 'δινε, όση 'ναι η σκόνη κι η άμμο,
πάλε δε γίνεται ο Αγαμέμνονας τη γνώμη μου ν᾽ αλλάξει,
αν τη βαριά ντροπή που μου 'γινε δε μου πλερώσει πρώτα.
Κι ουδέ και παίρνω του Αγαμέμνονα, του γιου του Ατρέα, την κόρη,
στα κάλλη ακόμα κι αν παράβγαινε με τη χρυσή Αφροδίτη'

της Αθηνάς της γαλανομάτης στων γυναικών τις τέχνες
κι αν είχε μοιάσει, δεν την έπαιρνα. Δεν έλειψαν Αργίτες
πιο ταιριαστοί του και τρανότεροι ρηγάδες, να διαλέξει'
τι εμένα, αν γύρω στην πατρίδα μου με των θεών τη χάρη,
ας ειν᾽ καλά ο Πηλέας, το ταίρι μου θα μου διαλέξει εκείνος.
Πολλές Ελληνοπούλες βρίσκουνται στη Φθία και στην Ελλάδα,
αρχοντοκόρες, οι πατέρες τους που κυβερνούνε κάστρα"
όποια απ᾽ αυτές θελήσω, ταίρι μου την κάνω αγαπημένο.
Κιόλας εκεί η καρδιά μου η πέρφανη με κέντριζε ολοένα
να πάρω μια που να μου ταίριαζε, γυναίκα να την έχω,

κι όσα αγαθά ο Πηλέας απόχτησε να χαίρουμαι μαζί της·
τι όσο η ζωή μου αξίζει, αλάκερα τα πλούτη δεν αξίζουν
που έκρυβε, λένε, το πολύκοσμο της Τροίας εντός του κάστρο,
στα χρόνια της ειρήνης, άλλοτε, πριν οι Αχαιοί προβάλουν'
κι ουδέ όσα μέσα κλεί το πέτρινο του Σαϊτευτη κατώφλι,
του Απόλλωνα, στην κακοτράχαλη, πετραδερή Πύθωνα.
Τα παχιά πρόβατα κουρσεύουνται, κουρσεύουνται τα βόδια,
τα ξανθοκέφαλα αγοράζουνται φαριά και τα τριπόδια᾽
μόνο η ζωή του ανθρώπου, ως ξέφυγε της δοντωσιας το φράχτη,
πίσω δε γέρνει, δεν κουρσεύεται, δεν πιάνεται ποτέ της.

Το 'χω ακουστά απ᾽ τη χιοναστράγαλη μητέρα μου τη Θέτη:
διπλούς για μένα οι Μοίρες άνοιξαν τους δρόμους του θανάτου'
αν απομείνω εδώ και μάχουμαι γύρω απ᾽ των Τρωών το κάστρο,
ξοπίσω δε γυρνώ, μα αθάνατο θα μείνει τ᾽ όνομά μου.
Αν ίσως πάλε γύρω σπίτι μου, στη γη την πατρική μου,
πια θα μου λείψει κάθε παίνεμα τρανό, κι ωστόσο χρόνια
θα 'χω να ζω πολλά, κι ο θάνατος θ᾽ αργήσει να με πάρει.
και σεις οι επίλοιποι θα το 'θελα το λόγο μου ν᾽ ακούστε:
γυρνάτε πίσω στην πατρίδα σας, τι πια δε θα το βρείτε
της Τροίας το τέλος της απόγκρεμης· ο Δίας ο βροντολάλος

το χέρι του άπλωσε από πάνω της, κι αυτοί κουράγιο επήραν.
Τραβάτε τώρα εσείς στους άρχοντες των Αχαιών να πείτε
το μήνυμα μου (των πρωτόγερων το χρέος μαθές αυτό 'ναι),
να στοχαστούν καμιά καλύτερη βουλή να πάρουν, άλλη,
που να γλιτώσει και τ᾽ Αργίτικα καράβια και τ᾽ ασκέρια

νηυσὶν ἔπι γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδέ γ᾽ ἑτοίμη
ἦν νῦν ἐφράσσαντο ἐμεῦ ἀπομηνίσαντος·
Φοῖνιξ δ᾽ αὖθι παρ᾽ ἄμμι μένων κατακοιμηθήτω,
ὄφρά μοι ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἔπηται
αὔριον ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξω.

ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν·
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ᾽ ἀναπρήσας· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν·
εἰ μὲν δὴ νόστόν γε μετὰ φρεσὶ φαίδιμ᾽ Ἀχιλλεῦ

βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
πῶς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο φίλον τέκος αὖθι λιποίμην
οἷος; σοὶ δέ μ᾽ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
ἥματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε

νήπιον οὔ πω εἰδόθ᾽ ὁμοιΐου πολέμοιο
οὐδ᾽ ἀγορέων, ἵνα τ᾽ ἄνδρες ἀριπρεπέες τελέθουσι.
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ᾽ ἔμεναι πρηκτῆρά τε ἔργων.
ὡς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο φίλον τέκος οὐκ ἐθέλοιμι

λείπεσθ᾽, οὐδ᾽ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς
γῆρας ἀποξύσας θήσειν νέον ἠβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο,

τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ᾽ ἄκοιτιν
μητέρ᾽ ἐμήν· ἣ δ᾽ αἰὲν ἐμὲ λισσέσκετο γούνων
παλλακίδι προμιγῆναι, ἵν᾽ ἐχθήρειε γέροντα.
τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀϊσθεὶς
πολλὰ κατηρᾶτο, στυγερὰς δ᾽ ἐπεκέκλετ᾽ Ἐρινῦς,

μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ᾽ ἐτέλειον ἐπαρὰς
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
ἔ

νθ᾽ ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ᾽ ἐν φρεσὶ θυμὸς
πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
ἦ μὲν πολλὰ ἔταιρ καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες

αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι,
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο,
πολλὸν δ᾽ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.

στα βαθουλά αποδίπλα τ᾽ άρμενα᾽ τι αυτή που τώρα επήραν
δεν έπιασε᾽ τι εγώ τη μάνητα θαρρέψαν πως θ᾽ αφήσω.
Όμως μπορεί να μείνει ο Φοίνικας να κοιμηθεί κοντά μας,
μαζί πα στ᾽ άρμενα να φύγουμε για την πατρίδα πίσω
αύριο ταχιά, κι αυτός αν το 'θελε᾽ δε λέω να τον ζορίσω.»

Έτσι μιλούσε, κι όλοι απόμειναν και δεν έβγαναν άχνα,
τι είχαν σαστίσει που τους μίλησε πολύ πεισματωμένα.
Τέλος εστράφη κι είπε ο Φοίνικας, ο γέρο αλογολάτης,
με δακρυσμένα μάτια, τι έτρεμε μην πάθουν τα καράβια:
«Το γυρισμό στο νου σου αν έβαλες, τρανέ Αχιλλέα, στ᾽ αλήθεια,
κι ουδέ λογιάζεις πια τα γρήγορα καράβια να γλιτώσεις
απ᾽ την κακιά φωτιά, τι η μάνητα το λογισμό σου πνίγει,
πώς τότε πια, παιδί μου, θα 'μένα μακριά σου εδώ μονάχος;
Μαζί σου εδώ ο Πηλέας δε μ᾽ έστειλεν, ο γέρο αλογολάτης,
από τη Φθία, στον Αγαμέμνονα καθώς σε προβοδούσε;

Κι ήσουν παιδί, κι ουδέ από πόλεμο νογούσες μανιασμένο
κι ουδέ από σύναξη, που ξέχωρη τιμή στον άντρα δίνει.
Γι᾽ αυτό μαζί σου εκείνος μ᾽ έστειλε, για να σε δασκαλεύω,
να μάθεις να μιλάς στη μάζωξη, να πολεμάς στη μάχη.
Γι᾽ αυτό, παιδί μου, εγώ δε θα 'θελα να χωριστώ από σένα,
κι αν ο θεός ακόμα μου 'λεγε να ξύσει απ᾽ το κορμί μου
τα γερατιά, και νιος σαν άλλοτε να γίνω, σαν και τότε
που την Ελλάδα εγώ απαράτησα την ωριογυναικούσα,
να λείψω απ᾽ την οργή του κύρη μου, του Αμύντορα, ζητώντας.
Για κάποια σκλάβα ομορφοπλέξουδη μου 'χε βαριά θυμώσει'

της είχε αγάπη και το ταίρι του δε λόγιαζε καθόλου,
τη μάνα μου᾽ κι αυτή στα γόνατα μου πρόσπεφτε, την κόρη
εγώ να κοιμηθώ πρωτύτερα, να σιχαθεί το γέρο.
Κι έγινε η χάρη της, μα ο κύρης μου σε λίγο το απεικάστη,
κι απάνω μου κατάρες σώριασε βαριές, κι ανακαλιόταν
τις άγριες Ερινύες, στα γόνατα να μη χορέψει αγγόνι,
που να 'χει γεννηθεί απ᾽ το σπέρμα μου᾽ κι ευτύς την κατάρα του
του Κάτω Κόσμου ο Δίας την άκουσε κι η ανήλεη Περσεφόνη.
Με κοφτερό χαλκό μελέτησα να τον σκοτώσω τότε'
μα κάποιος μου᾽ σβήσε τη μάνητα θεός, θυμίζοντας μου

του κόσμου τις βρισιές, το σούσουρο μες στους ανθρώπους γύρω,
πατροφονιά να με φωνάζουνε μες στους Αργίτες όλοι.
Μα κι η καρδιά μου δεν το δέχουνταν καθόλου, να χολιάζει
μαζί μου ο κύρης, και στο σπίτι μας εγώ να μπαινοβγαίνω.
Κι ήταν πολλοί δικοί κι αξάδερφοι, που μ᾽ είχαν ζώσει τότε,
με παρακάλια δοκιμάζοντας να με κρατήσουν σπίτι'
στεφανοκέρατα, στριφτόζαλα πλήθος έσφαζαν βόδια,
κι αρνιά παχιά, κι απάνω στου Ηφαίστου τη φλόγα τεντωμένοι
καψαλίζονταν χοίροι, που 'πλεχαν μες στο πολύ τους ξίγκι,
και το κρασί κρουνός επίνουνταν απ᾽ τα σταμνιά του γέρου.

εἰνάνυχες δέ μοι ἀμφ᾽ αὐτῷ παρὰ νύκτας ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ᾽ ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ εὐερκέος αὐλῆς,
ἄλλο δ᾽ ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
ἀλλ᾽ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,

καὶ τότ᾽ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς
ῥεῖα, λαθὼν φύλακάς τ᾽ ἄνδρας δμῳάς τε γυναῖκας.
φεῦγον ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα μητέρα μήλων

ἐς Πηλῆα ἄναχθ᾽· ὃ δέ με πρόφρων ὑπέδεκτο,
καί μ᾽ ἐφίλησ᾽ ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ
μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι,
καί μ᾽ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
ναῖον δ᾽ ἐσχατιὴν Φθίης Δολόπεσσιν ἀνάσσων.

καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ᾽ ἄλλῳ
οὔτ᾽ ἐς δαῖτ᾽ ἰέναι οὔτ᾽ ἐν μεγάροισι πάσασθαι,
πρίν γ᾽ ὅτε δή σ᾽ ἐπ᾽ ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας
ὄψου τ᾽ ἄσαιμι προταμὼν καὶ οἴνου ἐπισχών.

πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
ὥς ἐπὶ σοὶ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα,
τὰ φρονέων ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ σὲ παῖδα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ

ποιεύμην, ἵνα μοί ποτ᾽ ἀεικέα λοιγὸν ἀμύνῃς.
ἀλλ᾽ Ἀχιλεῦ δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι

λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ᾽ ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο
χωλαί τε ῥυσαί τε παραβλῶπές τ᾽ ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπισθ᾽ ἄτης ἀλέγουσι κιοῦσαι.

ἡ δ᾽ ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν
βλάπτουσ᾽ ἀνθρώπους· αἳ δ᾽ ἐξακέονται ὀπίσσω.
ὃς μέν τ᾽ αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
τὸν δὲ μέγ᾽ ὤνησαν καί τ᾽ ἔκλυον εὐχομένοιο·

ὃς δέ κ᾽ ἀνήνηται καί τε στερεῶς ἀποείπῃ,
λίσσονται δ᾽ ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι
τῷ ἄτην ἅμ᾽ ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
ἀλλ᾽ Ἀχιλεῦ πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
τιμήν, ἥ τ᾽ ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.

Νύχτες εννιά κοιμόνταν δίπλα μου και με φύλαγαν όλοι
με τη σειρά τους, και δεν έσβησαν ποτέ οι φωτιές, που άναβαν
μες στη στοά της γυροτοίχιστης αυλής η μια στημένη,
κι η άλλη στον πρόδομο, κατάμπροστα στις πόρτες του αντρωνίτη.
Μα ως έφτασεν η νύχτα η δέκατη και πήρε το σκοτάδι,
τότε συντρίβοντας της κάμαρας τις στεριωμένες πόρτες
όξω πετάχτηκα και πήδηξα μεμιάς τον αυλοφράχτη,
δίχως καθόλου οι φυλακάτορες κι οι σκλάβες να με νιώσουν.
Και πήρα δρόμο την πλατύχωρη διαβαίνοντας Ελλάδα,
ως πια στη Φθία την παχιοχώματη, την αρνομάνα, φτάνω,

στου βασιλιά Πηλέα᾽ κι ολόκαρδα με καλοδέχτη εκείνος,
και τόση αγάπη τότε μου 'δειξε, σαν που αγαπάει πατέρας,
που 'χει και βιος, το μοσκανάθρεφτο μικρό μοναχογιό του'
και πλούσιο μ᾽ έκανε και μου 'δωκε πολλούς για ν᾽ αφεντεύω·
και ζούσα βασιλιάς στους Δόλοπες, στης Φθίας την άκρην άκρη.
Κι έτσι μεγάλο εγώ σε ανάστησα, θεόμορφε Αχιλλέα,
και σ᾽ αγαπούσα᾽ τι δεν ήθελες εσύ κανέναν άλλον,
για στο τραπέζι σύντας πήγαινες για κι έτρωγες μονάχος·
έπρεπε εγώ μαθές στα γόνατα να σε κρατώ, να κόβω
το κρέας, να τρως, μετά στα χείλια σου την κούπα να ζυγώνω.

Συχνά στο στήθος μου κατάβρεξες το ρούχο με το στόμα,
παιδί όπως ήσουν και με παίδευες και το κρασί ξερνούσες.
Έτσι πολλά για σένα τράβηξα, πολλούς επήρα μόχτους'
τι δεν ξεχνούσα πως οι αθάνατοι δεν ήταν να μου δώσουν
δικό μου γιο, γι᾽ αυτό και μου 'γινες, θεόμορφε Αχιλλέα,
παιδί μου εσύ, που θα με γλίτωνες απ᾽ το κακό μια μέρα.
Την πέρφανη ψυχή σου μέρωσε τώρα, Αχιλλέα, δεν πρέπει
να 'χεις καρδιά σκληρή᾽ κι οι αθάνατοι τη γνώμη τους αλλάζουν,
που μας περνούνε και στη δύναμη και στην τιμή και σ᾽ όλα.
Με καλοπρόσδεχτα ταξίματα και με θυσίες, με κνίσα

και με σπονδές, γυρίζουν οι άνθρωποι και τη δική τους γνώμη,
παρακαλώντας τους, αν έσφαλε κι αν έφταιξε κανένας.
Γιατί 'ναι κόρες κι οι Παράκλησες του Δία του τρισμεγάλου,
κουτσές, με αλλήθωρα τα μάτια τους, με μούτρα ζαρωμένα,
και πολεμούν να φτάσουν τρέχοντας ξοπίσω από την Τύφλα.
Μα η Τύφλα, δυνατή, με ολόγερα ποδάρια, τρέχει απ᾽ όλες
πολύ πιο μπρος στη γης αλάκερη, και στους θνητούς προφταίνει
κακό να κάνει, κι οι Παράκλησες ξοπίσω τους γιατρεύουν.
Κι όποιος του Δία τις κόρες σέβεται, μπροστά του ως καταφτάνουν,
έχει απ᾽ αυτές μεγάλο τ᾽ όφελος κι ακούνε τις ευκές του.

Μα ο που τις διώξει πεισματώνοντας και τις παραψηφήσει,
πάνε στο γιο του Κρόνου τρέχοντας, στο Δία, παρακαλώντας
τη συφορά να στείλει πίσω του, να πάθει, να πλερώσει.
Έλα, Αχιλλέα, λοιπόν και χάρισε κι εσύ στου Δία τις κόρες
τιμή᾽ για χάρη τους ελύγισαν κι άλλοι αντρειωμένοι ως τώρα.

εἰ μὲν γὰρ μὴ δῶρα φέροι τὰ δ᾽ ὄπισθ᾽ ὀνομάζοι
Ἀτρεΐδης, ἀλλ᾽ αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι χατέουσί περ ἔμπης·
νῦν δ᾽ ἅμα τ᾽ αὐτίκα πολλὰ διδοῖ τὰ δ᾽ ὄπισθεν
ὑπέστη,

ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους
κρινάμενος κατὰ λαὸν Ἀχαιϊκόν, οἵ τε σοὶ αὐτῷ
φίλτατοι Ἀργείων· τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας· πρὶν δ᾽ οὔ τι νεμεσσητὸν κεχολῶσθαι.
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν

ἡρώων, ὅτε κέν τιν᾽ ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί τε πέλοντο παράρρητοί τ᾽ ἐπέεσσι.
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι οὔ τι νέον γε
ὡς ἦν· ἐν δ᾽ ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ᾽ ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι

ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ.
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε
χωσαμένη ὅ οἱ οὔ τι θαλύσια γουνῷ ἀλωῆς

Οἰνεὺς ῥέξ᾽· ἄλλοι δὲ θεοὶ δαίνυνθ᾽ ἑκατόμβας,
οἴῃ δ᾽ οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο.
ἢ λάθετ᾽ ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ.
ἣ δὲ χολωσαμένη δῖον γένος ἰοχέαιρα
ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,

ὃς κακὰ πόλλ᾽ ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν·
πολλὰ δ᾽ ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.
τὸν δ᾽ υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας

καὶ κύνας· οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσι·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ᾽ ἀλεγεινῆς.
ἣ δ᾽ ἀμφ᾽ αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτὴν
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.

ὄφρα μὲν οὖν Μελέαγρος ἄρηι φίλος πολέμιζε,
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδὲ δύναντο
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες·
ἀλλ᾽ ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,

Δώρα αν δε σου 'δινε ο Αγαμέμνονας κι αν δε νομάτιζε άλλα
γι᾽ αργότερα, μον᾽ πάντα αμάλαχτο κρατούσε το θυμό του,
κι εγώ ποτέ μου δε θα σου 'λεγα τη μάνητα ν᾽ αφήσεις,
να δώσεις στους Αργίτες βόηθηση, κι ας είναι στενεμένοι.
Μ᾽ αυτός και τώρα πλήθος σου 'δωκε κι άλλα σου τάζει ακόμα,

και τους πιο κάλλιους απ᾽ το Αργίτικο ξαπόστειλε τ᾽ ασκέρι
να σου προσπέσουν᾽ και τους διάλεξεν οι πιο ακριβοί σου να 'ναι.
Τον κόπο μην ντροπιάσεις που 'καναν μηδέ τα λόγια που 'παν.
Δε σου 'ριξε κανένας άδικο για το θυμό σου ως τώρα.
και για πολλούς ηρώους ακούσαμε να μολογούν ο κόσμος,
πως κάποτε άναψε στα φρένα τους θυμός πεισματωμένος᾽
όμως τα δώρα τους μαλάκωσαν, τα λόγια τους γλύκαναν.
Μιαν ιστορία παλιά θυμήθηκα, κι όχι καινούργια, τώρα,
πως έγινε᾽ σας έχω φίλους μου, θα σας την πω ν᾽ ακούστε:
Κουρήτες κι Αιτωλοί αντροδύναμοι στην Καλυδώνα γύρα

είχαν ανοίξει τότε πόλεμο κι ο ένας τον άλλο έσφαζαν
πασκίζαν οι Αιτωλοί την όμορφη να σώσουν Καλυδώνα,
κι οι άλλοι, οι Κουρήτες, πολεμώντας τους να την κουρσέψουν θέλαν
τι εσήκωσε η Άρτεμη η χρυσόθρονη τρανό κακό σε κείνους,
από θυμό, τι απ᾽ τους πρωτόλατους καρπούς των χωραφιών του
τρανές ό Οινέας θυσίες επρόσφερε στους αθανάτους όλους,
σε κείνην όχι, δεν της πρόσφερε, κόρη του Δία κι ας ήταν,
για λησμονώντας για αψηφώντας τη, κι ήταν βαρύ το κρίμα.
Κι η Σαγιτεύτρα τότε θύμωσε, κι ευτύς τους ξαπολύνει
φύτρα θεΐκιά, κακό, λευκόδοντο, μουνουχισμένο κάπρο.

Κι εχύθη αυτός στου Οινέα τα χτήματα και ρήμαζε τα πάντα᾽
και σώριαζε στο χώμα σύγκορμα δέντρα μεγάλα πλήθος
με όλες τις ρίζες τους και με όλο τους τον καρποφόρο ανθό τους.
Αυτόν τον σκότωσε ο Μελέαγρος, ο γιος του Οινέα, σε λίγο·
αγριμολόους απ᾽ όλες μάζωξε τις πολιτείες τρογύρα
και σκύλους᾽ τι εύκολα δεν έπεφτε με λιγοστή παγάνα᾽
θεριό ήταν, και πολλούς ανέβασε στη φαρμακούσα φλόγα.
Μα εκείνη άπ᾽ αφορμή του σήκωσε συντάραχο κι αμάχη,
σαν ποιος θα πάρει το κεφάλι του, το αγκαθωτό τομάρι
στους Αιτωλούς τους αντροδύναμους και στους Κουρήτες μέσα.

Όσον καιρό λοιπόν ο ατρόμητος Μελέαγρος πολεμούσε,
την είχαν οι Κουρήτες άσκημα᾽ κι όσο πολλοί κι αν ήταν,
να μένουν όξω απ᾽ το καστρότειχο καθόλου δε βαστούσαν.
Μα σύντας ο Μελέαγρος θύμωσε (τέτοιος θυμός στα στήθια
κι άλλων συχνά τα φρένα ετάραξε, και μιαλωμένοι ας ήταν)

ἤτοι ὀ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
κεῖτο παρὰ μνηστῇ ἀλόχῳ καλῇ Κλεοπάτρῃ
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν
τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον

Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης,
τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
μήτηρ ἀλκυόνος πολυπενθέος οἷτον ἔχουσα
κλαῖεν ὅ μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων·

τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἁλοία
κικλήσκουσ' Ἄϊδην καὶ ἐπαινὴν Περσεφόνειαν

πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινὺς
ἔκλυεν ἐξ Ἐρέβεσφιν ἀμείλιχον ἦτορ ἔχουσα.
τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
πύργων βαλλομένων· τὸν δὲ λίσσοντο γέροντες

Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
ἐξελθεῖν καὶ ἀμῦναι ὑποσχόμενοι μέγα δῶρον·
ὀππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
ἔνθά μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
πεντηκοντόγυον, τὸ μὲν ἥμισυ οἰνοπέδοιο,

ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς
οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο
σείων κολλητὰς σανίδας γουνούμενος υἱόν·
πολλὰ δὲ τόν γε κασίγνηται καὶ πότνια μήτηρ

ἐλλίσσονθ'· ὃ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
ἀλλ' οὐδ' ὣς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
πρίν γ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ἄστυ.

καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
κήδε', ὅσ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

βαριά με την Αλθαία τη μάνα του την ακριβή χολιώντας
στο ταίρι του αποδίπλα επλάγιαζε, την ώρια Κλεοπάτρα.
Της λιγναστράγαλης της Μάρπησσας λογιόταν κόρη ετούτη
και του Ίδα, απ' τους παλιούς που στάθηκε στη γης ο πιο
αντρειωμένος,
κι άσκωσε αντίκρυ στον Απόλλωνα το Φοίβο το δοξάρι,

τη λιγναστράγαλη γυναίκα του να διαφεντέψει νύφη.
και τότε ο κύρης κι η μητέρα της η σεβαστή την είπαν
Αλκυόνη, να 'χει και παράνομα, τι η μάνα της θρηνούσε
κι είχε τη μοίρα της βαριόμοιρης της Αλκυόνας λάχει'
τι ο μακροσαϊτευτής Απόλλωνας την είχε αρπάξει, ο Φοίβος.
Μ' αυτή ο Μελέαγρος τώρα επλάγιαζε, πικρήν οργή κλωσώντας
για την κατάρα της μητέρας του' τι εκείνη πικραμένη,
Έτσι που σκότωσε το αδέρφι της, βαριά τον καταράστη,
κι όλο χτυπούσε με τα χέρια της τη γη την πολυθρόφα,
να την ακούσουν ο Άδης κράζοντας κι η ανήλεη Περσεφόνη,

με ογρούς τους κόρφους απ' τα κλάματα, στα γόνατα πεσμένη,
να δώσουν του παιδιού της θάνατο' κι απ' το σκοτάδι κάτω
η ανήμερη Ερινύα την άκουσεν η νυχτοπαρωρίτρα.
Κι ωστόσο αυτοί στις πόρτες άσκωναν τρανή βουή κι αντάρα
τους πύργους τους χτυπώντας· κι οι άρχοντες των Αιτωλών τους
πρώτους
Ιερουργούς παρακαλώντας τον του στέλναν, να προβάλει
βοηθός στον πόλεμο, και του 'ταζαν τρανό να πάρει δώρο:
όπου 'ταν τα χωράφια ολόπαχα της ωριας Καλυδώνας,
εκεί του δίναν χτήμα πάγκαλο, να το διαλέξει ατός του,
πενήντα στρέμματα, αμπελότοπος να 'ν' το μισό, και τ' άλλο

να το χωρίσει όπου ήταν άδεντρο, χωράφια να το κάνει.
Μετά κι ο Οινέας πολύ του πρόσπεφτεν, ο γέρο αλογολάτης,
απόξω ορθός στου αψηλοτάβανου θαλάμου το κατώφλι,
και σειούσε τα κλειστά πορτόφυλλα το γιο παρακαλώντας.
Μετά περίσσια κι οι αδερφάδες του κι η σεβαστή του η μάνα
τον παρακαλούν μα όλο πιότερο πείσμωνε αυτός' περίσσια
κι οι σύντροφοι του, οι πιο του γκαρδιακοί κι οι πιο του τιμημένοι.
Μα ουδέ κι αυτοί το νου του εγύριζαν, και μοναχά την ώρα
που έφταναν πια οι ριξιές στο σπίτι του, και στα πυργιά οι Κουρήτες
ανεβασμένοι παίρναν κι έβαζαν φωτιά στο κάστρο γύρα,

στα πόδια του έπεσεν η ωριόζωνη γυναίκα του με θρήνους,
κι όλα του ιστόρησε αραδιάζοντας τα πάθη που πλακώνουν
όσους τους έλαχε η πατρίδα τους σε οχτρού να πέσει χέρια:
οι άντρες σκοτώνουνται, το κάστρο τους απ' τη φωτιά ρημάζει,
και τα παιδιά και τις βαθύζωνες γυναίκες ξένοι σέρνουν

τοῦ δ᾽ ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα,
βῆ δ᾽ ἰέναι, χροῒ δ᾽ ἔντε᾽ ἐδύσετο παμφανόωντα.
ὣς ὃ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
εἴξας ᾧ θυμῷ· τῷ δ᾽ οὐκέτι δῶρα τέλεσσαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ᾽ ἤμυνε καὶ αὖτως.

ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μὴ δέ σε δαίμων
ἐνταῦθα τρέψειε φίλος· κάκιον δέ κεν εἴη
νηυσὶν καιομένῃσιν ἀμυνέμεν· ἀλλ᾽ ἐπὶ δώρων
ἔρχεο· ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί.
εἰ δέ κ᾽ ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς

οὐκέθ᾽ ὁμῶς τιμῆς ἔσεαι πόλεμόν περ ἀλαλκών,
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
Φοῖνιξ ἄττα γεραιὲ διοτρεφὲς οὔ τί με ταύτης
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
ἥ μ᾽ ἔξει παρὰ νηυσὶ κορωνίσιν εἰς ὅ κ᾽ ἀϋτμὴ

ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων
Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν· οὐδέ τί σε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.

καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ᾽ ἐμὲ κήδῃ·
ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.
οὗτοι δ᾽ ἀγγελέουσι, σὺ δ᾽ αὐτόθι λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ᾽ ἠοῖ φαινομένηφι
φρασσόμεθ᾽ ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽ ἦ κε μένωμεν.

ἦ καὶ Πατρόκλῳ ὅ γ᾽ ἐπ᾽ ὀφρύσι νεῦσε σιωπῇ
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
ἐκ κλισίης νόστοιο μεδοίατο· τοῖσι δ᾽ ἄρ᾽ Αἴας
ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπε·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ

ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ᾽ ὁδῷ κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι καὶ οὐκ ἀγαθόν περ ἐόντα
οἵ που νῦν ἕαται ποτιδέγμενοι. αὐτάρ Ἀχιλλεὺς
ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμὸν

σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων
τῆς ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων
νηλής· καὶ μέν τίς τε κασιγνήτοιο φονῆος
ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος·
καί ῥ᾽ ὃ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ᾽ ἀποτίσας,

Τότε η καρδιά του αναταράχτηκε τα πάθη αυτά γρικώντας·
πινάχτη απάνω ευτύς και φόρεσε τη λαμπερή του αρμάτα.
Έτσι απ᾽ το μαύρο χάρο εγλίτωσε τους Αιτωλούς εκείνος,
γρικώντας την καρδιά του, κι άδικα τα που του τάξαν πήγαν,
τα πλούσια δώρα, τ᾽ αξετίμητα᾽ μα έτσι κι αλλιώς γλίτωσαν.

Μα τέτοια εσύ απ᾽ το νου σου βγάλε τα᾽ κανείς θεός, καλέ μου,
να μη σε σπρώξει σ᾽ έτοια απόφαση· τα πλοία τι θα φελούσε
να διαφεντέψεις πια ως θα καίγουνται; Τα δώρα δέξου τώρα
κι έλα, κι οι Αργίτες σαν αθάνατο θα σε τιμήσουν όλοι.
Μ᾽ αν δίχως δώρα μπεις στον πόλεμο τον αντροκαταλύτη,
κι αν τόνε διώξεις από πάνω μας, ίδια τιμή δε θα 'χεις.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
«Φοίνικα, γέροντα αρχοντόθρεφτε, σεβάσμιε, δεν τη θέλω
τέτοια τιμή· θαρρώ, μ᾽ ετίμησεν ο Δίας με τη βουλή του,
κι αυτή κοντά στα δρεπανόγυρτα καράβια θα μου μείνει,

Όσο κρατά η πνοή στα στήθια μου κι η δύναμη στα γόνα.
Κάτι άλλο τώρα εγώ θα σου 'λεγα και συ στο νου σου βαλ᾽ το:
Μη μου αναδεύεις πια με κλάματα και βόγγους την καρδιά μου,
του Ατρείδη για να κάνεις δούλεψη, κι αγάπη εσύ να του 'χεις
δεν πρέπει· με όλη την αγάπη μου, μαζί σου μη χολιάσω.
Ο που μ᾽ οχτρεύεται ταιριάζει σου κι οχτρός δικός σου να 'ναι·
όμοια με μένα εσύ βασίλευε και την τιμή μοιράσου.
Ας παν αυτοί να πουν το μήνυμα, μα εσύ δω πέρα κάθου
σε στρώμα μαλακό πλαγιάζοντας, και σα γλυκοχαράξει,
θα ιδούμε, σπίτι αν θα γυρίσουμε για αν θα σταθούμε ακόμα.»

Αυτά είπε, κι έγνεψε στον Πάτροκλο μονάχα με τα φρύδια,
παχύ να στρώσει για το Φοίνικα κρεβάτι, να το νιώσουν
κι οι άλλοι, να φύγουν δίχως άργητα᾽ μα τότε αναμεσό τους
ο ισόθεος Αίαντας πήρε κι έλεγεν, ο γιος του Τελαμώνα:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
πάμε! θαρρώ του κάκου ο δρόμος μας αυτός, δε βρίσκουμε άκρη
με ό,τι κι αν λέμε. Να γυρίσουμε να πούμε στους Αργίτες
μιαν ώρα αρχύτερα το λόγο του, κι ας είναι για κακό μας.
θα κάθουνται θαρρώ προσμένοντας· ωστόσο μες στα στήθια
την πέρφανη καρδιά του σίδερο την έκανε ο Αχιλλέας,

ο ανήλεος! Κι ουδέ μας τους συντρόφους ψηφά, ν᾽ αλλάξει γνώμη,
που αγάπη και τιμή του δείχναμε περίσσια από τους άλλους,
ο ανέσπλαχνος! Ακόμα αν σκότωσαν για γιο για αδέρφι κάποιου,
την ξαγορά, ο φονιάς που του 'δινε, τη δέχτη αυτός στο τέλος,
κι απόμεινε ο φονιάς στον τόπο του, βαριά πλερώνοντας του·

τοῦ δέ τ᾽ ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
ποινὴν δεξαμένῳ· σοὶ δ᾽ ἄληκτόν τε κακόν τε
θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης
οἵης· νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ᾽ ἀρίστας,
ἄλλά τε πόλλ᾽ ἐπὶ τῇσι· σὺ δ᾽ ἴλαον ἔνθεο θυμόν,

αἰδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
κήδιστοί τ᾽ ἔμεναι καὶ φίλτατοι ὅσσοι Ἀχαιοί.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
Αἶαν διογενὲς Τελαμώνιε κοίρανε λαῶν

πάντά τί μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ ὁππότε κείνων
μνήσομαι ὥς μ᾽ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρεΐδης ὡς εἴ τιν᾽ ἀτίμητον μετανάστην.
ἀλλ᾽ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·

οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος
πρίν γ᾽ υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἰκέσθαι
κτείνοντ᾽ Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηῒ μελαίνῃ

Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.
ὣς ἔφαθ᾽, οἳ δὲ ἕκαστος ἐλὼν δέπας ἀμφικύπελλον
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ᾽
Ὀδυσσεύς.
Πάτροκλος δ᾽ ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.

αἳ δ᾽ ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε
κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ᾽ ὃ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε,

Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἐλέξατο· πὰρ δ᾽ ἄρα καὶ τῷ
Ἰφις ἐΰζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς
Σκῦρον ἑλὼν αἰπεῖαν Ἐνυῆος πτολίεθρον.
οἳ δ᾽ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο.

τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
δειδέχατ᾽ ἄλλοθεν ἄλλος ἀνασταδόν, ἔκ τ᾽ ἐρέοντο·
πρῶτος δ᾽ ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
εἶπ᾽ ἄγε μ᾽ ὦ πολύαιν᾽ Ὀδυσεῦ μέγα κῦδος Ἀχαιῶν
ἦ ῥ᾽ ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ,

και του άλλου μαλακώνει η μάνητα κι η πέρφανη καρδιά του,
την ξαγορά του φόνου ως δέχτηκε. Μα στα δικά σου στήθια ᾽
θυμό οι θεοί βαρύ κι αμάλαχτο σου χώσαν—για μια κόρη,
μια μοναχά, κι εφτά σου δίνουμε πανώριες τώρα να 'χεις,
κι άλλα πολλά από πάνω! Γλύκανε καν τώρα την οργή σου,

σεβάσου ακόμα και το σπίτι σου᾽ στη στέγη σου από κάτω,
σταλμένοι απ᾽ το στρατό, βρισκόμαστε᾽ πιο γκαρδιακοί σου φίλοι
και πιο ακριβοί μαθές δε βρίσκουνται μες στους Αργίτες άλλοι.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
« Αίαντα, πολέμαρχε αρχοντόγεννε και υγιέ του Τελαμώνα,
λίγο-πολύ σωστά τα λόγια σου, δεν έχουμε άλλη γνώμη.
Όμως φουσκώνει από τη μάνητα κάθε φορά η καρδιά μου,
σα θυμηθώ την καταφρόνεση που μου 'χει ο Ατρείδης δείξει
μπρος στους Αργίτες, λες κι αψήφιστος πως ήμουν ξωμερίτης.
Τραβάτε τώρα εσείς, το μήνυμα να πείτε να γλιτώστε:

δε θα με νιάξει για τον πόλεμο τον αιματοβαμμένο,
προτού στων Μυρμιδόνων τ᾽ άρμενα και στα καλύβια φτάσει
ο μέγας Έχτορας, του αντρόκαρδου του Πρίαμου ο γιος, χαλνώντας
πλήθος Αργίτες και κορώνοντας τα πλοία, να γίνουν στάχτη.
Όμως μπροστά στο μαύρο μου άρμενο και στο καλύβι εμένα,
ο Έχτορας λέω, κι ας είναι η λύσσα του τρανή, θα σταματήσει.»
Είπε, κι αυτοί στα χέρια παίρνοντας διπλόγουβα ποτήρια
κάναν σπονδή, και δίπλα στ᾽ άρμενα το δρόμο έπαιρναν πίσω,
μπροστά ο Οδυσσέας. Και τότε ο Πάτροκλος στις σκλάβες
παραγγέλνει
και στους συντρόφους, για το Φοίνικα παχιά να στρώσουν κλίνη.

Με βιάση, υπάκουες, ως τις πρόσταξε, πήραν αυτές και στρώναν
προβιές, κουβέρτες και ψιλόφαντα σεντόνια στο κλινάρι.
Κει πάνω επλάγιασεν ο γέροντας, η άγια ως να φέξει μέρα.
Όμοια ο Αχιλλέας στο βάθος έγειρε του στέριου καλυβιού του,
και δίπλα του μια σκλάβα επλάγιασε, που κούρσεψε απ᾽ τη Λέσβο,
η Διομήδη η ροδομάγουλη, του Φόρβα η θυγατέρα.
Αντίκρυ επλάγιασε κι ο Πάτροκλος, και στο πλευρό του επήρε
την ομορφόζωνη Ίφη, χάρισμα του αρχοντικού Αχιλλέα,
το κάστρο του Ενυέα σαν κούρσεψε, την πετρωτή τη Σκύρο.
Κι αυτοί στου γιου του Ατρέα σαν έφτασαν γυρνώντας το καλύβι,

οι Δαναοί τους καλωσόριζαν, από χρυσά ποτήρια
άλλος αλλούθε ολόρθοι πίνοντας, κι άρχισαν να ρωτούνε'
και πρώτος πρώτος ο Αγαμέμνονας ρωτούσε, ο στρατολάτης:
«Για πες μας, Οδυσσέα περίλαμπρε, των Αχαιών η δόξα,
το θέλει, τη φωτιά την άσπλαχνη να διώξει απ᾽ τα καράβια

ἦ ἀπέειπε, χόλος δ᾽ ἔτ᾽ ἔχει μεγαλήτορα θυμόν;
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
κεῖνός γ᾽ οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ᾽ ἔτι μᾶλλον
πιμπλάνεται μένεος, σὲ δ᾽ ἀναίνεται ἠδὲ σὰ δῶρα.

αὐτόν σε φράζεσθαι ἐν Ἀργείοισιν ἄνωγεν
ὅππως κεν νῆάς τε σαῷς καὶ λαὸν Ἀχαιῶν·
αὐτὸς δ᾽ ἠπείλησεν ἅμ᾽ ἠοῖ φαινομένηφι
νῆας ἐϋσσέλμους ἅλαδ᾽ ἑλκέμεν ἀμφιελίσσας.
καὶ δ᾽ ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι

οἵκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἔθεν εὐρύοπα Ζεὺς
χεῖρα ἐὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ὣς ἔφατ᾽· εἰσὶ καὶ οἵδε τάδ᾽ εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας καὶ κήρυκε δύω πεπνυμένω ἄμφω.

Φοῖνιξ δ᾽ αὖθ᾽ ὃ γέρων κατελέξατο, ὡς γὰρ ἀνώγει,
ὄφρά οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἵπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξει.
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε.

δὴν δ᾽ ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
μή ὄφελες λίσσεσθαι ἀμύμονα Πηλεΐωνα
μυρία δῶρα διδούς· ὃ δ᾽ ἀγήνωρ ἐστὶ καὶ ἄλλως·

νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας.
ἀλλ᾽ ἤτοι κεῖνον μὲν ἐάσομεν ἤ κεν ἴῃσιν
ἢ κε μένῃ· τότε δ᾽ αὖτε μαχήσεται ὁππότε κέν μιν
θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·

νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς,
καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
ὀτρύνων, καὶ δ᾽ αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι.

ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπῄνησαν βασιλῆες
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίην δὲ ἕκαστος,
ἔνθα δὲ κοιμήσαντο καὶ ὕπνου δῶρον ἔλοντο.

για αρνιέται, κι ο θυμός την πέρφανη κρατά ψυχή του ακόμα;»
Κι ο αρχοντογέννητος, πολύπαθος του απάντησε Οδυσσέας:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
δε λέει να σβήσει αυτός τη μάνητα᾽ πιότερο ανάβει τώρα
η οργή του᾽ σένα και τα δώρα σου μηδέ που λογαριάζει'

κι ατός σου λέει με τους επίλοιπους να βουλευτείς Αργίτες,
πως τα καράβια και το Αργίτικο το ασκέρι θα γλιτώσεις.
και φοβερίζει πως στη θάλασσα θα σύρει ευτύς ως φέξει
μονάχος του τα καλοκούβερτα δρεπανωτά καράβια.
Κι είπεν ακόμα στους επίλοιπους να δώσει μιαν ορμήνια:
Γυρνάτε πίσω στην πατρίδα σας, τι πια δε θα το βρείτε
της Τροίας το τέλος της απόγκρεμης᾽ τι ο Δίας ο βροντολάλος
το χέρι του άπλωσε από πάνω της, κι αυτοί κουράγιο επήραν."
Αυτά είπε᾽ εδώ είναι κι οι σύντροφοι μου να σας τα ξαναπούνε,
ο μέγας Αίας κι οι αποκρισάτορες, κι οι δυο τους μυαλωμένοι.

Μα ο γέρο Φοίνικας κοιμήθηκε κει πέρα᾽ τι έτσι του 'πε,
μαζί να φύγουν πάνω στ᾽ άρμενα για την πατρίδα πίσω,
αύριο ταχιά, κι αυτός αν το 'θελε᾽ δε λέει να τον ζορίσει.»
Έτσι μιλούσε, κι όλοι απόμειναν και δεν έβγαναν άχνα,
τι είχαν σαστίσει που τους μίλησε πολύ πεισματωμένα'
κι ώρα πολλή βουβοί εκρατιόντουσαν οι Αργίτες πικραμένοι.
Αργά στο τέλος ο βροντόφωνος Διομήδης πήρε κι είπε:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη, κάλλιο θα 'ταν
τον Αχιλλέα ποτέ τον άψεγο να μην παρακαλούσες
με τόσα δώρα᾽ τι κι από άλλοτε τον ξέρω φαντασμένο.

Και τώρα πάλε εσύ τον έσπρωξες σε πιο μεγάλο πείσμα.
Εκείνον λέω να τον αφήσουμε᾽ μπορεί να φύγει, αν θέλει,
για και να μείνει᾽ αυτός στον πόλεμο τότε θα βγει μονάχα,
σαν του το πει η καρδιά στα στήθη του κι ένας θεός τον σπρώξει.
Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Να κοιμηθείτε τώρα, τρώγοντας και πίνοντας πιο πρώτα,
για να φραθεί η καρδιά σας· δύναμη κι αντρεία χαρίζουν τούτα,
Κι όντας η Αυγή προβάλει η γιόμορφη και ροδοδαχτυλάτη,
γοργά μπρος στα καράβια σύναξε πεζούς κι αμαξολάτες,
και ψύχωνε τους, μες στους πρόμαχους κι ατός σου πολεμώντας.»

Είπε ο Διομήδης ο αλογάτορας, κι όλοι μαζί οι ρηγάδες
συγκλίναν με χαρά στα λόγια του, και τον εκαμαρώναν.
Κάναν σπονδές και στο καλύβι του τράβηξαν ένας ένας·
πλάγιασαν έπειτα και φράθηκαν την άγια του ύπνου χάρη.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Κ-

-Κ- ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν
εὗδον παννύχιοι μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ᾽ οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα ποιμένα λαῶν
ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα.

ὡς δ᾽ ὅτ᾽ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο
τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο,
ὡς πυκίν᾽ ἐν στήθεσσιν ἀνεστενάχιζ᾽ Ἀγαμέμνων

νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
ἤτοι ὅτ᾽ ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειε,
θαύμαζεν πυρὰ πολλὰ τὰ καίετο Ἰλιόθι πρὸ
αὐλῶν συρίγγων τ᾽ ἐνοπὴν ὅμαδόν τ᾽ ἀνθρώπων.
αὐτὰρ ὅτ᾽ ἐς νῆάς τε ἴδοι καὶ λαὸν Ἀχαιῶν,

πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας
ὑψόθ᾽ ἐόντι Διΐ, μέγα δ᾽ ἔστενε κυδάλιμον κῆρ.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ
Νέστορ᾽ ἔπι πρῶτον Νηλήϊον ἐλθέμεν ἀνδρῶν,
εἴ τινά οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,

ἥ τις ἀλεξίκακος πᾶσιν Δαναοῖσι γένοιτο.
ὀρθωθεὶς δ᾽ ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ᾽ ἔγχος.

ὡς δ᾽ αὔτως Μενέλαον ἔχε τρόμος· οὐδὲ γὰρ αὐτῷ
ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε· μή τι πάθοιεν
Ἀργεῖοι, τοὶ δὴ ἕθεν εἵνεκα πουλὺν ἐφ᾽ ὑγρὴν
ἤλυθον ἐς Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες.
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε

ποικίλῃ, αὐτὰρ ἐπὶ στεφάνην κεφαλῆφιν ἀείρας
θήκατο χαλκείην, δόρυ δ᾽ εἵλετο χειρὶ παχείῃ.
βῆ δ᾽ ἴμεν ἀνστήσων ὃν ἀδελφεόν, ὃς μέγα πάντων
Ἀργείων ἤνασσε, θεὸς δ᾽ ὡς τίετο δήμῳ.
τὸν δ᾽ εὗρ᾽ ἀμφ᾽ ὤμοισι τιθήμενον ἔντεα καλὰ

νηῒ πάρα πρύμνῃ· τῷ δ᾽ ἀσπάσιος γένετ᾽ ἐλθών.
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
τίφθ᾽ οὕτως ἠθεῖε κορύσσεαι; ἦ τιν᾽ ἑταίρων
ὀτρυνέεις Τρώεσσιν ἐπίσκοπον; ἀλλὰ μάλ᾽ αἰνῶς
δείδω μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον

Των Αχαιών οι επίλοιποι άρχοντες στα πλοία τους πλάι κοιμόνταν
ολονυχτίς, στου γύπνου τις γλυκές παραδομένοι αγκάλες·
το γιο του Ατρέα τον Αγαμέμνονα τον πρωταφέντη ωστόσο
ύπνος γλυκός στιγμή δεν έπιανε, τι έγνοιες πολλές τον δέρναν.
Της Ήρας πώς της ωριοπλέξουδης το ταίρι ξάφνου αστράφτει,
τρανή νεροποντή συντάζοντας να ρίξει για χαλάζι
για και χιονιά, σαν κουκουλώνουνται με χιόνι τα χωράφια,
για και φριχτό μηνώντας πόλεμο, που τρώει και δε χορταίνει'
όμοια στα στήθια του ο Αγαμέμνονας συχνά πυκνά εβογγούσε

απ᾽ της καρδιάς τα βάθη, κι έτρεμαν τα σωθικά του μέσα.
Κάθε που γύριζε τα μάτια του στης Τροίας τον κάμπο πέρα,
τις πλήθιες τις φωτιές θαμάζουνταν, που ομπρός στο κάστρο
ανάβει,
και της φλογέρας τα λαλήματα, και των αντρών το μούγκρος.
Μα ως γύριζε να ιδεί τ᾽ Αργίτικα καράβια και φουσάτα,
πολλές τραβούσε και ξερίζωνε της κεφαλής του τρίχες,
Στο Δία ψηλά τα μάτια ασκώνοντας, και σπάραζε η καρδιά του.
και τούτη η πιο καλή του εικάστηκε βουλή στο λογισμό του:
Καν στου Νηλέα το γιο, το Νέστορα, να δράμει πρώτα πρώτα,
μαζί του αν κάποια θα σοφίζουνταν βουλή για το καλό τους,

που απ᾽ όλους τους Αργίτες θα 'διωχνε τη συφορά που ερχόταν.
Σηκώθη το λοιπόν και φόρεσε στα στήθια το χιτώνα,
και σάνταλα πανώρια επέρασε στ᾽ αστραφτερά του πόδια,
και γύρα του έριξε πυρόξανθο τομάρι από φλογάτο·
λιόντα τρανό, μακρύ ως τα πόδια του, και πήρε το κοντάρι.
Την ίδια κι ο Μενέλαος ένιωθε τρεμούλα, κι ο ύπνος μήτε
και στα δικά του τα ματόφυλλα καθόταν—μπας και πάθουν
οι Δαναοί, που τόση θάλασσα διάβηκαν, για να φτάσουν
στην Τροία, να στήσουν άγριο πόλεμο για χάρη του ποθώντας.
και πρώτα κάπα από λιοπάρδαλη πα στις φαρδιές του πλάτες

φοράει πιτσιλωτή, κι ως έβαλε το χάλκινο του κράνος
στην κεφαλή, κοντάρι εφούχτωσε στο δυνατό του χέρι,
κι ευτύς για να ξυπνήσει εκίνησε τον αδερφό, τον πρώτον
Αργίτη βασιλιά, πού εδόξαζαν, θεός λες κι ήταν, όλοι.
Στους ώμους να περνάει τον πέτυχε την ώρια αρματωσιά του
στου πλοίου την πρύμνα, κι έτσι που 'φτασε, τρανή χαρά του δίνει.
Πρώτος εμίλησε ο βροντόφωνος Μενέλαος τότε κι είπε:
« Ποιος λόγος, έτσι που αρματώνεσαι, καλέ μου; Θες να στείλεις
κανένα σύντροφο κατάσκοπο στους Τρώες; Φοβούμαι ωστόσο
μη δε βρεθεί κανείς, απάνω του τέτοια δουλειά να πάρει

ἄνδρας δυσμενέας σκοπιαζέμεν οἷος ἐπελθὼν
νύκτα δι᾽ ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
χρεὼ βουλῆς ἐμὲ καὶ σὲ διοτρεφὲς ὦ Μενέλαε
κερδαλέης, ἥ τίς κεν ἐρύσσεται ἠδὲ σαώσει

Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
Ἕκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ᾽ ἱεροῖσιν·
οὐ γάρ πω ἰδόμην, οὐδ᾽ ἔκλυον αὐδήσαντος
ἄνδρ᾽ ἕνα τοσσάδε μέρμερ᾽ ἐπ᾽ ἤματι μητίσασθαι,
ὅσσ᾽ Ἕκτωρ ἔρρεξε Διΐ φίλος υἷας Ἀχαιῶν

αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.
ἔργα δ᾽ ἔρεξ᾽ ὅσα φημὶ μελησέμεν Ἀργείοισι
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ᾽
Ἀχαιούς.
ἀλλ᾽ ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον
ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ᾽ ἐπὶ Νέστορα δῖον

εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ᾽ ἐθέλῃσιν
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος ἠδ᾽ ἐπιτεῖλαι.
κείνῳ γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱὸς
σημαίνει φυλάκεσσι καὶ Ἰδομενῆος ὀπάων
Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα.

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
πῶς γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις;
αὖθι μένω μετὰ τοῖσι δεδεγμένος εἰς ὅ κεν ἔλθῃς,
ἦε θέω μετὰ σ᾽ αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω;
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,

αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
φθέγγεο δ᾽ ᾗ κεν ἴῃσθα καὶ ἐγρήγορθαι ἄνωχθι
πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ,

ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμι
Ζεὺς ἐπὶ γιγνομένοισιν ἴει κακότητα βαρεῖαν.
ὣς εἰπὼν ἀπέπεμπεν ἀδελφεὸν εὖ ἐπιτείλας·
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰέναι μετὰ Νέστορα ποιμένα λαῶν·
τὸν δ᾽ εὗρεν παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ

εὐνῇ ἔνι μαλακῇ· παρὰ δ᾽ ἔντεα ποικίλ᾽ ἔκειτο
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος, ᾧ ῥ᾽ ὁ γεραιὸς
ζώννυθ᾽ ὅτ᾽ ἐς πόλεμον φθισήνορα θωρήσσοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.

και στους οχτρούς να πάει μονάχος του, να τους παραφυλάξει
μέσα στη θεία τη νύχτα᾽ απόκοτος περίσσια πρέπει να 'ναι.»
Κι ο πρωταφέντης Αγαμέμνονας γυρνώντας του αποκρίθη:
« Ανάγκη εγώ και συ, αρχοντόθρεφτε Μενέλαε, να σκεφτούμε
κάτι καλό, που θα διαφέντευε τα πλοία και τους Αργίτες
γλιτώνοντας τους, τώρα που άλλαξε τους λογισμούς του ο Δίας'
τι είναι οι θυσίες του Εχτόρου πιότερο μαθές που τον ευφραίνουν.
Εγώ δεν είδα ως τώρα ουδ᾽ άκουσα να λεν πως ένας μόνο
τόσα κακά εστοχάστη κι έκαμε σε μιαν ημέρα μέσα,
όσα 'χει στους Αργίτες ο Έχτορας ο ψυχωμένος κάνει,

που ουδ᾽ είναι δα θεού καν γέννημα για και θεάς καθόλου.
Τόσα έχει κάνει, που, στοχάζομαι, θα τα θυμούνται οι Αργίτες
καιρούς και χρόνια! τόσα έλόγιασε κακά να μας στοιβάξει.
Μον᾽ τρέχα τώρα δίπλα στ᾽ άρμενα και πες στον Αίαντα να 'ρθει,
μαζί κι ο Ιδομενέας᾽ στο Νέστορα το θείο θα τρέξω ατός μου
και θα τον σπρώξω, αν το αποφάσιζε, να σηκωθεί, να δράμει
στους αντρειανούς μας φυλακάτορες, και προσταγές να δώσει.
Αυτόν θ᾽ ακούσουν κάλλιο απ᾽ όλους μας᾽ τι κεφαλή στις βάρδιες
είναι ο δικός του ο γιος, κι ο σύντροφος του Ιδομενέα Μηριόνης,
κι αυτούς μαθές απ᾽ όλους βάλαμε να κυβερνούν τους άλλους.»

Γυρνώντας τότε ο βροντερόφωνος Μενέλαος του αποκρίθη:
«Σαν τι μου ορίζει τώρα ο λόγος σου και ποιά 'ναι η προσταγή σου;
Μαζί τους να σταθώ προσμένοντας και συ κει πέρα ως να 'ρθεις,
για να γυρίσω πίσω τρέχοντας, τους ορισμούς σου ως δώσω;»
Κι ο πρωταφέντης Αγαμέμνονας απηλογιά του δίνει:
«Εκεί να μείνεις, μην ξεσφάλουμε στο δρόμο ο ένας τον άλλο,
γιατί πολλά μες στο στρατόπεδο κλαδίζουν μονοπάτια.
Κι όπως περνάς, στους άλλους φώναζε και λέγε ν᾽ αγρυπνούνε,
κι όλους καλόπιανε, με τ᾽ όνομα του κύρη του καθέναν,
όθε η γενιά του σέρνει, κράζοντας· και μην ψηλοκρατιέσαι,

μόνο και μεις οι δυο ας μοχτήσουμε, τι από γεννησιμιού μας
λέω συφορές βαριές μας έγραψε να φορτωθούμε ο Δίας.»
Είπε, κι αφού τον καλορμήνεψε, τον αδερφό του διώχνει,
κι ατός του κίνησε το Νέστορα να βρει το στρατολάτη.
Στο μαύρο του τον πέτυχε άρμενο μπροστά και στο καλύβι,
στο μαλακό του στρώμα᾽ δίπλα του κι η πλουμιστή του αρμάτα,
τα δυο κοντάρια, το σκουτάρι του, το αστραφτερό του κράνος
και τ᾽ ολοξόμπλιαστο ζωστάρι του, που ο γέροντας ζωνόταν
σαν αρματώνουνταν, στον πόλεμο να πάει τον καταλύτη
με το στρατό του᾽ τι δεν το 'βαζε, κι ας ήταν γέρος, κάτω.

ὀρθωθεὶς δ᾽ ἄρ᾽ ἐπ᾽ ἀγκῶνος κεφαλὴν ἐπαείρας
Ἀτρεΐδην προσέειπε καὶ ἐξερεείνετο μύθῳ·
τίς δ᾽ οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἷος
νύκτα δι᾽ ὀρφναίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι,
ἠέ τιν᾽ οὐρήων διζήμενος, ἦ τιν᾽ ἑταίρων;
φθέγγεο, μηδ᾽ ἀκέων ἐπ᾽ ἔμ᾽ ἔρχεο· τίπτε δέ σε χρεώ;
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Νέστορ Νηληϊάδη μέγα κῦδος Ἀχαιῶν
γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερὲς εἰς ὅ κ᾽ ἀϋτμὴ
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.
πλάζομαι ὣδ᾽ ἐπεὶ οὔ μοι ἐπ᾽ ὄμμασι νήδυμος ὕπνος
ἰζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε᾽ Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ᾽ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρῴσκει, τρομέει δ᾽ ὑπὸ φαίδιμα γυῖα.
ἀλλ᾽ εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ᾽ ὕπνος ἱκάνει,
δεῦρ᾽ ἐς τοὺς φύλακας καταβήομεν, ὄφρα ἴδωμεν
μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται.
δυσμενέες δ᾽ ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ φίλον ἦτορ.
σοὶ δὲ μάλ᾽ ἕψομ᾽ ἐγώ· ποτὶ δ᾽ αὖ καὶ ἐγείρομεν ἄλλους
ἡμὲν Τυδεΐδην δουρὶ κλυτὸν ἠδ᾽ Ὀδυσῆα
ἠδ᾽ Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ᾽ εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν
ἀντίθεόν τ᾽ Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ᾽ ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ᾽ ἐπικεύσω
ὡς εὖδει, σοὶ δ᾽ οἴῳ ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ᾽ ἀνεκτός.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·

Μεμιάς ανακουμπάει στον αγκώνα και το κεφάλι ασκώνει,
και λέει στο γιο του Ατρέα ρωτώντας τον και μ᾽ έτοια λόγια κρένει:
«Ποιος είσαι συ που στα καράβια μας και στο στρατό μονάχος
μες στης νυχτιάς το σκότος έρχεσαι, που όλοι οι θνητοί κοιμούνται;
Μουλάρι τάχα για και σύντροφο να βρεις κανένα ψάχνεις;
Μίλα μου, μη ζυγώνεις άλαλος, ποια σ᾽ έχει σφίξει ανάγκη;»
Κι ο πρωταφέντης Αγαμέμνονας απηλογιά του δίνει:
«Γιε του Νηλέα, ρηγάρχη Νέστορα, των Αχαιών η δόξα,
το γιο του Ατρέα, τον Αγαμέμνονα, θωρείς εδώ, που ο Δίας
απ᾽ όλους πιότερο σε βάσανα με ρίχνει δίχως τέλος,
όσο κρατάει η πνοή στα στήθη μου κι η δύναμη στα γόνα.
Έτσι γυρνώ, τι δε μου κάθεται γλυκός στα μάτια γύπνος᾽
μου τυραννούν τη σκέψη ο πόλεμος, των Αρχαίων τα πάθη.
Για τους Αργίτες τρόμος μ᾽ έπιασε φριχτός, κι ουδέ η ψυχή μου
γερά βαστιέται, μόνο τα 'χασα, κι όξω πηδάει η καρδιά μου
να 'βγει απ᾽ το στήθος, και τα γόνατα μου τρέμουν τ᾽ αντρειωμένα.
Όμως δουλειά εσύ τώρα αν γύρευες, μια και δεν πιάνει ο γύπνος
μηδέ και σένα, στους βαρδιατορες έλα μαζί να πάμε,
να δούμε, η αγρύπνια μην τους τσάκισε κι ο κάματος, και γείραν
να κοιμηθούνε, κι έτσι ολότελα τη βάρδια τους ξέχασαν.
Οι οχτροί κοντά εδώ πέρα κάθουνται, κι ουδέ κανείς μας ξέρει,
αν δεν τους κατεβεί τον πόλεμο ν᾽ ανοίξουν και τη νύχτα.»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
ο Δίας σα δύσκολο ο βαθύγνωμος του Εχτόρου τα χατίρια
όλα να του τα κάνει, ως πέτεται᾽ μα πιότερες ακόμα
θα πάθει συφορές, μου εικάζεται, φτάνει ο Αχιλλέας μια μέρα
τη μάνητα του την ανέσπλαχνη να διώξει απ᾽ την καρδιά του.
Μετά χαράς να 'ρθω᾽ μα θα 'θελα να πούμε και στους άλλους,
στον Οδυσσέα, στον πολεμόχαρο γιο του Τυδέα, κι ακόμα
στον Αία το γρήγορο, στον άτρομο γιο του Φυλέα, το Μέγη.
Να 'ταν και κάποιος που θα πήγαινε τρεχάτος να φωνάξει
να 'ρθουν και τούτοι, ο ισόθεος Αίαντας κι ο Ιδομενέας ο ρήγας·
τι τα δικά τους στέκουν άρμενα μακριά πολύ, στην άκρη.
Για το Μενέλαο νιώθω σέβαση κι αγάπη, κι όμως πρέπει
να τον μαλώσω· μην πικραίνεσαι μαζί μου, δεν το κρύβω'
γιατί κοιμάται, κι ολομόναχο σ᾽ αφήκε να παλεύεις,
που 'πρεπε εκείνος στους πρωτόγερους όλους να τρέχει τώρα
παρακαλώντας τους, τι αβάσταχτη μας έχει σφίξει ανάγκη.»
Κι ο πρωταφέντης Αγαμέμνονας απηλογιά του δίνει:

ὦ γέρον ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα·
πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι
οὔτ᾽ ὄκνῳ εἴκων οὔτ᾽ ἀφραδίῃσι νόοιο,
ἀλλ᾽ ἐμέ τ᾽ εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
νῦν δ᾽ ἐμέο πρότερος μάλ᾽ ἐπέγρετο καί μοι ἐπέστη·

τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾷς.
ἀλλ᾽ ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
ἐν φυλάκεσσ᾽, ἵνα γάρ σφιν ἐπέφραδον
ἠγερέθεσθαι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
οὕτως οὔ τίς οἱ νεμεσήσεται οὐδ᾽ ἀπιθήσει

Ἀργείων, ὅτε κέν τιν᾽ ἐποτρύνῃ καὶ ἀνώγῃ.
ὣς εἰπὼν ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν
διπλῆν ἐκταδίην, οὔλη δ᾽ ἐπενήνοθε λάχνη.

εἵλετο δ᾽ ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
βῆ δ᾽ ἰέναι κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
πρῶτον ἔπειτ᾽ Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον
ἐξ ὕπνου ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ
φθεγξάμενος· τὸν δ᾽ αἶψα περὶ φρένας ἤλυθ᾽ ἰωή,

ἐκ δ᾽ ἦλθε κλισίης καί σφεας πρὸς μῦθον ἔειπε·
τίφθ᾽ οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἷοι ἀλᾶσθε
νύκτα δι᾽ ἀμβροσίην, ὅ τι δὴ χρειὼ τόσον ἵκει;
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ

μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
ἀλλ᾽ ἔπε᾽, ὄφρα καὶ ἄλλον ἐγείρομεν ὅν τ᾽ ἐπέοικε
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι.
ὣς φάθ᾽, ὃ δὲ κλισίην δὲ κιὼν πολύμητις Ὀδυσσεὺς
ποικίλον ἀμφ᾽ ὤμοισι σάκος θέτο, βῆ δὲ μετ᾽
αὐτούς.

βὰν δ᾽ ἐπὶ Τυδεΐδην Διομήδεα· τὸν δὲ κίχανον
ἐκτὸς ἀπὸ κλισίης σὺν τεύχεσιν· ἀμφὶ δ᾽ ἑταῖροι
εὗδον, ὑπὸ κρασὶν δ᾽ ἔχον ἀσπίδας· ἔγχεα δέ σφιν
ὄρθ᾽ ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς
λάμφ᾽ ὥς τε στεροπὴ πατρὸς Διός· αὐτὰρ ὅ γ᾽ ἥρως

εὗδ᾽, ὑπὸ δ᾽ ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο,
αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυστο φαεινός.
τὸν παρστὰς ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ,
λὰξ ποδὶ κινήσας, ὄτρυνέ τε νείκεσέ τ᾽ ἄντην·
ἔγρεο Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;

«Άλλες φορές εγώ είμαι, γέροντα, που λέω να τον μαλώσεις·
τι δείχνει αναμελιά κι απάνω του καμιά δουλειά δεν παίρνει'
Οχι γιατί 'ναι οκνός για του 'λειψεν η γνώση, μόνο θέλει
εγώ ν᾽ αρχίζω πρώτος πάντα μου, και με κοιτάει στα μάτια.
Μ᾽ απόψε πρώτος ξεπετάχτηκε μονάχος και με βρήκε,
κι εγώ να κράξει ευτύς τον έστειλα τους αντρειανούς που θέλεις.
Πάμε λοιπόν, θα τους πετύχουμε μπροστά απ'τις πόρτες όλους,
στους φύλακες· εκεί παράγγειλα να γίνει η σύναξη μας.»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Έτσι κανείς απ᾽ όσους έτρεξε να ξεσηκώσει να 'ρθουν

δε θ᾽ αψηφήσει λέω τα λόγια του κι ουδέ θα του θυμώσει.»
Αυτά είπε ο γέροντας, και φόρεσε στα στήθια το χιτώνα,
και σάνταλα πανώρια πέρασε στ᾽ αστραφτερά του πόδια,
κι έριξε γύρα του και στέριωσε την πορφυρή φλοκάτα,
που 'ταν διπλή, φαρδιά, κι απάνω της πυκνό το χνούδι ανθούσε'
και το γερό κοντάρι αρπάζοντας το καλοακονισμένο
κινάει στα πλοία των χαλκοθώρακων των Αχαιών να φτάσει.
Τον Οδυσσέα πιο πρώτα εσήκωσε, που 'χε θεού τη γνώση,
ο αλογατάς γερήνιος Νέστορας από τον ύπνο τότε
φωνάζοντας τον κι όπως άκουσεν εκείνος τη φωνή του,

μεμιάς πετάχτη απ᾽ το καλύβι του κι έτσι μιλάει ρωτώντας:
«Ποια να 'ν᾽ η ανάγκη που σας έσφιξε και στ᾽ άρμενα μας δίπλα
γυρνάτε μόνοι στο στρατόπεδο, μέσα στη θεία τη νύχτα;»
Και τότες ο γερήνιος Νέστορας ο αλογολάτης του 'πε:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
συμπάθα μας! κακό ανεβάσταγο τους Αχαιούς πλακώνει.
Μον᾽ έλα, ακλούθα μας, ν᾽ ασκώσουμε κι άλλον κανένα, απ᾽ όσους
κρέμεται η απόφαση, θα φύγουμε για εδώ θα πολεμούμε.»
Τότε ο Οδυσσέας ο πολυκάτεχος γυρνώντας στο καλύβι
φορεί σκουτάρι απά στους ώμους του και πάει μαζί κι εκείνος.

Για το Διομήδη ευτύς εκίνησαν απόξω απ᾽ το καλύβι
με τ᾽ άρματα του εκείνος πλάγιαζε᾽ κι οι σύντροφοί του γύρα
κοιμόνταν, κι είχαν για προσκέφαλο σκουτάρια, και στο χώμα
είχαν μπηγμένα τα κοντάρια τους απ᾽ την ουρά, κι αλάργα
σαν αστραπή του Δία στραφτάλιζαν απ᾽ το χαλκό᾽ κι εκείνος
σε στρώμα από τομάρι επλάγιαζε βοδιού καλοθρεμμένου,
κι είχε απλωμένο για προσκέφαλο καλόφαντο κιλίμι.
Κι ο αλογατάς γερήνιος Νέστορας σιμώνει, με το πόδι
τον σπρώχνει, τον ξυπνά φωνάζοντας και λέει μαλώνοντας τον:
« Διομήδη, σήκω! Δεν τον χόρτασες ολονυχτίς τον ύπνο;

οὐκ ἀΐεις ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο
εἵαται ἄγχι νεῶν, ὀλίγος δ᾽ ἔτι χῶρος ἐρύκει;
ὣς φάθ᾽, ὃ δ᾽ ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσε,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
σχέτλιός ἐσσι γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις.

οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν
οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν βασιλήων
πάντῃ ἐποιχόμενοι; σὺ δ᾽ ἀμήχανός ἐσσι γεραιέ.
τὸν δ᾽ αὖτε προσέειπε Γερήνιος ἱππότα Νέστωρ·
ναὶ δὴ ταῦτά γε πάντα φίλος κατὰ μοῖραν ἔειπες.

εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς ἠὲ βιῶναι.

ἀλλ᾽ ἴθι νῦν Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον· σὺ γάρ ἐσσι νεώτερος· εἴ μ᾽ ἐλεαίρεις.
ὣς φάθ᾽, ὃ δ᾽ ἀμφ᾽ ὤμοισιν ἑέσσατο δέρμα λέοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ᾽ ἔγχος.
βῆ δ᾽ ἰέναι, τοὺς δ᾽ ἔνθεν ἀναστήσας ἄγεν ἥρως.

οἳ δ᾽ ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
οὐδὲ μὲν εὗδοντας φυλάκων ἡγήτορας εὗρον,
ἀλλ᾽ ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ᾽ ὕλην

ἔρχηται δι᾽ ὄρεσφι· πολὺς δ᾽ ὀρυμαγδὸς ἐπ᾽ αὐτῷ
ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν·
ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει
νύκτα φυλασσομένοισι κακήν· πεδίον δὲ γὰρ αἰεὶ
τετράφαθ᾽, ὁππότ᾽ ἐπὶ Τρώων ἀΐοιεν ἰόντων.

τοὺς δ᾽ ὃ γέρων γήθησεν ἰδὼν θάρσυνέ τε μύθῳ
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
οὕτω νῦν φίλα τέκνα φυλάσσετε· μηδέ τιν᾽ ὕπνος
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.
ὣς εἰπὼν τάφροιο διέσσυτο· τοὶ δ᾽ ἅμ᾽ ἕποντο

Ἀργείων βασιλῆες ὅσοι κεκλήατο βουλήν.
τοῖς δ᾽ ἅμα Μηριόνης καὶ Νέστορος ἀγλαὸς υἱὸς
ἧϊσαν· αὐτοὶ γὰρ κάλεον συμμητιάασθαι.
τάφρον δ᾽ ἐκδιαβάντες ὀρυκτὴν ἑδριόωντο
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος

και δεν ακούς οι Τρώες πως κάθουνται στο στήθωμα του κάμπου,
στα πλοία κοντά, και που δεν έμεινε πολύς στη μέση τόπος;»
Είπε, κι εκείνος απ᾽ τον ύπνο του μεμιάς πετάχτη ολόρθος,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Αλήθεια, γέροντα, είσαι ακούραστος κι αναπαμό δεν ξέρεις'
άλλοι Αχαιοί μαθές δε βρέθηκαν πιο νιοί από σένα τώρα,
που ολούθε τρέχοντας στους άρχοντες να παν να τους ξυπνήσουν;
Μα δεν μπορεί κανένας, γέροντα, να μετρηθεί μαζί σου.»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Αυτά που λες, αλήθεια, φίλε μου, πολύ σωστά και δίκια'

έχω και γιους εγώ αψεγάδιαστους, έχω κι ανθρώπους άλλους
πολλούς, που θα μπορούσε κάποιος τους να πάει και να τους
κράξει'
όμως ανάγκη τώρα αβάσταχτη πλακώνει τους Αργίτες'
από μια τρίχα η τύχη κρέμεται την ώρα αυτή ολονών μας,
οι Αργίτες τώρα αν θα γλιτώσουμε για αν πάμε κατ᾽ ανέμου.
Μον᾽ τρέχα τώρα, τι είσαι νιότερος, και το γοργό τον Αία
και του Φυλέα το γιο ξεσήκωσε, σπλαχνιά για μένα αν νιώθεις.»
Είπε, κι εκείνος γύρω του έριξε τομάρι από φλογάτο
λιόντα τρανό, μακρύ ως τα πόδια του, και πήρε το κοντάρι'
κινάει το δρόμο, τους ξεσήκωσε, τους έφερε μαζί του.

Κι όταν εκείνοι φτάσαν κι έσμιξαν τις συναγμένες βάρδιες,
τους αρχηγούς τους δεν τους πέτυχαν παραδομένους σ᾽ ύπνο,
μόνο συνάρματοι όλοι κι άγρυπνοι κάθονταν και φύλαγαν.
Πώς γύρω από τ᾽ αρνιά φυλάγοντας κακονυχτούν οι σκύλοι
μέσα στη μάντρα, αγρίμι ακούγοντας στο δάσος θρασεμένο
να φτάνει απ᾽ τα βουνά, και τάραχο μεγάλο απ᾽ αφορμή του
σκυλιά κι ανθρώποι ξεσηκώνουνε, και λησμονούν τον ύπνο'
όμοια είχε λείψει κι απ᾽ τα μάτια τους ο γλυκός ύπνος, Ολη
τη νύχτα την κακιά που εφύλαγαν στον κάμπο γυρισμένοι
στηναν αφτί ν᾽ ακούσουν, πάνω τους ποιάν ώρα οι Τρώες θα
πέσουν.

Κι όπως τους είδε, εχάρη ο γέροντας, και λέει γκαρδιώνοντάς τους,
και κράζοντας τους με ανεμάρπαστα τους συντυχαίνει λόγια:
«Έτσι, παιδιά, φυλάτε᾽ ούτε ένας σας τον ύπνο μην αφήσει
να τον δαμάσει, κι αναγέλασμα γενούμε των οχτρώ μας.»
Είπε, και το χαντάκι επέρασε᾽ κι οι Αργίτες βασιλιάδες,
οι καλεσμένοι για τη μάζωξη, ξοπίσω του ακλουθούσαν
κι ο γιος του Νέστορα ο πανέμνοστος μαζί τους κι ο Μηριόνης
έρχονταν, τι οι ίδιοι τους εφώναξαν να βουλευτούν ομάδι.
Κι ως το σκαφτό χαντάκι εδιάβηκαν, πηγαίνουν και καθίζουν
σε ανοιχτό τόπο, που δε σκέπαζαν κουφάρια από πεσμένους,

πιπτόντων· ὅθεν αὖτις ἀπετράπετ’ ὄβριμος Ἕκτωρ
ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν.
ἔνθα καθεζόμενοι ἔπε’ ἀλλήλοισι πίφαυσκον·
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
ὦ φίλοι οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ’ ἑῷ αὐτοῦ
θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους
ἐλθεῖν, εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
ἅσσά τε μητιόωσι μετὰ σφίσιν, ἠ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλιν δὲ
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ’ Ἀχαιούς.
ταῦτά κε πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
πάντας ἐπ’ ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή·
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι
τῶν πάντων οἱ ἕκαστος ὅϊν δώσουσι μέλαιναν
θῆλυν ὑπόρρηνον· τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ’ ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρέσται.
ὣς ἔφαθ’, οἳ δ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Νέστορ ἔμ’ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων
Τρώων· ἀλλ’ εἴ τίς μοι ἀνὴρ ἅμ’ ἕποιτο καὶ ἄλλος
μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται.
σύν τε δύ’ ἐρχομένω καί τε πρὸ ὃ τοῦ ἐνόησεν
ὅππως κέρδος ἔῃ· μοῦνος δ’ εἴ πέρ τε νοήσῃ
ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις.
ὣς ἔφαθ’, οἳ δ’ ἔθελον Διομήδεϊ πολλοὶ ἕπεσθαι.
ἠθελέτην Αἴαντε δύω θεράποντες Ἄρηος,
ἤθελε Μηριόνης, μάλα δ’ ἤθελε Νέστορος υἱός,
ἤθελε δ’ Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος,
ἤθελε δ’ ὁ τλήμων Ὀδυσεὺς καταδῦναι ὅμιλον
Τρώων· αἰεὶ γάρ οἱ ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Τυδεΐδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ
τὸν μὲν δὴ ἕταρόν γ’ αἱρήσεαι ὄν κ’ ἐθέλῃσθα,
φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.
μηδὲ σύ γ’ αἰδόμενος σῇσι φρεσὶ τὸν μὲν ἀρείω
καλλείπειν, σὺ δὲ χείρον’ ὀπάσσεαι αἰδοῖ εἴκων
ἐς γενεὴν ὀρόων, μηδ’ εἰ βασιλεύτερός ἐστιν.

κείθε που πριν ο μέγας Έχτορας, χαλνώντας τους Αργίτες,
είχε αναγύρει πίσω, ως τύλιξε τα πάντα γύρα η νύχτα.
Εκεί κάθισαν τότε κι άρχισαν τα λόγια αναμεσό τους’
και πρώτος ο γερήνιος Νέστορας μιλούσε ο αλογολάτης:
«Φίλοι, ποιος θα 'ναι τώρα απ’ όλους μας που θα το πει η καρδιά του
και μες στους Τρώες τους αντροδύναμους να πάει θ’ αποκοτήσει,
μπας και κανένα οχτρό, που απόμεινε μονάχος πίσω, πιάσει,
για μες στους Τρώες κανένα λόγο τους ακούσει, για να ιδούμε
ποιάν έχουν πάρει τώρα απόφαση: στα πλοία κοντά να μείνουν
μακριά απ’ το κάστρο τους στοχάζουνται, για λεν να γύρουν πίσω
και μέσα να κλειστούν, σα νίκησαν πια τώρα τους Αργίτες;
Αν ήταν όλα αυτά να μάθαινε και πίσω μας γυρνούσε
γερός εδώ, μεγάλη η δόξα του μες στους ανθρώπους όλους
κάτω απ’ τα ουράνια, και θα κέρδιζε λαμπρό από πάνω δώρο’
τι οι πιο τρανοί αρχηγοί, τ’ Αργίτικα που κυβερνούν καράβια,
από μια μαύρη θα του δώσουνε καθένας προβατίνα,
μ’ αρνάκι βυζανιάρικο’ όμοιο της δε βρίσκεται άλλο πλούτος’
και στις χαρές και στα τραπέζια μας μαζί μας θα 'ναι πάντα.»
Τέτοια μιλούσε, κι οι άλλοι απόμειναν και δεν έβγαναν άχνα'
κι είπε ο Διομήδης ο βροντόφωνος αναμεσό τους τότε:
«Νέστορα, εμένα σπρώχνει η πέρφανη καρδιά και το κουράγιο
μες στους οχτρούς, κοντά που βρίσκουνται, να μπω να μη με νιώσουν,
τους Τρώες· ωστόσο να 'ρθει αν έλεγα μαζί μου κι ένας άλλος,
με πιο ξεθαρρεσιά θα πήγαινα και πιότερο κουράγιο.
Σαν πάνε δυο μαζί, στοχάζεται πριν απ’ τον έναν ο άλλος
το που φελά’ μ’ αν πας μονάχος σου, κι αν στοχαστείς, μα πάλε
τόσο μακριά δεν πάει το μάτι σου κι είναι άπλερος ο νους σου.»
Είπε ο Διομήδης, και πετάχτηκαν πολλοί να παν μαζί του'
οι δυο τους Αίαντες πρώτα το 'θελαν να παν οι πολέμαρχοι,
και το 'θελε κι ο γιος του Νέστορα, και το 'θελε ο Μηριόνης,
κι ο γιος του Ατρέα, ο Μενέλαος, το 'θελε, τρανός κονταρομάχος,
και το 'θελε κι ο καρτερόψυχος κρυφά Οδυσσέας στ’ ασκέρι
των Τρωών να μπει’ τι πάντα ορέγουνταν τον κίντυνο η καρδιά του.
Κι ο πρωταφέντης Αγαμέμνονας γυρνώντας είπε τότε:
«Γιε του Τυδέα, Διομήδη, ολόκαρδη που σου 'χω αγάπη πάντα,
το σύντροφο μονάχος διάλεξε που θες μαζί να πάρεις,
απ’ όσους θέλουν τον καλύτερο’ τι λαχταρούν περίσσιοι.
και μην ντραπείς και τον καλύτερο να μείνει πίσω αφήσεις
και πάρεις πιο αχαμνό, τι ντρέπεσαι θωρώντας τη γενιά του.
Όχι μην πας μ’ αυτόν, τρανότερος ρηγάρχης κι ας λογιέται.»

ὣς ἔφατ’, ἔδεισεν δὲ περὶ ξανθῷ Μενελάῳ.
τοῖς δ’ αὖτις μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ’ αὐτὸν ἑλέσθαι,
πῶς ἂν ἔπειτ’ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ ἑ Παλλὰς Ἀθήνη.
τούτου γ’ ἑσπομένοιο καὶ ἐκ πυρὸς αἰθομένοιο
ἄμφω νοστήσαιμεν, ἐπεὶ περίοιδε νοῆσαι.
τὸν δ’ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τυδεΐδη μήτ’ ἄρ με μάλ’ αἴνεε μήτέ τι νείκει·
εἰδόσι γάρ τοι ταῦτα μετ’ Ἀργείοις ἀγορεύεις.
ἀλλ’ ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ’ ἠώς,
ἄστρα δὲ δὴ προβέβηκε, παροίχωκεν δὲ πλέων νὺξ
τῶν δύο μοιράων, τριτάτη δ’ ἔτι μοῖρα λέλειπται.
ὣς εἰπόνθ’ ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην.
Τυδεΐδῃ μὲν δῶκε μενεπτόλεμος Θρασυμήδης
φάσγανον ἄμφηκες· τὸ δ’ ἐὸν παρὰ νηῒ λέλειπτο·
καὶ σάκος· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.
Μηριόνης δ’ Ὀδυσῆϊ δίδου βιὸν ἠδὲ φαρέτρην
καὶ ξίφος, ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
ῥινοῦ ποιητήν· πολέσιν δ’ ἔντοσθεν ἰμᾶσιν
ἐντέτατο στερεῶς· ἔκτοσθε δὲ λευκοὶ ὀδόντες
ἀργιόδοντος ὑὸς θαμέες ἔχον ἔνθα καὶ ἔνθα
εὖ καὶ ἐπισταμένως· μέσσῃ δ’ ἐνὶ πῖλος ἀρήρει.
τήν ῥά ποτ’ ἐξ Ἐλεῶνος Ἀμύντορος Ὀρμενίδαο
ἐξέλετ’ Αὐτόλυκος πυκινὸν δόμον ἀντιτορήσας,
Σκάνδειαν δ’ ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι·
Ἀμφιδάμας δὲ Μόλῳ δῶκε ξεινήϊον εἶναι,
αὐτὰρ ὃ Μηριόνῃ δῶκεν ᾧ παιδὶ φορῆναι·
δὴ τότ’ Ὀδυσσῆος πύκασεν κάρη ἀμφιτεθεῖσα.
τὼ δ’ ἐπεὶ οὖν ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην,
βάν ῥ’ ἰέναι, λιπέτην δὲ κατ’ αὐτόθι πάντας
ἀρίστους.
τοῖσι δὲ δεξιὸν ἦκεν ἐρῳδιὸν ἐγγὺς ὁδοῖο
Παλλὰς Ἀθηναίη· τοὶ δ’ οὐκ ἴδον ὀφθαλμοῖσι
νύκτα δι’ ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουσαν.
χαῖρε δὲ τῷ ὄρνιθ’ Ὀδυσεύς, ἠρᾶτο δ’ Ἀθήνῃ·
κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω

Αυτά είπε, τον ξανθό τρομάζοντας Μενέλαο μήπως πάρει.
Τότε ο Διομήδης ο βροντόφωνος πήρε ξανά το λόγο:
«Μια και μ’ αφήνετε το σύντροφο να τον διαλέξω ατός μου,
να λησμονήσω εγώ πώς γίνεται τον Οδυσσέα το θείο,
που 'χει καρδιά γερή, κι ατρόμητη στα κίντυνα η ψυχή του
η πέρφανη, και την αγάπη της του χάρισε η Παλλάδα;
Αν μ’ ακλουθούσε τέτοιος σύντροφος, κι απ’ της φωτιάς τις φλόγες
οι δυο μας πίσω θα γυρίζαμε, τι είναι ξεφτέρι ο νους του.»
Κι ο αρχοντογέννητος πολύπαθος του απάντησε Οδυσσέας:
«Πολλά παινάδια για μαλώματα, γιε του Τυδέα, δε θέλω'
γιατί όλα τώρα αυτά που μίλησες οι Αργίτες τα κατέχουν.
Μον’ πάμε’ η νύχτα κιόλας διάβηκε κι ή χαραυγή σιμώνει'
γείραν τ’ αστέρια πια και πέρασε το πιο πολύ της νύχτας'
δυο τρίτα πέρασαν κι απόμεινε μονάχα το στερνό της.»
Έτσι έλεγαν, κι αμέσως άρματα τρομαχτικά φόρεσαν.
Το δίκοπο σπαθί απ’ τον άτρομο το θρασυμήδη επήρε
τότε ο Διομήδης, τι είχε στ’ άρμενα ξεχάσει το δικό του,
και το σκουτάρι. Στο κεφάλι του φοράει ταυρίσιο κράνος,
με δίχως φούντα, δίχως κέρατα, που λέγεται κασίδι,
και το κεφάλι απ’ τα χτυπήματα φυλάει στους αντρειωμένους.
Δοξάρι κι ο Μηριόνης έδωκε, σπαθί και σαϊτολόγο
στον Οδυσσέα, και στο κεφάλι του κράνος φοράει, φτιαγμένο
από τομάρι, κι από μέσα του λουριά πολλά το δέναν,
στεριά πολύ, κι απόξω το 'σκεπαν ολούθε γύρω δόντια
λευκά, από ασπρόδοντο αγριογούρουνο, με μαστοριά αρμοσμένα
μεγάλη, κι από μέσα το 'ντυνε μαλλί πατικωμένο.
Κάποτε το 'χε κλέψει ο Αυτόλυκος, του Αμύντορα το σπίτι,
του γιου του Ορμένου, σύντας πάτησε, το στέριο, στην Έλιωνα,
και του Αμφιδάμαντα απ’ τα Κύθηρα το χάρισε, στη Σκάντεια'
κι αυτός φίλιας κι αγάπης χάρισμα στο Μόλο το χαρίζει'
κι ο Μόλος στο Μηριόνη το 'δωκε, το γιο του, να το βάζει.
και τώρα το κεφάλι εσκέπασε τρογύρα του Οδυσσέα.
Έτσι λοιπόν οι δυο τους, άρματα τρομαχτικά ως φόρεσαν,
κινούν και φεύγουν, πίσω αφήνοντας τους βασιλιάδες όλους.
Δεξιά μεριά τους νυχτοκόρακα, στο δρόμο πλάι, τους στέλνει
τότε η Αθηνά, κι αν με τα μάτια τους εκείνοι δεν τον είδαν
στη σκοτεινή νυχτιά, μα γρίκηξαν καλά το σκούξιμό του.
Κι απ’ το πουλί ο Οδυσσέας εχάρηκε και στην Παλλάδα κράζει:
«Κόρη του Δία του βροντοσκούταρου, που πάντα πλάι μου στέκεις,
σε κάθε μόχτο μου, κι απάνω μου το μάτι σου στο κάθε

κινύμενος· νῦν αὖτε μάλιστά με φῖλαι Ἀθήνη,
δὸς δὲ πάλιν ἐπὶ νῆας ἐϋκλεῖας ἀφικέσθαι
ῥέξαντας μέγα ἔργον, ὅ κε Τρώεσσι μελήσῃ.
δεύτερος αὖτ᾽ ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
κέκλυθι νῦν καὶ ἐμεῖο Διὸς τέκος Ἀτρυτώνη·

σπεῖό μοι ὡς ὅτε πατρὶ ἅμ᾽ ἕσπεο Τυδέϊ δίῳ
ἐς Θήβας, ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελος ᾖει.
τοὺς δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀσωπῷ λίπε χαλκοχίτωνας Ἀχαιούς,
αὐτὰρ ὃ μειλίχιον μῦθον φέρε Καδμείοισι
κεῖσ᾽· ἀτὰρ ἄψ ἀπιὼν μάλα μέρμερα μήσατο ἔργα

σὺν σοὶ δῖα θεά, ὅτε οἱ πρόφρασσα παρέστης.
ὣς νῦν μοι ἐθέλουσα παρίσταο καί με φύλασσε.
σοὶ δ᾽ αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας.

ὣς ἔφαν εὐχόμενοι, τῶν δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη.
οἳ δ᾽ ἐπεὶ ἠρήσαντο Διὸς κούρῃ μεγάλοιο,
βάν ῥ᾽ ἴμεν ὥς τε λέοντε δύω διὰ νύκτα μέλαιναν
ἂμ φόνον, ἂν νέκυας, διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα.
οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ

εὕδειν, ἀλλ᾽ ἄμυδις κικλήσκετο πάντας ἀρίστους,
ὅσσοι ἔσαν Τρώων ἡγήτορες ἠδὲ μέδοντες·
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν·
τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειε
δώρῳ ἔπι μεγάλῳ; μισθὸς δέ οἱ ἄρκιος ἔσται.

δώσω γὰρ δίφρόν τε δύω τ᾽ ἐριαύχενας ἵππους
οἵ κεν ἄριστοι ἔωσι θοῇς ἐπὶ νηυσὶν Ἀχαιῶν
ὅς τίς κε τλαίη, οἵ τ᾽ αὐτῷ κῦδος ἄροιτο,
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
ἠέ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,

ἦ ἤδη χείρεσσιν ὑφ᾽ ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ᾽ ἐθέλουσι
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ἦν δέ τις ἐν Τρώεσσι Δόλων Εὐμήδεος υἱὸς

κήρυκος θείοιο πολύχρυσος πολύχαλκος,
ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης·
αὐτὰρ ὃ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν.
ὅς ῥα τότε Τρωσίν τε καὶ Ἕκτορι μῦθον ἔειπεν·
Ἕκτορ ἔμ᾽ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ

ξεκίνημα μου, την αγάπη σου πιότερο τώρα δείξε!
Δώσε, Αθηνά, στα πλοία να γύρουμε ξανά γεμάτοι δόξα,
έργο περίτρανο αφού κάνουμε, που οι Τρώες να το θυμούνται.»
Με τη σειρά του κι ο βροντόφωνος Διομήδης προσευκήθη:
«Άκου και μένα τώρα, αδάμαστη κόρη του Δία, και στάσου
στο πλάι μου, ως στάθης και στον κύρη μου, το θείο Τυδέα, στη Θήβα,
σύντας ετράβηξε μαντάτορας σταλτός απ᾽ τους Αργίτες.
Στον Ασωπό τους χαλκοθώρακους αφήκε Αργίτες πίσω,
κι αυτός επήγε ειρήνης μήνυμα να φέρει στους Καδμείους'
όμως φριχτά κακά μελέτησε στο γυρισμό του αλήθεια,

μαζί, θεά, με σένα, πρόθυμη που εστάθης στο πλευρό του.
Όμοια και μένα τώρα βοήθησε και φύλαγε με, αν θέλεις,
και θα σου σφάξω φαρδιοκούτελη, μονόχρονη δαμάλα,
αδάμαστη, που δεν την έβαλαν ακόμα στο ζυγό της·
τέτοια θα σφάξω εγώ, τα κέρατα περιχρυσώνοντάς της.»
Αυτά ευκηθήκαν, και τα λόγια τους συνάκουσε η Παλλάδα.
Κι αυτοί, στην κόρη ως προσευκήθηκαν του Δία του τρισμεγάλου,
σα δυο λιοντάρια πήραν κι έτρεχαν στη μαύρη μέσα νύχτα,
μέσα από γαίμα κι από θάνατο κι αρμάτες και κουφάρια.
Μα κι ο Έχτορας τους Τρώες τους πέρφανους δεν άφηνε καθόλου

να κοιμηθούν, μονάχα εφώναξε να μαζωχτούν οι πρώτοι,
όσοι απ᾽ τους Τρώες λογιούνταν άρχοντες και πρωτοκεφαλάδες·
κι ως συνάχτηκαν, τι σοφίστηκε τρανό τους φανερώνει:
« Ποιος τη δουλειά θα πάρει απάνω του που θέλω; Θα του δώσω
δώρο τρανό, και θα 'χει αντίμεψη που δε θ᾽ αξίζει λίγο:
αμάξι εγώ και δυο αψηλόλαιμα φαριά, τα πιο αντρειωμένα
που βρίσκουνται στα πλοία τα γρήγορα των Αχαιών, του δίνω,
αν του το πει η καρδιά και ρέγεται τρανή να πάρει δόξα,
να πάει κοντά στα γοργοτάξιδα καράβια και να μάθει,
τάχα τα γρήγορα καράβια τους φυλάγουνται ως και πρώτα,

για δαμασμένοι πια απ᾽ τα χέρια μας άρχισαν μεταξύ τους
να κουβεντιάζουν πως θα φύγουνε, κι ουδέ και θέλουν τώρα
τη νύχτα να φυλάν, τι απόστασαν του κόπου τσακισμένοι;»
Έτσι μιλούσε, κι όλοι εκόμπιασαν και δεν έβγαναν άχνα.
Ηταν εκεί και κάποιος Δόλωνας, του Ευμήδη γιος του κράχτη,
στους Τρώες ανάμεσα· πολύχρυσος, πολύχαλκος λογιόταν
δεν ήταν όμορφος στο πρόσωπο, μα είχε γοργά ποδάρια,
κι ήταν ο μόνος γιος του κύρη του μες σε άδερφάδες πέντε.
και τότε μίλησε στον Έχτορα, κι οι Τρώες άκουγαν όλοι:
«Έχτορα, εμένα σπρώχνει η πέρφανη καρδιά και το κουράγιο

νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
ἀλλ᾽ ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλεΐωνα,
σοὶ δ᾽ ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ᾽ ἀπὸ δόξης·
τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερὲς ὄφρ᾽ ἂν ἵκωμαι
νῆ᾽ Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι
βουλὰς βουλεύειν ἠ φευγέμεν ἠὲ μάχεσθαι.
ὣς φάθ᾽, ὃ δ᾽ ἐν χερσὶ σκῆπτρον λάβε καί οἱ ὄμοσσεν·
ἴστω νῦν Ζεὺς αὐτὸς ἐρίγδουπος πόσις Ἥρης
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι.
ὣς φάτο καί ῥ᾽ ἐπίορκον ἐπώμοσε, τὸν δ᾽ ὀρόθυνεν·
αὐτίκα δ᾽ ἀμφ᾽ ὤμοισιν ἐβάλλετο καμπύλα τόξα,
ἔσσατο δ᾽ ἔκτοσθεν ῥινὸν πολιοῖο λύκοιο,
κρατὶ δ᾽ ἐπὶ κτιδέην κυνέην, ἕλε δ᾽ ὀξὺν ἄκοντα,
βῆ δ᾽ ἰέναι προτὶ νῆας ἀπὸ στρατοῦ· οὐδ᾽ ἄρ᾽ ἔμελλεν
ἐλθὼν ἐκ νηῶν ἄψ Ἕκτορι μῦθον ἀποίσειν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵππων τε καὶ ἀνδρῶν κάλλιφ᾽ ὅμιλον,
βῆ ῥ᾽ ἀν᾽ ὁδὸν μεμαώς· τὸν δὲ φράσατο προσιόντα
διογενὴς Ὀδυσεύς, Διομήδεα δὲ προσέειπεν·
οὗτός τις Διόμηδες ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ,
οὐκ οἶδ᾽ ἢ νήεσσιν ἐπίσκοπος ἡμετέρῃσιν,
ἦ τινα συλήσων νεκύων κατατεθνηώτων.
ἀλλ᾽ ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ᾽ αὐτὸν ἐπαΐξαντες ἕλοιμεν
καρπαλίμως· εἰ δ᾽ ἄμμε παραφθαίησι πόδεσσιν,
αἰεί μιν ἐπὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν
ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξῃ.
ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ ἐν νεκύεσσι
κλινθήτην· ὃ δ᾽ ἄρ᾽ ὦκα παρέδραμεν ἀφραδίῃσιν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀπέην ὅσσόν τ᾽ ἐπὶ οὖρα πέλονται
ἡμιόνων· αἱ γάρ τε βοῶν προφερέστεραί εἰσιν
ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον·
τὼ μὲν ἐπεδραμέτην, ὃ δ᾽ ἄρ᾽ ἔστη δοῦπον ἀκούσας.
ἔλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους
ἐκ Τρώων ἰέναι πάλιν Ἕκτορος ὀτρύναντος.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄπεσαν δουρηνεκὲς ἠ καὶ ἔλασσον,
γνῶ ῥ᾽ ἄνδρας δηΐους, λαιψηρὰ δὲ γούνατ᾽ ἐνώμα
φευγέμεναι· τοὶ δ᾽ αἶψα διώκειν ὁρμήθησαν.

να πάω κοντά στα γοργοτάξιδα καράβια και να μάθω.
Μα το ραβδί σου τώρα σήκωσε ψηλά και κάμε μου όρκο,
πως τ᾽ άτια και το χαλκοπλούμιστο το αμάξι θα μου δώσεις,
αυτά που κουβαλούν τον άψεγο γιο του Πηλέα στη μάχη.
Δε θα σου βγω κακός μαντάτορας και θα φανώ ως με θέλεις·
μιαν άκρη ως άλλη εγώ το ασκέρι τους θα το διαβώ, ως να φτάσω
μπρος στο καράβι του Αγαμέμνονα, κει που οι ρηγάδες όλοι
βουλή θα στήνουν, αν θα φύγουνε, για πόλεμο αν θ᾽ ανοίξουν.»
Είπε, κι εκείνος του τ᾽ ορκίστηκε με το ραβδί στα χέρια:
«Στο Δία τον ίδιο, το βροντόχαρο της Ήρας άντρα, αμώνω:
δε θ᾽ ανεβεί σε τούτα τ᾽ άλογα ποτέ κανένας άλλος
από τους Τρώες, μον᾽ θα τα χαίρεσαι μονάχα εσύ για πάντα.»
Είπε, κι ορκίστηκε όρκον άνεργο, μ᾽ αυτός αναγκαρδιώθη'
κι ευτύς στους ώμους γύρα επέρασε το γυριστό δοξάρι'
λύκου ψαρού ετυλίχτη άπόξω του δερμάτι, στο κεφάλι
από κουνάβι κράνος φόρεσε, το σουβλερό κοντάρι
φουχτώνει, και κινάει για τ᾽ άρμενα᾽ κι ουδ᾽ ήτανε γραφτό του,
γυρνώντας απ᾽ τα πλοία, στον Έχτορα να φέρει τα μαντάτα.
Κι ως πίσω του άφησε τη μάζωξη, φαριά κι ανθρώπους—όλα,
πήρε το δρόμο γοργοπόδαρος· μα ως σίμωνε, τον είδε
πρώτα ο Οδυσσέας ο αρχοντογέννητος και του Διομήδη κάνει:
«Κάποιος, Διομήδη, από τ᾽ ασκέρι τους ζυγώνει κατά δώθε'
δεν ξέρω, για τα πλοία μας έρχεται, να ιδεί, να μαντατέψει,
για τους νεκρούς, εδώ που βρίσκουνται κοιτάμενοι, να γδύσει.
Να προσπεράσει ας τον αφήσουμε για λίγο μες στον κάμπο,
κι έπειτα πέφτοντας απάνω του τον πιάνουμε στα χέρια
μονοστιγμίς. Μ᾽ αν τούτος τρέχοντας ξεφύγει, στρίμωχνε τον
όλη την ώρα απάνω στ᾽ άρμενα, μακριά από τους δικούς του,
με το κοντάρι κυνηγώντας τον, στο κάστρο μη μας φύγει.»
Ως είπαν τούτα, επαραμέρισαν και μες στους σκοτωμένους
ξαπλώθηκαν, κι αυτός, ο ανέμυαλος, τους προσπερνάει με βιάση.
Μα μόλις πίσω του τους άφησε, σαν όσο δρόμο παίρνουν
μοναναπνιας μουλάρια σέρνοντας σε χέρσο απά χωράφι
το στέριο αλέτρι, τι έχουν πιότερο κουράγιο από τα βόδια,
του χύθηκαν. Κι αυτός εστάθηκε το σάλαγο γρικώντας.
Είπε μαθές μην είχεν ο Έχτορας καινούργια διάτα βγάλει,
κι έρχονταν απ᾽ τους Τρώες οι σύντροφοι να τον γυρίσουν πίσω.
Μα σύντας το πολύ τους χώριζε μια κονταριά μονάχα,
κι ένιωσε οχτροί πως ήταν, το 'βαλε μεμιάς γοργά στα πόδια,
να φύγει᾽ όμως οι δυο από πίσω του τον πήραν του κυνηγού.

ὡς δ᾽ ὅτε καρχαρόδοντε δύω κύνε εἰδότε θήρης
ἢ κεμάδ᾽ ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεί
χῶρον ἀν᾽ ὑλήενθ᾽, ὃ δέ τε προθέῃσι μεμηκώς,
ὣς τὸν Τυδεΐδης ἠδ᾽ ὃ πτολίπορθος Ὀδυσσεὺς
λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί.

ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλε μιγήσεσθαι φυλάκεσσι
φεύγων ἐς νῆας, τότε δὴ μένος ἔμβαλ᾽ Ἀθήνη
Τυδεΐδῃ, ἵνα μή τις Ἀχαιῶν χαλκοχιτώνων
φθαίη ἐπευξάμενος βαλέειν, ὃ δὲ δεύτερος ἔλθοι.
δουρὶ δ᾽ ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·

ἠὲ μέν᾽ ἠέ σε δουρὶ κιχήσομαι, οὐδέ σέ φημι
δηρὸν ἐμῆς ἀπὸ χειρὸς ἀλύξειν αἰπὺν ὄλεθρον.
ἦ ῥα καὶ ἔγχος ἀφῆκεν, ἐκὼν δ᾽ ἡμάρτανε φωτός·
δεξιτερὸν δ᾽ ὑπὲρ ὦμον ἐΰξου δουρὸς ἀκωκὴ
ἐν γαίῃ ἐπάγη· ὃ δ᾽ ἄρ᾽ ἔστη τάρβησέν τε

βαμβαίνων· ἄραβος δὲ διὰ στόμα γίγνετ᾽ ὀδόντων·
χλωρὸς ὑπαὶ δείους· τὼ δ᾽ ἀσθμαίνοντε κιχήτην,
χειρῶν δ᾽ ἀψάσθην· ὃ δὲ δακρύσας ἔπος ηὔδα·
ζωγρεῖτ᾽, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,

τῶν κ᾽ ὔμμιν χαρίσαιτο πατὴρ ἀπερείσι᾽ ἄποινα
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·

πῇ δὴ οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἷος
νύκτα δι᾽ ὀρφναίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι;
ἦ τινα συλήσων νεκύων κατατεθνηώτων;
ἦ σ᾽ Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα
νῆας ἔπι γλαφυράς; ἦ σ᾽ αὐτὸν θυμὸς ἀνῆκε;

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Δόλων, ὑπὸ δ᾽ ἔτρεμε γυῖα·
πολλῇσίν μ᾽ ἄτῃσι παρὲκ νόον ἤγαγεν Ἕκτωρ,
ὅς μοι Πηλεΐωνος ἀγαυοῦ μώνυχας ἵππους
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῷ,
ἠνώγει δέ μ᾽ ἰόντα θοὴν διὰ νύκτα μέλαιναν

ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ᾽ ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ᾽ ἐθέλουσι
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ.

Καθώς δυο σκύλες σουβλερόδοντες, πιτήδειες λαγωνιάρες,
πα σε λαγό ή λαφίνα ρίχνουνται μες σε πυκνό ρουμάνι
ζορίζοντας τη᾽ μουκανίζοντας εκείνη τρέχει ομπρός τους·
όμοια ο Διομήδης κι ο πολέμαρχος τότε Οδυσσέας τον πήραν
από κοντά κοντά, αξανάσαστα το δρόμο κόβοντας του.
Μα όπως τραβούσε κατά τ᾽ άρμενα κι ήταν να πέσει απάνω
στις βάρδιες, στο Διομήδη εφύσηξε τότε η Αθηνά κουράγιο,
κανένας απ᾽ τους χαλκοθώρακους να μην καυκιέται Αργίτης
πρώτος πως του 'ριξε, και δεύτερος πως ήρθε αυτός μονάχα.
Κι ο δυνατός Διομήδης του 'κραξε με το κοντάρι ορμώντας:

«Για στάσου, αλλιώς με το κοντάρι μου θα σε πετύχω, κι ούτε
λέω πως θ᾽ αργήσει από το χέρι μου γοργός να σε 'βρει ο Χάρος!»
Είπε και ρίχνει, και ξεπίτηδες δεν πέτυχε᾽ πιο πάνω
περνά από το δεξιό τον ώμο του το γυαλιστό κοντάρι,
κι η μύτη του στη γη καρφώθηκε, κι αυτός λυμένα γόνα
στάθηκε ασάλευτος (τα δόντια του χτυπούσαν μες στο στόμα)
πρασινισμένος απ᾽ το φόβο του· κι αυτοί λαχανιασμένοι
τον φτάνουν και τα χέρια του 'πιασαν, κι είπεν αυτός θρηνώντας:
«Ζωντάρι πιάστε με, κι αργότερα σας δίνω λύτρα, τι έχω
χρυσάφι και χαλκό και σίδερο με κόπο δουλεμένο.

Αρίφνητα από τούτα θα 'δινε για ξαγορά μου ο κύρης,
πως είμαι ζωντανός αν μάθαινε στ᾽ Αργίτικα καράβια.»
Τότε ο Οδυσσέας ο πολυκάτεχος του απηλογήθη κι είπε:
« Κάνε κουράγιο, και το θάνατο μη βάζει διόλου ο νους σου.
Μον᾽ έλα τώρα, δώσε απόκριση και πες την πάσα αλήθεια:
πως έτσι μόνος στα καράβια μας από το ασκέρι αλάργα
μες στης νυχτιάς το σκότος έρχεσαι, που όλοι οι θνητοί κοιμούνται;
Μην τους νεκρούς, εδώ που βρίσκουνται κοιτάμενοι, να γδύσεις;
Για μήπως ο Έχτορας τι κάνουμε να ιδείς εδώ σε στέλνει
στα πλοία τα βαθουλά; Για κι η ίδια σου καρδιά σε σπρώχνει να
'ρθεις;»

Κι είπεν ο Δόλωνας, και του 'τρεμαν τα γόνατα από κάτω:
«Ο Έχτορας πλάνεψε τα φρένα μου με τα μωρόλογά του,
που μου 'ταξε το χαλκοπλούμιστο να μου χαρίσει αμάξι,
μαζί και τ᾽ άτια τα μονόνυχα του ξακουστού Αχιλλέα'
και στους οχτρούς να τρέξω μ᾽ έσπρωχνε, να τους κοντοζυγώσω
μες στη γοργή νυχτιά την άφωτη, γυρεύοντας να μάθω,
τάχα τα γρήγορα καράβια τους φυλάγουνται ως και πρώτα,
για δαμασμένοι από τα χέρια μας άρχισαν μεταξύ τους
να κουβεντιάζουν πώς θα φύγουνε, κι ουδέ και θέλουν τώρα
τη νύχτα να φυλάν, τι απόστασαν του κόπου τσακισμένοι;»

τὸν δ᾽ ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμὸς
ἵππων Αἰακίδαο δαίφρονος· οἳ δ᾽ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ᾽ ὀχέεσθαι
ἄλλῳ γ᾽ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.

ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα ποιμένα λαῶν;
ποῦ δέ οἱ ἕντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι;
πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;
ἅσσά τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν

αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλιν δὲ
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ᾽ Ἀχαιούς.
τὸν δ᾽ αὖτε προσέειπε Δόλων Εὐμήδεος υἱός·
τοὶ γὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως καταλέξω.
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσί,

βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου
νόσφιν ἀπὸ φλοίσβου· φυλακὰς δ᾽ ἂς εἴρεαι ἥρως
οὔ τις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἵσιν ἀνάγκη
οἳ δ᾽ ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται

ἀλλήλοις· ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν·
οὐ γάρ σφιν παῖδες σχεδὸν εἴαται οὐδὲ γυναῖκες.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
πῶς γὰρ νῦν Τρώεσσι μεμιγμένοι ἱπποδάμοισιν

εὕδουσ᾽ ἢ ἀπάνευθε; δίειπέ μοι ὄφρα δαείω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Δόλων Εὐμήδεος υἱός·
τοὶ γὰρ ἐγὼ καὶ ταῦτα μάλ᾽ ἀτρεκέως καταλέξω.
πρὸς μὲν ἀλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί,

πρὸς Θύμβρης δ᾽ ἔλαχον Λύκιοι Μυσοί τ᾽ ἀγέρωχοι
καὶ Φρύγες ἱππόμαχοι καὶ Μῄονες ἱπποκορυσταί.
ἀλλὰ τί ἢ ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον
Θρῃϊκες οἷδ᾽ ἀπάνευθε νεήλυδες ἔσχατοι ἄλλων·

ἐν δέ σφιν Ῥῆσος βασιλεὺς πάϊς Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ᾽ ἀνέμοισιν ὁμοῖοι·
ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται·
τεύχεα δὲ χρύσεια πελώρια θαῦμα ἰδέσθαι

Αχνογελώντας ο πολύτεχνος του απάντησε Οδυσσέας:
«Πολύ μεγάλο αλήθεια χάρισμα λαχτάρησε η καρδιά σου,
του αντρόκαρδου Αχιλλέα τ'αλόγατα, που ζόρικο πολύ 'ναι
θνητοί να τα μερώσουν άνθρωποι και να τα κυβερνήσουν.
Μόνο ο Αχιλλέας μπορεί, τι αθάνατη τον έχει κάνει μάνα.
Μον᾽ έλα τώρα, δώσε απόκριση και πες την πάσα αλήθεια:
Σαν κίνησες για δω, τον Έχτορα πού αφήκες το ρηγάρχη;
Πού έχει ακουμπήσει, πες μου, τ᾽ άρματα; που στέκουν τ᾽ άλογά
του;
και με των άλλων Τρωών τι γίνεται τις βάρδιες; πού πλαγιάζουν;
Ποιάν έχουν πάρει τώρα απόφαση: στα πλοία κοντά να μείνουν

μακριά απ᾽ το κάστρο τους στοχάζουνται, για λεν να γύρουν πίσω
και μέσα να κλειστούν, σα νίκησαν πια τώρα τους Αργίτες;»
Κι ο γιος του Ευμήδη τότε, ο Δόλωνας, του απηλογήθη κι είπε:
«Εγώ σ᾽ αυτά που με αναρώτησες θα πω την πάσα αλήθεια'
ο Έχτορας κάνει τώρα σύναξη με τους πρωτογερόντους,
να πάρει απόφασες, και βρίσκεται στου Ίλου το μνήμα δίπλα,
μακριά απ᾽ τη χλαλοή, πολέμαρχε᾽ κι οι βάρδιες που ρωτάς με,
καμιά δε διαφεντεύει ξέχωρη κι ουδέ φυλάει τ᾽ ασκέρι.
Από τους Τρώες κρατιούνται ξάγρυπνοι πλάι στις φωτιές μονάχα
όσοι είναι ανάγκη, και τις βάρδιες τους ο ένας του άλλου φωνάζουν

να τις κρατούν ξύπνοι᾽ μα οι σύμμαχοι κοιμούνται οι ξακουσμένοι,
κι έχουν στους Τρώες αφήσει ολότελα του φυλαγμοϋ την έγνοια'
τι τα παιδιά και τις γυναίκες τους αυτοί κοντά δεν έχουν.»
Τότε ο Οδυσσέας ο πολυκάτεχος του απηλογήθη κι είπε:
« Χώρια κοιμούνται αυτοί, για ανάκατα με τους αλογατάδες
τους Τρώες; Για μίλα μου ξεκάθαρα᾽ θέλω καλά να ξέρω.»
Κι ο γιος του Ευμήδη τότε, ο Δόλωνας, του απηλογήθη κι είπε:
«Λέω και σ᾽ αυτά που τώρα ρώτησες να πω την πάσα αλήθεια'
γιαλού μεριά στέκονται οι Παίονες οι γυρτοδοξαράτοι,
μαζί κι οι Πελασγοί κι οι Λέλεγες κι οι Καύκωνες κι οι Κάρες'

κατά τη Θύβρη πάλε οι πέρφανοι Μυσοί με τους Λυκιώτες,
κι οι Μαίονες, οι τρανοί στον πόλεμο, κι οι αλογατάδες Φρύγες.
Μ᾽ από όλα τούτα ποιο είναι τ᾽ όφελος που με ψιλορωτατε;
Αν τώρα να χυθείτε θέλετε μέσα στων Τρωών τ᾽ ασκέρι,
να τους οι Θράκες, μόλις που 'φτασαν, στην άκρα, χώρια απ᾽
όλους.
Γιος του Ηονέα λογιέται ο ρήγας τους και Ρήσο τον φωνάζουν.
Σαν τα φαριά του έτσι πεντάμορφα και πιο τρανά δεν είδα'
κι από το χιόνι ακόμα ασπρότερα, γοργά σαν τους ανέμους.
Κι είναι το αμάξι του με μάλαμα κι ασήμι δουλεμένο.
Αρματωσιά χρυσή, θεόρατη, να ιδείς και να θαμάξεις,

ἦλυθ᾽ ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
ἄνδρεσσιν φορέειν, ἀλλ᾽ ἀθανάτοισι θεοῖσιν.
ἀλλ᾽ ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
ἠέ με δήσαντες λίπετ᾽ αὐτόθι νηλέϊ δεσμῷ,
ὄφρά κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο

ἠὲ κατ᾽ αἶσαν ἔειπον ἐν ὑμῖν, ἦε καὶ οὐκί.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
μὴ δή μοι φύξίν γε Δόλων ἐμβάλλεο θυμῷ·
ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.
εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν ἠὲ μεθῶμεν,

ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἠὲ διοπτεύσων ἢ ἐναντίβιον πολεμίξων·
εἰ δέ κ᾽ ἐμῇς ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,
οὐκέτ᾽ ἔπειτα σὺ πῆμά ποτ᾽ ἔσσεαι Ἀργείοισιν.
ἦ, καὶ ὃ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ

ἁψάμενος λίσσεσθαι, ὃ δ᾽ αὐχένα μέσσον ἔλασσε
φασγάνῳ ἀΐξας, ἀπὸ δ᾽ ἄμφω κέρσε τένοντε·
φθεγγομένου δ᾽ ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
τοῦ δ᾽ ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἔλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·

καὶ τά γ᾽ Ἀθηναίῃ ληΐτιδι δῖος Ὀδυσσεὺς
ὑψόσ᾽ ἀνέσχεθε χειρὶ καὶ εὐχόμενος ἔπος ηὔδα·
χαῖρε θεὰ τοῖσδεσσι· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιδωσόμεθ᾽· ἀλλὰ καὶ αὖτις
πέμψον ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππους τε καὶ ὠνάς.

ὣς ἄρ᾽ ἐφώνησεν, καὶ ἀπὸ ἕθεν ὑψόσ᾽ ἀείρας
θῆκεν ἀνὰ μυρίκην· δέελον δ᾽ ἐπὶ σῆμά τ᾽ ἔθηκε
συμμάρψας δόνακας μυρίκης τ᾽ ἐριθηλέας ὄζους,
μὴ λάθοι αὖτις ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
τὼ δὲ βάτην προτέρω διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα,

αἶψα δ᾽ ἐπὶ Θρῃκῶν ἀνδρῶν τέλος ἶξον ἰόντες.
οἳ δ᾽ εὗδον καμάτῳ ἀδηκότες, ἔντεα δέ σφιν
καλὰ παρ᾽ αὐτοῖσι χθονὶ κέκλιτο εὖ κατὰ κόσμον
τριστοιχί· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι.
Ῥῆσος δ᾽ ἐν μέσῳ εὗδε, παρ᾽ αὐτῷ δ᾽ ὠκέες ἵπποι

ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.
τὸν δ᾽ Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξεν·
οὗτός τοι Διόμηδες ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓς νῶϊν πίφαυσκε Δόλων ὃν ἐπέφνομεν ἡμεῖς.
ἀλλ᾽ ἄγε δὴ πρόφερε κρατερὸν μένος· οὐδέ τί σε
χρὴ

ήρθε φορώντας. Ν᾽ αρματώνουνται με τέτοια άρματα άνθρωποι
δε στέκει᾽ μοναχά σε αθάνατους θεούς αυτά ταιριάζουν.
Όμως εμένα τώρα φέρτε με στα γρήγορα καράβια,
για με σκοινιά ανελέητα δέστε με κι αφήστε με εδώ πέρα,
ως να γυρίστε πίσω κι έχετε σιγουρευτεί για μένα,
αν ό,τι τώρα σας μολόγησα σωστό 'τανε για κι όχι.»
Ταυροκοιτώντας τον του μίλησε τότε ο τρανός Διομήδης:
«Πια γλιτωμό δεν έχεις, Δόλωνα, στα χέρια τα δικά μας
μια κι έχεις πέσει, κι ας μας έδωσες καλά μαντάτα τώρα.
Γιατί αν με λύτρα σ᾽ απολύσουμε για κι αν σ᾽ αφήσουμε έτσι,

κι άλλη φορά θα 'ρθεις στα γρήγορα των Αχαιών καράβια
να σπιουνέψεις, για και πόλεμο και συ να μας ανοίξεις.
Μ᾽ αν δαμαστείς από το χέρι μου και τη ζωή σου χάσεις,
ποτέ σου πια κακό δε δύνεσαι να κάνεις στους Αργίτες.»
Είπε, κι ως ο άλλος το σαγόνι του με το χοντρό του χέρι
να πιάσει ελόγιαζε προσπέφτοντας, χιμάει, και το σπαθί του
κατάσβερκά του κατεβάζοντας, τα δυο του νεύρα κόβει,
κι όπως μιλούσε ακόμα, εκύλησε στο χώμα η κεφαλή του.
Παίρνουν εκείνοι απ᾽ το κεφάλι του το κουναβίσιο κράνος,
και το κοντάρι, το δοξάρι του και την προβιά του λύκου.

Στην κουρσολόγα τότε τ᾽ άσκωσε την Αθηνά ο Οδυσσέας,
ψηλά στα χέρια του, κι ευχήθηκε τέτοια μιλώντας λόγια:
«Χάρου με αυτά, θεά! Θα κράξουμε και πάλε εσένα πρώτη
απ᾽ όλους τους θεούς στον Όλυμπο. και συ με τη σειρά σου
συντρόφεψε μας στα θρακιώτικα φαριά και τα λημέρια.»
Είπε, και πάνω απ᾽ το κεφάλι του ψηλά τα κούρσα ασκώνει
και σε αρμυρίχι τα 'κρυψε, άσφαλτο σημάδι βάζοντας τους
καλάμια, που 'δεσε στα σύχλωρα του αρμυριχιού κλωνάρια,
μην τα λαθέψουν μες στην άφωτη γοργή νυχτιά, γυρνώντας.
Μετά τραβούσαν μέσα απ᾽ άρματα, μέσα από μαύρον αίμα,

κι ευτύς σε λίγο στους βαρδιάτορες των Θρακιωτών έφτασαν.
Κι αυτοί εκοιμόνταν απ᾽ τον κάματο βαλαντωμένοι, κι είχαν
πλάι τους στη γη τα ώρια τους άρματα με τάξη απιθωμένα
σε τρεις σειρές, και δίπλα του άλογα ζευγάρι είχε ο καθένας.
Στη μέση τους ο Ρήσος ύπνωνε, και τα γοργά φαριά του
πλάι του είχε δέσει, από το αμάξι του, στον κάτω κάτω γύρο.
Κι ως πρώτος ο Οδυσσέας τον ξέκρινε, τον δείχνει του Διομήδη:
«Διομήδη, τούτος είναι, κοίταξε, και τούτα τ᾽ άλογά του'
γι᾽ αυτά μας μίλησεν ο Δόλωνας, που έχουμε εμείς σκοτώσει.
Ομπρός, καιρός την αντρειοσύνη σου να δείξεις᾽ δε σου πρέπει

ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ᾽ ἵππους·
ἠὲ σύ γ᾽ ἄνδρας ἔναιρε, μελήσουσιν δ᾽ ἐμοὶ ἵπποι.
ὣς φάτο, τῷ δ᾽ ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη,
κτεῖνε δ᾽ ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ᾽ ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ᾽ αἵματι γαῖα.

ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθὼν
αἴγεσιν ἢ ὀΐεσσι κακὰ φρονέων ἐνορούσῃ,
ὣς μὲν Θρῄϊκας ἄνδρας ἐπῴχετο Τυδέος υἱὸς
ὄφρα δυώδεκ᾽ ἔπεφνεν· ἀτὰρ πολύμητις Ὀδυσσεὺς
ὅν τινα Τυδεΐδης ἄορι πλήξειε παραστὰς

τὸν δ᾽ Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐξερύσασκε,
τὰ φρονέων κατὰ θυμὸν ὅπως καλλίτριχες ἵπποι
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖς ἀμβαίνοντες· ἀήθεσσον γὰρ ἔτ᾽ αὐτῶν.
ἀλλ᾽ ὅτε δὴ βασιλῆα κιχήσατο Τυδέος υἱός,

τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα
ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη
τὴν νύκτ᾽ Οἰνεΐδαο πάϊς διὰ μῆτιν Ἀθήνης.
τόφρα δ᾽ ἄρ᾽ ὃ τλήμων Ὀδυσεὺς λύε μώνυχας ἵππους,
σὺν δ᾽ ἤειρεν ἰμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου

τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι·
ῥοίζησεν δ᾽ ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
αὐτὰρ ὃ μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι,
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε᾽ ἔκειτο,

ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ᾽ ἀείρας,
ἦ ἔτι τῶν πλεόνων Θρῃκῶν ἀπὸ θυμὸν ἔλοιτο.
εἶος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα, τόφρα δ᾽ Ἀθήνη
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
νόστου δὴ μνῆσαι μεγαθύμου Τυδέος υἱὲ

νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος.
ὣς φάθ᾽, ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
καρπαλίμως δ᾽ ἵππων ἐπεβήσετο· κόψε δ᾽ Ὀδυσσεὺς
τόξῳ· τοὶ δ᾽ ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

οὐδ᾽ ἀλαοσκοπιὴν εἶχ᾽ ἀργυρότοξος Ἀπόλλων
ὡς ἴδ᾽ Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·
τῇ κοτέων Τρώων κατεδύσετο πουλὺν ὅμιλον,
ὦρσεν δὲ Θρῃκῶν βουληφόρον Ἱπποκόωντα
Ῥήσου ἀνεψιὸν ἐσθλόν· ὃ δ᾽ ἐξ ὕπνου ἀνορούσας

έτσι με τ᾽ άρματα ανωφέλευτος να στέκεις᾽ τ᾽ άτια λύσε,
για αρχίνα τη σφαγή, και τ᾽ άλογά θα τα φροντίσω ατός μου.»
Αυτά είπε, κι η Αθηνά η γλαυκόματη τον γέμισε κουράγιο
κι έσφαζε ολόγυρα᾽ και γόζουνταν ολούθε οι χτυπημένοι
απ᾽ το σπαθί του᾽ και κοκκίνιζε το χώμα από το γαίμα.
Πώς σε κοπάδια ξάφνου αφύλαχτα χιμίζει απάνω λιόντας,
γίδια για πρόβατα, και ρίχνεται κακιά γιομάτος λύσσα'
παρόμοια κι ο Διομήδης χύθηκε πα στους Θρακιώτες τότε,
κι έσφαξε δώδεκα᾽ και πίσω του στεκόταν ο Οδυσσέας
ο μυαλωμένος, κι όποιον έσφαζε με το σπαθί του εκείνος,

απ᾽ το ποδάρι αυτός τον άρπαζε και τον τραβούσε πέρα᾽
τι λόγιαζε στο νου τα ωριότριχα πως θα περνούσαν άτια
με δίχως κόπο, κι ουδέ θα 'νιωθον τρομάρα δρασκελώντας
τόσα κουφάρια, τι ήταν άμαθα μαθές στα τέτοια ακόμα.
Μα σύντας ζύγωσε το ρήγα τους—και δώδεκα είχε ως τώρα
σκοτώσει Θράκες—τη μελόγλυκια ζωή μεμιάς του επήρε,
καθώς βογγούσε, τι τον παίδευε βαρύς βραχνάς τη νύχτα,
του Οινέα το αγγόνι, μες στον ύπνο του, που του 'στείλε η Παλλάδα.
Τότε ο Οδυσσέας ο καρτερόψυχος λύνει απ᾽ τ᾽ αμάξι τ᾽ άτια,
μετά τα δένει με τα νιόλουρα κι έξω μακριά τα σέρνει.

κεντρίζοντας τα με το τόξο του, τι αστόχησε να πάρει,
από το αμάξι τ᾽ ωριοπλούμιστο το λαμπερό μαστίγι.
και του Διομήδη εσφύριξε έπειτα, σημάδι δίνοντας του.
Αυτός, ασάλευτος, λογάριαζε την πιο τρανή να κάνει
αποκοτιά: συρτό, συνάρματο το αμάξι απ᾽ το τιμόνι
να το τραβήξει, για στα χέρια του ψηλά να το σηκώσει,
για να σκοτώσει ακόμα πιότερους εκεί μπροστά Θρακιώτες;
Κι ως τούτα ανάδευε στα φρένα του, να 'τη η Αθηνά που φτάνει,
και στο θεϊκό Διομήδη στέκοντας σιμά, τον αρμηνεύει:
«Γιε του Τυδέα του λιονταρόκαρδου, το γυρισμό στοχάσου,

στα βαθουλά μη γύρεις άρμενα κυνηγημένος πίσω,
άλλος αν τύχει άπ᾽ τους αθάνατους τους Τρώες να ξεσηκώσει.»
Είπε, κι αυτός το λάλο εγνώρισε της Αθηνάς που εμίλα,
κι ευτύς καβαλικεύει τ᾽ άλογα᾽ τους δίνει κι ο Οδυσσέας
με το δοξάρι μια, και πέταξαν στ᾽ Αργίτικα καράβια.
Ωστόσο ο Φοίβος ο αργυρότοξος δε βίγλιζε του κάκου,
με του Τυδέα το γιο σαν ξέκρινε την Αθηνά να τρέχει'
όλος θυμό μαζί της, χώθηκε στων Τρωών το πλήθιο ασκέρι,
και το Θρακιώτη πρωτογέροντα, τον Ιπποκόωντα, ασκώνει,
τον αντρειανό του Ρήσου αξάδερφο᾽ κι αυτός πηδάει ξυπνώντας,

ὡς ἴδε χῶρον ἐρῆμον, ὅθ᾽ ἕστασαν ὠκέες ἵπποι,
ἄνδράς τ᾽ ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσιν,
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα φίλον τ᾽ ὀνόμηνεν ἑταῖρον.
Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμὸς
θυνόντων ἄμυδις· θηεῦντο δὲ μέρμερα ἔργα

ὅσσ᾽ ἄνδρες ῥέξαντες ἔβαν κοίλας ἐπὶ νῆας.
οἳ δ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι σκοπὸν Ἕκτορος ἔκταν,
ἔνθ᾽ Ὀδυσεὺς μὲν ἔρυξε Διῒ φίλος ὠκέας ἵππους,
Τυδεΐδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
ἐν χείρεσσ᾽ Ὀδυσῆϊ τίθει, ἐπεβήσετο δ᾽ ἵππων·

μάστιξεν δ᾽ ἵππους, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Νέστωρ δὲ πρῶτος κτύπον ἄϊε φώνησέν τε·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.

ἵππων μ᾽ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
αἴ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὃ κρατερὸς Διομήδης
ὦδ᾽ ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους·
ἀλλ᾽ αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
Ἀργείων οἳ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ.

οὔ πω πᾶν εἴρητο ἔπος ὅτ᾽ ἄρ᾽ ἤλυθον αὐτοί.
καί ῥ᾽ οἳ μὲν κατέβησαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες
δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισι·
πρῶτος δ᾽ ἐξερέεινε Γερήνιος ἱππότα Νέστωρ·
εἴπ᾽ ἄγε μ᾽ ὦ πολύαιν᾽ Ὀδυσεῦ μέγα κῦδος Ἀχαιῶν

ὅππως τοῦσδ᾽ ἵππους λάβετον καταδύντες ὅμιλον
Τρώων, ἦ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας.
αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο.
αἰεὶ μὲν Τρώεσσ᾽ ἐπιμίσγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσὶ γέρων περ ἐὼν πολεμιστής·

ἀλλ᾽ οὔ πω τοίους ἵππους ἴδον οὐδὲ νόησα.
ἀλλά τιν᾽ ὔμμ᾽ ὀΐω δόμεναι θεὸν ἀντιάσαντα·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεὺς
κούρη τ᾽ αἰγιόχοιο Διὸς γλαυκῶπις Ἀθήνη.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις
Ὀδυσσεύς·

ὦ Νέστορ Νηληϊάδη μέγα κῦδος Ἀχαιῶν
ῥεῖα θεός γ᾽ ἐθέλων καὶ ἀμείνονας ἠέ περ οἵδε
ἵππους δωρήσαιτ᾽, ἐπεὶ ἢ πολὺ φέρτεροί εἰσιν.
ἵπποι δ᾽ οἵδε γεραιὲ νεήλυδες οὓς ἐρεείνεις
Θρῃΐκιοι· τὸν δέ σφιν ἄνακτ᾽ ἀγαθὸς Διομήδης

κι άδειο τον τόπο ως είδε όπου 'στεκαν τα γρήγορα άτια πρώτα
και τους δικούς του που σπαρτάριζαν αλύπητα σφαγμένοι,
σέρνει φωνή κι ανακαλέστηκε τον γκαρδιακό του ακράνη.
και μες στους Τρώες ασκώθη σάλαγος και ταραχή περίσσια,
και τρέχαν όλοι τους θαμάζοντας, τι φοβερά είχαν κάνει
εκείνοι οι δυο, πριχού στα βαθουλά καράβια τους διαγύρουν.
Και τούτοι ως φτάσαν όπου του Έχτορα σκότωσαν το σπιούνο,
τα γρήγορα άλογα ανακράτησε γοργά ο Οδυσσέας ο θείος'
πηδώντας ο Διομήδης πίθωσε τα αιματωμένα κούρσα
στα χέρια του Οδυσσέα, και στ᾽ άλογα ξανά καβαλικεύει.

Δίνει βιτσιά μεμιάς στ᾽ αλόγατα, που πρόθυμα πέταξαν
στα βαθουλά τραβώντας άρμενα, καθώς κι αυτά το θέλαν.
Πρώτος ο Νέστορας αγρίκησε το ποδοβόλι κι είπε:
«Φίλοι μου εσείς, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
σωστά τα που θα πω για ψέματα; Μα να μιλήσω θέλω:
Ποδοβολή από γρήγορα άλογα στ᾽ αφτιά μου γύρα φτάνει.
Ε, να 'ταν λέει, μακάρι, ο αντρόκαρδος Διομήδης κι ο Οδυσσέας,
γοργά απ᾽ τους Τρώες κλεμμένα αλόγατα μονόνυχα να φέρναν!
Τρέμει η καρδιά μου ωστόσο ολόβαθα, κάνα κακό μην πάθουν,
στων Τρωών τον τάραχο όπως βρέθηκαν οι πιο αντρειωμένοι
Αργίτες.»

Ακόμα εστέκουνταν ο λόγος του, και πρόβαλαν οι δυο τους,
και πήδηξαν στη γη πεζεύοντας, κι οι άλλοι χαρά γιομάτοι
σφίγγαν τα χέρια τους, ολόκαρδα καλωσορίζοντας τους'
και πρώτος ο γερήνιος Νέστορας ρωτούσε ο αλογολάτης:
«Για πες μας, Οδυσσέα περίλαμπρε, των Αχαιών η δόξα,
πώς πιάστε τα φαριά; χωθήκατε μέσα στων Τρωών τ᾽ ασκέρια;
Για ήρθε θεός κανείς αγνάντια σας, να σας τα κάμει δώρο;
Αλήθεια, μοιάζουν απαράλλαχτα με τις αχτίδες του ήλιου.
Κι εγώ συναπαντιέμαι αδιάκοπα με τους οχτρούς, ποτέ μου
στα πλοία δε μένω πίσω, γέροντας κι ας είμαι πολέμαρχος'

όμως δεν είδα, δεν αντίκρισα τέτοια φαριά ποτέ μου.
Κάποιος θεός λέω σας αντάμωσε να σας τα κάμει δώρο'
τι κι απ᾽ τους δυο του Δία δεν έλειψε του νεφελοστοιβάχτη
μήτε της κόρης της γλαυκόματης, της Αθηνάς, η αγάπη.»
Τότε ο Οδυσσέας ο πολυκάτεχος του απηλογήθη κι είπε:
«Γιε του Νηλέα, ρηγάρχη Νέστορα, των Αχαιών η δόξα,
σ᾽ έναν θεό δεν είναι δύσκολο και πιο πανώρια, αν θέλει,
φαριά να δώσει᾽ τι ειν᾽ οι αθάνατοι πολύ τρανότεροι μας.
Μα τ᾽ άτια αυτά που θέλεις, γέροντα, να μάθεις, μόλις φτάσαν
από τη Θράκη. Τον αφέντη τους ο αντρόκαρδος Διομήδης

ἔκτανε, πὰρ δ᾽ ἑτάρους δυοκαίδεκα πάντας ἀρίστους.
τὸν τρισκαιδέκατον σκοπὸν εἴλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα στρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί.
ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους
καγχαλόων· ἅμα δ᾽ ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί.
οἳ δ᾽ ὅτε Τυδεΐδεω κλισίην εὔτυκτον ἵκοντο,
ἵππους μὲν κατέδησαν ἐϋτμήτοισιν ἱμᾶσι
φάτνῃ ἐφ᾽ ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
ἕστασαν ὠκύποδες μελιηδέα πυρὸν ἔδοντες·
νηῒ δ᾽ ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνος
θῆκ᾽ Ὀδυσεύς, ὄφρ᾽ ἱρὸν ἑτοιμασσαίατ᾽ Ἀθήνῃ.
αὐτοὶ δ᾽ ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ
ἐσβάντες κνήμας τε ἰδὲ λόφον ἀμφί τε μηρούς.
αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλὸν
νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ,
ἔς ῥ᾽ ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ᾽ ἐλαίῳ
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
πλείου ἀφυσσόμενοι λεῖβον μελιηδέα οἶνον.

τον σκότωσε, κι αντάμα δώδεκα συντρόφους του αντρειωμένους.
Κι έναν κατάσκοπο σκοτώσαμε, που δίπλα στα καράβια
τον είχε στείλει ο μέγας Έχτορας κι οι Τρώες οι ψυχωμένοι,
εδώ να 'ρθει κοντά, στο ασκέρι μας, να μας παραμονέψει.»
Είπε, και τ᾽ άτια τα μονόνυχα περνά από το χαντάκι
γελώντας· πίσω του χαρούμενοι πήγαιναν κι οι άλλοι Αργίτες.
Κι ως φτάσαν πια στο καλοκάμωτο καλύβι του Διομήδη,
καλοκομμένα επήραν νιόλουρα και τ᾽ άλογα τους δένουν
μπρος στο παχνί, κει πέρα που 'στεκαν και τ᾽ άλλα του Διομήδη
γοργόποδα φαριά, τ᾽ ολόγλυκο μασώντας μπρος τους στάρι.
Βάζει μετά ο Οδυσσέας του Δόλωνα τα αιματωμένα κούρσα
στην πρύμνα του άρμενου, να τα 'διναν στης Αθηνάς τη χάρη·
κι εκείνοι εβούτηξαν στη θάλασσα, τον πλήθιο τους ιδρώτα
απ᾽ τ᾽ αντικνήμια κι απ᾽ το σβέρκο τους κι απ᾽ τα μεριά να πλύνουν.
Κι αφού τα κύματα της θάλασσας τον πλήθιο ιδρώτα έπλυναν
απ᾽ τα κορμιά τους, και δροσίστηκαν βαθιά στα σπλάχνα μέσα,
σε καλοσκαλισμένους μπήκανε λουτρούς ν᾽ απολουστούνε.
Κι αφού λούστηκαν πια κι αλείφτηκαν καλά με λάδι, επήγαν
και κάθισαν να φαν, κι ολόγλυκο κρασί από το κροντήρι
το ξέχειλο ανασέρναν, κι έχυναν σπονδές στη Γλαυκομάτα.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Λ-

-Λ- ἠὼς δ᾽ ἐκ λεχέων παρ᾽ ἀγαυοῦ Τιθωνοῖο
ὄρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι·
Ζεὺς δ᾽ Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν.

στῆ δ᾽ ἐπ᾽ Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
ἥ ῥ᾽ ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
ἠμὲν ἐπ᾽ Αἴαντος κλισίας Τελαμωνιάδαο
ἠδ᾽ ἐπ᾽ Ἀχιλλῆος, τοί ῥ᾽ ἔσχατα νῆας ἐΐσας
εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν

ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ μέγα τε δεινόν τε
ὄρθι᾽, Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ᾽ ἑκάστῳ
καρδίῃ ἄληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
τοῖσι δ᾽ ἄφαρ πόλεμος γλυκίων γένετ᾽ ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

Ἀτρεΐδης δ᾽ ἐβόησεν ἰδὲ ζώννυσθαι ἄνωγεν
Ἀργείους· ἐν δ᾽ αὐτὸς ἐδύσετο νώροπα χαλκόν.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλὰς ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,

τόν ποτέ οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι.
πεύθετο γὰρ Κύπρον δὲ μέγα κλέος οὕνεκ᾽ Ἀχαιοὶ
ἐς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον·
τοὔνεκά οἱ τὸν δῶκε χαριζόμενος βασιλῆϊ.
τοῦ δ᾽ ἤτοι δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο,

δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο·
κυάνεοι δὲ δράκοντες ὀρωρέχατο προτὶ δειρὴν
τρεῖς ἑκάτερθ᾽ ἴρισσιν ἐοικότες, ἅς τε Κρονίων
ἐν νέφεϊ στήριξε, τέρας μερόπων ἀνθρώπων.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἦλοι

χρύσειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός.
ἂν δ᾽ ἔλετ᾽ ἀμφιβρότην πολυδαίδαλον ἀσπίδα θοῦριν
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦσαν,
ἐν δέ οἱ ὀμφαλοὶ ἦσαν ἐείκοσι κασσιτέροιο

λευκοί, ἐν δὲ μέσοισιν ἦεν μέλανος κυάνοιο.
τῇ δ᾽ ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε.
τῆς δ᾽ ἐξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ᾽ αὐτοῦ
κυάνεος ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦσαν

Κι ασκώθη τότε απ᾽ του τρισεύγενου του Τιθωνού την κλίνη
η Αυγή, το φως και στους αθάνατους και στους θνητούς να φέρει'
και την Αμάχη ο Δίας στ᾽ Αργίτικα γοργά καράβια στέλνει,
την άγρια, να κρατάει στα χέρια της φριχτό πολέμου σκιάχτρο.
Πα στου Οδυσσέα το μαύρο, απλόχωρο καράβι πάει και στέκει,
που ήταν στη μέση, για ν᾽ ακούγεται ζερβά δεξιά η φωνή της,
και δώθε, ως τα καλύβια του Αίαντα, του γιου του Τελαμώνα,
και κείθε, ως του Αχιλλέα᾽ τι τ᾽ άρμενα τα 'χαν στις δυο τις άκρες
σερμένα ετούτοι, χεροδύναμοι και παλικάρια ως ήταν.

Εκεί η θεά ως εστάθηκε, έσυρε φωνή φριχτή, μεγάλη,
στριγγιά, και κάθε Αργίτη εγέμισε το στήθος με περίσσιο
κουράγιο, αλάγιαστο αντροπάλεμα και πόλεμο να στήσουν.
και ξάφνου πιο γλυκός ο πόλεμος τους φάνη τώρα, απ᾽ ό,τι
με τα βαθιά καράβια να 'γερναν στη γη την πατρική τους.
Κι ο γιος του Ατρέα να ζώσουν πρόσταξεν οι Αργίτες τ᾽ άρματά τους,
κι ατός του ευτύς φοράει τη χάλκινη λαμπρήν αρματωσιά του'
και πρώτα γύρα στ᾽ αντικνήμια του περνά κνημίδες ώριες,
που με θηλύκια στους αστράγαλους σφίγγονταν ασημένια'
κι ύστερα γύρω από τα στήθη του περνά το θώρακά του,

που κάποτε ο Κινύρας του 'στείλε, φίλιας κι αγάπης δώρο᾽
τι είχε στην Κύπρο φτάσει το άκουσμα το μέγα, πως οι Αργίτες
σε λίγο για την Τροία θ᾽ αρμένιζαν με τα πλεούμενα τους·
γι᾽ αυτό και του 'δωκε το θώρακα, τιμώντας το ρηγάρχη.
Κι είχε λαζούρι μπλάβο απάνω του δέκα ζωνάρια γύρα,
κι είχε είκοσι καλάι και δώδεκα ζωνάρια από χρυσάφι.
Μαυρογαλάζια φίδια ανέβαιναν κάθε μεριά από τρία
προς το λαιμό, με ουρανοδόξαρα παρόμοια, ο γιος του Κρόνου
ψηλά στα σύγνεφα που στύλωσε, σημάδι στους ανθρώπους.
Σπαθί μετά στους ώμους πέρασε, και τα πλουμόκαρφά του

λαμποκοπούσαν πάνω ολόχρυσα, και το θηκάρι του ήταν
γύρα όλο ασήμι, από χρυσόλουρα ψηλά ανακρεμασμένο.
Παίρνει το ξομπλιαστό σκουτάρι του, που τον εσκέπαζε όλο,
το στέριο, τ᾽ όμορφο, που χάλκινοι το ζώναν κύκλοι δέκα,
κι απάνω του είκοσι ξεχώριζαν αφάλια από καλάι,
λευκά, και μόνο ένα στη μέση τους από βαθύ λαζούρι,
με τη Γοργώ που το στεφάνωνε την αγριοβλεμματούσα,
με φοβερή ματιά, και γύρα της ο Τρόμος κι η Φευγάλα.
Από ασημένιο το σκουτάρι του λουρί κρεμόταν φίδι
γαλάζιο απάνω του τυλίγουνταν, κι απ᾽ το λαιμό τον ίδιο

τρεῖς ἀμφιστρεφέες ἑνὸς αὐχένος ἐκπεφυυῖαι.
κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
εἵλετο δ᾽ ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ᾽ αὐτόφιν οὐρανὸν εἴσω

λάμπ᾽· ἐπὶ δ᾽ ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη
τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης.
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ᾽ ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες

ῥώοντ᾽· ἄσβεστος δὲ βοὴ γένετ᾽ ἠῶθι πρό.
φθὰν δὲ μέγ᾽ ἱππήων ἐπὶ τάφρῳ κοσμηθέντες,
ἱππῆες δ᾽ ὀλίγον μετεκίαθον· ἐν δὲ κυδοιμὸν
ὦρσε κακὸν Κρονίδης, κατὰ δ᾽ ὑψόθεν ἦκεν ἐέρσας
αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ᾽ ἔμελλε

πολλὰς ἰφθίμους κεφαλὰς Ἄϊδι προϊάψειν.
Τρῶες δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο
Ἕκτορά τ᾽ ἀμφὶ μέγαν καὶ ἀμύμονα Πουλυδάμαντα
Αἰνείαν θ᾽, ὃς Τρωσὶ θεὸς ὣς τίετο δήμῳ,
τρεῖς τ᾽ Ἀντηνορίδας Πόλυβον καὶ Ἀγήνορα δῖον

ἠΐθεόν τ᾽ Ἀκάμαντ᾽ ἐπιείκελον ἀθανάτοισιν.
Ἕκτωρ δ᾽ ἐν πρώτοισι φέρ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην,
οἷος δ᾽ ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστὴρ
παμφαίνων, τοτὲ δ᾽ αὖτις ἔδυ νέφεα σκιόεντα,
ὣς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοισι φάνεσκεν,

ἄλλοτε δ᾽ ἐν πυμάτοισι κελεύων· πᾶς δ᾽ ἄρα χαλκῷ
λάμφ᾽ ὥς τε στεροπὴ πατρὸς Διὸς αἰγιόχοιο.
οἳ δ᾽, ὥς τ᾽ ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν
ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ᾽ ἄρουραν
πυρῶν ἢ κριθῶν· τὰ δὲ δράγματα ταρφέα πίπτει·

ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες
δῄουν, οὐδ᾽ ἔτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο.
ἴσας δ᾽ ὑσμίνη κεφαλὰς ἔχεν, οἳ δὲ λύκοι ὣς
θῦνον· Ἔρις δ᾽ ἄρ᾽ ἔχαιρε πολύστονος εἰσορόωσα·
οἵη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοισιν,

οἳ δ᾽ ἄλλοι οὔ σφιν πάρεσαν θεοί, ἀλλὰ ἔκηλοι
σφοῖσιν ἐνὶ μεγάροισι καθήατο, ἦχι ἑκάστῳ
δώματα καλὰ τέτυκτο κατὰ πτύχας Οὐλύμποιο.
πάντες δ᾽ ᾐτιόωντο κελαινεφέα Κρονίωνα
οὕνεκ᾽ ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι.

τρεις κεφαλές προβαίναν, που 'βλεπαν αλλού κι η καθεμιά τους.
Το κράνος με τα δυο τα κέρατα, τα τέσσερα τ᾽ αφάλια
φοράει μετά, κι απάνω η φούντα του φοβέριζε η άλογίσια.
Δυο σουβλερά, γερά, χαλκόμυτα στερνά κοντάρια παίρνει,
που η λάμψη τους η χάλκινη έφτανε ψηλά στα μεσουράνια.
Και τότες η Αθηνά η γλαυκόματη κι η Ήρα μαζί εβρόντηξαν,
για να τιμήσουν της πολύχρυσης Μυκήνας το ρηγάρχη.
Κι ο καθανείς του αμαξολάτη του παράγγελνε, με τάξη
να του κρατάει κει πέρα τ᾽ άλογα, μπροστά από το χαντάκι.
Κι αυτοί φόρεσαν τις αρμάτες τους, κι ευτύς επήραν δρόμο

πεζοί, κι αλάγιαστος ο σάλαγος μες στο πουρνό σηκώθη.
Και στο χαντάκι ομπρός συντάχτηκαν πολύ πιο πριν, και φτάσαν
κατοπινά οι αμαξολάτες τους· και τότε ο γιος του Κρόνου
τρανό ξεσήκωσε συντάραχο, κι απ᾽ τον αιθέρα πάνω
να πέσει αφήνει αιματοστάλαχτη βροχή στη γη, σημάδι
πως πλήθος αντρειωμένες θα 'στέλνε ψυχές στον Άδη κάτω.
Κι από την άλλη οι Τρώες συντάζουνταν, στο στήθωμα του κάμπου,
τρογύρα απ᾽ τον τρανό τον Έχτορα, τον άξιο Πολυδάμα,
και τον Αινεία, που οι Τρώες αντίκριζαν ίδια θεό, κι ακόμα
τον Πόλυβο και τον Ακάμαντα με τη θεϊκιά του νιότη

και τον Αγήνορα, του Αντήνορα τους τρεις υγιούς, τρογύρα.
Κι έστεκε μες στους πρώτους ο Έχτορας με ολόκυκλο σκουτάρι.
Πώς άστρο ξάφνου κακοσήμαδο προβάλλει μες στα νέφη,
ολόφωτο, και πάλι εχώθηκε στα νέφη τα ισκιωμένα᾽
παρόμοια κι ο Έχτορας ξεπρόβελνε τη μια στους πρώτους μέσα,
την άλλη στους στερνούς, προστάζοντας᾽ κι η χάλκινη του αρμάτα
σαν αστραπή του βροντοσκούταρου του Δία στραφτάλιζε όλη.
Οι θεριστάδες πώς κατάντικρα σε δυο ζυγιές θερίζουν
τους όργους νοικοκύρη ατράνταχτου στα καρπερά σπαρτά του
— στάρι, κριθάρι—και χερόβολα πυκνά στο χώμα στρώνουν᾽

παρόμοια Τρώες κι Αργίτες χίμιξαν κι ο ένας τον άλλο έσφαζαν,
και την πικρή στο νου κανένας τους δεν έβαζε φευγάλα.
Κι ήταν ο πόλεμος ισόβαρος, κι εκείνοι ως λύκοι ορμούσαν.
Κι η Αμάχη εχαίρουνταν θωρώντας τους η πικροφαρμακούσα᾽
τι ήταν η μόνη απ᾽ τους αθάνατους στον πόλεμο μαζί τους.
Οι άλλοι θεοί δεν ήταν δίπλα τους᾽ γαλήνιοι αναπαύονταν
μες στα πανέμορφα παλάτια τους, κει πέρα που ο καθένας
το αρχοντικό του πήγε κι έχτισε, στου Ολύμπου τα φαράγγια.
Καί με το γιο το μαυροσύγνεφο του Κρόνου τα 'χαν όλοι,
που για τους Τρώες νοιαζόταν κι ήθελε να δοξαστούν περίσσια.

τῶν μὲν ἄρ᾽ οὐκ ἀλέγιζε πατήρ· ὃ δὲ νόσφι λιασθεὶς
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν
χαλκοῦ τε στεροπήν, ὀλλύντάς τ᾽ ὀλλυμένους τε.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἤπτετο, πῖπτε δὲ λαός·
ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὁπλίσσατο δεῖπνον
οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ᾽ ἐκορέσσατο χεῖρας
τάμνων δένδρεα μακρά, ἄδος τέ μιν ἵκετο θυμόν,
σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ,
τῇμος σφῇ ἀρετῇ Δαναοὶ ῥήξαντο φάλαγγας
κεκλόμενοι ἑτάροισι κατὰ στίχας· ἐν δ᾽ Ἀγαμέμνων
πρῶτος ὄρουσ᾽, ἔλε δ᾽ ἄνδρα Βιάνορα ποιμένα λαῶν
αὐτόν, ἔπειτα δ᾽ ἑταῖρον Ὀϊλῆα πλήξιππον.
ἤτοι ὅ γ᾽ ἐξ ἵππων κατεπάλμενος ἀντίος ἔστη·
τὸν δ᾽ ἰθὺς μεμαῶτα μετώπιον ὀξέϊ δουρὶ
νύξ᾽, οὐδὲ στεφάνη δόρυ οἱ σχέθε χαλκοβάρεια,
ἀλλὰ δι᾽ αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δὲ
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
καὶ τοὺς μὲν λίπεν αὖθι ἄναξ ἀνδρῶν Ἀγαμέμνων
στήθεσι παμφαίνοντας, ἐπεὶ περίδυσε χιτῶνας·
αὐτὰρ ὃ βῆ Ἴσόν τε καὶ Ἄντιφον ἐξεναρίξων
υἷε δύω Πριάμοιο νόθον καὶ γνήσιον ἄμφω
εἰν ἑνὶ δίφρῳ ἐόντας· ὃ μὲν νόθος ἡνιόχευεν,
Ἄντιφος αὖ παρέβασκε περικλυτός· ὧ ποτ᾽ Ἀχιλλεὺς
Ἴδης ἐν κνημοῖσι δίδη μόσχοισι λύγοισι,
ποιμαίνοντ᾽ ἐπ᾽ ὄεσσι λαβών, καὶ ἔλυσεν ἀποίνων.
δὴ τότε γ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ στῆθος βάλε δουρί,
Ἄντιφον αὖ παρὰ οὖς ἔλασε ξίφει, ἐκ δ᾽ ἔβαλ᾽ ἵππων.
σπερχόμενος δ᾽ ἀπὸ τοῖιν ἐσύλα τεύχεα καλὰ
γιγνώσκων· καὶ γάρ σφε πάρος παρὰ νηυσὶ θοῇσιν
εἶδεν, ὅτ᾽ ἐξ Ἴδης ἄγαγεν πόδας ὠκὺς Ἀχιλλεύς.
ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα
ῥηϊδίως συνέαξε λαβὼν κρατεροῖσιν ὀδοῦσιν
ἐλθὼν εἰς εὐνήν, ἀπαλόν τέ σφ᾽ ἦτορ ἀπηύρα·
ἣ δ᾽ εἴ πέρ τε τύχῃσι μάλα σχεδόν, οὐ δύναταί σφι
χραισμεῖν· αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει·
καρπαλίμως δ᾽ ἤϊξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην
σπεύδουσ᾽ ἱδρώουσα κραταιοῦ θηρὸς ὑφ᾽ ὁρμῆς·

Μ᾽ αυτός μηδέ και τους λογάριαζε᾽ μον᾽ φεύγει και καθίζει
μακριά απ᾽ τους άλλους καμαρώνοντας στη δύναμη του, κι είχε
τα μάτια ρίξει απά στ᾽ Αργίτικα τα πλοία, στων Τρωών το κάστρο,
σ᾽ αυτούς που έσφαζαν και που εσφάζουνταν και στου χαλκού τη λάμψη.
Όσο βαστούσε η αυγή και πλήθαινε το φως της άγιας μέρας,
κι από τους δυο στρατούς σωριάζουνταν πολλοί από τις ριξιές τους·
όμως την ώρα που συντάζεται να φάει ψωμί ο ξωμάχος
στα ποροφάραγγα, τι απόκαμαν τα χέρια του να κόβουν
απ᾽ το πουρνό δέντρα θεόρατα, και μπούχτισε η καρδιά του,
και για γλυκό ψωμί στο σπλάχνο του πλημμύρισε η λαχτάρα'
την ώρα αυτή τους Τρώες ετσάκισαν με την παλικαριά τους,
ο ένας του άλλου κουράγιο δίνοντας μες στις γραμμές, οι Αργίτες.
Πρώτος χιμώντας ο Αγαμέμνονας το Βήνορα σκοτώνει
το βασιλιά και τον άκράνη του, τον αλογάρη Οϊλέα.
Μπροστά του είχε σταθεί, απ᾽ τ᾽ αμάξι του ψηλά πηδώντας κάτω'
μα όπως χιμούσε ομπρός, στο μέτωπο με σουβλερό κοντάρι
του ρίχνει᾽ κι ο χαλκός του κράνους του δε βάστηξε στο χτύπο,
μον᾽ και το κράνος και το κόκαλο τρυπά ο χαλκός, και λιώμα
του έγιναν τα μυαλά, κι ως χίμιζε, στο χώμα τον ξαπλώνει.
Μα ο πρωταφέντης Αγαμέμνονας τους παρατά εκεί πέρα,
με στήθια που από νιάτα ξάστραφταν, γυμνούς και κουρσεμένους,
κι αυτός στον Ίσο και στον Άντιφο τραβάει να τους σκοτώσει,
τους γιους του Πρίαμου —κλεφτογέννητος ο πρώτος, γνήσιος ο άλλος—
πα σ᾽ ένα αμάξι οι δυο᾽ τα νιόλουρα κρατούσε ο νόθος τότε,
κι ο Άντιφος δίπλα του ο περίλαμπρος᾽ στης Ίδας τα φαράγγια
τους είχε, εκεί τ᾽ αρνιά τους που 'βοσκαν, πιάσει ο Αχιλλέας και δέσει
με αλυγαριας κλωνάρια κάποτε, κι αφήκε τους με λύτρα.
Μα τώρα ο ρήγας Αγαμέμνονας, ο γιος του Ατρέα, τον πρώτο
πιο πάνω απ᾽ το βυζί κατάστηθα χτυπάει με το κοντάρι
και ρίχνει κάτω, και τον Άντιφο με μια σπαθιά στ᾽ αφτί του,
βιαστικά τους γδύνει τ᾽ άρματα᾽ κι εκεί απεικάστη ποιοί 'ταν
τι στα γοργά αποδίπλα τ᾽ άρμενά τους είχε ιδεί πιο πρώτα,
τη μέρα που ο Αχιλλέας ο γρήγορος τους έφερε απ᾽ την Ίδα.
Πώς σε αλαφίνας γοργογόνατης μονιά χιμίζει λιόντας,
κι αρπάζει τα μικρά της άμαχα μες στα γερά του δόντια,
και σπάει τα κόκαλα τους, παίρνοντας την τρυφερή ζωή τους·
κι εκείνη, αυτού σιμά κι αν βρίσκεται, μα δεν μπορεί να τρέξει
να τα συντράμει, τι παράλυσε κι ατή της απ᾽ το φόβο᾽
και πιλαλάει στα δάση γρήγορα και στα πυκνά ρουμάνια,
δρώμενη, βιαστική, απ᾽ το ανήμερο θεριό κυνηγημένη'

ὣς ἄρα τοῖς οὔ τις δύνατο χραισμῆσαι ὀλεθρον
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ᾽ Ἀργείοισι φέβοντο.
αὐτὰρ ὃ Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην
υἱέας Ἀντιμάχοιο δαΐφρονος, ὅς ῥα μάλιστα
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος ἀγλαὰ δῶρα

οὐκ εἴασχ᾽ Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
τοῦ περ δὴ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων
εἰν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους·
ἐκ γάρ σφεας χειρῶν φύγον ἡνία σιγαλόεντα,
τὼ δὲ κυκηθήτην· ὃ δ᾽ ἐναντίον ὦρτο λέων ὡς

Ἀτρεΐδης· τὼ δ᾽ αὖτ᾽ ἐκ δίφρου γουναζέσθην·
ζώγρει Ἀτρέος υἱέ, σὺ δ᾽ ἄξια δέξαι ἄποινα·
πολλὰ δ᾽ ἐν Ἀντιμάχοιο δόμοις κειμήλια κεῖται
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι᾽ ἄποινα,

εἰ νῶϊ ζωοὺς πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς τώ γε κλαίοντε προσαυδήτην βασιλῆα
μειλιχίοις ἐπέεσσιν· ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσαν·
εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστόν,
ὅς ποτ᾽ ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν

ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ
αὖθι κατακτεῖναι μηδ᾽ ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίσετε λώβην.
ἦ, καὶ Πείσανδρον μὲν ἀφ᾽ ἵππων ὧσε χαμᾶζε
δουρὶ βαλὼν πρὸς στῆθος· ὃ δ᾽ ὕπτιος οὔδει
ἐρείσθη.

Ἱππόλοχος δ᾽ ἀπόρουσε, τὸν αὖ χαμαὶ ἐξενάριξε
χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ᾽ αὐχένα κόψας,
ὅλμον δ᾽ ὡς ἔσσευε κυλίνδεσθαι δι᾽ ὁμίλου.
τοὺς μὲν ἔασ᾽· ὃ δ᾽ ὄθι πλεῖσται κλονέοντο
φάλαγγες,
τῇ ῥ᾽ ἐνόρουσ᾽, ἅμα δ᾽ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.

πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
ἱππεῖς δ᾽ ἱππῆας· ὑπὸ δέ σφισιν ὦρτο κονίη
ἐκ πεδίου, τὴν ὦρσαν ἐρίγδουποι πόδες ἵππων
χαλκῷ δῃϊόωντες· ἀτὰρ κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων ἔπετ᾽ Ἀργείοισι κελεύων.

ὡς δ᾽ ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ,
πάντῃ τ᾽ εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς ἄρ᾽ ὑπ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι πῖπτε κάρηνα
Τρώων φευγόντων, πολλοὶ δ᾽ ἐριαύχενες ἵπποι

όμοια και κείνους Τρώας δε δύνουνταν κανένας να γλιτώσει,
γιατί κι αυτοί στα πόδια το᾽ βαζαν, διωγμένοι απ᾽ τους Αργίτες.
Τον Πείσαντρο και τον Ιππόλοχο μετά τον πολέμαρχο,
τους γιους του Αντίμαχου του αντρόκαρδου, που παίρνοντας
χρυσάφι
δώρο ακριβό από τον Αλέξαντρο δεν αφήνε τους Τρώες
να δώσουν πίσω στον ξανθόμαλλο Μενέλαο την Ελένη—
δικοί του ήταν οι γιοι που ετσάκωσε πα σ᾽ ένα αμάξι τώρα
ο πρωταφέντης Αγαμέμνονας· μαζί το κυβερνούσαν.
Τα γυαλιστά λουριά τους ξέφυγαν από τα χέρια, τ᾽ άτια
σκιάχτηκαν, κι ως ο Ατρείδης χίμιξεν απάνω τους σα λιόντας,

σκύψαν εκείνοι από το αμάξι τους και τον παρακαλιόνταν:
« Υγιέ του Ατρέα, ζωντάρι πιάσε μας, και δέξου πλήθια λύτρα·
τι είναι πολλά αγαθά στου Αντίμαχου κρυμμένα τα κελάρια,
χρυσάφι και χαλκός και σίδερο με κόπο δουλεμένο.
Θα 'δινε ο κύρης μας αρίφνητα για ξαγορά μας τώρα,
μόνο πως ζούμε ακόμα αν μάθαινε στ᾽ Αργίτικα καράβια.»
Έτσι κι οι δυο τους τότε κλαίγοντας στο βασιλιά μιλούσαν
παρακαλώντας, μ᾽ ανελέημονη γρικούν φωνή στ᾽ αφτιά τους:
«Αν είστε σεις οι γιοί του Αντίμαχου του καστροπολεμάρχου,
που το Μενέλαο, τότε που 'φτασε με το θεϊκό Οδυσσέα

στην Τροία μαντατοφόρος, φώναζε στους συναγμένους Τρώες
να τον σκοτώσουν δίχως άργητα, να μη διαγύρει πίσω,
τώρα του κύρη σας την άτιμη βουλή θα μου πλερώστε»
Αυτά είπε, κι απ᾽ το αμάξι έγκρέμισε τον Πείσαντρο, στο στήθος
με το κοντάρι του τρυπώντας τον κι αυτός στη γη ξαπλώθη.
Μετά σκοτώνει τον Ιππόλοχο, που 'χε πηδήξει κάτω'
με το σπαθί τα χέρια του 'κοψε, του πήρε το κεφάλι,
και το κορμί του σπρώχνει, ως κούτσουρο να κυλιστεί στ᾽ ασκέρι.
Άφησε αυτούς μετά και χύθηκεν εκεί που πλήθια ασκέρια
ξεπαραλυούσαν, και ξοπίσω του κι οι άλλοι αντρειωμένοι Αργίτες'

πεζοί πεζούς σκότωναν που 'φευγαν μεβιάς, κι αμαξολάτες
αμαξολάτες (κι από κάτω τους ο κουρνιαχτός πετιόταν
στον κάμπο μέσα απ᾽ των αλόγων τους τα βροντερά ποδάρια)
με το χαλκό χτυπώντας᾽ κι άπαυτα σκοτώνοντας ξοπίσω
χιμούσε ο ρήγας Αγαμέμνονας και ψύχωνε τους άλλους.
Χαλάστρα πυρκαγιά πως χύνεται σε σύδεντρο ρουμάνι,
κι οι άνεμοι εδώ κι εκεί στρουφίζοντας τη ρίχνουν, και τα θάμνα
σύριζα πέφτουν, απ᾽ τη μάνητα της φλόγας χτυπημένα'
όμοια και τότε απ᾽ του Αγαμέμνονα τα χέρια κάτω έπεφταν
κεφάλια Τρωών που έφευγαν κι έσερναν βροντώντας τ᾽ άδεια αμάξια

κείν’ ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας
ἡνιόχους ποθέοντες ἀμύμονας· οἳ δ’ ἐπὶ γαίῃ
κείατο, γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν.
Ἕκτορα δ’ ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
ἔκ τ’ ἀνδροκτασίης ἔκ θ’ αἵματος ἔκ τε κυδοιμοῦ·

Ἀτρεΐδης δ’ ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων.
οἳ δὲ παρ’ Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο
μέσσον κὰπ πεδίον παρ’ ἐρινεὸν ἐσσεύοντο
ἱέμενοι πόλιος· ὃ δὲ κεκλήγων ἔπετ’ αἰεὶ
Ἀτρεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

ἀλλ’ ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο,
ἔνθ’ ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον.
οἳ δ’ ἔτι κὰμ μέσσον πεδίον φοβέοντο βόες ὥς,
ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
πάσας· τῇ δέ τ’ ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·

τῆς δ’ ἐξ αὐχέν’ ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
πρῶτον, ἔπειτα δέ θ’ αἷμα καὶ ἔγκατα πάντα
λαφύσσει·
ὣς τοὺς Ἀτρεΐδης ἔφεπε κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δ’ ἐφέβοντο.
πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων

Ἀτρεΐδεω ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν.
ἀλλ’ ὅτε δὴ τάχ’ ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
ἵξεσθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης
οὐρανόθεν καταβάς· ἔχε δ’ ἀστεροπὴν μετὰ
χερσίν.

Ἶριν δ’ ὄτρυνε χρυσόπτερον ἀγγελέουσαν·
βάσκ’ ἴθι Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες·
ὄφρ’ ἂν μέν κεν ὁρᾷ Ἀγαμέμνονα ποιμένα λαῶν
θύνοντ’ ἐν προμάχοισιν ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ’ ἀναχωρείτω, τὸν δ’ ἄλλον λαὸν ἀνώχθω

μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ’ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηται
δύῃ τ’ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.

ὣς ἔφατ’, οὐδ’ ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ’ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
εὗρ’ υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
ἑσταότ’ ἔν θ’ ἵπποισι καὶ ἄρμασι κολλητοῖσιν·
ἀγχοῦ δ’ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·

πλήθος αλόγατα μακρόλαιμα στα διάβατα της μάχης,
τους άψεγους αμαξολάτες τους ζητώντας’ όμως τούτοι
στη γη χαρά των όρνιων κοίτουνταν, καημός των γυναικών τους.
Απ’ τις ριξιές ο Δίας τον Έχτορα μακριά κρατούσε ωστόσο
κι απ’ τη σφαγή κι απ’ το ανακάτωμα κι απ’ το αίμα κι απ’ τη σκόνη·
„κι ο γιος του Ατρέα χιμούσε αδιάκοπα ψυχώνοντας τους άλλους.
Κι οι Τρώες, σιμά στου γιου του Δάρδανου, στου Ίλου του αρχαίου
το μνήμα,
στην άγρια τη συκιά μαζεύουνταν, μεσοκαμπίς, στο κάστρο
πίσω να γύρουν κι ακατάπαυτα χουγιάζοντας χιμούσε
ο γιος του Ατρέα, κι ο λύθρος μόλευε τ’ ανίκητα του χέρια.

Όμως στο δρυ και στη Ζερβόπορτα σαν έφτασαν εκείνοι,
πήραν και στάθηκαν, προσμένοντας τους άλλους πότε θα 'ρθουν
μ’ αυτοί στον κάμπο ακόμα εβρίσκουνταν και φεύγαν, σα γελάδες
που λιόντας κυνηγάει χιμίζοντας μες στην καρδιά της νύχτας,
σ’ όλες μαζί, μα μια είναι που 'λαχε για να 'βρει ο Χάρος, οποιαν
μες στα γερά τσακώσει δόντια του, κι αφού της σπάσει πρώτα
το σβέρκο, αναρουφάει το γαίμα της και τρώει τα σωθικά της'
όμοια κι ο ρήγας Αγαμέμνονας, ο γιος του Ατρέα, χιμούσε
τον πιο στερνό χτυπώντας πάντα του, κι αυτοί τρεχάτοι έφευγαν.
Πολλοί κι απίστομα κι ανάσκελα κυλούσαν απ’ τ’ αμάξια

κάτω απ’ τα χέρια του, τι εχύνουνταν με το κοντάρι ολούθε.
Μα ως πια στο κάστρο κοντοζύγωναν και στ’ αψηλά τειχιά του,
την ώρα εκείνη των αθάνατων και των θνητών ο κύρης
στης Ίδας κάτω της πολύβρυσης τις κορυφές κατέβη
ψηλά απ’ τα ουράνια, και στα χέρια του κρατούσε αστροπελέκι.
Την Ίρη τότε τη χρυσόφτερη μαντατοφόρα στέλνει:
«Ίρη ανεμόποδη, στον Έχτορα τρέχα να πεις τι θέλω'
όσο θωράει τον Αγαμέμνονα το ρήγα μες στους πρώτους
να χύνεται μπροστά, θερίζοντας των Τρωών το ασκέρι αράδα,
πίσω ας τραβάει, και στους επίλοιπους κουράγιο ας δίνει μόνο,

με τους οχτρούς στον άγριο τάραχο να πολεμούν αντρίκεια.
Μ’ αν κονταριά τον Αγαμέμνονα χτυπήσει για σαγίτα
κι απά στο αμάξι ανέβη, δύναμη να σφάζει θα του δώσω,
ωσόπου πια στα καλοκούβερτα πλεούμενα σιμώσει,
και πέσει ο γήλιος βασιλεύοντας και το άγιο απλώσει σκότος.»
Αυτά είπε, κι η ανεμόποδη Ίριδα γρικάει τον ορισμό του,
κι απ’ τα βουνά της Ίδας χύθηκε κατά την Τροία την άγια'
και κει τον Έχτορα, του αντρόκαρδου το γιο του Πρίαμου, βρίσκει
πίσω από τ’ άλογα να στέκεται πα στο γερό του αμάξι.
Κι η Ίριδα εστάθη η φτεροπόδαρη κοντά του και μιλούσε:

Ἕκτορ υἱὲ Πριάμοιο Διὶ μῆτιν ἀτάλαντε
Ζεύς με πατὴρ προέηκε τεῖν τάδε μυθήσασθαι.
ὄφρ᾽ ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα ποιμένα λαῶν
θύνοντ᾽ ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ᾽ ὑπόεικε μάχης, τὸν δ᾽ ἄλλον λαὸν ἄνωχθι

μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ᾽ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε τοι κράτος ἐγγυαλίξει
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηαι
δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.

ἦ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
Ἕκτωρ δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν,

Ἀργεῖοι δ᾽ ἐτέρωθεν ἐκαρτύναντο φάλαγγας.
ἀρτύνθη δὲ μάχη, στὰν δ᾽ ἀντίοι· ἐν δ᾽ Ἀγαμέμνων
πρῶτος ὄρουσ᾽, ἔθελεν δὲ πολὺ προμάχεσθαι
ἁπάντων.
ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίον ἦλθεν

ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε
ὃς τράφη ἐν Θρῄκῃ ἐριβώλακι μητέρι μήλων·
Κισσῆς τόν γ᾽ ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα
μητροπάτωρ, ὃς τίκτε Θεανὼ καλλιπάρῃον·

αὐτὰρ ἐπεί ῥ᾽ ἥβης ἐρικυδέος ἵκετο μέτρον,
αὐτοῦ μιν κατέρυκε, δίδου δ᾽ ὅ γε θυγατέρα ἥν·
γήμας δ᾽ ἐκ θαλάμοιο μετὰ κλέος ἵκετ᾽ Ἀχαιῶν
σὺν δυοκαίδεκα νηυσὶ κορωνίσιν, αἳ οἱ ἕποντο.
τὰς μὲν ἔπειτ᾽ ἐν Περκώτῃ λίπε νῆας ἐΐσας,

αὐτὰρ ὃ πεζὸς ἐὼν ἐς Ἴλιον εἰληλούθει·
ὅς ῥα τότ᾽ Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίον ἦλθεν.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Ἀτρεΐδης μὲν ἄμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχος,
Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθε

νύξ᾽, ἐπὶ δ᾽ αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσας·
οὐδ᾽ ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
ἀργύρῳ ἀντομένη μόλιβος ὡς ἐτράπετ᾽ αἰχμή.
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
ἕλκ᾽ ἐπὶ οἱ μεμαὼς ὥς τε λίς, ἐκ δ᾽ ἄρα χειρὸς

«Έχτορα, γιε του Πριάμου ασύγκριτε, που 'χεις του Δία τη γνώση,
ο αφέντης Δίας σε σένα μ᾽ έστειλε το λόγο του ν᾽ ακούσεις:
Όσο θωράς τον Αγαμέμνονα το ρήγα μες στους πρώτους
να χύνεται μπροστά, θερίζοντας των Τρωών το ασκέρι αράδα,
τραβήξου εσύ, και στους επίλοιπους κουράγιο δίνε μόνο,
με τους οχτρούς στον άγριο τάραχο να πολεμούν αντρίκεια.
Μ᾽ αν κονταριά τον Αγαμέμνονα χτυπήσει για σαγίτα
κι απά στο αμάξι ανέβει, δύναμη να σφάζεις θα σου δώσει,
ωσόπου πια στα καλοκούβερτα πλεούμενα σιμώσεις,
κι ο γήλιος πέσει βασιλεύοντας και το άγιο απλώσει σκότος.»

Ως είπε αυτά η γοργόποδη Ίριδα, μισεύει πίσω πάλε,
κι εκείνος πήδηξε άπ᾽ τ᾽ αμάξι του συνάρματος στο χώμα,
κι έτρεξε, σειώντας τα κοντάρια του τα μυτερά, στ᾽ ασκέρι,
να μπουν στον πόλεμο φωνάζοντας, κι άγρια ξανάβει μάχη.
Κάνουν κι αυτοί στροφή και βρέθηκαν αντίκρα στους Αργίτες'
μα όπως επήραν και δυνάμωσαν κι οι Αργίτες τις γραμμές τους,
άνοιξε ο πόλεμος και στάθηκαν αντικριστά, κι εχύθη
μπροστά απ᾽ τους άλλους ο Αγαμέμνονας, να πολεμήσει πρώτος.
Πέστε μου τώρα, Μούσες, που 'χετε τον Όλυμπο παλάτι,
ποιος ήρθε ομπρός στον Αγαμέμνονα και στάθη απ᾽ όλους πρώτος

για από τους Τρώες για από τους σύμμαχους τους
κοσμοξακουσμένους;
Ο γιος ο αρχοντικός, ο λιόγεννος, του Αντήνορα Ιφιδάμας,
αναθραμμένος στην πολύκαρπη, την αρνομάνα Θράκη'
τον είχεν ο Κισσέας στο σπίτι του, παππούς από μητέρα,
της Θεανώς της ροδομάγουλης ο κύρης, αναστήσει,
μικρός σαν ήταν μα σαν άνθισεν η φουμιστή του η νιότη,
εκεί τον κράτησε και του 'δωκε την κόρη του γυναίκα'
κι αφήκε τον παστό τους νιόγαμπρός, γρικώντας πως εφτάσαν
οι Δαναοί, και δώδεκα άρμενα ξοπίσω του ακλουθούσαν.
Όμως τα πλοία τα καλοζύγιαστα τ᾽ αφήκε στην Περκώτη,

κι αυτός στεριάς επήγε κι έφτασε στης Τροίας το κάστρο μέσα.
Τούτος λοιπόν στον Αγαμέμνονα στάθηκε αντίκρα τότε'
κι όπως τρεχάτοι κοντοζύγωσαν χιμώντας ο ένας του άλλου,
ο Ατρείδης το κοντάρι πέταξε λοξά και δεν τον βρήκε'
μ᾽ αυτόν τον χτύπησε ο Ιφιδάμαντας στο θώρακα από κάτω,
στη ζώνη, κι έβαλε και δύναμη με το βαρύ του χέρι.
Μα το ζωνάρι τ᾽ ολοπλούμιστο δεν τρύπησε᾽ πιο πρώτα
βρήκε ο χαλός τ᾽ ασημοστόλιδα και στράβωσε ως μολύβι.
Κι ο πρωταφέντης Αγαμέμνονας αρπάζει το κοντάρι,
και σέρνοντας τον του το τράβηξε μανιάζοντας, σα λιόντας'

σπάσσατο· τὸν δ᾽ ἄορι πλῆξ᾽ αὐχένα, λῦσε δὲ γυῖα.
ὣς ὃ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον
οἰκτρὸς ἀπὸ μνηστῆς ἀλόχου, ἀστοῖσιν ἀρήγων,
κουριδίης, ἧς οὔ τι χάριν ἴδε, πολλὰ δ᾽ ἔδωκε·
πρῶθ᾽ ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι᾽ ὑπέστη
αἶγας ὁμοῦ καὶ ὄϊς, τά οἱ ἄσπετα ποιμαίνοντο.
δὴ τότε γ᾽ Ἀτρεΐδης Ἀγαμέμνων ἐξενάριξε,
βῆ δὲ φέρων ἀν᾽ ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
τὸν δ᾽ ὡς οὖν ἐνόησε Κόων ἀριδείκετος ἀνδρῶν
πρεσβυγενὴς Ἀντηνορίδης, κρατερόν ῥά ἑ πένθος
ὀφθαλμοὺς ἐκάλυψε κασιγνήτοιο πεσόντος.
στῆ δ᾽ εὐρὰξ σὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον,
νύξε δέ μιν κατὰ χεῖρα μέσην ἀγκῶνος ἔνερθε,
ἀντικρὺ δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή.
ῥίγησέν τ᾽ ἄρ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἀλλ᾽ οὐδ᾽ ὣς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο,
ἀλλ᾽ ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος.
ἤτοι ὃ Ἰφιδάμαντα κασίγνητον καὶ ὄπατρον
ἕλκε ποδὸς μεμαώς, καὶ ἀΰτει πάντας ἀρίστους·
τὸν δ᾽ ἕλκοντ᾽ ἀν᾽ ὅμιλον ὑπ᾽ ἀσπίδος ὀμφαλοέσσης
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα·
τοῖο δ᾽ ἐπ᾽ Ἰφιδάμαντι κάρη ἀπέκοψε παραστάς.
ἔνθ᾽ Ἀντήνορος υἷες ὑπ᾽ Ἀτρεΐδῃ βασιλῆϊ
πότμον ἀναπλήσαντες ἔδυν δόμον Ἄϊδος εἴσω.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν
ἔγχεῖ τ᾽ ἄορί τε μεγάλοισί τε χερμαδίοισιν,
ὄφρά οἱ αἷμ᾽ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.
αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ᾽ αἷμα,
ὀξεῖαι δ᾽ ὀδύναι δῦνον μένος Ἀτρεΐδαο.
ὡς δ᾽ ὅτ᾽ ἂν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα
δριμύ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι
Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι,
ὣς ὀξεῖ᾽ ὀδύναι δῦνον μένος Ἀτρεΐδαο.
ἐς δίφρον δ᾽ ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ
κῆρ.
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
ὑμεῖς μὲν νῦν νηυσὶν ἀμύνετε ποντοπόροισι
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺς
εἴασε Τρώεσσι πανημέριον πολεμίζειν.

μετά με μια σπαθιά στο σβέρκο του του παραλύει τα γόνα.
Σε μολυβένιον ύπνο, πέφτοντας, βυθίστηκεν ο δόλιος,
τους εδικούς του ως εδιαφέντευε κι αλάργα απ᾽ την καλή του,
που δεν τα χάρηκε, κι ας έδωκε πολλά για να την πάρει᾽
εκατό βόδια της πρωτόδωκε κι έταζε χίλια ακόμα,
κι αρνιά και γίδια, από τ᾽ αρίφνητα που του 'βοσκαν κοπάδια.
Μα τότε ο Ατρείδης Αγαμέμνονας τον έγδυσε, και πίσω
γυρνούσε στους Αργίτες τα όμορφα κρατώντας άρματά του.
Όπως αντίκρισε το αδέρφι του νεκρό να πέφτει χάμω,
ο Κώνας, πρώτος γιος του Αντήνορα, στον κόσμο ξακουσμένος,
καημός ανείπωτος του σκέπασε μεμιάς τα δυο του μάτια.
Στάθηκε πλάι στον Αγαμέμνονα κρυφά με το κοντάρι
και του χτυπάει το καλαμόχερο, πιο κάτω απ᾽ τον αγκώνα,
κι απ᾽ το κοντάρι που στραφτάλιζε βγήκε ο χαλός αντίκρυ.
Έκοψε κρύος τον Αγαμέμνονα το ρήγα ιδρώτας τότε,
μα δεν παράτησε τον πόλεμο και τη σφαγή, μονάχα
με το ανεμόθρεφτο κοντάρι του χιμάει στον Κόωνα πάνω.
Ωστόσο αυτός τον Ιφιδάμαντα, που ίδιοι γονιοί είχαν κάμει,
τραβούσε από το πόδι, κι έκραζε στους αντρειωμένους όλους·
μα όπως τραβούσε, τον επέτυχε πιο κάτω απ᾽ το σκουτάρι
το αφαλωτό με το κοντάρι του και του 'λυσε τα γόνα·
τρέχει, κι απά στον Ιφιδάμαντα του κόβει το κεφάλι.
Έτσι απ᾽ το γιο του Ατρέα δαμάστηκαν και χάσαν τη ζωή τους
οι γιοί του Αντήνορα, βουλιάζοντας στο μαύρον Άδη κάτω.
Κι ωστόσο επήρε αυτός και χίμιζε και μες στους Τρώες τους άλλους
με το σπαθί και το κοντάρι του και με χοντρά λιθάρια,
όση ώρα ακόμα το αίμα ανάβρυζε ζεστό από την πληγή του.
Μα μόλις η πληγή ξεράθηκε και στάθη πια το γαίμα,
τον πήραν οι σουβλιές αβάσταχτες τον αντρειωμένο Ατρείδη.
Πώς σε γυναίκα πια ετοιμόγεννην οι πικροπονοδότρες
θεές Λεχούσες σφάχτη στέλνουνε, κι είναι της Ήρας κόρες,
και σέρνουν σουβλερούς ξοπίσω τους, φαρμακωμένους πόνους·
τέτοιες σουβλιές στο χέρι του ένιωσε κι ο Ατρείδης ο αντρειωμένος.
Πηδάει στο αμάξι ευτύς και πρόσταξε του αμαξολάτη, τ᾽ άτια
στα βαθουλά να τρέξει τ᾽ άρμενα, τι εβάραινε η καρδιά του'
και δυνατά, πριν φύγει, εφώναξε, ν᾽ ακούσουν όλοι οι Αργίτες:
«Καλοί μου φίλοι, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
κρατήστε τώρα εσείς τον πόλεμο τον άγριο, να γλιτώστε
τα πελαγόδρομα καράβια μας, τι ολημερίς εμένα
τους Τρώες δεν άφησε ο βαθύγνωμος ο Δίας να πολεμήσω.»

ὣς ἔφαθ', ἡνίοχος δ' ἴμασεν καλλίτριχας ἵππους
νῆας ἔπι γλαφυράς· τὼ δ' οὐκ ἀέκοντε πετέσθην·
ἄφρεον δὲ στήθεα, ῥαίνοντο δὲ νέρθε κονίῃ
τειρόμενον βασιλῆα μάχης ἀπάνευθε φέροντες.
Ἕκτωρ δ' ὡς ἐνόησ' Ἀγαμέμνονα νόσφι κιόντα

Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταὶ
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
οἴχετ' ἀνὴρ ὤριστος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκε
Ζεὺς Κρονίδης· ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας
ἵππους

ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρησθε.
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ὡς δ' ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας
σεύῃ ἐπ' ἀγροτέρῳ συΐ καπρίῳ ἠὲ λέοντι,
ὣς ἐπ' Ἀχαιοῖσιν σεῦε Τρῶας μεγαθύμους

Ἕκτωρ Πριαμίδης βροτολοιγῷ ἶσος Ἄρηϊ.
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει,
ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραΐσσων ἀέλλῃ,
ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν

Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν;
Ἀσαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην
καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ' Ἀγέλαον
Αἴσυμνόν τ' Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα

πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ
ἀργεστᾶο Νότοιο βαθείῃ λαίλαπι τύπτων·
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόσε δ' ἀχνη
σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς·
ὡς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι δάμνατο λαῶν.

ἔνθά κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κεν ἐν νήεσσι πέσον φεύγοντες Ἀχαιοί,
εἰ μὴ Τυδεΐδῃ Διομήδεϊ κέκλετ' Ὀδυσσεύς·
Τυδεΐδη τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο πέπον, παρ' ἔμ' ἵσταο· δὴ γὰρ
ἔλεγχος

ἔσσεται εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ.
τὸν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς
Διομήδης·
ἦτοι ἐγὼ μενέω καὶ τλήσομαι· ἀλλὰ μίνυνθα
ἡμέων ἔσσεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς
Τρωσὶν δὴ βόλεται δοῦναι κράτος ἠέ περ ἡμῖν.

Είπε, κι ο αμαξολάτης χτύπησε τα ωριότριχα άλογα του,
που πρόθυμα πέταξαν, στ' άρμενα τα βαθουλά τραβώντας.
Τα στήθη τους με αφρούς σκεπάζουνταν κι ο κουρνιαχτός τα πόδια
τους γέμιζε, απ' τη μάχη ως έσερναν το ρήγα που πονούσε.
Κι ο μέγας Έχτορας, ως ξέκρινε το γιο του Ατρέα να φεύγει,
σέρνει φωνή τρανή γκαρδιώνοντας τους Τρώες και τους Λυκιώτες:
« Λυκιώτες και Δαρδάνοι αντρόψυχοι και Τρώες, ακούστε με όλοι'
άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιάς τη φλόγα!
τι τώρα ο πιο αντρειωμένος έφυγε, κι ο Δίας, ο γιος του Κρόνου,
έδωκε εμένα δόξα αθάνατη' στους γαύρους πάνω Αργίτες

βαράτε τ' άτια τα μονόνυχα, που πιο να δοξαστείτε.»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους.
ο αγριμολόγος πώς τ' ασπρόδοντα ξαμόλυσε σκυλιά του
σε λιόντα για και σ' άγριογούρουνο λογγοθρεμμένο απάνω'
όμοια και τότε ο μέγας Έχτορας, σαν Άρης αντροφόνος,
τους Τρώες ξαμόλυσε τους άφοβους απάνω στους Αργίτες'
κι ατός του, για τη νίκη σίγουρος, τραβούσε με τους πρώτους,
και μες στη μάχη εχύθη, δρόλαπας θαρρείς ξεφρενιασμένος,
που στο μαβί χιμίζει πέλαγο κι άγρια φουρτούνα ασκώνει.
Ποιόν πρώτο αλήθεια και ποιόν ύστερο του Πρίαμου ο γιος στο χώμα,

ο Έχτορας, έριξε, όπως του 'δινεν ο Δίας τη νίκη τώρα;
Τον Τώρο, τον Ασαίο, τον άτρομον Ιππόνοο, τον Οπίτη,
και του Κλυτέα το γιο το Δόλοπα και τον Αγέλαο ρίχνει
και τον Αυτόνοο και τον Αίσυμνο και τον Οφέλτιο πρώτα'
αυτούς απ' τους Αργίτες σκότωσε ρηγάδες, και στο πλήθος
πέφτει μετά. Καθώς ο Ζέφυρος με σίφουνα μεγάλο
φερμένα από το Νότο σύγνεφα λευκά χτυπάει και σπρώχνει,
και φουσκωτά κυλούν τα κύματα, κι η άχνη ψηλά σκορπιέται
απ' την ορμή του πολυτάξιδου κυνηγημένη ανέμου'
παρόμοια κι ο Έχτορας εθέριζε πολλά κεφάλια τότε.

Δουλειές αγιάτρευτες θα γίνουνταν εκεί, μεγάλη θράψη,
κι οι Αργίτες στα καράβια φεύγοντας θα πέφταν, ο Οδυσσέας
αν στου Τυδέα το γιο δε φώναζε κουράγιο δίνοντας του:
«Διομήδη, τι είναι αυτά που επάθαμε και της αντρείας ξεχνούμε;
Έλα, καλέ μου, στάσου δίπλα μου, τι θα 'ναι δα ντροπή μας
να πάρει τ' άρμενά μας ο Έχτορας ο λαμπροκρανοσείστης.»
Κι ο δυνατός Διομήδης στράφηκε κι απηλογιά του δίνει:
«Εγώ θα κρατηθώ στη θέση μου και θα βαστήξω, ωστόσο
δε θα 'ναι λέω μεγάλο τ' όφελος, τι ο νεφελοστοιβάχτης
ο Δίας στους Τρώες τη νίκη θέλησε, κι όχι σε μας να δώσει.»

ἦ καὶ Θυμβραῖον μὲν ἀφ᾽ ἵππων ὦσε χαμᾶζε
δουρὶ βαλὼν κατὰ μαζὸν ἀριστερόν· αὐτὰρ Ὀδυσσεὺς
ἀντίθεον θεράποντα Μολίονα τοῖο ἄνακτος.
τοὺς μὲν ἔπειτ᾽ εἴασαν, ἐπεὶ πολέμου ἀπέπαυσαν·
τὼ δ᾽ ἀν᾽ ὅμιλον ἰόντε κυδοίμεον, ὡς ὅτε κάπρω

ἐν κυσὶ θηρευτῇσι μέγα φρονέοντε πέσητον·
ὣς ὄλεκον Τρῶας πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον.
ἔνθ᾽ ἐλέτην δίφρόν τε καὶ ἀνέρε δήμου ἀρίστω
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων

ᾔδεε μαντοσύνας, οὐδὲ οὓς παῖδας ἔασκε
στείχειν ἐς πόλεμον φθισήνορα· τὼ δέ οἱ οὔ τι
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
τοὺς μὲν Τυδεΐδης δουρικλειτὸς Διομήδης
θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε᾽ ἀπηύρα·

Ἱππόδαμον δ᾽ Ὀδυσεὺς καὶ Ὑπείροχον ἐξενάριξεν.
ἔνθά σφιν κατὰ ἶσα μάχην ἐτάνυσσε Κρονίων
ἐξ Ἴδης καθορῶν· τοὶ δ᾽ ἀλλήλους ἐνάριζον.
ἦτοι Τυδέος υἱὸς Ἀγάστροφον οὔτασε δουρὶ
Παιονίδην ἥρωα κατ᾽ ἰσχίον· οὐ δέ οἱ ἵπποι

ἐγγὺς ἔσαν προφυγεῖν, ἀάσατο δὲ μέγα θυμῷ.
τοὺς μὲν γὰρ θεράπων ἀπάνευθ᾽ ἔχεν, αὐτὰρ ὃ πεζὸς
θῦνε διὰ προμάχων, εἷος φίλον ὤλεσε θυμόν.
Ἕκτωρ δ᾽ ὀξὺ νόησε κατὰ στίχας, ὦρτο δ᾽ ἐπ᾽ αὐτοὺς
κεκλήγων· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες.

τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης,
αἶψα δ᾽ Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·
νῶϊν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ·
ἀλλ᾽ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος

καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε τιτυσκόμενος κεφαλῆφιν,
ἄκρην κὰκ κόρυθα· πλάγχθη δ᾽ ἀπὸ χαλκόφι χαλκός,
οὐδ᾽ ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
τρίπτυχος αὐλῶπις, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων.
Ἕκτωρ δ᾽ ὦκ᾽ ἀπέλεθρον ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,

στῆ δὲ γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν.
ὄφρα δὲ Τυδεΐδης μετὰ δούρατος ὤχετ᾽ ἐρωὴν
τῆλε διὰ προμάχων, ὅθι οἱ καταείσατο γαίης
τόφρ᾽ Ἕκτωρ ἔμπνυτο, καὶ ἅψ ἐς δίφρον ὀρούσας

Είπε, και το Θυβραίο κοντάρεψε στο αριστερό βυζί του,
κι από το αμάξι του τον γκρέμισε᾽ και τον ισόθεο πάλε
Μολίονα, του Θυβραίού το σύντροφο, ρίχνει ο Οδυσσέας στο χώμα.
Τους κόψαν την ορμή για πόλεμο κι εκεί τους παράτησαν,
κι εκείνοι μες στο ασκέρι εχύθηκαν και κάναν θράψη, ως κάπροι
που θρασεμένοι απάνω εχίμιξαν σε σκύλους κυνηγάρους'
όμοια, ξανά χιμώντας, σκότωναν τους Τρώες, και ξανασάναν
χαρούμενοι, απ᾽ το θείο τον Έχτορα κυνηγημένοι, οι Αργίτες.
Τότε μαζί κι αμάξι εκούρσεψαν και δυο άντρειανούς σκότωσαν'
απ᾽ την Περκώτη, γιους του Μέροπα, που απ᾽ όλους πιο τους
άλλους

της μαντικής τις τέχνες κάτεχε, κι ουδ᾽ άφηνε τους γιους του
στον αντροφά να πάνε πόλεμο᾽ μ᾽ αυτοί δεν τον άκουσαν,
οι μαύρες Λάμιες λες του Χάροντα στο χαλασμό τους σπρώχναν.
Αυτών των δυο ο Διομήδης άρπαξε, κονταροκατεχάρης,
ζωή, ψυχή, και τα περίλαμπρα τους έγδυσε άρματά τους.
Δυο κι ο Οδυσσέας σκοτώνει, Ιππόδαμο κι Υπείροχο τους λέγαν.
Κι ανάμεσα τους ισοζύγιαζε τη μάχη από την Ίδα
ο Δίας βιγλίζοντας, και σκότωναν ο ένας τον άλλο εκείνοι.
Πρώτα ο Διομήδης τον Αγάστροφο χτυπάει με το κοντάρι,
το γιο του Παίονα, στο λαγγόνι του᾽ δεν είχε αυτός κοντά του

το αμάξι του να φύγει τρέχοντας, κι ήταν βαρύ το λάθος.
Τ᾽ άτια κρατούσε ο αμαξολάτης του πέρα μακριά, και τούτος
πεζός στους πρώτους μέσα εμάχουνταν, ως που τον βρήκε ο Χάρος.
Τους είδε τότε ο μέγας Έχτορας μες στις γραμμές, και πέφτει
σκούζοντας πάνω τους, κι οι φάλαγγες των Τρωών ξοπίσω
έρχονταν.
Κι ως τον αντίκρισε ο βροντόφωνος Διομήδης, σύγκρυο του 'ρθε,
και του Οδυσσέα γυρνώντας μίλησε, που πλάι του εκεί βρισκόταν:
«Κακό μεγάλο ο γαύρος Έχτορας, που απάνω μας πλακώνει'
μα εμείς εδώ ας σταθούμε ασάλευτοι να κονταροκρουστούμε.»
Είπε, και το μακρόισκιωτο έριξε κοντάρι του με φόρα,

και δεν ξαστόχησε᾽ τον πέτυχε στην κορυφή του κράνους,
την κεφαλή του ως εσημάδευε᾽ μα το χαλκό τινάζει
πίσω ο χαλκός, και στ᾽ ώριο δέρμα του δε φτάνει᾽ τι το κράνος
το στενοπρόσωπο, το τρίδιπλο, τον γλίτωσε του Φοίβου.
Κι ο Έχτορας μίλια πισωγύρισε και χώθη μες στ'ασκέρι,
κι άπα στα γόνατα σωριάστηκε, κι ακούμπησε στο χώμα
τ᾽ αδρό του χέρι, και του σκέπασε μαύρη νυχτιά τα μάτια.
Μα ως που να τρέξει στο κοντάρι του ξοπίσω ο Διομήδης
τραβώντας μέσα από τους πρόμαχους, να ιδεί που του 'χε πέσει,
ο Έχτορας πήρε ανάσα, επήδηξε στο αμάξι απάνω πάλε,

ἐξέλασ᾽ ἐς πληθύν, καὶ ἀλεύατο κῆρα μέλαιναν.
δουρὶ δ᾽ ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·
ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ᾽ ἐρύσατο Φοῖβος Ἀπόλλων
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.

ἦ θήν σ᾽ ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω.
καὶ Παιονίδην δουρὶ κλυτὸν ἐξενάριζεν.
αὐτὰρ Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο

Τυδεΐδῃ ἔπι τόξα τιταίνετο ποιμένι λαῶν,
στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
Ἴλου Δαρδανίδαο, παλαιοῦ δημογέροντος.
ἤτοι ὃ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
αἴνυτ᾽ ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ᾽ ὤμων

καὶ κόρυθα βριαρήν· ὃ δὲ τόξου πῆχυν ἄνελκε
καὶ βάλεν, οὐδ᾽ ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός,
ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ᾽ ἀμπερὲς ἰὸς
ἐν γαίῃ κατέπηκτο· ὃ δὲ μάλα ἡδὺ γελάσσας
ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος ἔπος ηὔδα·

βέβληαι οὐδ᾽ ἅλιον βέλος ἔκφυγεν· ὡς ὄφελόν τοι
νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι.
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
οἵ τέ σε πεφρίκασι λέονθ᾽ ὡς μηκάδες αἶγες.
τὸν δ᾽ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·

τοξότα λωβητὴρ κέρᾳ ἀγλαὲ παρθενοπῖπα
εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθείης,
οὐκ ἄν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί·
νῦν δέ μ᾽ ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.
οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάϊς ἄφρων·

κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.
ἦ τ᾽ ἄλλως ὑπ᾽ ἐμεῖο, καὶ εἴ κ᾽ ὀλίγον περ ἐπαύρῃ,
ὀξὺ βέλος πέλεται, καὶ ἀκήριον αἶψα τίθησι.
τοῦ δὲ γυναικὸς μέν τ᾽ ἀμφίδρυφοί εἰσι παρειαί,
παῖδες δ᾽ ὀρφανικοί· ὃ δέ θ᾽ αἵματι γαῖαν ἐρεύθων

πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες.
ὣς φάτο, τοῦ δ᾽ Ὀδυσεὺς δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
ἔστη πρόσθ᾽· ὃ δ᾽ ὄπισθε καθεζόμενος βέλος ὠκὺ
ἐκ ποδὸς ἕλκ᾽, ὀδύνη δὲ διὰ χροὸς ἦλθ᾽ ἀλεγεινή.
ἐς δίφρον δ᾽ ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε

και μες στο πλήθος πήρε κι έφευγε, και γλίτωσε του Χάρου.
Κι ο δυνατός Διομήδης του 'κραξε με το κοντάρι ορμώντας:
«Του Χάρου, σκύλε, πάλι εξέφυγες! Μια τρίχα και χανόσουν!
Ξανά σε γλίτωσεν ο Απόλλωνας ο Φοίβος, που ως στους χτύπους
των κονταριών κίνας, ταξίματα περίσσια θα του κάνεις.
Θα σε ξεκάμω εγώ, μη γνοιάζεσαι! Θα σε πετύχω πάλε,
κάποιος κι εμένα απ᾽ τους αθάνατους μαθές αν παραστέκει.
Τώρα η σειρά των άλλων πάνω τους θα πέσω, κι όποιον λάχω!»
Ως είπε τούτα, τον Αγάστροφο τον αντρειωμένο γδύνει.
Στο ρήγα το Διομήδη ο Αλέξαντρος, της ομορφομαλλούσας

Ελένης ο άντρας, το δοξάρι του τραβάει να ρίξει τότε,
γερμένος στην κολόνα, που 'στέκε στου Ίλου το μνήμα πάνω,
του γιου του Δάρδανου, πρωτόγερου σε περασμένα χρόνια.
Πάνω στην ώρα εκείνος έβγαζε το θώρακα απ᾽ τα στήθη
του Αγάστροφου κι από τους ώμους του το ξομπλιαστό σκουτάρι
και το βαρύ το κράνος᾽ μ᾽ άξαφνα τανυεί το τόξο ο Πάρης
και τον χτυπάει —τι από το χέρι του δεν ξέφυγε η σαγίτα
του κάκου— στο δεξιό ποδάρι του, στο χτένι, κι απαντίκρυ
περνώντας η σαγίτα εμπήχτηκε στη γη. Κι αυτός πετάχτη
με γέλιο απ᾽ τη χωσιά χαρούμενος, και με καμάρι του 'πε:

«Σε πέτυχα! Άδικα η σαγίτα μου δεν πήγε. Να᾽ ταν μόνο
στο κατωκοίλι να πετύχαινα, να σ᾽ εστελνα στον Άδη.
Έτσι απ᾽ τα τόσα θα ξανάσαιναν κακά κι οι Τρώες, που ομπρός σου
λιγοκαρδούν, ως αρνοκάτσικα σαν αντικρίζουν λιόντα.»
Τότε ο τρανός Διομήδης άσκιαχτος του απηλογήθη κι είπε:
«Γυναικοπλάνε κι ατσαλόγλωσσε, του δοξαριού τεχνίτη
μονάχα! αν σου βαστούσε αντίκρα μου να μετρηθείς στο απάλε,
δε θα φελούσαν τα δοξάρια σου μηδέ οι πολλές σαγίτες.
Τώρα στο χτένι με τσαγκρούνισες και το καυκιέσαι κιόλα.
Μωρό παιδί, γυναίκα αν μου 'ριχνε, τόσο ψηφώ και σένα!

«Του τιποτένιου, του λαγόκαρδου κούφια η ριξιά είναι πάντα.
Μένα η δικιά μου ωστόσο αλλιώτικη· ν᾽ αγγίξει μόνο κάποιον,
κι είναι πικρή στον που τη δέχεται και τη ζωή του χάνει.
Τα δυο της μάγουλα η γυναίκα του ξεσκίζει, τα παιδιά του
κλαίνε ορφανά, κι εκείνος, βάφοντας μ᾽ αίμα τη γη, σαπίζει,
κι όρνια τον περιζώνουν πιότερα παρά μοιρολογητρες.»
Αυτά είπε, κι ο Οδυσσέας ζυγώνοντας γοργά ο κονταρομάχος
στέκει μπροστά· κι αυτός, καθίζοντας, τη γρήγορη σαγίτα
τραβά απ᾽ το πόδι᾽ κι ως αβάσταχτοι τον έζωσαν οι πόνοι,
πηδάει στο αμάξι ευτύς, και πρόσταξε του αμαξολάτη, τ᾽ άτια

νησὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
οἰώθη δ᾽ Ὀδυσεὺς δουρὶ κλυτός, οὐδέ τις αὐτῷ
Ἀργείων παρέμεινεν, ἐπεὶ φόβος ἔλλαβε πάντας·
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγὼ τί πάθω; μέγα μὲν κακὸν αἴ κε φέβωμαι
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον αἴ κεν ἁλώω
μοῦνος· τοὺς δ᾽ ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.
ἀλλὰ τί ἦ μοι ταῦτα φίλος διελέξατο θυμός;
οἶδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃς δέ κ᾽ ἀριστεύῃσι μάχῃ ἔνι τὸν δὲ μάλα χρεὼ
ἑστάμεναι κρατερῶς, ἤ τ᾽ ἔβλητ᾽ ἦ τ᾽ ἔβαλ᾽ ἄλλον.
εἷος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων,
ἔλσαν δ᾽ ἐν μέσσοισι, μετὰ σφίσι πῆμα τιθέντες.
ὡς δ᾽ ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ᾽ αἰζηοὶ
σεύωνται, ὃ δέ τ᾽ εἶσι βαθείης ἐκ ξυλόχοιο
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν,
ἀμφὶ δέ τ᾽ ἀΐσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων
γίγνεται, οἳ δὲ μένουσιν ἄφαρ δεινόν περ ἐόντα,
ὣς ῥα τότ᾽ ἀμφ᾽ Ὀδυσῆα Διῒ φίλον ἐσσεύοντο
Τρῶες· ὃ δὲ πρῶτον μὲν ἀμύμονα Δηϊοπίτην
οὔτασεν ὦμον ὕπερθεν ἐπάλμενος ὀξέϊ δουρί,
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε.
Χερσιδάμαντα δ᾽ ἔπειτα καθ᾽ ἵππων ἀΐξαντα
δουρὶ κατὰ πρότμησιν ὑπ᾽ ἀσπίδος ὀμφαλοέσσης
νύξεν· ὃ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
τοὺς μὲν ἔασ᾽, ὃ δ᾽ ἄρ᾽ Ἱππασίδην Χάροπ᾽ οὔτασε δουρὶ
αὐτοκασίγνητον εὐηφενέος Σώκοιο.
τῷ δ᾽ ἐπαλεξήσων Σῶκος κίεν ἰσόθεος φώς,
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν
ὦ Ὀδυσεῦ πολύαινε δόλων ἆτ᾽ ἠδὲ πόνοιο
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι
τοιῶδ᾽ ἄνδρε κατακτείνας καὶ τεύχε᾽ ἀπούρας,
ἥ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς.
ὣς εἰπὼν οὔτησε κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
πάντα δ᾽ ἀπὸ πλευρῶν χρόα ἔργαθεν, οὐδ᾽ ἔτ᾽ ἔασε
Παλλὰς Ἀθηναίη μιχθήμεναι ἔγκασι φωτός.
γνῶ δ᾽ Ὀδυσεὺς ὃ οἱ οὔ τι τέλος κατακαίριον ἦλθεν,

στα βαθουλά να τρέξει τ᾽ άρμενα, τι εβάραινε η καρδιά του.
Μονάχος ο Οδυσσέας απόμεινε, του κονταριού ο τεχνίτης,
κανείς Αργίτης άλλος· όλοι τους στα πόδια το 'χαν βάλει.
Βαρυγκομώντας τότε μίλησε στην πέρφανη καρδιά του:
«Τι θα γενώ; Κακό είναι, αλίμονο, μεγάλο, φοβισμένος
να φύγω ομπρός τους, μα χειρότερο να σκοτωθώ εδώ πέρα
μονάχος. Οι άλλοι Αργίτες σκόρπισαν από του Δία το χέρι.
Όμως γιατί η καρδιά μου κάθεται και τ᾽ αναδεύει ετούτα;
Το ξέρω, μοναχά οι λιγόκαρδοι ξεκόβουν απ᾽ τη μάχη'
μα όποιου το λέει η καρδιά, στον πόλεμο πρεπό 'ναι να κρατήσει
αδείλιαστος᾽ μπορεί και σκότωσε, μπορεί και τον σκότωσαν.»
Κι ως τούτα ανάδευε στα φρένα του βαθιά και στην καρδιά του,
να τους, μπροστά του κιόλας έφτασαν οι Τρώες οι κονταράδες
κι ολόγυρα τον κλείσαν—κι έσκαβαν τον ίδιο τους το λάκκο.
Πώς κάπρο κυνηγούν ολόγυρα σκυλιά και ψυχωμένοι
αγριμολόοι, κι εκείνος βγαίνοντας απ᾽ το βαθύ ρουμάνι
τ᾽ άσπρα ακονίζει δόντια ανάμεσα στις γυριστές μασέλες,
κι όλοι τρογύρα πέφτουν πάνω του και τον ακούν που τρίζει
τα δόντια, μα κρατούν ασάλευτοι, κι ας τον τρομάζουν όλοι᾽
όμοια και τότε οι Τρώες εχίμιξαν στον ακριβό του Δία,
τον Οδυσσέα᾽ κι αυτός τον άψεγο Δηοπίτη πρώτα πρώτα
στον ώμο εχτύπησε, χιμίζοντας με μυτερό κοντάρι.
Το θόωνα και τον Έννομο έπειτα νεκρούς στο χώμα ρίχνει᾽
μετά τρυπάει το Χερσιδάμαντα στα μαλακά, απ᾽ τ᾽ αμάξι
καθώς πηδούσε, στο σκουτάρι του το αφαλωτό από κάτω.
Κι αυτός στη γη σωριάστη σφίγγοντας το χώμα στις παλάμες.
Αυτούς εκεί τους απαράτησε, μετά το γιο του Ιππάσου,
τον αδερφό του Σώκου του άψεγου, το Χάροπα σκοτώνει.
Κι ο ισόθεος Σώκος ήρθε τρέχοντας για να τον διαφεντέψει᾽
πήγε λοιπόν και στάθη δίπλα του, κι έτσι μιλεί και κρένει:
«Περίλαμπρε Οδυσσέα, που κίντυνα και δόλους δε χορταίνεις,
για θα 'χεις να καυκιέσαι σήμερα τους δυο τους γιους του Ιππάσου,
τέτοιους λεβέντες, πως εσκότωσες και πήρες τ᾽ άρματά τους,
για εγώ με το κοντάρι ρίχνοντας θα πάρω τη ζωή σου!»
Αυτά είπε, και στο ολούθε ισόκυκλο χτυπά σκουτάρι απάνω'
τρυπάει το δυνατό κοντάρι του το αστραφτερό σκουτάρι
και μέσα χώνεται στο θώρακα τον πολυξομπλιασμένο,
κι απ᾽ τα πλευρά του σκίζει αλάκερο το δέρμα, μα η Παλλάδα
δεν άφησε Αθηνά στα σπλάχνα του να μπει να τα θερίσει.
Κι ως το 'νιώσε ο Οδυσσέας, για θάνατο πως η πληγή δεν ήταν,

ἄψ δ᾽ ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔειπεν·
ἆ δείλ᾽ ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ἦτοι μέν ῥ᾽ ἔμ᾽ ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι·
σοὶ δ᾽ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἤματι τῷδ᾽ ἔσσεσθαι, ἐμῷ δ᾽ ὑπὸ δουρὶ δαμέντα
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ᾽ Ἀΐδι κλυτοπώλῳ.
ἦ καὶ ὃ μὲν φύγαδ᾽ αὖτις ὑποστρέψας ἐβεβήκει,
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε,
δούπησεν δὲ πεσών· ὃ δ᾽ ἐπεύξατο δῖος
Ὀδυσσεύς·

ὦ Σῶχ᾽ Ἱππάσου υἱὲ δαΐφρονος ἱπποδάμοιο
φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ᾽ ὑπάλυξας.
ἆ δείλ᾽ οὐ μέν σοί γε πατὴρ καὶ πότνια μήτηρ
ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ᾽ οἰωνοὶ
ὠμησταὶ ἐρύουσι, περὶ πτερὰ πυκνὰ βαλόντες.
αὐτὰρ ἔμ᾽, εἴ κε θάνω, κτεριοῦσί γε δῖοι Ἀχαιοί.
ὣς εἰπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος
ἔξω τε χροὸς ἕλκε καὶ ἀσπίδος ὁμφαλοέσσης·
αἷμα δέ οἱ σπασθέντος ἀνέσσυτο, κῆδε δὲ θυμόν.
Τρῶες δὲ μεγάθυμοι ὅπως ἴδον αἷμ᾽ Ὀδυσῆος
κεκλόμενοι καθ᾽ ὅμιλον ἐπ᾽ αὐτῷ πάντες ἔβησαν.
αὐτὰρ ὅ γ᾽ ἐξοπίσω ἀνεχάζετο, αὖε δ᾽ ἑταίρους.
τρὶς μὲν ἔπειτ᾽ ἤϋσεν ὅσον κεφαλὴ χάδε φωτός,
τρὶς δ᾽ ἄϊεν ἰάχοντος ἄρηι φίλος Μενέλαος.
αἶψα δ᾽ ἄρ᾽ Αἴαντα προσεφώνεεν ἐγγὺς ἐόντα·
Αἶαν διογενὲς Τελαμώνιε κοίρανε λαῶν
ἀμφί μ᾽ Ὀδυσσῆος ταλασίφρονος ἵκετ᾽ ἀϋτὴ
τῷ ἰκέλη ὡς εἴ έ βιώατο μοῦνον ἐόντα
Τρῶες ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ.
ἀλλ᾽ ἴομεν καθ᾽ ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
δείδω μή τι πάθῃσιν ἐνὶ Τρώεσσι μονωθεὶς
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται.
ὣς εἰπὼν ὃ μὲν ἦρχ᾽, ὃ δ᾽ ἅμ᾽ ἕσπετο ἰσόθεος φώς.
εὗρον ἔπειτ᾽ Ὀδυσῆα Διῒ φίλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτὸν
Τρῶες ἔπονθ᾽ ὡς εἴ τε δαφοινοὶ θῶες ὄρεσφιν
ἀμφ᾽ ἔλαφον κεραὸν βεβλημένον, ὅν τ᾽ ἔβαλ᾽ ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς· τὸν μέν τ᾽ ἤλυξε πόδεσσι
φεύγων, ὄφρ᾽ αἷμα λιαρὸν καὶ γούνατ᾽ ὀρώρῃ·
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάσσεται ὠκὺς ὀϊστός,
ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσιν

πισωποδίζει λίγο, κι έπειτα σέρνει φωνή στο Σώκο:
« Άμοιρε εσύ, χαμός ανέλπιστος που σε πλακώνει τώρα!
Αν μένα μ᾽ έκανες τον πόλεμο να πάψω με τους Τρώες,
όμως και συ από μένα θάνατο και μαύρη μοίρα θα 'βρεις
τη μέρα αυτή᾽ τι απ᾽ το κοντάρι μου πεσμένος θα χαρίσεις
δόξα σε με, στον καλοφόραδο τον Άδη τη ζωή σου.»
Είπε, κι αυτός γοργά πισώστρεψε και το 'βαλε στα πόδια,
μα ως έστριβε, μεμιάς του κάρφωσε στη ράχη το κοντάρι
μεσοπλατίς και του το πέρασε στο στήθος πέρα ως πέρα.
Βαρύς σωριάστη· καμαρώνοντας τότε ο Οδυσσέας φωνάζει:

«Σώκε, του Ιππάσου του πολέμαρχου, του αλογατά, βλαστάρι,
εσένα πρώτα επήρε ο θάνατος, δε γλίτωσες του Χάρου!
Κακόμοιρε! Τα μάτια ο κύρης σου κι η σεβαστή σου η μάνα
δε θα σου κλείσουν τώρα, ως πέθανες· οι αγιούπες θα σε σύρουν
και θα σου φαν τις σάρκες, γύρα σου κοπαδιαστά πετώντας'
όμως εμένα, αν έβρει ο θάνατος, οι Αργίτες θα με θάψουν.»
Αυτά είπε, κι έξω του πολέμαρχου του Σώκου το κοντάρι
απ᾽ το κορμί κι απ᾽ το σκουτάρι του το αφαλωτό τραβούσε'
κι ως το 'βγαλε, το γαίμα ανάβρυσε κι οι πόνοι τον επήραν.
Κι οι Τρώες ως είδαν οι λιοντόκαρδοι το γαίμα του Οδυσσέα,
ο ένας του άλλου κουράγιο δίνοντας απάνω του όλοι έπεσαν.
και τότε αυτός πισωποδίζοντας τους συντρόφους του κράζει.
Τρεις φώναξε φορές με δύναμη μεγάλη, όσο βαστούσε,
και τρεις ο ψυχωμένος γρίκησε Μενέλαος τη φωνή του,
και γρήγορα μιλάει στον Αίαντα, που ήταν εκεί σιμά του:
«Του Τελαμώνα γιε, αρχοντόγεννε ρηγάρχη, του Οδυσσέα
του καρτερόψυχου με κύκλωσε τώρα η φωνή, και μοιάζει
από τους άλλους να ξεκόπηκε στην άγρια μέσα μάχη,
κι έτσι που μόνος τώρα απόμεινε, τον έχουν στριμωγμένο.
Πρεπό είναι χέρι να του δώσουμε᾽ πάμε απ᾽ τ'ασκέρι μέσα.
Τρέμω, μονάχος όπως έμεινε μέσα στους Τρώες, μην πάθει,
τρανός κι ας είναι᾽ τι αν τον χάσουμε, θα τον ποθήσουμε όλοι.»
Είπε, και μπήκε ομπρός, κι ο ισόθεος τον ακολούθησε άντρας.
Βρήκαν σε λίγο το θεαγάπητο τον Οδυσσέα, κι οι Τρώες
τον κύκλωναν, καθώς πυρρόξανθα πα στο βουνό τσακάλια
ζώνουν αλάφι διπλοκέρατο, που κάποιος το δοξεύει
και το λαβώνει᾽ αυτόν τον ξέφυγε με γρήγορα ποδάρια,
όσο κρατάει ζεστό το γαίμα του κι έχει γερά τα γόνα'
μα σύντας το δαμάσει η γρήγορη σαγίτα, σαρκοφάγα
τσακάλια το σπαράζουν άσπλαχνα σε δάσος ισκιωμένο,

ἐν νέμεϊ σκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
σίντην· θῶες μέν τε διέτρεσαν, αὐτὰρ ὃ δάπτει·
ὥς ῥα τότ’ ἀμφ’ Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
Τρῶες ἔπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ’ ἥρως
αἴσσων ᾧ ἔγχει ἀμύνετο νηλεὲς ἦμαρ.

Αἴας δ’ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον,
στῆ δὲ παρέξ· Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος.
ἤτοι τὸν Μενέλαος ἀρήϊος ἔξαγ’ ὁμίλου
χειρὸς ἔχων, εἶος θεράπων σχεδὸν ἤλασεν ἵππους.
Αἴας δὲ Τρώεσσιν ἐπάλμενος εἶλε Δόρυκλον

Πριαμίδην νόθον υἱόν, ἔπειτα δὲ Πάνδοκον οὖτα,
οὖτα δὲ Λύσανδρον καὶ Πύρασον ἠδὲ Πυλάρτην.
ὡς δ’ ὁπότε πλήθων ποταμὸς πεδίον δὲ κάτεισι
χειμάρρους κατ’ ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ,
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας

ἐσφέρεται, πολλὸν δέ τ’ ἀφυσγετὸν εἰς ἅλα βάλλει,
ὡς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας,
δαΐζων ἵππους τε καὶ ἀνέρας· οὐδέ πω Ἕκτωρ
πεύθετ’, ἐπεί ῥα μάχης ἐπ’ ἀριστερὰ μάρναto πάσης
ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου, τῇ ῥα μάλιστα

ἀνδρῶν πῖπτε κάρηνα, βοὴ δ’ ἄσβεστος ὀρώρει
Νέστορά τ’ ἀμφὶ μέγαν καὶ ἀρήϊον Ἰδομενῆα.
Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλει μέρμερα ῥέζων
ἔγχεῖ θ’ ἱπποσύνῃ τε, νέων δ’ ἀλάπαζε φάλαγγας·
οὐδ’ ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοὶ

εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο
παῦσεν ἀριστεύοντα Μαχάονα ποιμένα λαῶν,
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον.
τῷ ῥα περίδεισαν μένεα πνείοντες Ἀχαιοὶ
μή πώς μιν πολέμοιο μετακλινθέντος ἕλοιεν.

αὐτίκα δ’ Ἰδομενεὺς προσεφώνεε Νέστορα δῖον·
ὦ Νέστορ Νηληϊάδη μέγα κῦδος Ἀχαιῶν
ἄγρει σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων
βαινέτω, ἐς νῆας δὲ τάχιστ’ ἔχε μώνυχας ἵππους·
ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων

ἰούς τ’ ἐκτάμνειν ἐπί τ’ ἤπια φάρμακα πάσσειν.
ὣς ἔφατ’, οὐδ’ ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
αὐτίκα δ’ ὧν ὀχέων ἐπεβήσετο, πὰρ δὲ Μαχάων
βαῖν’ Ἀσκληπιοῦ υἱὸς ἀμύμονος ἰητῆρος·
μάστιξεν δ’ ἵππους, τὼ δ’ οὐκ ἀέκοντε πετέσθην

πα στο βουνό κι η τύχη το 'φέρε να ξεπροβάλει λιόντας
αρπαχτικός, κι ως κείνα εσκόρπισαν, το τρώει με βιάση ετούτος'
όμοια και τότε τον πολύβουλο πολέμαρχο Οδυσσέα
Τρώες αντρειωμένοι πλήθος κύκλωναν, κι αυτός με το κοντάρι
χιμώντας πάσκιζε απ’ τον άσπλαχνο πώς να γλιτώσει Χάρο.
Κι ήρθεν ο Αίας με το σκουτάρι του, περίτρανο σαν πύργος,
και στάθη δίπλα του, και σκόρπισαν οι Τρώες εδώθε εκείθε.
Τότε ο Μενέλαος ο πολέμαρχος κρατώντας του το χέρι
τον έβγαλε έξω, ωσόπου ο ακράνης του του ζύγωσε τ’ αμάξι,
Κι ο μέγας Αίας στους Τρώες χιμίζοντας τον Πάνδοκο σκοτώνει

και τον υγιό του Πρίαμου Δόρυκλο, τον κλεφτογεννημένο’
το Λύσαντρο έπειτα, τον Πύρασο χτυπάει και τον Πυλάρτη.
Βροχή πώς ρίχνει ο Δίας αλύπητη, κι ο ποταμός φουσκώνει,
κι απ’ τα ψηλά βουνά ξεχύνεται και πλημμυράει τον κάμπο,
και πλήθος δρυς κυλούν στο ρέμα του ξεροί, και πλήθος πεύκα,
και πλήθος λάσπες, ξύλα, φρύγανα, και στο γιαλό τα ρίχνει’
παρόμοια ο μέγας Αίας χιμίζοντας στον κάμπο εκυνηγούσε
και σκότωνε και Τρώες κι αλόγατα· κι ουδέ τον είχε νιώσει
ο Έχτορας, που 'χε στήσει πόλεμο ζερβιά μεριά, στους όχτους
μακριά του ποταμού του Σκάμαντρου, κει πέρα που κεφάλια

πέφταν πολλά στο χώμα κι άσβηστος ο αλαλητός σκωνόταν
τρογύρα στον τρανό το Νέστορα, στο γαύρο Ιδομενέα.
Μέσα σ’ αυτούς ο μέγας Έχτορας, σ’ έργα φριχτά μπλεγμένος,
κοντάρι κυβερνούσε κι άλογα, και σκότωνε αντρειωμένους.
Μα κι έτσι οι Αργίτες οι αρχοντόγεννοι δε θα 'στρεφαν να φύγουν
αν της Ελένης της ωριόμαλλης το ταίρι, ο Πάρης, πάνω
στο δεξιόν ώμο δεν ελάβωνε με τρίκοχη σαγίτα
το ρήγα το Μαχάονα, κόβοντας την περισσήν αντρεία του.
Κι ο φόβος έζωσε τους άτρομους Αργίτες όλους τότε,
μη γείρει η ζυγαριά του πόλεμου κι οι Τρώες τους τον σκοτώσουν.

Κι ευτύς ο Ιδομενέας στο Νέστορα το θείο μιλάει γυρνώντας:
« Γιε του Νηλέα, ρηγάρχη Νέστορα, των Αχαιών η δόξα,
ομπρός, ανέβα πα στο αμάξι σου και το Μαχάονα πάρε
μαζί, και τρέξε τα μονόνυχα τ’ άτια στα πλοία με βιάση·
τι ένας γιατρός αξίζει σίγουρα πολλούς ανθρώπους άλλους·
σαγίτες άνασπάει και βότανα μαλαχτικά απιθώνει.»
Αυτά είπε, κι ο γερήνιος Νέστορας ακούει ο αλογολάτης,
κι ευτύς στο αμάξι ανέβη παίρνοντας και το Μαχάονα δίπλα,
τον Ασκληπιό που 'χε, τον άψεγο το γιατρευτή, πατέρα.
Δίνει βιτσιά μεμιάς στ’ αλόγατα, πού πρόθυμα πέταξαν

νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Κεβριόνης δὲ Τρῶας ὀρινομένους ἐνόησεν
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ νῶϊ μὲν ἐνθάδ᾽ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἳ δὲ δὴ ἄλλοι

Τρῶες ὀρίνονται ἐπιμὶξ ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος· ἀλλὰ καὶ ἡμεῖς
κεῖσ᾽ ἵππους τε καὶ ἅρμ᾽ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε κακὴν ἔριδα προβαλόντες

ἀλλήλους ὀλέκουσι, βοὴ δ᾽ ἄσβεστος ὄρωρεν.
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους
μάστιγι λιγυρῇ· τοὶ δὲ πληγῆς ἀΐοντες
ῥίμφ᾽ ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιοὺς
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων

νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἵ περὶ δίφρον,
ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων. ὃ δὲ ἵετο δῦναι ὅμιλον
ἀνδρόμεον ῥῆξαί τε μετάλμενος· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ χάζετο δουρός.

αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν
ἔγχεῖ τ᾽ ἄορί τε μεγάλοισί τε χερμαδίοισιν,
Αἴαντος δ᾽ ἀλέεινε μάχην Τελαμωνιάδαο.

Ζεὺς δὲ πατὴρ Αἴανθ᾽ ὑψίζυγος ἐν φόβον ὦρσε·

στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
τρέσσε δὲ παπτήνας ἐφ᾽ ὁμίλου θηρὶ ἐοικὼς
ἐντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων.
ὡς δ᾽ αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται,

οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἐλέσθαι
πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ᾽ οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·

ἠῶθεν δ᾽ ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ·
ὡς Αἴας τότ᾽ ἀπὸ Τρώων τετιημένος ἦτορ
ἧΐε πόλλ᾽ ἀέκων· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν.
ὡς δ᾽ ὅτ᾽ ὄνος παρ᾽ ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ᾽ ἀμφὶς ἐάγῃ,

στα βαθουλά τραβώντας άρμενα, καθώς κι αυτά το θέλαν.
Τότε ο Κεβριόνης, πάνω στου Έχτορα το αμάξι ανεβασμένος,
τους Τρώες θωρεί που αναστατώνουνταν, κι έτσι μιλεί και κρένει:
«Έχτορα, εμείς οι δυο χτυπιόμαστε με τους Αργίτες δώθε,
στην άκρη εδώ του τρισκατάρατου πολέμου, μα για κοίτα
τους άλλους Τρώες που αναστατώνουνται, κι αυτοί και τ᾽ άλογα τους.
Του Τελαμώνα ο γιος τους έβαλε μπροστά᾽ τον ξεχωρίζω
καλά από το τρανό σκουτάρι του στους ώμους γύρα᾽ ωστόσο
ας στρέψουμε κι αμάξι κι άλογα κι εμείς οι δυο κει πέρα,
όπου 'χουν στήσει ανήλεο πόλεμο πεζοί κι αμαξολάτες,

κι ο ένας τον άλλο σφάζουν, κι άσβηστη ψηλά η βουή πετιέται».
Είπε, και τ᾽ άτια τα ωριοχήτικα χτυπάει με το μαστίγι
το βροντερό, και κείνα, νιώθοντας τις μαστιγιές στην πλάτη,
μέσα σε Τρώες κι Αργίτες έσερναν το γρήγορο τ᾽ αμάξι,
σκουτάρια και νεκρούς ανάκατα πατώντας᾽ και τ᾽ αξόνι,
κάτω μεριά, κι οι γύροι εβάφουνταν στο αμάξι γύρα μ᾽ αίμα,
από τις στάλες που ξεπέταγαν τα νύχια των αλόγων
κι οι ρόδες· κι ο Έχτορας λαχτάριζε με τους οχτρούς να σμίξει,
πηδώντας πάνω τους, τις φάλαγγες να σπάσει᾽ κι έτσι ασκώνει
στους Δαναούς τρανό συντάραχο κι απανωτά χτυπούσε'

και μες στο πλήθος πηγαινόρχουνταν των άλλων, πολεμώντας -
με το σπαθί, με το κοντάρι του και με βαριά κοτρόνια.
Από τον Αίαντα μόνο αλάργευε, το γιο του Τελαμώνα,
τι ο Δίας τον αμποδούσε πόλεμο με πιο αντρειανούς να στήνει.
Μα ο Δίας πατέρας ο αψηλόθρονος ξυπνάει στον Αία τον τρόμο,
και στάθη σαστισμένος· κι έριξε στην πλάτη το σκουτάρι
και φεύγει, τρομαγμένος γύρα του θωρώντας, σαν αγρίμι,
κι όλο γυρνούσε πίσω, απόσιγα τα γόνατα κουνώντας.
Σε βοϊδομάντρα πώς πυρρόξανθο παίρνουν ξοπίσω λιόντα
τα τσοπανόσκυλα κι οι ξάγρυπνοι ξωτάροι να τον διώξουν,

κι όλη τη νύχτα ορθοί την πέρασαν, χωρίς να τον αφήσουν
το πιο παχύ ν᾽ αρπάξει βόδι τους᾽ κι εκείνος κρέας ζητώντας
να φάει, χιμάει, μα δίχως όφελος᾽ πλήθος μαθές κοντάρια
πέφτουν απάνω του ξεφεύγοντας απ᾽ αντρειωμένα χέρια,
πλήθος δαδιά που καιν και σκιάζεται, με όση κι αν έχει λύσσα'
και μόνο ως φέξει, παίρνει απόφαση και φεύγει πικραμένος'
όμοια βαριόκαρδος ξαλάργευε κι ο Αίας αθέλητα του
από τους Τρώες, μην πάθουν τρέμοντας τ᾽ Αργίτικα καράβια.
Πως γάιδαρος σιγοκουνάμενος στου χωραφιού το γύρο
πεισμώνει τα παιδιά, στην πλάτη του ραβδιά πολλά κι ας σπάζουν,

κείρει τ᾽ εἰσελθὼν βαθὺ λήϊον· οἳ δέ τε παῖδες
τύπτουσιν ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν·
σπουδῇ τ᾽ ἐξήλασσαν, ἐπεί τ᾽ ἐκορέσσατο φορβῆς·
ὣς τότ᾽ ἔπειτ᾽ Αἴαντα μέγαν Τελαμώνιον υἱὸν
Τρῶες ὑπέρθυμοι πολυηγερέες τ᾽ ἐπίκουροι
νύσσοντες ξυστοῖσι μέσον σάκος αἰὲν ἔποντο.
Αἴας δ᾽ ἄλλοτε μὲν μνησάσκετο θούριδος ἀλκῆς
αὖτις ὑποστρεφθείς, καὶ ἐρητύσασκε φάλαγγας
Τρώων ἱπποδάμων· ὁτὲ δὲ τρωπάσκετο φεύγειν.
πάντας δὲ προέεργε θοὰς ἐπὶ νῆας ὀδεύειν,
αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεσηγὺ
ἱστάμενος· τὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ πάγεν ὅρμενα πρόσσω,
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.
τὸν δ᾽ ὡς οὖν ἐνόησ᾽ Εὐαίμονος ἀγλαὸς υἱὸς
Εὐρύπυλος πυκινοῖσι βιαζόμενον βελέεσσι,
στῆ ῥα παρ᾽ αὐτὸν ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλε Φαυσιάδην Ἀπισάονα ποιμένα λαῶν
ἦπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾽ ὑπὸ γούνατ᾽ ἔλυσεν·
Εὐρύπυλος δ᾽ ἐπόρουσε καὶ αἴνυτο τεύχε᾽ ἀπ᾽ ὤμων.
τὸν δ᾽ ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοειδὴς
τεύχε᾽ ἀπαινύμενον Ἀπισάονος, αὐτίκα τόξον
ἕλκετ᾽ ἐπ᾽ Εὐρυπύλῳ, καί μιν βάλε μηρὸν ὀϊστῷ
δεξιόν· ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων,
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
στῆτ᾽ ἐλελιχθέντες καὶ ἀμύνετε νηλεὲς ἦμαρ
Αἴανθ᾽, ὃς βελέεσσι βιάζεται, οὐδέ ἑ φημι
φεύξεσθ᾽ ἐκ πολέμοιο δυσηχέος· ἀλλὰ μάλ᾽ ἄντην
ἵστασθ᾽ ἀμφ᾽ Αἴαντα μέγαν Τελαμώνιον υἱόν.
ὣς ἔφατ᾽ Εὐρύπυλος βεβλημένος· οἳ δὲ παρ᾽ αὐτὸν
πλησίοι ἔστησαν σάκε᾽ ὤμοισι κλίναντες
δούρατ᾽ ἀνασχόμενοι· τῶν δ᾽ ἀντίος ἤλυθεν Αἴας.
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Νέστορα δ᾽ ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵπποι
ἰδρῶσαι, ἦγον δὲ Μαχάονα ποιμένα λαῶν.
τὸν δὲ ἰδὼν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·

και τα ψηλά τα στάχυα μπαίνοντας θερίζει, με τα ξύλα
κι ας τον χτυπούν αυτά—παιδιάτικη μπροστά του η δύναμη τους!
Στερνά με κόπο κι αν τον έδιωξαν, μα φεύγει πια χορτάτος'
παρόμοια και το μέγαν Αίαντα, το γιο του Τελαμώνα,
παίρναν ξοπίσω οι Τρώες οι αντρόκαρδοι κι οι ξακουστοί συμμάχοι,
και του κάρφωναν τα κοντάρια τους στου σκουταριού τη μέση'
κι εκείνος μια γυρνούσε κι έστεκε, την πλήθιαν αντριγιά του
θυμάμενος, κι ευτύς αντίσκοφτε των αλογάδων Τρωών
τις φάλαγγες, και μια ξανάφευγε τη ράχη του γυρνώντας.
Έτσι το δρόμο απ᾽ όλους έκοβε προς τα γοργά καράβια,
και μόνος πολεμούσε ανάμεσα στους Τρώες και στους Αργίτες'
και τα πολλά κοντάρια που 'φευγαν απ᾽ αντρειωμένα χέρια
άλλα, χιμώντας μπρος, καρφώνουνταν πα στο τρανό σκουτάρι,
κι άλλα στη γης στέκονταν, κάτασπρη προτού γευτούνε σάρκα,
μεσοδρομίς, κι ας ελαχτάριζαν με σάρκα να χορτάσουν.
Κι όπως τον είδε τότε ο Ευρύπυλος, ο γιος ο τιμημένος
του Ευαίμονα, έτσι να ζορίζεται με τις πολλές ριξιές τους,
ήρθε και στάθη πλάι, και ρίχνοντας το αστραφτερό κοντάρι
τον Απισάονα τον πολέμαρχο, το γιο του Φαύσιου, βρίσκει
στο σκώτι· χαμηλά, και του 'λυσε μονοστιγμίς τα γόνα.
Κι ο Ευρύπυλος πηδά, απ᾽ τους ώμους του να πάρει την αρμάτα᾽
μα ως τον κατάλαβε ο θεόμορφος Αλέξαντρος να θέλει
να βγάλει του Απισάονα τ᾽ άρματα, τανίζει ευτύς το τόξο
και πετυχαίνει τον Ευρύπυλο πα στο δεξιό μερί του᾽
σπάει το καλάμι της σαγίτας του, κι ο Ευρύπυλος γυρίζει,
με το μερί βαρύ, στους συντρόφους ξοπίσω, να ξεφύγει
του Χάρου, και φωνή τους έσυρε, ν᾽ ακούσουν όλοι οι Αργίτες:
«Καλοί μου φίλοι, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
γυρνάτε και σταθείτε ασάλευτοι, τον Αίαντα να γλυτώστε
άπ᾽ το χαμό᾽ τον έχουν ρίχνοντας ζορίσει, δεν ξεφεύγει
απ᾽ τον κατάρατο τον πόλεμο, φοβάμαι᾽ για σταθείτε
γύρω απ᾽ τον μέγαν Αίαντα αλύγιστοι, το γιο του Τελαμώνα»
Ο λαβωμένος έτσι Ευρύπυλος μιλούσε, και κοντά του
ήρθαν στάθηκαν οι άλλοι, γέρνοντας στους ώμους τα σκουτάρια,
με τα κοντάρια ορθά, κι αντίκρα τους είδαν τον Αία να φτάνει,
που ως έφτασε κοντά στους συντρόφους, μεταγυρνάει και στέκει.
Έτσι εκεί πέρα τούτοι εμάχουνταν σα φλόγα λαμπαδούσα·
κι ωστόσο του Νηλέα τ᾽ αλόγατα το Νέστορα ιδρωμένα
και το Μαχάονα τον πολέμαρχο μακριά απ᾽ τη μάχη έσερναν.
Τότε ο Αχιλλέας ο φτεροπόδαρος τον γνώρισε ως τον είδε'

ἑστήκει γὰρ ἐπὶ πρυμνῇ μεγακήτεϊ νηΐ
εἰσορόων πόνον αἰπὺν ἰὼκά τε δακρυόεσσαν.
αἶψα δ᾽ ἑταῖρον ἑὸν Πατροκλῆα προσέειπε
φθεγξάμενος παρὰ νηός· ὃ δὲ κλισίηθεν ἀκούσας
ἔκμολεν ἶσος Ἄρηϊ, κακοῦ δ᾽ ἄρα οἱ πέλεν ἀρχή.

τὸν πρότερος προσέειπε Μενοιτίου ἄλκιμος υἱός·
τίπτέ με κικλήσκεις Ἀχιλεῦ; τί δέ σε χρεὼ ἐμεῖο;
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
δῖε Μενοιτιάδη τῷ ἐμῷ κεχαρισμένε θυμῷ
νῦν οἵω περὶ γούνατ᾽ ἐμὰ στήσεσθαι Ἀχαιοὺς

λισσομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ᾽ ἀνεκτός.
ἀλλ᾽ ἴθι νῦν Πάτροκλε Διῒ φίλε Νέστορ᾽ ἔρειο
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο·
ἦτοι μὲν τά γ᾽ ὄπισθε Μαχάονι πάντα ἔοικε
τῷ Ἀσκληπιάδῃ, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·

ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαυῖαι.
ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ᾽ ἑταίρῳ,
βῆ δὲ θέειν παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν.
οἳ δ᾽ ὅτε δὴ κλισίην Νηληϊάδεω ἀφίκοντο,
αὐτοὶ μέν ῥ᾽ ἀπέβησαν ἐπὶ χθόνα πουλυβότειραν,

ἵππους δ᾽ Εὐρυμέδων θεράπων λύε τοῖο γέροντος
ἐξ ὀχέων· τοὶ δ᾽ ἱδρῶ ἀπεψύχοντο χιτώνων
στάντε ποτὶ πνοιὴν παρὰ θῖν᾽ ἁλός· αὐτὰρ ἔπειτα
ἐς κλισίην ἐλθόντες ἐπὶ κλισμοῖσι κάθιζον.
τοῖσι δὲ τεῦχε κυκειῶ ἐϋπλόκαμος Ἑκαμήδη,

τὴν ἄρετ᾽ ἐκ Τενέδοιο γέρων, ὅτε πέρσεν Ἀχιλλεύς,
θυγατέρ᾽ Ἀρσινόου μεγαλήτορος, ἣν οἱ Ἀχαιοὶ
ἔξελον οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων.
ἥ σφωϊν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν
καλὴν κυανόπεζαν ἐΰξοον, αὐτὰρ ἐπ᾽ αὐτῆς

χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρόν, παρὰ δ᾽ ἀλφίτου ἱεροῦ ἀκτήν,
πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ᾽ ὁ γεραιός,
χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ᾽ αὐτοῦ
τέσσαρ᾽ ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον

χρύσειαι νεμέθοντο, δύω δ᾽ ὑπὸ πυθμένες ἦσαν.
ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν.
ἐν τῷ ῥά σφι κύκησε γυνὴ εἰκυῖα θεῇσιν
οἴνῳ Πραμνείῳ, ἐπὶ δ᾽ αἴγειον κνῆ τυρὸν

τι απάνω εστέκουνταν στου απλόχωρου του καραβιού την πρύμνα,
θωρώντας το βαρύ τους πόλεμο και την πικρή φευγάλα.
Κι ευτύς, φωνάζοντας απ᾽ τ᾽ άρμενο, το σύντροφο του κράζει,
τον Πάτροκλο᾽ κι αυτός ακούγοντας προβαίνει απ᾽ το καλύβι
σαν το θεό τον Άρη—κι άρχισε την ώρα αυτή ο χαμός του.
και πρώτος μίλησε ο αντροδύναμος γιος του Μενοίτιου κι είπε:
«Γιατί, Αχιλλέα, με κράζεις; Λέγε μου, τι θέλεις από μένα;»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
«Γιε του Μενοίτιου αρχοντογέννητε, πιο αγαπημένε απ᾽ όλους,
ήρθε ο καιρός θαρρώ στα πόδια μου να πέσουν μπρος οι Αργίτες

παρακαλώντας, τι ανεβάσταχτη τους έχει σφίξει ανάγκη.
Ωστόσο τρέχα τώρα, Πάτροκλε, στο Νέστορα, να μάθεις,
ποιος είναι εκείνος που λαβώθηκε και κουβαλά απ᾽ τη μάχη.
Πίσω ως τον έβλεπα, απαράλλαχτα με το Μαχάονα μοιάζει,
το θρέμμα του Ασκληπιού, το πρόσωπο δεν είδα ωστόσο διόλου'
τι με τη φόρα τους τ᾽ αλόγατα με βιάση προσπέρασαν.»
Είπε, κι ο Πάτροκλος του ακράνη του συναγρικάει το λόγο,
και πήρε στα καλύβια κι άρμενα των Δαναών να τρέχει.
Εκείνοι ωστόσο μπρος στου Νέστορα σα φτάσαν το καλύβι,
στην πολυθρόφα γη κατέβηκαν, και τ᾽ άλογα απ᾽ τ᾽ αμάξι

ο αλογατάρης Ευρυμέδοντας του γέροντα ξεζεύει.
Κι εκείνοι τον ιδρώτα εστέγνωσαν απ᾽ τούς χιτώνες πρώτα
στον άνεμο απαντίκρυ στέκοντας, ομπρός στο ακροθαλάσσι,
και στο καλύβι εμπήκαν ύστερα και σε σκαμνιά εκαθίσαν.
Τότε η Εκαμήδη η κάλοπλέξουδη πιοτό τους ετοιμάζει.
Την Τένεδο ο Αχιλλέας σαν πάτησε, την είχαν δώσει οι Αργίτες,
την κόρη του Αρσινόου του αντρόκαρδου, στο γέροντα μοιράδι
αρχοντικό, τι πρώτη η γνώμη του στων άλλων μέσα πάντα.
Αυτή μπροστά τους γαλαζόποδο, πανώριο, τορνεμένο
τραπέζι πρώτα τώρα απίθωσε, κι απάνω του ακουμπούσε

κανίστρι χάλκινο, και μέσα του κρομμύδι για προσφάγι,
να πίνουν, μέλι ακόμα ολόξανθο και κρίθινο άγιο αλεύρι,
στερνά την ώρια κούπα, ο γέροντας που 'χε απ᾽ την Πύλο φέρει,
την πλουμισμένη με χρυσόκαρφα, και τέσσερα τη ζώναν
αφτιά᾽ σε κάθε αφτί δεξόζερβα χρυσά βοσκολογουσαν
δυο περιστέρια, κι από κάτω της διπλοί βρίσκονταν πάτοι.
Γεμάτη αν ήταν, άλλος δύσκολα να την κουνήσει μπόρειε,
μα ο γέρο Νέστορας ανέκοπα την έφερνε στα χείλια.
Εκεί συγκέρασε η θεόμορφη γυναίκα τότε πρώτα
κρασί απ᾽ την Πράμνο, ξύνει μέσα του με τη χαλκένια ξύστρα

κνήστι χαλκείῃ, ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνε,
πινέμεναι δ᾽ ἐκέλευσεν, ἐπεί ῥ᾽ ὥπλισσε κυκειῶ.
τὼ δ᾽ ἐπεὶ οὖν πίνοντ᾽ ἀφέτην πολυκαγκέα δίψαν
μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες,
Πάτροκλος δὲ θύρῃσιν ἐφίστατο ἰσόθεος φώς.

τὸν δὲ ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο φαεινοῦ,
ἐς δ᾽ ἄγε χειρὸς ἑλών, κατὰ δ᾽ ἑδριάασθαι ἄνωγε.
Πάτροκλος δ᾽ ἐτέρωθεν ἀναίνετο εἶπέ τε μῦθον·
οὐχ ἕδος ἐστὶ γεραιὲ διοτρεφές, οὐδέ με πείσεις.
αἰδοῖος νεμεσητὸς ὅ με προέηκε πυθέσθαι

ὅν τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς
γιγνώσκω, ὁρόω δὲ Μαχάονα ποιμένα λαῶν.
νῦν δὲ ἔπος ἐρέων πάλιν ἄγγελος εἶμ᾽ Ἀχιλῆϊ.
εὖ δὲ σὺ οἶσθα γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος
δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
τίπτε τὰρ ὧδ᾽ Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδε
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.

βέβληται μὲν ὸ Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ᾽ Ὀδυσεὺς δουρὶ κλυτὸς ἠδ᾽ Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ·
τοῦτον δ᾽ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς

ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ᾽ ἐλεαίρει.
ἦ μένει εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ᾽ ἐπισχερώ; οὐ γὰρ ἐμὴ ἵς
ἔσθ᾽ οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.

εἴθ᾽ ὣς ἡβώοιμι βίη δέ μοι ἔμπεδος εἴη
ὡς ὁπότ᾽ Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίῃ, ὅτ᾽ ἐγὼ κτάνον Ἰτυμονῆα
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκε,
ῥύσι᾽ ἐλαυνόμενος· ὸ δ᾽ ἀμύνων ᾗσι βόεσσιν

ἔβλητ᾽ ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
κὰδ δ᾽ ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
ληΐδα δ᾽ ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλὴν
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν,

τυρί γιδίσιο, και πασπάλισε κριθάλευρο από πάνω᾽
και το πιοτό σαν αποτέλειωσε, τους κάλεσε να πιούνε.
Και κείνοι τα στεγνά λαρύγγια τους με το πιοτό ως δρόσισαν,
στην ώρα πάνω που χαιρόντουσαν ο ένας του άλλου μιλώντας,
πα στο κατώφλι εφάνη ο Πάτροκλος, ίδιος θεός, κι έστάθη.
Θωρώντας τον πετάχτη ο γέροντας απ᾽ το λαμπρό θρονί του
και χεροκράτητα τον έμπασε και του 'πε να καθίσει᾽
όμως ο Πάτροκλος του αρνήθηκε και τέτοια απηλογήθη:
«Δεν είναι, γέροντα αρχοντόθρεφτε, να κάτσω᾽ δε θα μείνω᾽
αυτόν που μ᾽ έστειλε τον σέβουμαι μαθές και τον φοβούμαι.

Θέλει να μάθει ποιος λαβώθηκε κι ήρθε μαζί σου· ωστόσο
κι εγώ τον βλέπω, είναι ο Μαχάονας ο ρήγας, τον γνωρίζω.
Τώρα ξανά γυρνώ, το μήνυμα στον Αχιλλέα να φέρω᾽
το ξέρεις, γέροντα αρχοντόθρεφτε, καλά πόσο 'ναι εκείνος
να τον φοβάσαι· κι αν δεν έφταιξες, μπορεί σε βγάζει φταίχτη.»
Κι απηλογιά ο γερήνιος Νέστορας του δίνει ο αλογολάτης:
«Ποιος λόγος ο Αχιλλέας να μύρεται για τους Αργίτες τώρα,
που απ᾽ τις ριξιές μαθές λαβώθηκαν; Κι ουδέ το βάζει ο νους του
σαν πόσο το στρατό μας πλάκωσε κακό· τι οι πιο αντρειωμένοι
από κοντά ή μακριά χτυπήθηκαν και στ᾽ άρμενα πλαγιάζουν.

Από σαϊτιά ο Διομήδης, ο άτρομος γιος του Τυδέα, λαβώθη,
από κοντάρι κι ο Αγαμέμνονας κι ο γαύρος Οδυσσέας,
από σαγίτα ακόμα ο Ευρύπυλος πα στο δεξιό μερί του.
Ώρα πολλή δεν είναι που "φερα κι αυτόν εδώ απ᾽ τη μάχη,
που δοξαριού σαγίτα εχτύπησε. Μόνο ο Αχιλλέας καθόλου
δε μας πονάει και δε μας γνοιάζεται, με όσην αντρεία κι αν έχει.
Για καρτεράει κοντά στη θάλασσα τα γρήγορα άρμενά μας,
όσο με πείσμα κι αν παλεύουμε, να κάψει η φάουσα φλόγα,
κι εμάς αράδα να μας σφάξουνε; τι πια μαθές δεν έχω. ᾽
τη δύναμη που ανθούσε κάποτε στο λυγερό κορμί μου.

Νιος να 'μουν, θε μου, κι ;ξεθύμαστη την πρώτη ορμή μου να 'χα,
σαν τότε που τα βόδια αρπάξαμε και πιάστηκαν μαζί μας
οι Ηλείοι, τη μέρα εγώ που σκότωσα το γαύρο Ιτυμονέα,
το γιο του Υπείροχου, στην Ήλιδα που ζούσε, κι ως επήγα
κούρσα να πάρω γι᾽ αντιπλέρωμα, τον πέτυχα απ᾽ τους πρώτους
με κονταριά, καθώς διαφέντευε τα βόδια του μπροστά μου.
Κι έπεσε χάμω, κι όλο εσκόρπισε το ασκέρι του, οι ξωτάροι.
Κι από τον κάμπο βιος αρίφνητο μαζώξαμε δικό τους᾽
πενήντα βουκολια τους πήραμε και γιδάρια πενήντα,
πενήντα αρπάξαμε αρνοκόπαδα και τόσα χοιροστάσια,

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεύς,
οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμον δὲ κιόντι.

κήρυκες δ᾽ ἐλίγαινον ἅμ᾽ ἠοῖ φαινομένηφι
τοὺς ἴμεν οἷσι χρεῖος ὀφείλετ᾽ ἐν Ἤλιδι δίῃ·
οἳ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
δαίτρευον· πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν·

ἐλθὼν γάρ ῥ᾽ ἐκάκωσε βίη Ἡρακληείη
τῶν προτέρων ἐτέων, κατὰ δ᾽ ἔκταθεν ὅσσοι
ἄριστοι·
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἷος λιπόμην, οἳ δ᾽ ἄλλοι πάντες ὄλοντο.
ταῦθ᾽ ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες

ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο.
ἐκ δ᾽ ὃ γέρων ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ᾽ οἰῶν
εἵλετο κρινάμενος τριηκόσι᾽ ἠδὲ νομῆας.
καὶ γὰρ τῷ χρεῖος μέγ᾽ ὀφείλετ᾽ ἐν Ἤλιδι δίῃ
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν

ἐλθόντες μετ᾽ ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον
θεύσεσθαι· τοὺς δ᾽ αὖθι ἄναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ᾽ ἐλατῆρ᾽ ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὃ γέρων ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ᾽ ἄσπετα πολλά· τὰ δ᾽ ἄλλ᾽ ἐς δῆμον ἔδωκε

δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφί τε ἄστυ
ἔρδομεν ἱρὰ θεοῖς· οἱ δὲ τρίτῳ ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι
πανσυδίῃ· μετὰ δέ σφι Μολίονε θωρήσσοντο

παῖδ᾽ ἔτ᾽ ἐόντ᾽, οὔ πω μάλα εἰδότε θούριδος ἀλκῆς.
ἔστι δέ τις Θρυόεσσα πόλις αἰπεῖα κολώνη
τηλοῦ ἐπ᾽ Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος·
τὴν ἀμφεστρατόωντο διαρραῖσαι μεμαῶτες.
ἀλλ᾽ ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ᾽ Ἀθήνη

ἄγγελος ἦλθε θέουσ᾽ ἀπ᾽ Ὀλύμπου θωρήσσεσθαι
ἔννυχος, οὐδ᾽ ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν
ἀλλὰ μάλ᾽ ἐσσυμένους πολεμίζειν. οὐδέ με Νηλεὺς
εἴα θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί μ᾽ ἔφη ἴδμεν πολεμήϊα ἔργα.

και τρεις φορές πενήντα αλόγατα ξανθοτριχάτα ακόμα,
φοράδες όλες τους, κι οι πιότερες βύζαιναν και πουλάρια.
Κι όλα τα κούρσα αυτά τα φέραμε μες στου Νηλέα την Πύλο,
τη νύχτα, στο καστρί᾽ και χάρηκε στα φρένα του ο Νηλέας,
που πήγα -τόσο νιος στον πόλεμο και τόσα κούρσα επήρα.
Και μόλις έφεξε, τελάλιζαν οι κράχτες, όσοι ξέρουν
πως τους χρωστούν στην άγιαν Ήλιδα, να συναχτούν κι οι πρώτοι
της Πύλος όλοι τους μαζώχτηκαν, τη μοιρασιά να κάνουν.
και σε πολλούς οι Ηλείοι χρωστούσανε, γιατί στα χρόνια εκείνα _
στην Πύλο μέσα λίγοι εμέναμε κι εκείνοι ρημαγμένοι'

τι είχε ο Ηρακλής ο τρανοδύναμος έρθει να μας ρημάξει,
σε πιο παλιούς καιρούς, και σκότωσε τους πιο αντρειανούς μας
όλους.
Δώδεκα γιους είχε ο αψεγάδιαστος Νηλέας αναστημένα,
κι απ᾽ όλους μόνο εγώ του απόμενα, χάθηκαν οι άλλοι᾽ κι έτσι
οι Ηλείοι πολύ το πήραν πάνω τους οι χαλκοθωρακάτοι,
κι άρχίσαν να μας φέρνουνται άσκημα, τι δε μας λογάριαζαν.
Και τότε ο γέροντας ξεδιάλεξε, δικά του να κρατήσει,
τρακόσια αρνιά και βόδια, παίρνοντας μαζί και τους τσοπάνους·
τι ήταν τρανό στην άγιαν Ήλιδα το χρέος που του χρωστούσαν,
στεφανοφόρα τέσσερα άλογα και δυο από πάνω αμάξια,

που τα 'χε στείλει εκεί να τρέξουνε, να πάρουν το τριπόδι.
Μα ο βασιλιάς Αυγείας τα κράτησε δικά του, και μονάχα
να γύρει ο αμαξολάτης πρόσταξε, θλιμμένος, δίχως άτια.
Γι᾽ αυτά τα λόγια κι έργα ο γέροντας χολιώντας ξεδιαλέγει
και παίρνει τότε κούρσα αρίφνητα, και τ᾽ άλλα τα μοιράζει
στον κόσμο, κι όλοι έφυγαν έχοντας το που 'πρεπε ο καθένας.
Κι εκεί που εμείς γι᾽ αυτά γνοιαζόμασταν, κι ολόγυρα στο κάστρο
σφάζαμε βόδια στους αθάνατους, στην τρίτη μέρα απάνω,
πλακώνουν και μονόνυχα άλογα κι αμέτρητη πεζούρα.
Μαζί κι οι δυο Μολίονες βρίσκουνταν αρματωμένοι, κι ήταν

άγουροι ακόμα, που από πόλεμο πολλά μαθές δεν ξέραν.
Είναι μια πόλη Θρύο, πυλιώτικη, σε ολόρθη ράχη απάνω,
στον Αλφειό κοντά, παράμερα, πολύ μακριά απ᾽ την Πύλο'
αυτήν να ζώσουν τότε εγύρευαν, να την κατακουρσέψουν.
Μα σύντας πια τον κάμπο εδιάβηκαν, φτάνει η Αθηνά τρεχάτη
μέσα στη νύχτα από τον Όλυμπο σε μας και παραγγέλνει
ν᾽ αρματωθούμε, κι ολοπρόθυμους στην Πύλο μας μαζώνει,
τι θέλαμε και μεις τον πόλεμο. Μα εγώ να βγω στη μάχη
ο κύρης μου ο Νηλέας δεν άφηνε, και μου 'κρυψε και τ᾽ άτια,
τι τάχα ήμουν ακόμα ακάτεχος στην τέχνη του πολέμου.

ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέπρεπον ἡμετέροισι
καὶ πεζός περ ἐών, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν Ἠῶ δῖαν
ἱππῆες Πυλίων, τὰ δ᾽ ἐπέρρεον ἔθνεα πεζῶν.

ἔνθεν πανσυδίῃ σὺν τεύχεσι θωρηχθέντες
ἔνδιοι ἱκόμεσθ᾽ ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλά,
ταῦρον δ᾽ Ἀλφειῷ, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,

δόρπον ἔπειθ᾽ ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι,
καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφέσταν δὴ ἄστυ διαρραῖσαι μεμαῶτες·
ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος·

εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχῃ Διί τ᾽ εὐχόμενοι καὶ Ἀθήνῃ.
ἀλλ᾽ ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας
ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ᾽ ἦν Αὐγείαο,

πρεσβυτάτην δὲ θύγατρ᾽ εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακα ᾔδη ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρί,
ἤριπε δ᾽ ἐν κονίῃσιν· ἐγὼ δ᾽ ἐς δίφρον ὀρούσας
στῆν ῥα μετὰ προμάχοισιν· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ

ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
ἡγεμόν᾽ ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
αὐτὰρ ἐγὼν ἐπόρουσα κελαινῇ λαίλαπι ἶσος,
πεντήκοντα δ᾽ ἕλον δίφρους, δύο δ᾽ ἀμφὶς ἕκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας ἐμῷ ὑπὸ δουρὶ δαμέντες.

καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ᾽ ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων ἐνοσίχθων
ἐκ πολέμου ἐσάωσε καλύψας ἠέρι πολλῇ.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξε·
τόφρα γὰρ οὖν ἐπόμεσθα διὰ σπιδέος πεδίοιο

κτείνοντές τ᾽ αὐτοὺς ἀνά τ᾽ ἔντεα καλὰ λέγοντες,
ὄφρ᾽ ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν
ἵππους
πέτρης τ᾽ Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ᾽ ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ

Μα κι έτσι εγώ, πεζός κι αν έμεινα, τους άλλους πα στ᾽ αμάξια
σ᾽ αντρειά ξεπέρασα, τι αφέντευε τον πόλεμο η Παλλάδα.
Είναι ένας ποταμός που χύνεται στη θάλασσα, ο Μινύος,
πλάι στην Αρήνη· εκεί προσμέναμε με τ᾽ άλογα οι Πυλιώτες
την άγια αυγή· κι ερχόταν πίσω μας σμάρι πυκνό η πεζούρα.
Εκείθε βιαστικά μες στ᾽ άρματα ντυμένοι ξεκινούμε,
και στου Αλφειού καταμεσήμερα τ᾽ άγια νερά τραβάμε.
Σφάζουμε εκεί στον παντοδύναμο το Δία σφαχτά πανώρια,
στον Αλφειό ταυρί, και δεύτερο ταυρί στον Ποσειδώνα,
στην Αθηνά τη γαλανομάτη γελάδα απ᾽ το κοπάδι.

Μετά δειπνούμε στο στρατόπεδο, στο λόχο του ο καθένας,
και κοιμηθήκαμε πλαγιάζοντας συνάρματοι, στον όχτο
του πόταμου. Κι οι Ηλείοι οι λιοντόκαρδοι φτασμένοι κιόλας ζώνουν
γοργά το κάστρο, λαχταρίζοντας να το κατακουρσέψουν·
μα πριν σηκώνουνταν ο πόλεμος ο φοβερός μπροστά τους·
τι ως απ᾽ τη γης ο γήλιος πρόβαλε ψηλά στραφτοβολώντας,
το γιο του Κρόνου ανακαλιόμαστε βοηθό και την Παλλάδα,
κι έτσι οι στρατοί τη μάχη αρχίζουμε᾽ κι ως ήρθαμε στα χέρια,
πρώτος εγώ το Μούλιο σκότωσα, τρανό κονταρομάχο,
και πήρα τα μονόνυχα άτια του᾽ γαμπρός του Αυγεία λογιόταν,

κι είχε την πιο μεγάλη κόρη του, τη λιόξανθη Αγαμήδη,
που κάτεχε όσα βγαίνουν βότανα στης γης τα πλάτη απάνω.
Καθώς χιμούσε, με το χάλκινο τον χτύπησα κοντάρι,
κι ως μες στη σκόνη αυτός σωριάστηκε, στο αμάξι του πηδώντας
εγώ στους πρώτους μέσα εστάθηκα. και τότε οι Ηλείοι σκόρπισαν
φύλλα φτερά, νεκρό ως αντίκρισαν το γαύρο τους προλάτη,
που μες στους άλλους αλογάρηδες ξεχώριζε στη μάχη.
Και τότε εγώ πλακώνω απάνω τους σα μελανό δρολάπι᾽
πενήντα αμάξια τους εκούρσεψα, και γύρα στο καθένα
δυο δυο τη γης δάγκωναν πέφτοντας απ᾽ το δικό μου χέρι.

Και τους Μολίονες λέω θα σκότωνα, τους γιους του Αχτόρου, τότε,
αν μες στον πόλεμο ο πατέρας τους, ο μέγας Κοσμοσείστης,
με καταχνιά δεν τους εσκέπαζε βαριά, να τους γλιτώσει.
Και τότε νίκη ο Δίας εχάρισε μεγάλη στους Πυλιώτες·
τι στο κυνήγι τους εστρώσαμε μες στο φαρδύ τον κάμπο
σκοτώνοντας τους και μαζώνοντας τις ώριες τους αρμάτες,
ως που πάτησαν το πολύσταρο Βουπράσιο τ᾽ άλογά μας,
και τ᾽ όρος του Αλησίου που λέγεται, και τον Ωλένιο βράχο᾽
γιατί η Αθηνά να πάει δεν άφηνε το ασκέρι μας πιο πέρα.
Εκεί σκοτώνω εγώ τον ύστερο, και τ᾽ άτια πίσω τότε

ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ᾽ ἔχον ὠκέας ἵππους,
πάντες δ᾽ εὐχετόωντο θεῶν Διὶ Νέστορί τ᾽ ἀνδρῶν.
ὣς ἔον, εἴ ποτ᾽ ἔον γε, μετ᾽ ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἷος τῆς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύσεσθαι ἐπεί κ᾽ ἀπὸ λαὸς ὄληται.

ὦ πέπον ἦ μὲν σοί γε Μενοίτιος ὧδ᾽ ἐπέτελλεν
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε,
νῶϊ δέ τ᾽ ἔνδον ἐόντες ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
πάντα μάλ᾽ ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλε.
Πηλῆος δ᾽ ἱκόμεσθα δόμους εὖ ναιετάοντας

λαὸν ἀγείροντες κατ᾽ Ἀχαΐδα πουλυβότειραν.
ἔνθα δ᾽ ἔπειθ᾽ ἥρωα Μενοίτιον εὕρομεν ἔνδον
ἠδὲ σέ, πὰρ δ᾽ Ἀχιλῆα· γέρων δ᾽ ἱππηλάτα Πηλεὺς
πίονα μηρία καῖε βοὸς Διὶ τερπικεραύνῳ
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον

σπένδων αἴθοπα οἶνον ἐπ᾽ αἰθομένοις ἱεροῖσι.
σφῶϊ μὲν ἀμφὶ βοὸς ἔπετον κρέα, νῶϊ δ᾽ ἔπειτα
στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ᾽ ἀνόρουσεν Ἀχιλλεύς,
ἐς δ᾽ ἄγε χειρὸς ἑλών, κατὰ δ᾽ ἑδριάασθαι ἄνωγε,
ξείνιά τ᾽ εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν.

αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
ἦρχον ἐγὼ μύθοιο κελεύων ὔμμ᾽ ἅμ᾽ ἕπεσθαι·
σφὼ δὲ μάλ᾽ ἠθέλετον, τὼ δ᾽ ἄμφω πόλλ᾽ ἐπέτελλον.
Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ᾽ Ἀχιλῆϊ
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·

σοὶ δ᾽ αὖθ᾽ ὧδ᾽ ἐπέτελλε Μενοίτιος Ἄκτορος υἱός·
τέκνον ἐμὸν γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίῃ δ᾽ ὅ γε πολλὸν ἀμείνων.
ἀλλ᾽ εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ᾽ ὑποθέσθαι
καί οἱ σημαίνειν· ὃ δὲ πείσεται εἰς ἀγαθόν περ.

ὣς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι· ἀλλ᾽ ἔτι καὶ νῦν
ταῦτ᾽ εἴποις Ἀχιλῆϊ δαΐφρονι αἴ κε πίθηται.
τίς δ᾽ οἶδ᾽ εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
εἰ δέ τινα φρεσὶν ᾖσι θεοπροπίην ἀλεείνει

καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ σέ περ προέτω, ἅμα δ᾽ ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμον δὲ φέρεσθαι,
αἴ κέ σε τῷ εἴσκοντες ἀπόσχωνται πολέμοιο

στην Πύλο απ᾽ το Βουπράσιο στρέψαμε᾽ κι απ᾽ τους θεούς το Δία,
απ᾽ τους θνητούς μαθές το Νέστορα δοξολογούσαν όλοι.
Τέτοιος εστάθηκα, αν εστάθηκα, μες στους ανθρώπους, όμως
τον Αχιλλέα θωρώ να χαίρεται την αντριγιά του μόνος.
Πικρά θα κλάψει ωστόσο αργότερα, σαν όλοι εμείς χαθούμε.
Φίλε καλέ, ο Μενοίτιος σου 'δινε τέτοιες ορμήνιες τότε,
από τη Φθία στον Αγαμέμνονα σα σ᾽ έστελνε—θυμάσαι;
Καλά ο Οδυσσέας ο αρχοντογέννητος κι εγώ τους ορισμούς του
ακούσαμε όλους, τι βρεθήκαμε κι εμείς στο σπίτι μέσα.
Από τις χώρες τις πολύκοσμες των Αχαιών, ασκέρι

μαζεύοντας, στο σπίτι εφτάσαμε το πλούσιο του Πηλέα.
Εκεί και το Μενοίτιο βρήκαμε τον αντρειανό και σένα,
και δίπλα σου ο Αχιλλέας εστέκουνταν κι ο γέρο αλογολάτης
Πηλέας στο Δία τον κεραυνόχαρο παχιά μεριά από βόδι
έκαιγε μέσα στον αυλόγυρο, και στάλαζε με κούπα
μαλαματένια στο που καίγουνταν σφαχτό κρασί φλογάτο.
Καθώς εσείς το κρέας γνοιαζόσαστε, στην ξώπορτά σας ξάφνου
εμείς προβάλαμε. Πετάχτηκε τότε ο Αχιλλέας, μας πήρε
χεροκρατώντας, να καθίσουμε μας έβαλε κοντά σας,
και με όλα τα καλά μας φίλεψε που συνηθούν στους ξένους.

Και σύντας το φαγί εχαρήκαμε και το πιοτό, μιλούσα
πρώτος εγώ, κι οί δυο σας να 'ρθετε μαζί παρακινώντας.
Κι όπως και σεις το θέλατε, άρχισαν αρμήνιες να σας δίνουν
ο γέροντας Πηλέας αρμήνευε τον Αχιλλέα το γιο του,
πρώτος να θέλει να 'ναι πάντα του, να ξεπερνά τους άλλους.
Κι ο γιος του Αχτόρου εσένα αρμήνευε και τέτοια λόγια σου 'πε:
,,Γιε μου, ο Αχιλλέας πιο πάνω στέκεται στην αρχοντιά από σένα,
και στην αντρεία πολύ᾽ τρανότερος στα χρόνια εσύ 'σαι ωστόσο᾽
γι᾽ αυτό και μυαλωμένα μίλα του, τη γνώμη του κυβέρνα
κι οδήγα τον, κι αυτός τα λόγια σου θ᾽ ακούει για το καλό του."

Τέτοια σ᾽ αρμήνευεν ο γέροντας, μα το ξεχνάς᾽ ωστόσο
στον Αχιλλέα καν τώρα μίλησε, μπορεί και να συγκλίνει.
Ποιος ξέρει θεός αν δε σε σύντρεχε, το σπλάχνο του ν᾽ αγγίξεις
μιλώντας του᾽ τι αξίζει η φώτιση σαν έρχεται από φίλο.
Μ᾽ αν των θεών κανένα μήνυμα γυρεύει να ξεφύγει,
που η σεβαστή του το φανέρωσε μητέρα από το Δία,
ας στείλει καν εσένα γρήγορα, μαζί και το άλλο ασκέρι
των Μυρμιδόνων φως θ᾽ αντίκριζαν οι Αργίτες έτσι κάπως.
Και τη δικιά του αρμάτα ας σου 'δινε στη μάχη να φορέσεις'
μπορεί, για κείνον αν σε πάρουνε, τον πόλεμο ν᾽ αφήσουν

Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
ὥσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὡς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,

βῆ δὲ θέειν παρὰ νῆας ἐπ᾽ Αἰακίδην Ἀχιλῆα.
ἀλλ᾽ ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
ἵξε θέων Πάτροκλος, ἵνά σφ᾽ ἀγορή τε θέμις τε
ἦην, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί,
ἔνθά οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησε

διογενὴς Εὐαιμονίδης κατὰ μηρὸν ὀϊστῷ
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ῥέεν ἱδρὼς
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ᾽ ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν.
τὸν δὲ ἰδὼν ὤκτειρε Μενοιτίου ἄλκιμος υἱός,

καί ῥ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
ἆ δειλοὶ Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες
ὡς ἄρ᾽ ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης
ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ διοτρεφὲς Εὐρύπυλ᾽ ἥρως,

ἦ ῥ᾽ ἔτι που σχήσουσι πελώριον Ἕκτορ᾽ Ἀχαιοί,
ἦ ἤδη φθίσονται ὑπ᾽ αὐτοῦ δουρὶ δαμέντες;
τὸν δ᾽ αὖτ᾽ Εὐρύπυλος βεβλημένος ἀντίον ηὔδα·
οὐκέτι διογενὲς Πατρόκλεες ἄλκαρ Ἀχαιῶν
ἔσσεται, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέονται.

οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε
χερσὶν ὕπο Τρώων· τῶν δὲ σθένος ὄρνυται αἰέν.
ἀλλ᾽ ἐμὲ μὲν σὺ σάωσον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ᾽ ἔκταμ᾽ ὀϊστόν, ἀπ᾽ αὐτοῦ δ᾽ αἷμα κελαινὸν

νίζ᾽ ὕδατι λιαρῷ, ἐπὶ δ᾽ ἤπια φάρμακα πάσσε
ἐσθλά, τά σε προτί φασιν Ἀχιλλῆος δεδιδάχθαι,
ὃν Χείρων ἐδίδαξε δικαιότατος Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων
τὸν μὲν ἐνὶ κλισίῃσιν ὀΐομαι ἕλκος ἔχοντα

χρῃΐζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος
κεῖσθαι· ὃ δ᾽ ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα.
τὸν δ᾽ αὖτε προσέειπε Μενοιτίου ἄλκιμος υἱός·
πῶς τὰρ ἔοι τάδε ἔργα; τί ῥέξομεν Εὐρύπυλ᾽ ἥρως;
ἔρχομαι ὄφρ᾽ Ἀχιλῆϊ δαΐφρονι μῦθον ἐνίσπω

ὃν Νέστωρ ἐπέτελλε Γερήνιος οὖρος Ἀχαιῶν·
ἀλλ᾽ οὐδ᾽ ὣς περ σεῖο μεθήσω τειρομένοιο.
ἦ, καὶ ὑπὸ στέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐς κλισίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείας.
ἔνθά μιν ἐκτανύσας ἐκ μηροῦ τάμνε μαχαίρῃ

οι Τρώες, κι οι Αργίτες οι πολέμαρχοι να ξανασάνουν έτσι,
που απόστασαν καλή στον πόλεμο κι η λίγη ανάσα ακόμα.
Κι εύκολα πέφτοντας ξεκούραστοι σε κουρασμένους πάνω,
απ᾽ τα καλύβια θα τους διώχνατε κι από τα πλοία στο κάστρο.»
Είπε, και την καρδιά ανατάραξε στου Πάτροκλου τα στήθια,
κι έτσι κινούσε δίπλα στ᾽ άρμενα, να πάει στον Αχιλλέα.
Μα σύντας προσπερνούσε τ᾽ άρμενα του αρχοντικού Οδυσσέα
τρεχάτος, στο άπλωμα που εγίνουνταν η σύναξη κι οι δίκες,
κι όπου υψώνονταν των αθάνατων γύρα οι βωμοί, κει πέρα
ξάφνου ανταμώνει τον Ευρύπυλο τον αρχοντοθρεμμένο,

το λαβωμένο γιο του Ευαίμονα πα στο μερί, που ερχόταν
πίσω απ᾽ τον πόλεμο κουτσαίνοντας, κι από κεφάλι κι ώμους
κρουνός ο ιδρώτας κάτω εστάλαζε· τον σούβλιζε η πληγή του,
και μελανό το γαίμα εσούρωνε, δούλευε ο νους του ωστόσο.
Κι όπως τον είδε ο γαύρος Πάτροκλος, τον πόνεσε η καρδιά του,
και με κλαφτή φωνή άνεπάρπαστα του συντυχαίνει λόγια:
« Δύστυχοι εσείς, Αργίτες άρχοντες και πρωτοκεφαλάδες!
Έτσι λοιπόν μακριά σας μέλλουνταν από δικούς και φίλους
της Τροίας τους σκύλους να χορτάσετε με τ᾽ άσπρο σας το ξίγκι;
Όμως εσύ, αντρειωμένε Ευρύπυλε κι αρχοντικέ, για πες μου,

οι Αργίτες μπρος στο μέγαν Έχτορα θα κρατηθούν ακόμα,
για θα χαθούν απ᾽ το κοντάρι του κακοθανατισμένοι;»
Κι ο λαβωμένος τότε Ευρύπυλος απηλογιά του δίνει:
«Πια τώρα, Πάτροκλε αρχοντόθρεφτε, να κρατηθούν οι Αργίτες
δε γίνεται᾽ σε λίγο ρίχνουνται στα μαύρα τ᾽ άρμενα τους᾽
τι κιόλας όλους που ξεχώριζαν στην αντριγιά ως τα τώρα,
από κοντά ή μακριά τους χτύπησαν οι Τρώες, και στα καράβια
κρίτονται, και των Τρωών η δύναμη κάθε στιγμή αβγαταίνει.
Μα εμένα γλίτωσε με, φέρε με στο μαύρο μου καράβι,
και τη σαγίτα κόψε, βγάλε την απ᾽ το μερί, και πλύνε

με χλιό νερό το μαύρο γαίμα μου, και μαλακά βοτάνια
βάλε μετά, πραγά, που σου᾽ μαθέ λεν ο Αχιλλέας, απάνω'
αυτός από το δίκιο Κένταυρο, το Χείρωνα, τα ξέρει.
Δυο ειν᾽ οι γιατροί μας, ο Μαχάονας κι ο Ποδαλείριος, όμως
ο ένας θαρρώ μες στα καλύβια μας ξαπλώνει λαβωμένος,
κι έχει κι αυτός από αψεγάδιαστο γιατρό μαθές ανάγκη᾽
κι ο άλλος στον κάμπο στέκει ακλόνητος στων Τρωών τη λύσσα
αντίκρυ.»
Γυρνώντας ο αντρειωμένος Πάτροκλος απηλογιά του δίνει:
«Τι λες να κάνω τώρα, Ευρύπυλε, και πώς να τα βολέψω;
Τρέχω να φέρω στον πολέμαρχο τον Αχιλλέα το λόγο

που μου 'πεν ο γερήνιος Νέστορας, των Αχαιών η σκέπη.
Μα κι έτσι δε σ᾽ αφήνω αβοήθητο, για να σε τρων οι πόνοι.»
Αυτά είπε, κι απ᾽ τα στήθια αγκάλιασε το ρήγα, και τον πήγε
μες στο καλύβι᾽ κι ένας σύντροφος βοϊδοπροβιές του στρώνει
και πέφτει. Ευτύς του βγάζει ο Πάτροκλος τη σουβλερή σαγίτα

ὀξὺ βέλος περιπευκές, ἀπ᾽ αὐτοῦ δ᾽ αἷμα κελαινὸν
νίζ᾽ ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
χερσὶ διατρίψας ὀδυνήφατον, ἥ οἱ ἀπάσας
ἔσχ᾽ ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ᾽
αἷμα.

απ᾽ το μερί με το μαχαίρι του, το μαύρο γαίμα πλένει
με χλιό νερό, και πάνω απίθωσε πικρή πονοκοιμήτρα
ρίζα, στο χέρι αφού την έτριψε, και σταματά τους πόνους.
Έτσι η πληγή γοργά εμαράθηκε, και στάθηκε το γαίμα.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Μ-

-Μ- ὣς ὃ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς
ἰᾶτ' Εὐρύπυλον βεβλημένον· οἱ δὲ μάχοντο
Ἀργεῖοι καὶ Τρῶες ὁμιλαδόν· οὐδ' ἄρ' ἔμελλε
τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθεν

εὐρύ, τὸ ποιήσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλασαν· οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας·
ὄφρά σφιν νῆάς τε θοὰς καὶ λῃΐδα πολλὴν
ἐντὸς ἔχον ῥύοιτο· θεῶν δ' ἀέκητι τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.

ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεὺς
καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλεν,
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν.
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι,
πολλοὶ δ' Ἀργείων οἳ μὲν δάμεν, οἳ δὲ λίποντο,

πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ,
Ἀργεῖοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν,
δὴ τότε μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων
τεῖχος ἀμαλδῦναι ποταμῶν μένος εἰσαγαγόντες.
ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλα δὲ προρέουσι,

Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε
Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι καὶ ἡμιθέων γένος ἀνδρῶν·
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε Φοῖβος
Ἀπόλλων,

ἐννῆμαρ δ' ἐς τεῖχος ἴει ῥόον· ὗε δ' ἄρα Ζεὺς
συνεχές, ὄφρά κε θᾶσσον ἁλίπλοα τείχεα θείη.
αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν
ἡγεῖτ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε
φιτρῶν καὶ λάων, τὰ θέσαν μογέοντες Ἀχαιοί,

λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον,
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψε
τεῖχος ἀμαλδύνας· ποταμοὺς δ' ἔτρεψε νέεσθαι
κὰρ ῥόον, ᾗ περ πρόσθεν ἴεν καλλίρροον ὕδωρ.
ὣς ἄρ' ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων

θησέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τε δεδήει
τεῖχος ἐΰδμητον, κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'· Ἀργεῖοι δὲ Διὸς μάστιγι δαμέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐελμένοι ἰσχανόωντο
Ἕκτορα δειδιότες, κρατερὸν μήστωρα φόβοιο·

Το λαβωμένον έτσι Ευρύπυλο γιατροκομούσε τότε
μες στο καλύβι του ο αντροδύναμος γιος του Μενοίτιου' ωστόσο
Τρώες κι Αχαιοί σωρός εμάχουνταν, κι ελπίδα πια δεν ήταν
να κρατηθεί πολύ το Αργίτικο χαντάκι κι από πάνω
το μέγα καστροτείχι πού 'χτισαν για τα καράβια, γύρω
χαντάκι ανοίγοντας' τι ξέχασαν τρανές θυσίες να σφάξουν,
για να φυλάξουν τα καράβια τους και τα πολλά τους κούρσα,
που έκλεινε κείνο εντός του. Το 'χτισαν, μα δίχως να συγκλίνουν
οι αθάνατοι, γι' αυτό κι αγκρέμιστο καιρό πολύ δε στάθη.

Όσο ο Αχιλλέας βαστούσε μάνητα κι ο Έχτορας ζούσε ακόμα,
κι όσο το κάστρο εβάστα απάτητο του Πρίαμου του ρηγάρχη,
τόσο κρατιόταν και το Αργίτικο το καστροτείχι ολόρθο.
Μα σύντας απ' τους Τρώες δεν έμεινε κανένας πια αντρειωμένος,
κι απ' τους Αργίτες πλήθος έπεσαν, κι οι επίλοιποι απόμειναν,
και το καστρί του Πρίαμου πάρθηκε στα δέκα μέσα χρόνια,
κι οι Αργίτες μπήκαν στα καράβια τους και γύραν στην πατρίδα,
το καστροτείχι τότε ο Απόλλωνας κι ο Ποσειδώνας είπαν
να ξεπατώσουν, τ' άγρια πάνω του γυρίζοντας ποτάμια,
που από τα Ιδαία βουνά αναβρύζοντας στη θάλασσα χύνονται,

το Ρήσο, το Ροδίο, τον Κάρησο, το Γρανικό, κι ακόμα
τον Αίσηπο και τον Εφτάπορο, το Σκάμαντρο το θείο
και το Σιμόη, που πλήθος δίπλα τους και κράνη και σκουτάρια
στον κουρνιαχτό εκυλήσαν κι άμετρες ψυχές ηρώων αντρίκειες.
Όλων αυτών τα στόματα έσμιξεν ο Απόλλωνας ο Φοίβος,
κι απά στο καστροτείχι εχύνουνταν μέρες εννιά, κι ο Δίας
έβρεχε ατέλειωτα, στη βιάση του να το θαλασσοπνίξει.
Κι ατός του ο Κοσμοσείστης σφίγγοντας στα χέρια το τρικράνι
έβαζε αρχή και ξεθεμέλιωνε, και γκρέμιζε στο κύμα
πέτρες και κούτσουρα, που εμόχτησαν οι Αργίτες να τ' αρμόσουν.

Και πλάι στου Ελλήσποντου τα ρέματα το μέρος ίσιωσε όλο,
και τον απλόχωρο αποσκέπασε γιαλό ξανά με αμμούδα'
κι ως το καστρότειχο ξεπάτωσε, τους ποταμούς γυρίζει
στην παλιά κοίτη, οπούθε ξέχυναν τα γάργαρα νερά τους.
Ετούτα ο Ποσειδώνας μέλλουνταν κι ο Απόλλωνας να κάνουν
μα τώρα γύρα στο καλόχτιστο το καστροτείχι άναβαν
η μάχη κι οι φωνές, κι ως κρούγονταν, των πύργων τα δοκάρια
βροντότρεμαν κι οι Αργίτες στ' άρμενα τα βαθουλά σφιγμένοι
στριμώχνουνταν, καθώς τους δάμαζεν ο Δίας με το μαστίγι,
και τον ανήλεο τρέμαν Έχτορα και φεύγαν όλοι ομπρός του'

αὐτὰρ ὅ γ᾽ ὡς τὸ πρόσθεν ἐμάρνατο ἶσος ἀέλλῃ·
ὡς δ᾽ ὅτ᾽ ἂν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῇσι
κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων·
οἳ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες
ἀντίον ἵστανται καὶ ἀκοντίζουσι θαμειὰς

αἰχμὰς ἐκ χειρῶν· τοῦ δ᾽ οὔ ποτε κυδάλιμον κῆρ
ταρβεῖ οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα·
ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων·
ὅππῃ τ᾽ ἰθύσῃ τῇ εἴκουσι στίχες ἀνδρῶν·
ὣς Ἕκτωρ ἀν᾽ ὅμιλον ἰὼν ἐλλίσσεθ᾽ ἑταίρους

τάφρον ἐποτρύνων διαβαινέμεν· οὐδέ οἱ ἵπποι
τόλμων ὠκύποδες, μάλα δὲ χρεμέτιζον ἐπ᾽ ἄκρῳ
χείλει ἐφεσταότες· ἀπὸ γὰρ δειδίσσετο τάφρος
εὐρεῖ᾽, οὔτ᾽ ἄρ᾽ ὑπερθορέειν σχεδὸν οὔτε περῆσαι
ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν

ἔστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσιν
ὀξέσιν ἠρήρει, τοὺς ἵστασαν υἷες Ἀχαιῶν
πυκνοὺς καὶ μεγάλους δηΐων ἀνδρῶν ἀλεωρήν.
ἔνθ᾽ οὔ κεν ῥέα ἵππος ἐΰτροχον ἅρμα τιταίνων
ἐσβαίη, πεζοὶ δὲ μενοίνεον εἰ τελέουσι.

δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ τ᾽ ἠδ᾽ ἄλλοι Τρώων ἀγοὶ ἠδ᾽ ἐπικούρων
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους·
ἡ δὲ μάλ᾽ ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ
ὀξέες ἑστᾶσιν, ποτὶ δ᾽ αὐτοὺς τεῖχος Ἀχαιῶν,

ἔνθ᾽ οὔ πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ᾽ ἀρήγειν,
ἦ τ᾽ ἂν ἔγωγ᾽ ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι,

νωνύμνους ἀπολέσθαι ἀπ᾽ Ἄργεος ἐνθάδ᾽ Ἀχαιούς·
εἰ δέ χ᾽ ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
οὐκέτ᾽ ἔπειτ᾽ ὀΐω οὐδ᾽ ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ᾽ Ἀχαιῶν.

ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
Ἕκτορι πάντες ἑπώμεθ᾽ ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
οὐ μενέουσ᾽ εἰ δή σφιν ὀλέθρου πείρατ᾽ ἐφῆπται.

τι ως πάντα του και τώρα εμάχουνταν σαν άγρια μπόρα εκείνος.
Κάπρος για λιόντας πώς ανάμεσα σε αγριμολόους και σκύλους
στριφογυρίζει από την πλήθια του τη δύναμη μεθώντας,
κι εκείνοι γύρα του συντάζουνται πυκνές σειρές και στέκουν
αντίκρυ του, και τα κοντάρια τους αδιάκοπα του ρίχνουν
μα του θεριού δεν τρέμει η πέρφανη καρδιά, κι ουδέ να φύγει
λογιάζει, κι είναι το κουράγιο του στερνά που το σκοτώνει'
κι όλο χιμάει γυρνώντας πάνω τους, μα όπου κι αν στρέψει, οι
αράδες
των κυνηγών πισωποδίζουνε και δεν του ανοίγουν δρόμο·
παρόμοια κι ο Έχτορας, γυρίζοντας ολούθε, τους συντρόφους

παρακινούσε να περάσουνε με θάρρος το χαντάκι.
Μα δεν τολμούσαν τα γοργόποδα φαριά, μον᾽ χλιμιντρούσαν
στου όχτου τα χείλια᾽ τι τους φόβιζε το διάπλατο χαντάκι.
Μηδέ να το πηδήξουν εύκολα μηδέ να το περάσουν
μπορούσαν τι όχτοι γύρα ορθόγκρεμοι δεξιά ζερβά υψώνονταν
απ᾽ άκρη ως άκρη· κι από πάνω τους οι Αργίτες είχαν στήσει
παλούκια σουβλερά, θεόρατα, το 'να από δίπλα στ᾽ άλλο,
πυκνά πολύ, γερή διαφέντεψη μπρος στους οχτρούς᾽ και τ᾽ άτια,
τ᾽ αμάξια ως σέρναν τα καλότροχα, κιότευαν να διαβούνε,
κι ακόμα κι οί πεζοί καρτέραγαν πώς θα τα βγάλουν πέρα.

Και τότε ο Πολυδάμας ζύγωσε τον Έχτορα και του 'πε:
«Έχτορα εσύ κι επίλοιποι άρχοντες των Τρωών καί των συμμάχων,
άμυαλα σπρώχνουμε τα γρήγορα φαριά μες στο χαντάκι᾽
δεν είναι να περάσουν εύκολα᾽ τι σουβλερά παλούκια
έχει στα χείλια, και το Αργίτικο τειχί από πάνω στέκει.
Να κατεβούν οι άμαξολάτες μας και πόλεμο ν᾽ ανοίξουν
σ᾽ έτοια στενή πoριά δε γίνεται᾽ θα χαλαστούν, φοβούμαι᾽
τι αν το χαμό τους αποφάσισεν ο Δίας ο αψηλοβρόντης
πέρα για πέρα, και βουλήθηκε στους Τρώες να δώσει χέρι,
αυτό κι εγώ πολύ θα το 'θελα και τώρα ευτύς να γένει,

εδώ μακριά από το Άργος άχναρα ν᾽ αφανιστούν οι Αργίτες.
Όμως αν πουν και πισωστρέψουνε, και κυνηγώντας πίσω
μας διώξουν απ᾽ τα πλοία, και μπλέξουμε μες στο σκαφτό χαντάκι,
τότε πια μήτε αποκρισάτορας θα μείνει λέω να γύρει
στο κάστρο, τους Αργίτες φεύγοντας, απάνω μας αν στρέψουν.
Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Μπρος στο χαντάκι οι άμαξολάτες μας ν᾽ ανακρατήσουν τ᾽ άτια,
κι οι άλλοι, πεζοί, με τις αρμάτες μας τις λαμπερές ζωσμένοι,
τον Έχτορα όλοι ν᾽ ακλουθήξουμε, και πια δε θα κρατήσουν
οι Αργίτες, αν αλήθεια εζύγωσε του χαλασμού τους η ώρα.»

ὣς φάτο Πουλυδάμας, ἄδε δ᾽ Ἕκτορι μῦθος ἀπήμων,
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ᾽ ἵππων ἠγερέθοντο,
ἀλλ᾽ ἀπὸ πάντες ὄρουσαν, ἐπεὶ ἴδον Ἕκτορα δῖον.
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ᾽ ἐπὶ τάφρῳ·
οἳ δὲ διαστάντες σφέας αὐτοὺς ἀρτύναντες
πένταχα κοσμηθέντες ἅμ᾽ ἡγεμόνεσσιν ἕποντο.
οἳ μὲν ἅμ᾽ Ἕκτορ᾽ ἴσαν καὶ ἀμύμονι Πουλυδάμαντι,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα
τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυσὶ μάχεσθαι.
καί σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ᾽ ἄρ᾽ ὄχεσφιν
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
τῶν δ᾽ ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηΐφοβος θεοειδὴς
υἷε δύω Πριάμοιο· τρίτος δ᾽ ἦν Ἄσιος ἥρως
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι ποταμοῦ ἄπο Σελλήεντος.
τῶν δὲ τετάρτων ἦρχεν ἐῢς πάϊς Ἀγχίσαο
Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε
Ἀρχέλοχός τ᾽ Ἀκάμας τε μάχης εὖ εἰδότε πάσης.
Σαρπηδὼν δ᾽ ἡγήσατ᾽ ἀγακλειτῶν ἐπικούρων,
πρὸς δ᾽ ἔλετο Γλαῦκον καὶ ἀρήϊον Ἀστεροπαῖον·
οἳ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι
τῶν ἄλλων μετά γ᾽ αὐτόν· ὃ δ᾽ ἔπρεπε καὶ διὰ πάντων.
οἳ δ᾽ ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι
βάν ῥ᾽ ἰθὺς Δαναῶν λελιημένοι, οὐδ᾽ ἔτ᾽ ἔφαντο
σχήσεσθ᾽, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
ἔνθ᾽ ἄλλοι Τρῶες τηλεκλειτοί τ᾽ ἐπίκουροι
βουλῇ Πουλυδάμαντος ἀμωμήτοιο πίθοντο·
ἀλλ᾽ οὐχ Ὑρτακίδης ἔθελ᾽ Ἄσιος ὄρχαμος ἀνδρῶν
αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα,
ἀλλὰ σὺν αὐτοῖσιν πέλασεν νήεσσι θοῇσι
νήπιος, οὐδ᾽ ἄρ᾽ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας
ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·
πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψεν
ἔγχεϊ Ἰδομενῆος ἀγαυοῦ Δευκαλίδαο.
εἴσατο γὰρ νηῶν ἐπ᾽ ἀριστερά, τῇ περ Ἀχαιοὶ
ἐκ πεδίου νίσοντο σὺν ἵπποισιν καὶ ὄχεσφι·

Αυτά είπε, κι άρεσαν στον Έχτορα τα γνωστικά του λόγια,
κι ευτύς επήδηξε απ᾽ τ᾽ αμάξι του συνάρματος στο χώμα'
κι οι Τρώες οι επίλοιποι δεν έμειναν κι αυτοί στ᾽ αμάξια πάνω,
μόνο στη γη πήδηξαν όλοι τους, τον Έχτορα σαν είδαν.
Κι ο καθανείς του αμαξολάτη του παράγγελνε, με τάξη
να του κρατάει κει πέρα τ᾽ άλογα, μπροστά από το χαντάκι'
κι ατοί τους ξεχώρισαν έπειτα, κολόνες πέντε έκαμαν,
κι ως ορδινιάστηκαν, εκίνησαν ξοπίσω απ᾽ τους ρηγάρχες.
Τον Έχτορα άλλοι και τον άψεγο τον Πολυδάμα ακλούθουν,
οι πιο πολλοί κι οι πιο λιοντόκαρδοι, και λαχταρούσαν όλοι
να σπάσουν το τειχί, και πόλεμο μπρος στ᾽ άρμενα ν᾽ ανοίξουν.
Από σιμά ο Κεβριόνης έρχουνταν τι πιο αχαμνό είχε αφήσει
απ᾽ τον Κεβριόνη ο μέγας Έχτορας να του φυλάει τ᾽ αμάξι.
Σ᾽ άλλους ο Αλκάθοος μπήκε κύβερνος κι ο Αγήνορας κι ο Πάρης·
στους τρίτους ο Έλενος κι ο Δήφοβος, ίδιος θεός στην όψη,
οι δυο του Πρίαμου γιοί, κι ο άντρόκαρδος μαζί τους Άσιος τρίτος,
ο γιος του Υρτάκου, που τον έφεραν φαριά από την Αρίσβη,
τρανά, φλογάτα, απ᾽ του Σελλήεντα του ποταμού τους όχτους.
Στους τέταρτους του Αγχίση αφέντευεν ο γιος ο ψυχωμένος,
ο Αινείας· μαζί του και του Αντήνορα δυο γιοι μπροστά ετραβούσαν,
ο Αρχέλοχος κι ο Ακάμας, που 'ξεραν πάσα πολέμου τέχνη.
Κι ο Σαρπηδόνας μπήκε κύβερνος στους ξακουστούς συμμάχους,
το Γλαύκο και τον άγριο παίρνοντας Αστεροπαίο μαζί του'
τι εκείνοι στην αντρεία του φάνηκε πως ξεπερνούν τους άλλους
μετά απ᾽ τον ίδιο, που ξεχώριζε μες στους δικούς του πρώτος.
Κι αυτοί ως άρμοσαν τα καλόφτιαστα σκουτάρια δίπλα δίπλα,
με λύσσα στους Αργίτες έπεσαν απάνω, κι ούτε έλεγαν
πώς θα βαστάξουν, μόνο στ᾽ άρμενα τα μαϋρα θα ριχτούνε.
Έτσι λοιπόν οι Τρώες οι επίλοιποι κι οι ξακουστοί συμμάχοι
του Πολυδάμα του αψεγάδιαστου γρικήξαν την ορμήνια'
ο Άσιος, του Υρτάκου ο γιος, δεν ήθελε μονάχα αυτός ωστόσο
πίσω ν᾽ αφήσει εκεί τ᾽ αλόγατα και τον αμαξολάτη,
μόνο μαζί μ᾽ αυτά στα γρήγορα χιμάει καράβια απάνω,
ο ανέμυαλος! τι δεν του μέλλουνταν, ξεφεύγοντας του Χάρου,
και για το αμάξι καμαρώνοντας και τ᾽ άτια του να γύρει
απ᾽ τα καράβια στο ανεμόδαρτο της Τροίας το κάστρο πίσω'
τι ο ξορκισμένος Χάρος πρόλαβε και κάτω απ᾽ το κοντάρι
του Ιδομενέα του αρχοντογέννητου τον δάμασε εκεί πέρα᾽
τι εκίνησε μπροστά για τ᾽ άρμενα, ζερβιά μεριά, οι Αργίτες
όπου γύριζαν με τ᾽ αμάξια τους και τ᾽ άτια από τον κάμπο.

τῇ ῥ᾽ ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύλῃσιν
εὖρ᾽ ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα,
ἀλλ᾽ ἀναπεπταμένας ἔχον ἀνέρες, εἴ τιν᾽ ἑταίρων
ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας.
τῇ ῥ᾽ ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ᾽ ἅμ᾽ ἕποντο

ὀξέα κεκλήγοντες· ἔφαντο γὰρ οὐκ ἔτ᾽ Ἀχαιοὺς
σχήσεσθ᾽, ἀλλ᾽ ἐν νησὶ μελαίνῃσιν πεσέεσθαι
νήπιοι, ἐν δὲ πύλῃσι δύ᾽ ἀνέρας εὗρον ἀρίστους
υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων,
τὸν μὲν Πειριθόου υἷα κρατερὸν Πολυποίτην,

τὸν δὲ Λεοντῆα βροτολοιγῷ ἶσον Ἀρῆϊ.
τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
ἔστασαν ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι,
αἵ τ᾽ ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα
ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ᾽ ἀραρυῖαι·

ὣς ἄρα τὼ χείρεσσι πεποιθότες ἠδὲ βίηφι
μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδὲ φέβοντο.
οἳ δ᾽ ἰθὺς πρὸς τεῖχος ἐΰδμητον βόας αὔας
ὑψόσ᾽ ἀνασχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ
Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην

Ἀσιάδην τ᾽ Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε.
οἳ δ᾽ ἤτοι εἶος μὲν ἐϋκνήμιδας Ἀχαιοὺς
ὄρνυον ἔνδον ἐόντες ἀμύνεσθαι περὶ νηῶν·
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,

ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόσθε μαχέσθην
ἀγροτέροισι σύεσσιν ἐοικότε, τώ τ᾽ ἐν ὄρεσσιν
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,
δοχμώ τ᾽ ἀΐσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην
πρυμνὴν ἐκτάμνοντες, ὑπαὶ δέ τε κόμπος ὀδόντων

γίγνεται εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·
ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς
ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο
λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφιν.
οἳ δ᾽ ἄρα χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων

βάλλον ἀμυνόμενοι σφῶν τ᾽ αὐτῶν καὶ κλισιάων
νηῶν τ᾽ ὠκυπόρων· νιφάδες δ᾽ ὡς πῖπτον ἔραζε,
ἅς τ᾽ ἄνεμος ζαὴς νέφεα σκιόεντα δονήσας
ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον ἠμὲν Ἀχαιῶν

ἠδὲ καὶ ἐκ Τρώων· κόρυθες δ᾽ ἀμφ᾽ αὖον ἀΰτευν
βαλλομένων μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι.
δή ῥα τότ᾽ ὤμωξεν καὶ ὠ πεπλήγετο μηρὼ
Ἄσιος Ὑρτακίδης, καὶ ἀλαστήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο

Εκεί, κι αμάξι κι άτια επέρασε, κι ουδέ στο καστροπόρτι.
βρήκε κλεισμένα τα πορτόφυλλα και το μεγάλο σύρτη᾽
τι οι Αργίτες τα κρατούσαν διάπλατα, κανένα απ᾽ τους δικούς τους
μπας και γλιτώσουν στα καράβια τους, φευγάτο από τη μάχη.
Εκεί γραμμή τραβούσε τ᾽ άλογα, κι από κοντά οι δικοί του,
στριγγά σκληρίζοντας· τι λόγιαζαν πως πια οι Αργίτες τώρα
δε θα βαστάξουν, μόνο στ᾽ άρμενα τα μαύρα θα ριχτούνε,
οι ανέμυαλοι! τι στην καστρόπορτα τους λάχαν δυο αντρειωμένοι,
απ᾽ τους Λαπίθες τους πολέμαρχους παλικαρίσια φύτρα᾽
γιος του Πειρίθου λιονταρόκαρδος, ο Πολυποίτης, ο ένας,

ο άλλος ο Λεοντέας, που θύμιζε τον αντροφά τον Άρη.
Μπροστά απ᾽ τις αψηλές καστρόπορτες στέκονταν τώρα οι δυο τους,
ως στέκουν δρυς αψηλοφούντωτοι πα στα βουνά, βαστώντας
μέρα και νύχτα και τους άνεμους και της βροχής τις μπόρες,
τι ρίζες τους κρατούν τετράβαθες, μεγάλες, στεριωμένες.
Έτσι κι αυτοί, στα δυο τα χέρια τους και στην περίσσια αντρεία τους
θαρρεύοντας, τον Άσιο πρόσμεναν που ερχόταν, και δε φεύγαν.
Κι οι Τρώες γραμμή προς το καλόχτιστο τραβούσαν καστροτείχι
ψηλά κρατώντας τα σκουτάρια τους με αλαλητό μεγάλο,
στο ρήγαν Άσιο, στον Οινόμαο, στο Θόωνα, στον Ορέστη,

στον Ιαμενό και στον Αδάμαντα, του Άσιου το γιο, τρογύρα.
Εκείνοι στην αρχή εκρατιόντουσαν πιο μέσα, τους Αργίτες
να ξεσηκώσουν, τα καράβια τους να διαφεντέψουν όλοι'
μα βλέποντας τους Τρώες να χύνουνται στο καστροτείχι απάνω
και τους Αργίτες με άγριο τάραχο στα πόδια να το βάζουν,
έξω απ᾽ την πόρτα οι δυο τους χίμιξαν κι αρχίσαν να χτυπιούνται,
με κάπρους στα ρουμάνια μοιάζοντας, που αγριμολόοι και σκύλοι
με άγριες φωνές τους κοντοζύγωσαν, κι αυτοί δεν κάνουν πίσω,
μόνο λοξά χιμούν και γύρα τους τα θάμνα ξεριζώνουν
τσακίζοντας τα, και τα δόντια τους γρικάς με ορμή να τρίζουν,

ως τη στιγμή που κάποιος ρίχνοντας τους βρει και τους σκοτώσει᾽
όμοια ο χαλκός αχούσε κι έτριζε στα στήθη τους απάνω,
καθώς τους ρίχναν καταπρόσωπα, τι αντρίκεια έπολεμούσαν,
κι είχαν στην αντριγιά τα θάρρη τους και στους συντρόφους πάνω.
Κείνοι κοτρόνια απ᾽ τους καλόχτιστους πετούσαν κάτω πύργους,
την ίδια τους ζωή, τα γρήγορα τα πλοία να διαφεντέψουν
και τα καλύβια᾽ οι πέτρες έπεφταν στη γη σα στούπες χιόνι,
που ως ο άνεμος μεβιας συντάραξε μαυροϊσκιωμένα γνέφη,
πυκνές τις ρίχνει, αποσκεπάζοντας τη γη την πολυθρόφα'
τόσο οι ριξιές πυκνές εχύνουνταν κι από Αχαιούς και Τρώες.

Κι όπως έπεφταν οι μυλόπετρες, με κούφιο αχό βροντούσαν
τα κράνη γύρω απ᾽ τα κεφάλια τους κι οι αφαλωτές ασπίδες.
Και τότε μανιασμένος βόγγηξε χτυπώντας τα μεριά του
ο Άσιος, ο γιος του Υρτάκου, κι έσυρε ψηλά φωνή μεγάλη:
« Πατέρα Δία, και σένα ψέματα να λες σου αρέσει βλέπω

πάγχυ μάλ᾽· οὐ γὰρ ἔγωγ᾽ ἐφάμην ἥρωας Ἀχαιοὺς
σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
οἵ δ᾽, ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
οἰκία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,
οὐδ᾽ ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες

ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵ γ᾽ οὐκ ἐθέλουσι πυλάων καὶ δύ᾽ ἐόντε
χάσσασθαι πρίν γ᾽ ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι.
ὣς ἔφατ᾽, οὐδὲ Διὸς πεῖθε φρένα ταῦτ᾽ ἀγορεύων·
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι.

ἄλλοι δ᾽ ἀμφ᾽ ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν·
ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ᾽ ἀγορεῦσαι·
πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
λάϊνον· Ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ
νηῶν ἠμύνοντο· θεοὶ δ᾽ ἀκαχήατο θυμὸν

πάντες ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.
σὺν δ᾽ ἔβαλον Λαπίθαι πόλεμον καὶ δῃϊοτῆτα.
ἔνθ᾽ αὖ Πειριθόου υἱὸς κρατερὸς Πολυποίτης
δουρὶ βάλεν Δάμασον κυνέης διὰ χαλκοπαρῄου·
οὐδ᾽ ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ πρὸ

αἰχμὴ χαλκείη ῥῆξ᾽ ὀστέον, ἐγκέφαλος δὲ
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα·
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξεν.
υἱὸν δ᾽ Ἀντιμάχοιο Λεοντεὺς ὄζος Ἄρηος
Ἱππόμαχον βάλε δουρὶ κατὰ ζωστῆρα τυχήσας.

αὖτις δ᾽ ἐκ κολεοῖο ἐρυσσάμενος ξίφος ὀξὺ
Ἀντιφάτην μὲν πρῶτον ἐπαΐξας δι᾽ ὁμίλου
πλῆξ᾽ αὐτοσχεδίην· ὃ δ᾽ ἄρ᾽ ὕπτιος οὔδει ἐρείσθη·
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέστην
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.

ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα μαρμαίροντα,
τόφρ᾽ οἳ Πουλυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα
τεῖχός τε ῥήξειν καὶ ἐνιπρήσειν πυρὶ νῆας,
οἵ ῥ᾽ ἔτι μερμήριζον ἐφεσταότες παρὰ τάφρῳ.

ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν
αἰετὸς ὑψιπέτης ἐπ᾽ ἀριστερὰ λαὸν ἐέργων
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωὸν ἔτ᾽ ἀσπαίροντα, καὶ οὔ πω λήθετο χάρμης,
κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν

ἰδνωθεὶς ὀπίσω· ὃ δ᾽ ἀπὸ ἕθεν ἧκε χαμᾶζε
ἀλγήσας ὀδύνῃσι, μέσῳ δ᾽ ἐνὶ κάββαλ᾽ ὁμίλῳ,
αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
Τρῶες δ᾽ ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν
κείμενον ἐν μέσσοισι Διὸς τέρας αἰγιόχοιο.

ένα σωρό᾽ τι εγώ δεν το 'λεγα τ᾽ ανίκητα μας χέρια
και την ορμή μας πως θ᾽ αντίσκοφταν οι Αργίτες οι αντρειωμένοι.
Μ᾽ αυτοί, ως οι σφήκες οι λιγνόμεσες για τ᾽ άγρια τα μελίσσια
σε στράτα χτίζουν κακοτράχαλη τα βαθουλά κελιά τους
και δεν τ᾽ αφήνουν, μια και τα 'χτισαν, μον᾽ στους οχτρούς χιμώντας

ατρόμητες τα μελισσόπουλα μοχτούν να διαφεντέψουν
όμοια κι αυτοί στις πόρτες στέκουνται, δε λεν να κάνουν πίσω,
κι ας είναι μόνο δυο, πριν θάνατο για δώσουν για και πάρουν.»
Αυτά είπε, μα του Δία δεν άλλαξε τη γνώμη μ᾽ έτοια λόγια'
τι μέσα του βαθιά τον Έχτορα βουλιόταν να δοξάσει.
Γύρω στις άλλες πόρτες πόλεμο κρατούσαν κι οι άλλοι ωστόσο,
όμως θεός δεν είμαι, δύσκολο τα πάντα να ιστορήσω᾽
τι ολούθε γύρα στο καστρότειχο φωτιά τρανή είχε ανάψει
το πέτρινο᾽ κι οι Αργίτες τ᾽ άρμενα, σφιγμένοι απ᾽ την ανάγκη,
με την καρδιά βαριά, διαφέντευαν κι όλοι οι θεοί θλίβονταν

βαθιά τους, όσοι επαραστέκουνταν στη μάχη τους Αργίτες.
Κι άνοιξαν οι Λαπίθες πόλεμο κι άρχισαν να χτυπιούνται᾽
κι ο Πολυποίτης, ο λιοντόκαρδος γιος του Πειρίθου, τότε
το Δάμασο στο χαλκομάγουλο κοντάρεψε το κράνος·
κι ούτε και βάστηξε το χάλκινο το κράνος, μόνο η μύτη
πέρασε η χάλκινη και σύντριψε το κόκαλο, και λιώμα
του έγιναν τα μυαλά, κι ως χίμιζε, στο χώμα τον ξαπλώνει.
Μετά και τη ζωή του Πυλώνα και του Όρμενου θερίζει.
Κι ο γαύρος Λεοντέας του Αντίμαχου το γιο με το κοντάρι
χτυπάει και βρίσκει, τον Ιππόμαχο, κατάντικρα στη ζώνη'

το κοφτερό σπαθί απ᾽ τη θήκη του τραβά μετά, και πρώτο,
στο πλήθος μέσα όπως εχίμιξε, χτυπάει τον Αντιφάτη
από κοντά, και κείνος έπεσε τ᾽ ανάσκελα στο χώμα.
Μετά στον Ιαμενό, στο Μένωνα χιμάει και στον Ορέστη,
κι όλους αράδα εκεί τους ξάπλωσε στη γη την πολυθρόφα.
Την ιδίαν ώρα οι δυο τους που 'γδυναν τις στραφτερές αρμάτες,
του Πολυδάμαντα και του Έχτορα τα παλικάρια, που ήταν
οι πιο πολλοί κι οι πιο τρανόκαρδοι κι οι πιο που λαχταρούσαν
να σπάσουν το τειχί, και τ᾽ άρμενα να τους τα κάνουν στάχτη,
μπρος στο χαντάκι έστεκαν δίγνωμοι κι ουδέ μπροστά τραβούσαν

τι όπως να το διαβούν λαχτάριζαν, σημάδι ξάφνου βλέπουν,
έναν αϊτό ψηλοπετάμενο, ζερβιά μεριά απ᾽ τ᾽ ασκέρι,
κι εκράτα αιματωπό στα νύχια του θεριακωμένο φίδι,
που ζούσε ακόμα και σπαρτάριζε και πάλευε αντρειωμένα᾽
κι ως το κρατούσε, αναδιπλώνοντας τον δάγκασε στο στήθος,
πλάι στο λαιμό, κι αυτός το πέταξε, του πόνου αφανισμένος,
κι απά στη γη να πέσει το αφήκε, καταμεσός στ᾽ ασκέρι,
κι έπειτα πέταξε κλαγγάζοντας μες στις πνοές του ανέμου.
Κι οι Τρώες ανατρίχιασαν βλέποντας το πλουμιστό το φίδι
πεσμένο εκεί, του βροντοσκούταρου του Δία τρανό σημάδι.

δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῇσιν
ἐσθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῇ
οὔτέ ποτ' ἐν πολέμῳ, σὸν δὲ κράτος αἰὲν ἀέξειν·

νῦν αὖτ' ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν
αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων

φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν· ἄφαρ δ' ἀφέηκε πάρος φίλα οἰκί' ἱκέσθαι,
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς, εἴ πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλῳ, εἴξωσι δ' Ἀχαιοί,

οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
χαλκῷ δῃώσωσιν ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῷ
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί.

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Πουλυδάμα, σὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,

ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλέων, ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσε·
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω
εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε,

εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.
τίπτε σὺ δείδοικας πόλεμον καὶ δῃϊοτῆτα;

εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἐπ' Ἀργείων, σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι·
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι, ἠέ τιν' ἄλλον
παρφάμενος ἐπέεσσιν ἀποτρέψεις πολέμοιο,

Και τότε ο Πολυδάμας ζύγωσε τον Έχτορα και του 'πε:
«Έχτορα, πάντα εσύ στη σύναξη ζητάς να με αποπαίρνεις,
και που μιλώ σωστά, τι αταίριαστο πολύ ν' αντιμιλήσει
σε σένα του λαού ένας άνθρωπος, και συντυχιά σαν είναι,
και πόλεμος· πρεπό ν' αυξαίνουμε τη δύναμη σου πάντα.
Όμως και τώρα την καλύτερη βουλή θα δώσω, ως ξέρω:
Όχι, ας μην πάμε να χτυπήσουμε τ' Αργίτικα καράβια'
τι έτσι θαρρώ θα γένει: αν φάνηκε στ' αλήθεια το σημάδι
τούτο στους Τρώες, καθώς λογιάζαμε το σκάμα να διαβούμε,
ένας αϊτός ψηλοπετάμενος ζερβιά μεριά απ' τ' ασκέρι,

κι εκράτα αιματωπό στα νύχια του θεριακωμένο φίδι,
ακόμα ζωντανό, και το άφησε πριν φτάσει στην κούρνια του,
και δεν κατάφερε στ' αϊτόπουλα γυρνώντας να το φέρει'
όμοια και μείς, κι αν τώρα σπάσουμε των Αχαιών τις πόρτες
και το τειχί με πλήθια δύναμη κι οι Αργίτες κάμουν πίσω,
τον ίδιο δρόμο δε θα γύρουμε με τάξη απ' τα καράβια.
Περίσσιους Τρώες εκεί θ' αφήσουμε, που οι Δαναοί, ζητώντας
να διαφεντέψουν τα καράβια τους, νεκρούς θα ρίξουν κάτω.
Αυτά ένας μάντης θ' αποκρίνουνταν, που θα 'ξερε σημάδια
να ξεδιαλύνει και θα πίστευε στις συβουλές του ο κόσμος.»

Και τότε ο κρανοσείστης Έχτορας ταυροκοιτώντας του 'πε:
«Τα λόγια ετούτα, Πολυδάμαντα, καθόλου δε μ' αρέσουν
κι άλλη βουλή να δώσεις δύνεσαι καλύτερη από τούτη.
Όμως αλήθεια, τούτα που 'λεγες, με τα σωστά σου αν τα 'πες,
ατοί τους οι θεοί σου σήκωσαν τα φρένα δίχως άλλο'
που θες του Δία του βροντοσκούταρου το θέλημα καθόλου
να μην ψηφήσουμε, που εσύγκλινε κι έδωσε λόγο ατός του.
Κι εσύ ζητάς στ' ανοιχτοφτέρουγα πουλιά να δώσω πίστη,
που ούτε καθόλου εγώ τα γνοιάζομαι κι ουδέ τα λογαριάζω,
δεξιά, κατά τον ήλιο αν λάμνουνε και την αυγή, ως πετούνε,

για και ζερβά, κατά το σύθολο στα δυτικά σκοτάδι.
Στου Δία μονάχα εμείς το θέλημα ν' ακούσουμε ταιριάζει,
που 'ναι τρανός, και τους αθάνατους και τους θνητούς ορίζει.
Να διαφεντεύεις την πατρίδα σου το πιο καλό σημάδι!
Όμως εσύ γιατί τον πόλεμο και τη σφαγή φοβάσαι;
Κι αν όλοι τώρα εμείς στ' Αργίτικα καράβια σκοτωθούμε
εδώ τρογύρα, εσύ το θάνατο δεν έχεις να φοβάσαι'
τι δε βαστάει σφαγή και πόλεμο καθόλου εσέ η καρδιά σου.
Μ' αν τραβηχτείς από τον πόλεμο, για εσύ για αν κι άλλον κάνεις
ν' αλλάξει γνώμη με τα λόγια σου και τραβηχτεί σπ' τη μάχη,

αὐτίκ᾽ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις.
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
ἠχῇ θεσπεσίῃ· ἐπὶ δὲ Ζεὺς τερπικέραυνος
ὦρσεν ἀπ᾽ Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ᾽ ἰθὺς νηῶν κονίην φέρεν· αὐτὰρ Ἀχαιῶν
θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε.
τοῦ περ δὴ τεράεσσι πεποιθότες ἠδὲ βίηφι
ῥήγνυσθαι μέγα τεῖχος Ἀχαιῶν πειρήτιζον.
κρόσσας μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξεις,
στήλας τε προβλῆτας ἐμόχλεον, ἃς ἄρ᾽ Ἀχαιοὶ
πρώτας ἐν γαίῃ θέσαν ἔμμεναι ἔχματα πύργων.
τὰς οἵ γ᾽ αὐέρυον, ἔλποντο δὲ τεῖχος Ἀχαιῶν
ῥήξειν· οὐδέ νύ πω Δαναοὶ χάζοντο κελεύθου,
ἀλλ᾽ οἵ γε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις
βάλλον ἀπ᾽ αὐτάων δηΐους ὑπὸ τεῖχος ἰόντας.
ἀμφοτέρω δ᾽ Αἴαντε κελευτιόωντ᾽ ἐπὶ πύργων
πάντοσε φοιτήτην μένος ὀτρύνοντες Ἀχαιῶν.
ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι
νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα ἴδοιεν·
ὦ φίλοι Ἀργείων ὅς τ᾽ ἔξοχος ὅς τε μεσήεις
ὅς τε χερειότερος, ἐπεὶ οὔ πω πάντες ὁμοῖοι
ἀνέρες ἐν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπασι·
καὶ δ᾽ αὐτοὶ τόδε που γιγνώσκετε. μή τις ὀπίσσω
τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούσας,
ἀλλὰ πρόσω ἴεσθε καὶ ἀλλήλοισι κέλεσθε,
αἴ κε Ζεὺς δώῃσιν Ὀλύμπιος ἀστεροπητὴς
νεῖκος ἀπωσαμένους δηΐους προτὶ ἄστυ δίεσθαι.
ὣς τώ γε προβοῶντε μάχην ὄτρυνον Ἀχαιῶν.
τῶν δ᾽, ὥς τε νιφάδες χιόνος πίπτωσι θαμειαὶ
ἤματι χειμερίῳ, ὅτε τ᾽ ὦρετο μητίετα Ζεὺς
νιφέμεν ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα·
κοιμήσας δ᾽ ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους
καὶ πεδία λωτοῦντα καὶ ἀνδρῶν πίονα ἔργα,
καί τ᾽ ἐφ᾽ ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκταῖς,
κῦμα δέ μιν προσπλάζον ἐρύκεται· ἄλλά τε πάντα
εἴλυται καθύπερθ᾽, ὅτ᾽ ἐπιβρίσῃ Διὸς ὄμβρος·
ὣς τῶν ἀμφοτέρωσε λίθοι πωτῶντο θαμειαί,
αἱ μὲν ἄρ᾽ ἐς Τρῶας, αἱ δ᾽ ἐκ Τρώων ἐς Ἀχαιούς,
βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.
οὐδ᾽ ἄν πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα,
εἰ μὴ ἄρ᾽ υἱὸν ἐὸν Σαρπηδόνα μητίετα Ζεὺς
ὦρσεν ἐπ᾽ Ἀργείοισι λέονθ᾽ ὡς βουσὶν ἕλιξιν.
αὐτίκα δ᾽ ἀσπίδα μὲν πρόσθ᾽ ἔσχετο πάντοσ᾽ ἐΐσην

με το κοντάρι τούτο ρίχνοντας μεμιάς θα σε σκοτώσω!»
Ως είπε τούτα, ομπρός ετράβηξε, κι οι επίλοιποι ακλουθούσαν
με αχό τρανό, κι ο κεραυνόχαρος ο Δίας από την Ίδα
ανεμοτάραχο ξεσήκωσε, και στα καράβια πάνω
γραμμή τον κουρνιαχτό ξαπόστελνε, κι απ᾽ τους Αργίτες όλους
πήρε το νου, των Τρωών και του Έχτορα τη δόξα να τρανέψει.
Στο θείο σημάδι αυτό θαρρεύοντας και στα δικά τους χέρια
το μέγα καστροτείχι επάλευαν των Αχαιών να σπάσουν
των πύργων τ᾽ αγκωνάρια εγκρέμιζαν, χαλνούσαν τα μπροστήθια,
στα δυναμάρια που ξεπρόβελναν βάζαν λοστούς, που τα 'χαν
χτίσει οι Αχαιοί μπρος στο καστρότειχο, για να βαστούν τους
πύργους.
Αυτά τραβούσαν απαντέχοντας των Αχαιών να σπάσουν
το καστροτείχι· μα δεν έκαναν κι οι Αργίτες πίσω ακόμα,
μον᾽ φράζοντας με τα σκουτάρια τους των πύργων τα μπροστήθια,
πα στους οχτρούς, που στο καστρότειχο σίμωναν, κονταρεύαν.
Οι Αίαντες οι δυο μαζί τριγύριζαν στους πύργους πάνω ωστόσο,
όλο φωνές, καρδιά γυρεύοντας να δώσουν στους Αργίτες·
σ᾽ άλλον γλυκά εμιλούσαν, μάλωναν τον άλλο με άγρια λόγια,
που τον έβλεπαν πως εδείλιαζε πολύ να πολεμήσει:
«Αργίτες σύντροφοι, κι οι ξέχωροι κι οι μεσιακοί κι οι σκάρτοι
τι όλοι᾽ μαθές ποτέ δε γίνεται ν᾽ αξίζουμε ίσια κι όμοια
στον πόλεμο—δουλειά είναι σήμερα πολλή για τον καθένα.
Και μοναχοί σας πια το βλέπετε᾽ κανένας στα καράβια
πίσω μη φύγει, του ρηγάρχη του σα γρίκησε τα λόγια,
μόνο μπροστά τραβάτε δίνοντας ο ένας του άλλου κουράγιο,
ο Δίας ο Ολύμπιος, ο αστραπόχαρος, αν ίσως δώσει, πίσω
στο κάστρο τους οχτρούς να διώξουμε νικώντας την ορμή τους.»
Έτσι έσκουζαν οι δυο γκαρδιώνοντας τους Αχαιούς στη μάχη'
κι εκείνοι, ως όταν μεσοχείμωνα πυκνό πυκνό το χιόνι
πέφτει, τη μέρα πού ο βαθύγνωμος ο Δίας κινάει και ρίχνει,
να δείξει τις δικές του θέλοντας σαγίτες στους ανθρώπους·
κι αφού κοιμίσει όλους τους άνεμους, αλάγιαστα χιονίζει,
ως να σκεπάσει των ορθόψηλων βουνών κορφές και ράχες,
χωράφια των θνητών πολύκαρπα και κάμπους με τριφύλλι,
καί δίπλα στην ψαριά τη θάλασσα γιαλούς, λιμάνια πνίγει'
και μοναχά το κύμα σπάζοντας το διώχνει, μα όλα τ᾽ άλλα
σκεπάζουνται, του Δία σαν πλάκωσε κακοκαιρία μεγάλη'
όμοια πυκνές κι οι πέτρες έπεφταν ζερβά δεξιά τρογύρα,
ζερβά στους Τρώες, δεξιά απ᾽ τα χέρια τους απάνω στους Αργίτες,
ως εχτυπιούνταν κι αντιβρόνταγε το καστροτείχι ως πάνω.
Όμως οι Τρώες κι ο μέγας Έχτορας τις πόρτες τότε ακόμα
και την αμπάρα του καστρότειχου δε θα 'σπαζαν, το γιο του
αν δεν ξεσήκωνε ο βαθύγνωμος ο Δίας, το Σαρπηδόνα,
λιόντα σε βόδια στρουφοκέρατα, να πέσει στους Αργίτες.
Κι άσκωσε ευτύς το ολούθε ισόκυκλο χαλκό σκουτάρι ομπρός του,

καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺς
ἤλασεν, ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς
χρυσείῃς ῥάβδοισι διηνεκέσιν περὶ κύκλον.
τὴν ἄρ᾽ ὅ γε πρόσθε σχόμενος δύο δοῦρε τινάσσων
βῆ ῥ᾽ ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ᾽ ἐπιδευὴς

δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
εἴ περ γάρ χ᾽ εὕρῃσι παρ᾽ αὐτόφι βώτορας ἄνδρας
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ μῆλα,
οὔ ῥά τ᾽ ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι,

ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἢ ἥρπαξε μετάλμενος, ἠὲ καὶ αὐτὸς
ἔβλητ᾽ ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι·
ὥς ῥα τότ᾽ ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε
τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξεις.
αὐτίκα δὲ Γλαῦκον προσέφη παῖδ᾽ Ἱππολόχοιο·

Γλαῦκε τί ἢ δὴ νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσι,
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ᾽ ὄχθας
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο;

τὼ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι,
ὄφρά τις ὧδ᾽ εἴπῃ Λυκίων πύκα θωρηκτάων·
οὐ μὰν ἀκλεέες Λυκίην κάτα κοιρανέουσιν
ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα

οἶνόν τ᾽ ἔξαιτον μελιηδέα· ἀλλ᾽ ἄρα καὶ ἳς
ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται.
ὦ πέπον εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ᾽ ἀθανάτω τε
ἔσσεσθ᾽, οὔτέ κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην

οὔτέ κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ᾽ ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ᾽ ὑπαλύξαι,
ἴομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν.
ὣς ἔφατ᾽, οὐδὲ Γλαῦκος ἀπετράπετ᾽ οὐδ᾽ ἀπίθησε·

τὼ δ᾽ ἰθὺς βήτην Λυκίων μέγα ἔθνος ἄγοντε.
τοὺς δὲ ἰδὼν ῥίγησ᾽ υἱὸς Πετεῶο Μενεσθεύς·
τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν κακότητα φέροντες.
πάπτηνεν δ᾽ ἀνὰ πύργον Ἀχαιῶν εἴ τιν᾽ ἴδοιτο
ἡγεμόνων, ὅς τίς οἱ ἀρὴν ἑτάροισιν ἀμύναι·

ἐς δ᾽ ἐνόησ᾽ Αἴαντε δύω πολέμου ἀκορήτω
ἑσταότας, Τεῦκρόν τε νέον κλισίηθεν ἰόντα
ἐγγύθεν· ἀλλ᾽ οὔ πώς οἱ ἔην βώσαντι γεγωνεῖν·
τόσσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ᾽ οὐρανὸν ἷκε,
βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν

το σφυροχτυπητό, το πάγκαλο, χαλκιάς που το 'χε φτιάσει,
και μέσα του τομάρια ετέντωσε βοδιών πολλά, σε πήχες'
πάνω χρυσές ραμμένα, που 'φταναν του σκουταριού το γύρο.
Τούτο λοιπόν μπροστά του ασκώνοντας και δυο κοντάρια σειώντας
κινούσε, λιόντας λες βουνόθρεφτος, το κρέας που του 'χει λείψει

από καιρό πολύ, κι η πέρφανη τον έσπρωξε καρδιά του
αρνίσιο κρέας να φάει, και χίμιξε σε στέριο λιθομάντρι.
Κι ακόμα αν είναι τους βοσκάρηδες ξύπνους να βρει μπροστά του,
με τα σκυλιά και τα κοντάρια τους στ᾽ αρνιά το νου τους να 'χουν,
πάλε δε θέλησε αδοκίμαστα να φύγει από τη μάντρα,
μόνο πηδώντας για κατάφερε ν᾽ άρπάξει αρνί, για πάλε
πιδέξιο χέρι τον κοντάρεψε κι εκεί νεκρό τον ρίχνει'
όμοια η ψυχή και τότε ασκώθηκε του ισόθεου Σαρπηδόνα,
πέφτοντας πάνω στο καστρότειχο να σπάσει τα μπροστήθια.
Στό Γλαύκο ευτύς, στο γιο του Ιππόλοχου, γυρνά και συντυχαίνει:

«Γλαύκο, γιατί σε τόσο ξέχωρη τιμή τους δυο μας έχουν,
με κρέατα, με ποτήρια ξέχειλα, πα στην κορφή της τάβλας,
μες στη Λυκία, κι ο κόσμος σύψυχος σάμπως θεούς μας έχει;
Τρανό μετόχι μας εχάρισαν στους όχτους πλάι του Ξάνθου
να το χαιρόμαστε, πανέμορφο, με αμπέλια, με χωράφια.
Γι᾽ αυτό πρεπό 'ναι να στεκόμαστε μέσα στους πρώτους τώρα
απ᾽ τους Λυκιώτες, και να πέφτουμε μες στη φωτιά της μάχης.
Τούτα να πει κάποιος χαλκόφραχτος Λυκιώτης βλέποντας μας:
,,Αλήθεια, ανάξια οι βασιλιάδες μας δε ρηγαδεύουν, όχι,
μες στη Λυκία, δεν τρώνε ανώφελα και τα παχιά τ᾽ αρνιά μας

και πίνουν και κρασί μελόγλυκο, τι έχουν αντρεία περίσσια,
και μες στους πρώτους πρώτους μάχουνται Λυκιώτες εδώ πέρα."
Καλέ μου, αν ήταν απ᾽ τον πόλεμο ξεφεύγοντας ετούτον
εμείς αγέραστοι κι αθάνατοι να ζήσουμε αναιώνια,
μήτε κι εγώ μαθές ανάμεσα στους πρώτους θα χτυπιόμουν,
μήτε να μπεις και σένα θα 'σπρωχνα στη δοξαντρούσα μάχη.
Μα τώρα έτσι κι αλλιώς μας ζώνουνε του χάρου οι Λάμιες όλους,
αρίφνητες᾽ θνητός δε δύνεται να τις ξεφύγει. Πάμε
να ιδούμε κάποιο αν θα δοξάσουμε για αν μας δοξάσει κάποιος!»
Είπε, κι ο Γλαύκος δεν αψήφησε, μον᾽ άκουσε το λόγο.

Χιμούν γραμμή, και πλήθος πίσω τους Λυκιώτες ακλουθούσαν.
Κι ο Μενεσθέας, ο γιος του Πετεού, τους είδε κι εταράχτη'
τι στο δικό του πύργο ερχόντουσαν το χαλασμό να φέρουν.
Στο Αργίτικο τειχί τα μάτια του γυρνάει τρογύρα, να 'βρει
κάποιο ρηγάρχη, απ᾽ τους συντρόφους του το χαλασμό να διώξει.
Τους δυο τους Αίαντες, τους ανέμπλησταους για πόλεμο, αναντιάζει
να στέκουν, και τον Τεύκρο που 'φτανε στην ώρα απ᾽ το καλύβι.
Ήταν κοντά του, όμως, κι αν φώναζε, κανείς δε θα γρικούσε'
τόσο το βρούχος ήταν, κι έφτανε ψηλά στα ουράνια ο βρόντος
απ᾽ τα σκουτάρια που αντικρούγονταν, τα φουντωτά τα κράνη,

καὶ πυλέων· πᾶσαι γὰρ ἐπώχατο, τοὶ δὲ κατ᾽ αὐτὰς
ἱστάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐσελθεῖν.
αἶψα δ᾽ ἐπ᾽ Αἴαντα προΐει κήρυκα Θοώτην·
ἔρχεο δῖε Θοῶτα, θέων Αἴαντα κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ᾽ ὄχ᾽ ἄριστον
ἁπάντων

εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἵ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἷος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,

καί οἱ Τεῦκρος ἅμα σπέσθω τόξων ἐῢ εἰδώς.
ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
βῆ δὲ θέειν παρὰ τεῖχος Ἀχαιῶν χαλκοχιτώνων,
στῆ δὲ παρ᾽ Αἰάντεσσι κιών, εἶθαρ δὲ προσηύδα·
Αἴαντ᾽ Ἀργείων ἡγήτορε χαλκοχιτώνων

ἠνώγει Πετεῶο διοτρεφέος φίλος υἱὸς
κεῖσ᾽ ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ᾽ ὄχ᾽ ἄριστον
ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἵ τὸ πάρος περ

ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἷος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
καί οἱ Τεῦκρος ἅμα σπέσθω τόξων ἐῢ εἰδώς.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε μέγας Τελαμώνιος Αἴας.

αὐτίκ᾽ Ὀϊλιάδην ἔπεα πτερόεντα προσηύδα·
Αἶαν σφῶϊ μὲν αὖθι, σὺ καὶ κρατερὸς Λυκομήδης,
ἑσταότες Δαναοὺς ὀτρύνετον ἶφι μάχεσθαι·
αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ᾽ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπαμύνω.

ὣς ἄρα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας,
καί οἱ Τεῦκρος ἅμ᾽ ἦε κασίγνητος καὶ ὄπατρος·
τοῖς δ᾽ ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα.
εὖτε Μενεσθῆος μεγαθύμου πύργον ἵκοντο
τείχεος ἐντὸς ἰόντες, ἐπειγομένοισι δ᾽ ἵκοντο,

οἳ δ᾽ ἐπ᾽ ἐπάλξεις βαῖνον ἐρεμνῇ λαίλαπι ἶσοι
ἴφθιμοι Λυκίων ἡγήτορες ἠδὲ μέδοντες·
σὺν δ᾽ ἐβάλοντο μάχεσθαι ἐναντίον, ὦρτο δ᾽ ἀϋτή.
Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Σαρπήδοντος ἑταῖρον Ἐπικλῆα μεγάθυμον

κι από τις πόρτες᾽ τι όλες έμεναν κλειστές, κι οι οχτροί στέκονταν
μπροστά τους, μήπως καί τις σπάσουνε μεβιάς και τις διαβούνε.
Στέλνει λοιπόν στους Αίαντες γρήγορα τον κράχτη το Θοώτη:
«Σύρε, θεϊκέ Θοώτη, τρέχοντας τον Αίαντα να φωνάξεις'
για καί τους δυο μαζί᾽ καλύτερο μαθές ετούτο απ᾽ όλα'
τι όπου και να 'ναι μας επλάκωσε ξεπατωμός μεγάλος.
Πολύ οι Λυκιώτες μας εστρίμωξαν ρηγάδες, που και πάντα
στην άγρια μάχη μέσα χύνουνται με άλάγιαστο κουράγιο. -
Μ᾽ αν και σ᾽ αυτούς κει πέρα ο πόλεμος κι η ταραχή έχει ανάψει,
του Τελαμώνα καν ο αντρόκαρδος υγιός να 'ρθει μονάχος,

κι ο Τεύκρος να 'ρθει καταπόδι του, του δοξαριού ο τεχνίτης.»
Είπε, κι ο κράχτης δεν παράκουσε, μον᾽ άρχισε να τρέχει
στων Αχαιών των χαλκοθώρακων το καστροτείχι δίπλα,
και στάθη μπρος στους Αίαντες φτάνοντας και βιαστικά τους είπε:
«Των Αχαιών ρηγάρχες, Αίαντες, των χαλκοθωρακάτων,
ο γιος του Πετεού σας φώναξε του αρχοντογεννημένου,
να πάτε εκεί και να βαστήξετε για λίγο τον αγώνα,
κάλλιο κι οι δυο μαζί᾽ καλύτερο μαθές ετούτο απ᾽ όλα·
τι όπου και να 'ναι εκεί μας πλάκωσε ξεπατωμός μεγάλος.
Πολύ οι Λυκιώτες μας εστρίμωξαν ρηγάδες, που και πάντα

στην άγρια μάχη μέσα χύνουνται με αλάγιαστο κουράγιο.
Μ᾽ αν και σε σας δω πέρα ο πόλεμος κι η ταραχή έχει ανάψει,
του Τελαμώνα καν ο αντρόκαρδος υγιός να πάει μονάχος,
κι ο Τεύκρος να 'ρθει καταπόδι του, του δοξαριού ο τεχνίτης.»
Είπε, κι ο μέγας Αίας συνάκουσεν, ο γιος του Τελαμώνα,
κι ευτύς στου Οιλέα το γιο ανεμάρπαστα γυρνώντας είπε λόγια:
« Αίαντα, εδώ με το λιοντόκαρδο το Λυκομήδη στάσου,
και τους Αργίτες δυναμώνετε να πολεμούν αντρίκεια'
κι εγώ θα τρέξω εκεί, στον πόλεμο να μπω, και πίσω πάλε
γοργά θα γύρω, τους συντρόφους μας σα θα 'χω πια στυλώσει.»

Είπε, κι ευτύς να φύγει εκίνησεν ο γιος του Τελαμώνα,
κι ο Τεύκρος πάει μαζί, το αδέρφι του, μα που 'χεν άλλη μάνα'
κοντά τους κι ο Παντίος, ασκώνοντας του Τεύκρου τα δοξάρια.
Και σύντας φτάσαν στου αντροδύναμου του Μενεσθέα τον πύργο
τραβώντας μέσα απ᾽ το καστρότειχο, τους βρήκαν ζορισμένους.
Κι οι ατρόμητοι Λυκιώτες άρχοντες και πρωτοστρατολάτες
στων πύργων τα μπροστήθια ανέβαιναν σα μελανό δρολάπι'
κι ήρθαν στα χέρια και χτυπιόντουσαν, κι αχός τρανός ασκώθη.
Κι ο τελαμώνιος Αίας εσκότωσε τον πρώτο οχτρό στην ώρα,
τον Επικλή το λιονταρόψυχο, του Σαρπηδόνα ακράνη,

μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεος ἐντὸς
κεῖτο μέγας παρ᾽ ἔπαλξιν ὑπέρτατος· οὐδέ κέ μιν ῥέα
χείρεσσ᾽ ἀμφοτέρῃς ἔχοι ἀνὴρ οὐδὲ μάλ᾽ ἡβῶν,
οἷοι νῦν βροτοί εἰσ᾽· ὃ δ᾽ ἄρ᾽ ὑψόθεν ἔμβαλ᾽ ἀείρας,
θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ᾽ ὀστέ᾽ ἄραξε

πάντ᾽ ἄμυδις κεφαλῆς· ὃ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ἐοικὼς
κάππεσ᾽ ἀφ᾽ ὑψηλοῦ πύργου, λίπε δ᾽ ὀστέα θυμός.
Τεῦκρος δὲ Γλαῦκον κρατερὸν παῖδ᾽ Ἱππολόχοιο
ἰῷ ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο,
ᾗ ῥ᾽ ἴδε γυμνωθέντα βραχίονα, παῦσε δὲ χάρμης.

ἂψ δ᾽ ἀπὸ τείχεος ἅλτο λαθών, ἵνα μή τις Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετόῳτ᾽ ἐπέεσσι.
Σαρπήδοντι δ᾽ ἄχος γένετο Γλαύκου ἀπιόντος
αὐτίκ᾽ ἐπεί τ᾽ ἐνόησεν· ὅμως δ᾽ οὐ λήθετο χάρμης,
ἀλλ᾽ ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας

νύξ᾽, ἐκ δ᾽ ἔσπασεν ἔγχος· ὃ δ᾽ ἐσπόμενος πέσε δουρὶ
πρηνής, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ,
Σαρπηδὼν δ᾽ ἄρ᾽ ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν
ἕλχ᾽, ἣ δ᾽ ἔσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον.

τὸν δ᾽ Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ᾽ ὃ μὲν ἰῷ
βεβλήκει τελαμῶνα περὶ στήθεσσι φαεινὸν
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε
παιδὸς ἑοῦ, μὴ νηυσὶν ἔπι πρύμνῃσι δαμείη·
Αἴας δ᾽ ἀσπίδα νύξεν ἐπάλμενος, οὐδὲ διὰ πρὸ

ἤλυθεν ἐγχείη, στυφέλιξε δέ μιν μεμαῶτα.
χώρησεν δ᾽ ἄρα τυτθὸν ἐπάλξιος· οὐδ᾽ ὅ γε πάμπαν
χάζετ᾽, ἐπεί οἱ θυμὸς ἐέλπετο κῦδος ἀρέσθαι.
κέκλετο δ᾽ ἀντιθέοισιν ἐλιξάμενος Λυκίοισιν·
ὦ Λύκιοι τί τ᾽ ἄρ᾽ ὦδε μεθίετε θούριδος ἀλκῆς;

ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι
μούνῳ ῥηξαμένῳ θέσθαι παρὰ νηυσὶ κέλευθον·
ἀλλ᾽ ἑφομαρτεῖτε· πλεόνων δέ τι ἔργον ἄμεινον.
ὣς ἔφαθ᾽, οἳ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ ἄνακτα.

Ἀργεῖοι δ᾽ ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
τείχεος ἔντοσθεν, μέγα δέ σφισι φαίνετο ἔργον·
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον,
οὔτέ ποτ᾽ αἰχμηταὶ Δαναοὶ Λυκίους ἐδύναντο

βαριά κοτρόνα σφεντονίζοντας, που στην κορφή, από μέσα,
την είχαν χτίσει στο καστρότειχο, τρανή, κι ουδέ κανένας
γερός κι ας ήταν, θα τη σήκωνε, και με τα δυο του χέρια,
απ᾽ όσους ζουν στον κόσμο σήμερα᾽ μ᾽ αυτός ασκώνοντας τη
την πέταξε, και το τετράφαλο του σπάζει κράνος, κι όλα
του θρει της κεφαλής τα κόκαλα᾽ σα βουτηχτής εκείνος
πέφτει απ᾽ τον πύργο, κι απ᾽ τα κόκαλα ξεχύθηκε η ψυχή του.
Κι ο Τεύκρος τον υγιό του Ιππόλοχου, τον αντρειωμένο Γλαύκο,
πα στο ψηλό τειχί ως εχύνουνταν, χτυπάει με τη σαγίτα,
κει που γυμνό ξανοιεί το μπράτσο του, και την ορμή του κόβει.

Κι αυτός πηδά από το καστρότειχο κρυφά στο χώμα, Αργίτης,
κανείς μην καυκηθεί, θωρώντας τον πως είναι λαβωμένος.
Κι ο Σαρπηδόνας, μόλις ένιωσε το Γλαύκο να μισεύει,
πικράθη, ωστόσο δεν παράτησε την άγρια ορμή του, μόνο
του Θέστορα το γιο κοντάρεψε και βρήκε, τον Αλκμάνα,
και πίσω το κοντάρι ανάσυρε᾽ πίστομα εκείνος πέφτει
ξοπίσω του, και γύρα εβρόντηξεν η πλουμιστή του αρμάτα.
Κι ο Σαρπηδόνας τότε, πιάνοντας στα χέρια το μπροστήθι,
το τράβηξε γερά, κι αλάκερο γκρεμίστη, και γυμνώθη
το καστροτείχι απάνω, κι άνοιξε για τους πολλούς ο δρόμος.

Ο Τεύκρος κι ο Αίας χιμούν απάνω του, και με σαγίτα ο πρώτος
το αστραφτερό λουρί στα στήθια του γύρω χτυπάει, που εκράτει
ψηλά τ᾽ ολόκορμο σκουτάρι του᾽ μα ο Δίας, για να μην πέσει
στων καραβιών τις πρύμνες, έδιωξε το Χάρο από το γιο του.
Χιμίζει κι ο Αίας και, πετυχαίνοντας, στη μέση το σκουτάρι
του τρύπησε και τον αντίσκοψε, με όσην ορμή κι αν είχε.
Κι απ᾽ το μπροστήθι πισωδρόμισε μια στάλα, μα δεν είπε
να φύγει, τι η καρδιά του το 'λπιζε τρανή να πάρει δόξα.
Γυρνώντας στους ισόθεους φώναξε Λυκιώτες τότε κι είπε:
« Που πήγε τώρα το κουράγιο σας, Λυκιώτες, και τραβιέστε;

Με όσην αντρεία κι αν έχω, δύσκολο να σπάσω εγώ μονάχος
το καστροτείχι και για τ᾽ άρμενα να σας ανοίξω δρόμο.
Μαζί μου ελάτε᾽ με τους πιότερους πιο κι η δουλειά προκόβει.»
Είπε, κι εκείνοι, από του ρήγα τους τα λόγια φοβισμένοι,
όλοι στο ρήγα και πρωτόγερο τρογύρα εστριμωχτήκαν.
Κι οι Αργίτες αντικρύ δυνάμωναν τις φάλαγγες, ξοπίσω
απ᾽ το τειχί τους, αναντιάζοντας βαριά δουλειά μπροστά τους'
τι μήτε πια οι Λυκιώτες οι άτρομοι των Δαναών μπορούσαν
να σπάσουν το τειχί κι ως τ᾽ άρμενα το δρόμο τους ν᾽ ανοίξουν,
μήτε κι οι Αργίτες οι πολέμαρχοι μπορούσαν τους Λυκιώτες

τείχεος ἄψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτα πέλασθεν.
ἀλλ᾽ ὥς τ᾽ ἀμφ᾽ οὔροισι δύ᾽ ἀνέρε δηριάασθον
μέτρ᾽ ἐν χερσὶν ἔχοντες ἐπιξύνῳ ἐν ἀρούρῃ,
ὥ τ᾽ ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης,
ὡς ἄρα τοὺς διέεργον ἐπάλξιες· οἱ δ᾽ ὑπὲρ αὐτέων

δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα.
πολλοὶ δ᾽ οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ,
ἠμὲν ὅτεῳ στρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.

πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν
ἐρράδατ᾽ ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ᾽ οὐδ᾽ ὥς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν,
ἀλλ᾽ ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει

ἰσάζουσ᾽, ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται·
ὡς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε,
πρίν γ᾽ ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορι δῶκε
Πριαμίδῃ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν.
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·

ὄρνυσθ᾽ ἱππόδαμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος
Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ.
ὡς φάτ᾽ ἐποτρύνων, οἳ δ᾽ οὔασι πάντες ἄκουον,
ἴθυσαν δ᾽ ἐπὶ τεῖχος ἀολλέες· οἳ μὲν ἔπειτα
κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ᾽ ἔχοντες,

Ἕκτωρ δ᾽ ἁρπάξας λᾶαν φέρεν, ὅς ῥα πυλάων
ἑστήκει πρόσθε πρυμνὸς παχύς, αὐτὰρ ὕπερθεν
ὀξὺς ἦεν· τὸν δ᾽ οὔ κε δύ᾽ ἀνέρε δήμου ἀρίστω
ῥηϊδίως ἐπ᾽ ἄμαξαν ἀπ᾽ οὐδέος ὀχλίσσειαν,
οἷοι νῦν βροτοί εἰσ᾽· ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος.

τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω.
ὡς δ᾽ ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει,
ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας,
αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας

δικλίδας ὑψηλάς· δοιοὶ δ᾽ ἔντοσθεν ὀχῆες
εἶχον ἐπημοιβοί, μία δὲ κληῖς ἐπαρήρει.
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἐρεισάμενος βάλε μέσσας
εὖ διαβάς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη,
ῥῆξε δ᾽ ἀπ᾽ ἀμφοτέρους θαιροὺς· πέσε δὲ λίθος
εἴσω

να διώξουν πίσω απ᾽ το καστρότειχο, μια κι ήταν πια κοντά του.
Πώς δυο χωριάτες για το σύνορο μαλώνουν, και στα χέρια
κρατούν κορδέλα για το μέτρημα, σε μεσιακό χωράφι,
σε μια της γης λουρίδα στέκοντας, πώς να μοιράσουν δίκια'
τόσο κι εκείνοι λίγο «χώριζαν, κι απάνω απ᾽ τα μπροστήθια
ο ένας του άλλου να σπάζουν άρχισαν στο απανωκόρμι γύρα
τα καλοστρόγγυλα σκουτάρια τους και τ᾽ αλαφρά τους σκούδα.
Κι ήταν πολλοί που απ᾽ τον ανέσπλαχνο χαλκό στο κρέας
χτυπιούνταν,
είτε αν κανείς γυρνούσε, ως μάχουνταν, και γύμνωνε την πλάτη,
κι άλλοι πολλοί που τα σκουτάρια τους τρυπιούνταν απαντίκρυ.

Κι ολούθε το αίμα γύρα εράντιζε και πύργους και μπροστήθια,
αίμα τρωικό μαζί κι Αργίτικο κι από τα δυο τ᾽ ασκέρια.
Μα κι έτσι οι Τρώες του κάκου εμάχουνταν να διώξουν τους
Αργίτες'
τι αυτοί κρατούσαν, απαράλλαχτα με ζυγαριάς παλάντζες,
που την κρατάει μια τίμια αργάτισσα ψηλά, κι ισοζυγιάζει
μαλλί και βάρια, φτωχοπόρεψη να δώσει στα παιδιά της'
όμοια και κείνων άντιζύγιαζε τότε η σφαγή κι η μάχη,
ωσόπου ο Δίας τρανή στον Έχτορα, το γιο του Πρίαμου, δόξα
χαρίτωσε, και πρώτος πήδηξε στο καστροτείχι μέσα,
κι έτσι στους Τρώες μιλεί φωνάζοντας, να τον ακούσουν όλοι:

«Αλογαταδες Τρώες, απάνω τους! Το καστροτείχι σπάστε
των Δαναών, και τα καράβια τους με ανήλεη φλόγα κάφτε!»
Έτσι τους γκαρδιωσε, κι ακούγοντας εκείνοι εξεχυθήκαν
όλοι μαζί πα στο καστρότειχο, και στ᾽ αγκωνάρια πάνω
πατούσαν, μυτερά στα χέρια τους κοντάρια όλοι κρατώντας.
Μια πέτρα τότε πηρεν ο Έχτορας, που κοίτουνταν στίς πόρτες
μπροστά, κοντόχοντρη στη ρίζα της και σουβλερή από πάνω·
άντρες αντάμα δυο—του τόπου τους οι πιο γεροί απ᾽ το χώμα
σε αμάξι πάνω δεν τη σήκωναν, απ᾽ όσους τώρα ζούνε
θνητοί στη γη, μα εκείνος εύκολα την έπαιζε και μόνος,

τι ο γιος του Κρόνου από το βάρος της την είχε ξαλαφρώσει.
Πώς κουβαλάει βοσκός κουρόμαλλο κριγιού με δίχως κόπο,
κι ως το κρατάει με το 'να χέρι του, καθόλου δε βαραίνει'
παρόμοια κουβαλούσε κι ο Έχτορας την πέτρα, να τη ρίξει
γραμμή πα στα σανίδια που 'κλειναν τη δίφυλλη την πόρτα,
την αψηλή, τη στεριοκάμωτη᾽ κι απανωτοί από μέσα
δυο μάνταλοι γερά τη στύλωναν, με σφήνα στεριωμένοι.
Κι ως σίμωσε, τα πόδια του άνοιξε, κι αντιστυλώνοντάς τα,
να 'χει η ριξιά του φόρα, πέτυχε καταμεσίς την πόρτα᾽
και σπάζει τους στροφούς ζερβόδεξα, κι η πέτρα πέφτει μέσα

βριθοσύνῃ, μέγα δ᾽ ἀμφὶ πύλαι μύκον, οὐδ᾽ ἄρ᾽ ὀχῆες
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη
λᾶος ὑπὸ ῥιπῆς· ὃ δ᾽ ἄρ᾽ ἔσθορε φαίδιμος Ἕκτωρ
νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια· λάμπε δὲ χαλκῷ
σμερδαλέῳ, τὸν ἕεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ
δοῦρ᾽ ἔχεν· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας
νόσφι θεῶν ὅτ᾽ ἐσᾶλτο πύλας· πυρὶ δ᾽ ὄσσε δεδήει.
κέκλετο δὲ Τρώεσσιν ἐλιξάμενος καθ᾽ ὅμιλον
τεῖχος ὑπερβαίνειν· τοὶ δ᾽ ὀτρύνοντι πίθοντο.
αὐτίκα δ᾽ οἳ μὲν τεῖχος ὑπέρβασαν, οἳ δὲ κατ᾽ αὐτὰς
ποιητὰς ἐσέχυντο πύλας· Δαναοὶ δὲ φόβηθεν
νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ᾽ ἀλίαστος ἐτύχθη.

από το βάρος, κι αντιλάλησαν οι πόρτες, κι ουδ᾽ οι σύρτες
βάστηξαν πια, μόνο σκορπίστηκαν οι τάβλες δώθε κείθε
απ᾽ την ορμή της πέτρας᾽ κι ο Έχτορας, με μάτι ξαγριεμένο,
σα μαύρη νύχτα μέσα επήδηξε, κι απ᾽ το χαλκό τον άγριο,
που 'χε ζωστεί τρογύρα του, έλαμπε, και δυο κοντάρια εκράτα.
Κι ως πέρασε την πόρτα, αντίμαχος να του σταθεί κανένας
δεν μπόρειε εξόν θεός, και ξάστραφταν τα μάτια του ίδια φλόγες.
Γυρνάει στων Τρωών το ασκέρι κι έσυρε φωνή, να καβαλήσουν
πηδώντας το τειχί᾽ στο λόγο του συνάκουσαν εκείνοι,
κι άλλοι πήδηξαν το καστρότειχο, κι άλλοι χυθήκαν μέσα
στις στεριές πόρτες δίχως άργητα᾽ κι οι Δαναοί σκορπίσαν
στα πλοία τα βαθουλά, και τάραχος τρανός ασκώθη ολούθε.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Ν-

-Ν- Ζεὺς δ᾽ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ᾽ ἐχέμεν καὶ ὀϊζὺν
νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ
νόσφιν ἐφ᾽ ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν

Μυσῶν τ᾽ ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν
γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
ἐς Τροίην δ᾽ οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ᾽ ἀθανάτων τινα ἔλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ᾽ ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.

οὐδ᾽ ἀλαοσκοπιὴν εἶχε κρειῶν ἐνοσίχθων·
καὶ γὰρ ὃ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ᾽ ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρῃϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.

ἔνθ᾽ ἄρ᾽ ὅ γ᾽ ἐξ ἁλὸς ἔζετ᾽ ἰών, ἐλέαιρε δ᾽ Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
αὐτίκα δ᾽ ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ᾽ οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ᾽ ἀθανάτοισι Ποσειδάωνος ἰόντος.

τρὶς μὲν ὀρέξατ᾽ ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ
Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
χρύσεα μαρμαίροντα τετεύχαται ἄφθιτα αἰεί.
ἔνθ᾽ ἐλθὼν ὑπ᾽ ὄχεσφι τιτύσκετο χαλκόποδ᾽ ἵππω
ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,

χρυσὸν δ᾽ αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ᾽ ἱμάσθλην
χρυσείην εὔτυκτον, ἐοῦ δ᾽ ἐπεβήσετο δίφρου,
βῆ δ᾽ ἐλάαν ἐπὶ κύματ᾽· ἄταλλε δὲ κήτε᾽ ὑπ᾽ αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ᾽ ἠγνοίησεν ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διίστατο· τοὶ δὲ πέτοντο

ῥίμφα μάλ᾽, οὐδ᾽ ὑπένερθε διαίνετο χάλκεος ἄξων·
τὸν δ᾽ ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
ἔνθ᾽ ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων

λύσας ἐξ ὀχέων, παρὰ δ᾽ ἀμβρόσιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας
ἀρρήκτους ἀλύτους, ὄφρ᾽ ἔμπεδον αὖθι μένοιεν
νοστήσαντα ἄνακτα· ὃ δ᾽ ἐς στρατὸν ᾤχετ᾽ Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλλῃ

Τους Τρώες ωστόσο και τον Έχτορα σα σίμωσε στα πλοία
πια ο Δίας, εκεί τους απαράτησε, να 'χουν καημούς και μόχτους
δίχως σωμό, κι αυτός τα μάτια του τ᾽ αστραφτερά γυρίζει
πέρα μακριά, στις χώρες που έμεναν οι αλογοθρόφοι Θράκες
κι οι Φοραδαρμεχτάδες, οι άψεγοι γαλατοφάγοι, κι οι Άβιοι,
που απ᾽ όλους πιο το δίκιο αγάπησαν, κι οι ατρόμητοι Μυσιώτες.
Στην Τροία καθόλου πια δε γύριζε τ᾽ αστραφτερά του μάτια,
τι δε φαντάζουνταν, αθάνατος κανείς ν᾽ αποκοτήσει
να 'ρθει και στους Αργίτες βόηθηση για και στους Τρώες να δώσει.

Μα ο κοσμοσείστης ρήγας άδικα δε βίγλιζε από πάνω᾽
στης Σαμοθράκης της πολύδεντρης την πιο ακρινή εκαθόταν
κορφή, κι εθάμαζε τον πόλεμο θωρώντας και τη μάχη.
Απ᾽ άκρη ως άκρη εκείθε αγνάντευε την Ίδα, και το κάστρο
του Πρίαμου αγνάντευε και τ᾽ άρμενα των Αχαιών μπροστά του.
Εδώ εκαθόταν απ᾽ τη θάλασσα φτασμένος, και πονούσε
τους Αχαιούς που οι Τρώες αφάνιζαν, και χόλιαζε του Δία.
Και ξάφνου απ᾽ το βουνό το απόγκρεμο ροβόλησε κινώντας
με πόδι γρήγορο᾽ τα τρίψηλα βουνά και τα ρουμάνια
σείστηκαν κάτω απ᾽ τα ποδάρια του τ᾽ αθάνατα, ως δρομούσε.

Τρεις δρασκελιές δρομώντας έκαμε, στην άλλη εβρέθη κιόλα
μπρος στις Αίγες· εκεί περίλαμπρο μες στου πελάου τα βάθη,
στραφταλιστό, χρυσό, ακατάλυτο παλάτι του 'χαν χτίσει.
Φτάνοντας έζεψε στο αμάξι του δυο χαλκοπόδαρα άτια,
γοργόφτερα, με χήτες που 'πεφταν χρυσές από το σβέρκο.
Χρυσά μετά κι ατός του εφόρεσε, και πήρε ένα μαστίγι
χρυσό, καλοφτιαγμένο, κι έπειτα στο αμάξι του πηδώντας
πήρε να τρέχει απά στα κύματα, κι απ᾽ τους βυθούς ολούθε
οι δελφίνοι, ως εφάνη, εσκίρτησαν, τον κύρη τους νογώντας.
Κι άνοιγε η θάλασσα χαρούμενη, και τ᾽ άλογα πετούσαν

γοργά, κι ουδέ από κάτω εμούσκευε το χάλκινο τ᾽ αξόνι᾽
τόσο γοργά τον φέρναν τ᾽ άλογα στ᾽ Αργίτικα καράβια.
Είναι ένα σπήλιο μες στης θάλασσας της άπατης τα βάθη
φαρδύ, καταμεσός στην Τένεδο και στην απόγκρεμη Ίμπρο"
κει πέρα ο Κοσμοσείστης τ᾽ άλογα τραβάει να σταματήσουν,
κι αθάνατη ταγή τους έβαλε να φαν ξεζεύοντάς τα,
και πέρασε έπειτα στα πόδια τους ολόχρυσα πεδούκλια,
ασύντριφτα, άλυτα, να στέκουνται, προσμένοντας να γύρει
ο αφέντης τους᾽ κι αυτός έτράβηξε στων Αχαιών τ᾽ ασκέρι.
Κι οι Τρώες σα φλόγα για σα δρόλαπας σφιχταραδίς ακλούθουν

Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἔποντο
ἄβρομοι αὐϊαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ᾽ αὐτόθι πάντας ἀρίστους.
ἀλλὰ Ποσειδάων γαιήοχος ἐννοσίγαιος
Ἀργείους ὄτρυνε βαθείης ἐξ ἁλὸς ἐλθών

εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προσέφη μεμαῶτε καὶ αὐτώ·
Αἴαντε σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μὴ δὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἔγωγ᾽ οὐ δείδια χεῖρας ἀάπτους

Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
ἔξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῇ δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ᾗ ῥ᾽ ὅ γ᾽ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει
Ἕκτωρ, ὃς Διὸς εὔχετ᾽ ἐρισθενέος πάϊς εἶναι.

σφῶϊν δ᾽ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν
αὐτώ θ᾽ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τώ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ᾽ ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
ἦ καὶ σκηπανίῳ γαιήοχος ἐννοσίγαιος

ἀμφοτέρω κεκόπων πλῆσεν μένεος κρατεροῖο,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρὰ πόδας καὶ χεῖρας ὕπερθεν.
αὐτὸς δ᾽ ὥς τ᾽ ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
ὅς ῥά τ᾽ ἀπ᾽ αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο,

ὣς ἀπὸ τῶν ἴϊξε Ποσειδάων ἐνοσίχθων.
τοῖιν δ᾽ ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
αἶψα δ᾽ ἄρ᾽ Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
Αἶαν ἐπεί τις νῶϊ θεῶν οἳ Ὄλυμπον ἔχουσι
μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,

οὐδ᾽ ὅ γε Κάλχας ἐστὶ θεοπρόπος οἰωνιστής·
ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ᾽ ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ·
καὶ δ᾽ ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,

μαιμώωσι δ᾽ ἔνερθε πόδες καὶ χεῖρες ὕπερθε.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσιν, καί μοι μένος ὥρορε, νέρθε δὲ ποσσὶν
ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἷος

Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον
χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ·
τόφρα δὲ τοὺς ὄπιθεν γαιήοχος ὦρσεν Ἀχαιούς,
οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ.

με λύσσα αδάμαστη τον Έχτορα, το γιο του Πρίαμου, πάντα,
όλο βουή κι αντάρα, κι έλεγαν τ᾽ Αργίτικα καράβια
πως θα πατήσουν, κι όλους δίπλα τους τους πιο άντρειανούς θα
σφάξουν.
Μα ο κοσμοσείστης, κοσμοκράτορας ως φάνη Ποσειδώνας
απ᾽ τη βαθιά φτασμένος θάλασσα, γκαρδιώνει τους Αργίτες,
του Κάλχαντα το διώμα παίρνοντας και την τρανή φωνή του.
Στους Αίαντες πρώτα εστράφη κι έλεγε, που φρένιαζαν κι ατοί τους:
« Αίαντες, εσείς οι δυο τ᾽ Αργίτικα καράβια θα γλιτώστε.
Σ᾽ έργα αντρειανά το νου σας να 'χετε κι όχι στην κρύα φευγάλα.
Σε άλλες μεριές την ακατάλυτη των Τρωών ορμή, που πλήθος

το μέγα καστροτείχι επήδηξαν, δεν τη φοβάμαι αλήθεια
βαστούν οι Αργίτες οι αντροδύναμοι να τους κρατήσουν όλους·
μονάχα εκεί κακό μην πάθουμε μ᾽ έχει τρομάρα κόψει,
όπου χιμά ο λυσσάρης Έχτορας προλάτης, ίδια φλόγα,
θαρρώντας γιος του πολυδύναμου του Δία πως είναι τάχα.
Να 'ταν Θεός κανείς στα φρένα σας τη γνώμη αυτή να βάλει,
κι ατοί σας να σταθείτε ατράνταχτοι και να γκαρδιώνετε άλλους,
τότε, κι ας λύσσαε, θα τον διώχνατε μακριά από τ᾽ άρμενά μας
τα γρήγορα, κι ακόμα αν του Ολύμπου τον ξεσηκώνει ο κύρης.»
Κι ο κοσμοσείστης Κοσμοκράτορας, σαν είπε αυτά, τους δίνει

με το ραβδί του, και τους γέμισε τρανή αντριγιά τα στήθη,
και το κορμί τους κάνει ανάλαφρο, χέρια ψηλά και πόδια'
κι αυτός, ως γέρακας γοργόφτερος το πέταμα του παίρνει,
που από τρανό πολύ κι απόγκρεμο ψηλά πετιέται βράχο
και σ᾽ άλλο κυνηγώντας χύνεται πουλί στον κάμπο μέσα'
τόσο γοργά μακριά τους πέταξε κι ο Ποσειδώνας τότε.
Ο γοργοπόδης Αίας τον ένιωσεν, ο γιος του Οϊλέα, πιο πρώτος,
κι ευτύς στον Αία τον άλλο εμίλησε, το γιο του Τελαμώνα:
«Θεός μια κι ήρθε από τον Όλυμπο με την είδη του μάντη
και μας ζητάει να πολεμήσουμε πλάι στα καράβια οι δυο μας—

δεν ήταν ο ορνιομάντης Κάλχαντας που των θεών κατέχει
τους λογισμούς· τι εγώ τον ένιωσα πως σάλευε, ως δρομούσε,
Πόδια και γόνα᾽ τον αθάνατο μεμιάς τον ξεχωρίζεις.
Μα να, και μένα μες στα στήθια μου λαχτάρισε η καρδιά μου
Στη μάχη να χυθώ, τον πόλεμο και τη σφαγή ν᾽ ανάψω.
Με τρώνε κάτω τα ποδάρια μου και πιο ψηλά τα χέρια!»
Κι ο μέγας Αίαντας του αποκρίθηκεν, ο γιος του Τελαμώνα:
«Και μένα, στο κοντάρι ολόγυρα τ᾽ ανίκητα μου χέρια
με τρώνε, κι η αντριγιά μου εθέριεψε᾽ τα δυο μου πόδια κάτω
πετούν φωτιές, και με τον Έχτορα, το γιο του Πρίαμου, θέλω

να στήσω πόλεμο και μόνος μου, με όσην αντρεία κι αν έχει!»
Τέτοια εμιλούσαν συναλλήλως τους αυτοί, χαρά γιομάτοι
απ᾽ την ορμή, ο θεός που φύσηξε στα στήθια τους γι᾽ απάλε.
Κι ωστόσο ο Κοσμοσείστης σήκωνε πιο πέρα τους Αργίτες,
που ήταν πιο πίσω και ξαπόσταιναν πλάι στα γοργά καράβια.

τῶν ῥ᾽ ἅμα τ᾽ ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίγνετο δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
τοὺς οἵ γ᾽ εἰσορόωντες ὑπ᾽ ὀφρύσι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ᾽ ἐκ κακοῦ· ἀλλ᾽
ἐνοσίχθων

ῥεῖα μετεισάμενος κρατερὰς ὄτρυνε φάλαγγας.
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων
Πηνέλεών θ᾽ ἥρωα Θόαντά τε Δηΐπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς·
τοὺς ὅ γ᾽ ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·

αἰδὼς Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἔγωγε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
εἰ δ᾽ ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὦ πόποι ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι

δεινόν, ὃ οὔ ποτ᾽ ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ᾽ ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ᾽ ὕλην
θώων παρδαλίων τε λύκων τ᾽ ἴϊα πέλονται
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ᾽ ἔπι χάρμη·

ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ᾽ ἠβαιόν·
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται
ἠγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν,
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι

νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν᾽ αὐτάς.
ἀλλ᾽ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
οὕνεκ᾽ ἀπητίμησε ποδώκεα Πηλεΐωνα,
ἡμέας γ᾽ οὔ πως ἔστι μεθιέμεναι πολέμοιο.

ἀλλ᾽ ἀκεώμεθα θᾶσσον· ἀκέσταί τοι φρένες
ἐσθλῶν.
ὑμεῖς δ᾽ οὐκ ἔτι καλὰ μεθίετε θούριδος ἀλκῆς
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ᾽ ἂν ἔγωγε
ἀνδρὶ μαχεσσαίμην ὅς τις πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.

ὦ πέπονες τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῇδε μεθημοσύνῃ· ἀλλ᾽ ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.

Αρμοκομμένοι από τον κάματο το φοβερό εστεκόνταν,
κι εσπάραζε ο καημός τα σπλάχνα τους, τους Τρώες καθώς έβλεπαν
που 'χαν πηδήξει πλήθος άμετρο τα τρίψηλα τειχιά τους·
και τρέχαν κάτω από τα φρύδια τους τα δάκρυα, ως τους θωρούσαν.
Θαράπιο του κακού δεν έβλεπαν μα τότε ο Κοσμοσείστης,

γοργά ζυγώνοντας τους, ψύχωσε τα δυνατά φουσάτα.
Τον Τεύκρο και το Λήιτο ολόπρωτα κινάει ν᾽ αναγκαρδιώσει,
και τον Πηνέλαο τον τρανόψυχο, το Θόα και το Μηριόνη,
το Δήπυρο και τον Αντίλοχο, τους γαύρους πολεμάρχους'
όλους τους γκάρδιωνε, ανεμάρπαστα φωνάζοντας τους λόγια:
« Ντροπής, Αργίτες, σείς οι νιότεροι! Τα θάρρητά μου τα 'χω
σε σας! Αν πείτε να παλέψετε, γλιτώνουν τα καράβια.
Αν όμως στον ανήλεο πόλεμο δε θέλετε να μπείτε,
το δίχως άλλο η μέρα εσίμωσε που οι Τρώες θα μας χαλάσουν.
Ωχού, τι θάμα αυτό κι αντίθαμα τα μάτια μου που βλέπουν,

τρομαχτικό, που δε λογάριαζα πως θα γενεί ποτέ μου,
τους Τρώες φτασμένους στα καράβια μας, αυτούς που ως τώρα
πάντα
δειλιάρες αλαφίνες έμοιαζαν, που στα ρουμάνια θρέφουν
λύκους και τσάκαλους και λιόπαρδους, ως τρέχουν δώθε κείθε,
όπου τους λάχει, δίχως δύναμη κι ουδέ αντριγιά στα στήθη'
όμοια κι οι Τρώες πιο πριν δεν ήθελαν, κι ουδέ για λίγο μόνο
μπρος στην ορμή μας και στα χέρια μας να κρατηθούν αντρίκεια.
Τώρα μακριά απ᾽ το κάστρο, στ᾽ άρμενα τα βαθουλά χτυπιούνται,
από του ρήγα μας την ξέπαρση, το αναμελιό των άλλων,
που ως μάλωσαν μαζί του, εθύμωσαν, και πια να διαφεντέψουν

τα γρήγορα δε θέλουν άρμενα, μόνο χαλνιούνται ομπρός τους.
Όμως αλήθεια, κι αν το φταίξιμο πέρα για πέρα πέφτει
στο γιο του Ατρέα, τον Αγαμέμνονα, το ρήγα πρωταφέντη,
που δε σεβάστη το γοργόποδο γιο του Πηλέα καθόλου,
πάλε δεν πρέπει εμείς τον πόλεμο ν᾽ αφήσουμε στη μέση,
μον᾽ ό,τι εγίνη ας το βολέψουμε, τι όσοι έχουν νου βολεύουν.
Πρεπό δεν είναι εσείς να σβήνετε τη φλόγα της αντρείας σας,
τι είστε κι οι πιο αντρειωμένοι ανάμεσα στους άλλους᾽ δεν τα βάζω
μ᾽ έναν δειλιάρη εγώ, τον πόλεμο που παρατάει και φεύγει᾽
όμως με σας πολύ συχύζουμαι, με όσο κανέναν άλλον.

Κιοτήδες! Πιο τρανό θα κάνετε με την αναμελιά σας
αύτη κακό! Μα ομπρός, στα στήθια του βαθιά να βάλει θέλω
ντροπή ο καθένας και φιλότιμο᾽ τρανός μας ζώνει αγώνας.
Ο Έχτορας στέκει ο βροντερόφωνος μπροστά από τ᾽ άρμενά μας
κι ανέφοβος την πόρτα εσύντριψε και τη μενάλη αμπάρα !»

ὣς ῥα κελευτιόων γαιήοχος ὦρσεν Ἀχαιούς.
ἀμφὶ δ᾽ ἄρ᾽ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ᾽ Ἀθηναίη λαοσσόος· οἳ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,

φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ᾽ ἀσπίδ᾽ ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ᾽ ἀνήρ·
ψαῦον δ᾽ ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
ἔγχεα δ᾽ ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν

σειόμεν᾽· οἳ δ᾽ ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προΰτυψαν ἀολλέες, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ
ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης·

ὕψι δ᾽ ἀναθρῴσκων πέτεται, κτυπέει δέ θ᾽ ὑπ᾽ αὐτοῦ
ὕλη· ὃ δ᾽ ἀσφαλέως θέει ἔμπεδον, εἶος ἵκηται
ἰσόπεδον, τότε δ᾽ οὔ τι κυλίνδεται ἐσσύμενός περ·
ὣς Ἕκτωρ εἶος μὲν ἀπείλει μέχρι θαλάσσης
ῥέα διελεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν

κτείνων· ἀλλ᾽ ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι
στῆ ῥα μάλ᾽ ἐγχριμφθείς· οἳ δ᾽ ἀντίοι υἷες Ἀχαιῶν
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος πελεμίχθη.
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·

Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταὶ
παρμένετ᾽· οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοὶ
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ᾽ ὀΐω χάσσονται ὑπ᾽ ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὥριστος, ἐρίγδουπος πόσις Ἥρης.

ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ᾽ ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ᾽ ἔχεν ἀσπίδα πάντοσ᾽ ἐΐσην
κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων.
Μηριόνης δ᾽ αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ

καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην
ταυρείην· τῆς δ᾽ οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
ἀσπίδα ταυρείην σχέθ᾽ ἀπὸ ἕο, δείσε δὲ θυμῷ
ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅ γ᾽ ἥρως

Τέτοια προστάζοντας ξεσήκωσε τ᾽ ασκέρια ο Κοσμοσείστης.
Γύρω απ᾽ τους δυο τους Αίαντες στάθηκαν μεμιάς οι Αργίτες τότε,
τόσο γεροί, που κι ο Άρης να 'ρχουνταν δε θα 'βρισκε ψεγάδι,
μηδέ ή Παλλάδα η στρατολάτισσα᾽ τι διαλεχτοί αντρειωμένοι
τους Τρώες πρόσμεναν και τον Έχτορα᾽ και κλείσαν τις γραμμές
τους

σκουτάρι με σκουτάρι αγγίζοντας, κοντάρι με κοντάρι᾽
σκούδο στο σκούδο σφιχτοσμίγουνταν, κράνος στο κράνος, άντρας
στον άντρα᾽ κι ως έσκυβαν, άγγιζαν στ᾽ αλογουρίσια κράνη
ψηλά τα κέρατα τα λιόλαμπρα᾽ τόσο πυκνά αρμοδέναν.
και τα κοντάρια, ως σειούνταν, μπλέκουνταν στα θρασεμένα χέρια'
κι αυτοί μπροστά μονάχα εκοίταζαν κι απάλε ελαχταρίζαν.
Κι οι Τρώες απανωτοί ξεχύθηκαν, κι ολομπροστά τραβούσε
ο γαύρος Έχτορας. Πώς κύλησε στρογγυλεμένος βράχος,
πού ξάφνου από γκρεμού το ακρόχειλο νεροποντή τον σπρώχνει,
το χώμα που τον δένει ως έσπασε με το νερό το πλήθιο᾽

κι αυτός ψηλά πηδώντας πέτεται, κι αντιβογγάει το δάσο,
και τρέχει σίγουρα, ασταμάτητα, στον κάμπο ως που να φτάσει,
και τότε πια σταμάτησε άθελα, με όση κι αν είχε φόρα᾽
όμοια είχε φοβερίσει κι ο Έχτορας ως το γιαλό να φτάσει
περνώντας εύκολα τ᾽ Αργίτικα καλύβια και καράβια
σκοτώνοντας᾽ μα σύντας σκόνταψε πα στα πυκνά φουσάτα,
πέφτοντας πάνω τους εστάθηκε. Κι οι Αργίτες αντικρύ του
με τα σπαθιά και με τα δίκοπα κεντώντας τον κοντάρια
πίσω τον έσπρωξαν τρεκλίζοντας αναγυρίζει εκείνος,
και φώναξε στους Τρώες με δύναμη, να τον ακούσουν όλοι:

«Λυκιώτες και Δαρδάνοι αντρόψυχοι και Τρώες, κοντά μου ελάτε,
κι ώρα πολλή μπροστά μου σίγουρα δε θα σταθούν οι Αργίτες,
κι ας μαζωχτηκαν, κι ας συντάχτηκαν, κι ας σφιχταραδιαστηκαν!
Θα φύγουν λέω μπρος στο κοντάρι μου, στ᾽ αλήθεια αν με γκαρδιώνει
ο άντρας της Ήρας, ο βαρύβροντος ο Δίας ο τρισμεγάλος.»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους᾽
κι ευτύς ο γιος του Πρίαμου, ο Δήφοβος, κινάει ξεθαρρεμένος
το στρογγυλό μπροστά σκουτάρι του κρατώντας με το χέρι,
κι ετράβα ομπρός με πόδι ανάλαφρο, ξοπίσω απ᾽ το σκουτάρι.
Με το λαμπρό κοντάρι απάνω του ρίχνει ο Μηριόνης τότε,

και δεν ξαστόχησε᾽ τον πέτυχε στο στρογγυλό σκουτάρι
το ταυροτόμαρο᾽ όμως πάνω του, πριν το περάσει, σπάζει
στη δέση το μακρύ κοντάρι του᾽ κι ο Δήφοβος μακριά του
το ταυροσκούταρό του εκράτησε, τι τρόμαξε η ψυχή του
τον αντρειανό Μηριόνη, ως του 'ριξε᾽ κι ωστόσο εστράφη ετούτος
και πίσω εχώθη στους συντρόφους του, κι είχε φριχτά πεισμώσει

ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ᾽ αἰνῶς
ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέαξε.
βῆ δ᾽ ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
οἰσόμενος δόρυ μακρόν, ὅ οἱ κλισίηφι λέλειπτο.
οἳ δ᾽ ἄλλοι μάρναντο, βοὴ δ᾽ ἄσβεστος ὀρώρει.

Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Ἴμβριον αἰχμητὴν πολυΐππου Μέντορος υἱόν·
ναῖε δὲ Πήδαιον πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,

ἂψ ἐς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
ναῖε δὲ παὰρ Πριάμῳ· ὃ δέ μιν τίεν ἶσα τέκεσσι.
τόν ῥ᾽ υἱὸς Τελαμῶνος ὑπ᾽ οὔατος ἔγχεϊ μακρῷ
νύξ᾽, ἐκ δ᾽ ἔσπασεν ἔγχος· ὃ δ᾽ αὖτ᾽ ἔπεσεν μελίη ὣς
ἥ τ᾽ ὄρεος κορυφῇ ἔκαθεν περιφαινομένοιο

χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ·
ὣς πέσεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ᾽ ὁρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ᾽ ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ.
ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος

τυτθόν· ὃ δ᾽ Ἀμφίμαχον Κτεάτου υἱ᾽ Ἀκτορίωνος
νισόμενον πόλεμον δὲ κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἕκτωρ δ᾽ ὁρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἁφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·

Αἴας δ᾽ ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ᾽ οὔ πῃ χροὸς εἴσατο, πᾶς δ᾽ ἄρα χαλκῷ
σμερδαλέῳ κεκάλυφθ᾽· ὃ δ᾽ ἄρ᾽ ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὃ δὲ χάσσατ᾽ ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ᾽ ἐξείρυσσαν Ἀχαιοί.

Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεὺς
ἀρχοὶ Ἀθηναίων κόμισαν μετὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ᾽ Αἴαντε μεμαότε θούριδος ἀλκῆς
ὥς τε δύ᾽ αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνὰ

ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
τεύχεα συλήτην· κεφαλὴν δ᾽ ἀπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀϊλιάδης κεχολωμένος Ἀμφιμάχοιο,
ἦκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι᾽ ὁμίλου·

και για τα δυο, τη νίκη που 'χασε και τ᾽ όπλο που εσυντρίφτη.
και πήρε δρόμο για τ᾽ Αργίτικα καλύβια και καράβια,
το άλλο μακρύ κοντάρι πού άφησε να βρει μες στο καλύβι.
Χτυπιόνταν οι άλλοι ωστόσο, κι άσβηστος ο αλαλητός σκωνόταν.

Πρώτος τον Ίμπριο ο Τεύκρος σκότωσεν, ο γιος του Τελαμώνα,
τον αντρειωμένο γιο του Μέντορα του πολυφοραδάτου'
στο Πήδαιο, πριν οι Αργίτες φτάσουνε, με τη Μηδεσικάστη,
που 'χεν ο Πρίαμος κάνει απ᾽ άλλη του γυναίκα, εζούσε πρώτα'
σα φτάσαν όμως τα διπλόγυρτα των Αχαιών καράβια,
στην Τροία ξανάρθε, και ξεχώριζε μέσα στους Τρώες τους άλλους.
Τον είχε ο Πρίαμος στο παλάτι του και τον τιμούσε ως γιο του.
και τώρα ο Τεύκρος τον εχτύπησε με το μακρύ κοντάρι
κάτω απ᾽ τ᾽ αφτί, και το κοντάρι του τραβάει. Σα φράξος πέφτει,
που σε κορφή βουνού, περίφαντου μακριάθε, το πελέκι

τον κόβει, και στο χώμα ξάπλωσε τα τρυφερά του φύλλα᾽
Έτσι έπεσε, και γύρα εβρόντηξεν η πλουμιστή του αρμάτα.
Κι ευτύς εχύθη ο Τεύκρος θέλοντας να γδύσει τ᾽ άρματά του'
κι όπως χιμούσε, ο μέγας Έχτορας το αστραφτερό του ρίχνει
χαλκό κοντάρι, μα το ξέφυγεν, ως το 'δε ομπρός του, ο Τεύκρος,
μια τρίχα μόνο. Τον Αμφίμαχο πέτυχε εκείνος τότε,
το γιο του Χτέατου, πα στο στήθος του, στη μάχη όπως γυρνούσε.
Βαρύς σωριάστη, κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Κι ο Έχτορας χύθηκε, του αντρόκαρδου του Αμφίμαχου το κράνος,
το αρμοδεμένο στα μελίγγια του, ν᾽ αρπάξει απ᾽ το κεφάλι.

Μα όπως χυνόταν, ρίχνει απάνω του με το λαμπρό κοντάρι
ο μέγας Αίαντας᾽ μα ως τη σάρκα του δε φτάνει, τι ήταν όλη
ντυμένη στο χαλκό, μον᾽ χτύπησε στου σκουταριού τ᾽ αφάλι,
και δυνατά τον ίδιον έσπρωξε. Γυρίζει εκείνος πίσω,
κι αφήνει τους νεκρούς, που ετράβηξαν οι Δαναοί κοντά τους.
Τον έναν τότε, τον Αμφίμαχο, στο ασκέρι ο Στίχιος πίσω
κι ο γαύρος Μενεσθέας κουβάλησαν, των Αθηναίων οι πρώτοι'
τον Ίμπριο πάλε ασκώσαν οι Αίαντες, αντρεία κι ορμή γιομάτοι.
Πώς από σκύλους σουβλερόδοντους ξεφεύγοντας δυο λιόντες
μια γίδα αρπάζουν και τη φέρνουνε μες στα πυκνά τα θάμνα,

και την κρατούν με τις μασέλες τους ψηλά απ᾽ τη γη᾽ παρόμοια
κι οι δυο αντρειανοί ψηλά κρατώντας τον απ᾽ τ᾽ άρματά τον γδύσαν.
Κι ο γιος του Οϊλέα, για τον Αμφίμαχο χολιώντας, τον σπαθίζει
τον απαλό λαιμό χωρίζοντας απ᾽ το κεφάλι, κι έτσι
στριφογυρνώντας το σφεντόνισε κατά το ασκέρι, ως σφαίρα

Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι,
βῆ δ᾽ ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδεα τεῦχεν.

Ἰδομενεὺς δ᾽ ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν
ἐρχόμενος παρ᾽ ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε κατ᾽ ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ᾽ ἰητροῖς ἐπιτείλας
ἤϊεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα

ἀντιάαν· τὸν δὲ προσέφη κρείων ἐνοσίχθων
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἱῖ Θόαντι
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ᾽ ὡς τίετο δήμῳ·
Ἰδομενεῦ Κρητῶν βουληφόρε ποῦ τοι ἀπειλαὶ

οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
ὦ Θόαν οὔ τις ἀνὴρ νῦν γ᾽ αἴτιος, ὅσσον ἔγωγε
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτέ τινα δέος ἴσχει ἀκήριον οὔτέ τις ὄκνῳ

εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι
νωνύμνους ἀπολέσθαι ἀπ᾽ Ἄργεος ἐνθάδ᾽ Ἀχαιούς.
ἀλλὰ Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
ὀτρύνεις δὲ καὶ ἄλλον ὅθι μεθιέντα ἴδηαι·

τὼ νῦν μήτ᾽ ἀπόληγε κέλευέ τε φωτὶ ἑκάστῳ.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἰδομενεῦ μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
ἐκ Τροίης, ἀλλ᾽ αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς τις ἐπ᾽ ἤματι τῷδε ἑκὼν μεθίῃσι μάχεσθαι.

ἀλλ᾽ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ᾽ ἅμα χρὴ
σπεύδειν, αἴ κ᾽ ὄφελός τι γενώμεθα καὶ δύ᾽ ἐόντε.
συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν,
νῶϊ δὲ καί κ᾽ ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.
ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν·

Ἰδομενεὺς δ᾽ ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ᾽ ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου
δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί·

ὡς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ᾽ ἄρα οἱ θεράπων ἐΰς ἀντεβόλησεν
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ᾔει
οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
Μηριόνη Μόλου υἱὲ πόδας ταχὺ φίλταθ᾽ ἑταίρων

κι ομπρός στου Εχτόρου επήγε κι έπεσε τα πόδια, μες στη σκόνη.
Μα τότε ο Ποσειδώνας ένιωσε θυμό βαρύ στα σπλάχνα,
τον εγγονό θωρώντας που 'πεσε στην άγρια μέσα μάχη'
και κίνησε να πάει στ᾽ Αργίτικα καλύβια και καράβια
στους Δαναούς κουράγιο δίνοντας, στους Τρώες καημούς μεγάλους.

Κι ο Ιδομενέας ο κονταρόχαρος τον πέτυχε αντικρύ του,
ως έφτανε από κάποιο σύντροφο, που ότι είχε βγει απ᾽ τη μάχη,
με μυτερό χαλκό στο γόνατο ξοπίσω λαβωμένος'
τον είχαν κουβαλήσει οι σύντροφοι, κι ο Ιδομενέας να τρέξουν
είπε οι γιατροί᾽ μα ως στο καλύβι του γυρνούσε, λαχταρώντας
να πολεμήσει ακόμα, του 'κραξεν ο μέγας Κοσμοσείστης,
το λάλο παίρνοντας του Αντραίμονα, του γιου του Θόα, που ολούθε
τους Αιτωλούς, και στην απόγκρεμη κυβέρνα Καλυδώνα
και στην Πλευρώνα, και τον δόξαζαν, θεός λες κι ήταν, όλοι:
«Των Κρητικών ρηγάρχη, λέγε μου, που πήγαν οι φοβέρες,

που οι γιοι των Αχαιών φοβέριζαν, τους Τρώες πως θα χαλάσουν;»
Κι ο Ιδομενέας του απηλογήθηκε, των Κρητικών ο ρήγας:
« Όσο κατέχω εγώ, κανένας μας δεν είναι, Θόαντα, φταίχτης·
τι όλοι μας ξέρουμε από πόλεμο, κι ουδέ κανείς μας είναι
που τον κρατάει τρομάρα ξέψυχη, κανείς που από αναμελιά
τον άγριο πόλεμο παράτησε, να φύγει᾽ λέω μονάχα
πως έτσι θέλει ο τρανοδύναμος ύγιός του Κρόνου τώρα,
εδώ μακριά από το Άργος άχναρα ν᾽ αφανιστούν οι Αργίτες.
Μα εσύ και πριν καλά στον πόλεμο βαστούσες, Θόαντα, πάντα
κι έσπρωχνες κι άλλον, αν τον έβλεπες στη μάχη να δειλιάζει.

Μη σταματάς λοιπόν, ξεσήκωνε τον έναν και τον άλλον.»
Κι ο Ποσειδώνας του αποκρίθηκεν ο κοσμοσείστης τότε:
« Ποτέ του, Ιδομενέα, στον τόπο του να μη διαγύρει εκείνος,
μόνο να γίνει τραβολόγήμα μέσα στην Τροία των σκύλων,
όποιος χωρίς κουράγιο σήμερα θα βγει να πολεμήσει.
Μον᾽ έλα τώρα, πάρε τ᾽ άρματα κι ομπρός, τι σφίγγει η ανάγκη,
κάτι καλό να ιδούμε αν θα 'βγαινε κι από τους δυο μας μόνο᾽
κι οι πιο αχαμνοί, σαν πουν να σμίξουνε, κάτι θα κάνουν πάντα᾽
κι εμείς να χτυπηθούμε ξέρουμε, θαρρώ, και μ᾽ αντρειωμένους!»
Ως είπε αυτά ο θεός, στο αντρίστικο γύρνα ξανά το απάλε'

κι ο Ιδομενέας, ως στο καλόφτιαστο καλύβι του ήρθε, πήρε
κι εντύθη τα πανώρια του άρματα, κι αρπώντας δυο κοντάρια
κινάει και φεύγει, ως αστροπέλεκο, που ο γιος του Κρόνου παίρνει
στο χέρι και απ᾽ το διάφεγγο Όλυμπο στη γη τινάζει κάτω
—σημάδι στους θνητούς—κι ή λάμψη του ξαστράφτει πέρα ως πέρα᾽
όμοια έφεγγε ο χαλκός στα στήθη του τρογύρα, ως εδρομούσε.
Εκεί ο τρανός αμαξολάτης του τον έσμιξε Μηριόνης,
πλάι στο καλύβι ακόμα᾽ επήγαινε για χάλκινο κοντάρι.
Και τότε ο Ιδομενέας ο αντρόκαρδος του μίλησε και του 'πε:
«Του Μόλου υγιέ, Μηριόνη, γρήγορε και γκαρδιακέ μου ακράνη,

τίπτ᾽ ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή,
ἦέ τευ ἀγγελίης μετ᾽ ἔμ᾽ ἤλυθες; οὐδέ τοι αὐτὸς
ἦσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.
τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·

ἸΙδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
ἔρχομαι εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν ὸ πρὶν ἔχεσκον
ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.
τὸν δ᾽ αὖτ᾽ ἸΙδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·

δούρατα δ᾽ αἵ κ᾽ ἐθέλῃσθα καὶ ἓν καὶ εἴκοσι δήεις
ἑσταότ᾽ ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
τώ μοι δούρατά τ᾽ ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι

καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.
τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
πόλλ᾽ ἔναρα Τρώων· ἀλλ᾽ οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,

ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλόν πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.
τὸν δ᾽ αὖτ᾽ ἸΙδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·

οἶδ᾽ ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ᾽ ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ᾽ ὅ τε δειλὸς ἀνὴρ ὅς τ᾽ ἄλκιμος ἐξεφαάνθη·
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,

οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ᾽ ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίῃ μεγάλα στέρνοισι πατάσσει
κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίγνετ᾽ ὀδόντων·
τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρὼς οὔτέ τι λίην

ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἁρπᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαΐ λυγρῇ·
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης
οὐκ ἂν ἐν αὐχέν᾽ ὄπισθε πέσοι βέλος οὐδ᾽ ἐνὶ
νώτῳ,

τι ήρθες εδώ, σφαγή και πόλεμο στη μέση απαρατώντας;
Από σαγίτα μη λαβώθηκες και σε σουβλίζει ο πόνος;
Μήπως μαντάτο κάποιο φέρνεις μου; Μήτε κι εγώ το θέλω
να κάθουμαι έτσι στο καλύβι μου, μόνο να μπω στη μάχη.»
Κι ο μυαλωμένος του αποκρίθηκε Μηριόνης τότε κι είπε:
« Ιδομενέα, των χαλκοθώρακων των Κρητικών ρηγάρχη,
ήρθα, κοντάρι ακόμα αν έμεινε κανένα στα καλύβια,
να πάρω να κρατώ᾽ τι το 'σπασα το που 'χα πριν στο χέρι,
του τρανοκαυκησιάρη Δήφοβου βαρώντας το σκουτάρι.»
Κι ο Ιδομενέας του απηλογήθηκε, των Κρητικών ο ρήγας:

«Κοντάρια αν θέλεις, κι ένα κι είκοσι μες στο καλύβι θα 'βρεις,
ορθά να στέκουνται, κατάντικρα στο στραφτερό τον τοίχο,
τρωαδίτικα, που άπ᾽ όσους σκότωσα τα κούρσεψα᾽ τι αλάργα
απ᾽ τους οχτρούς εγώ δε στέκομαι, θαρρώ, καθώς χτυπιέμαι'
γι᾽ αυτό και αφαλωτά μου βρίσκουνται σκουτάρια και κοντάρια,
κι έχω και κράνη, έχω και θώρακες στραφταλιστούς, που λάμπουν.»
Κι ο μυαλωμένος του αποκρίθηκε Μηριόνης τότε κι είπε:
«Έχω κι εγώ στο μαύρο μου άρμενο και στο καλύβι κούρσα
πολλά απ᾽ τους Τρώες, όμως δε βρίσκουνται κοντά για να τα πάρω'
τι ούτε κι εγώ, θαρρώ, την ξέχασα ποτέ την αντριγιά μου.

Μέσα στους πρώτους πρώτους στέκομαι στη δοξαντρούσα μάχη,
κάθε φορά που ανοίξει ο πόλεμος κι η χλαλοή του ανάψει.
Άλλος μπορεί από τους χαλκάρματους Αργίτες να μην είδε
πως πολεμώ, μα εσύ, απεικάζομαι, το ξέρεις μοναχός σου.»
Κι ο Ιδομενέας του απηλογήθηκε, των Κρητικών ο ρήγας:
«Την ξέρω την αντρεία σου᾽ ανώφελα τι μου την κουβεντιάζεις;
Στα πλοία μιαν ώρα αν ξεχωρίζαμε να πάμε σε καρτέρι
οι πιο αντρειωμένοι—εδώ που δείχνεται του ανθρώπου το κουράγιο,
και ποιος είναι αντρειανός ανέσφαλτα και ποιος κιοτής ξεκρίνεις'
τι του κιοτή θωρείς το πρόσωπο που όλο κι αλλάζει χρώμα,

κι ουδ᾽ έχει στην ψυχή του ανάκαρα να κάτσει σ᾽ έναν τόπο,
μον᾽ όλο μεταλλάζει, ως κάθεται, στο 'να και στ᾽ άλλο πόδι,
και μες στα στήθη του με δύναμη κλωτσάει η καρδιά, το Χάρο
το μαύρο ως βλέπει μπρος στα μάτια του, και του χτυπούν τα δόντια'
μα του αντρειανού μηδέ το πρόσωπο χλωμιαίνει, ουδέ και τόσο
φοβάται, μια και βρει τη θέση του και κάτσει στο καρτέρι,
μον᾽ λαχταράει μιαν ώρα αρχύτερα πότε θα᾽ ρθουν στα χέρια—
εκεί και ποιος δε θα καμάρωνε την αντριγιά σου τάχα;
Κι αν σε κοντάριζαν, κι αν σου 'ριχναν από κοντά στη μάχη,
ποτέ η ριξιά τους δε θα σ᾽ έβρισκε στο σβέρκο ουδέ στην πλάτη'

ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειε
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
ἀλλὰ σύ γε κλισίην δὲ κιὼν ἕλευ ὄβριμον ἔγχος.

ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἀρηϊ
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμον δὲ μέτεισι,
τῷ δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς

ἔσπετο, ὅς τ᾽ ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
τὼ μὲν ἄρ᾽ ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον,
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ᾽ ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν

ἤϊσαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
Δευκαλίδη πῇ τὰρ μέμονας καταδῦναι ὅμιλον;
ἠ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἦ ἀνὰ μέσσους,
ἦ ἐπ᾽ ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω

δεύεσθαι πολέμοιο κάρη κομόωντας Ἀχαιούς.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι
Αἴαντές τε δύω Τεῦκρός θ᾽, ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·

οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
αἰπύ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων

ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
ἀνδρὶ δέ κ᾽ οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ᾽ εἴη καὶ ἔδοι Δημήτερος ἀκτὴν
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν.
οὐδ᾽ ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν

ἔν γ᾽ αὐτοσταδίῃ· ποσὶ δ᾽ οὔ πως ἔστιν ἐρίζειν.
νῶϊν δ᾽ ὦδ᾽ ἐπ᾽ ἀριστέρ᾽ ἔχε στρατοῦ, ὄφρα τάχιστα
εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν, ἦέ τις ἡμῖν.
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἀρηϊ
ἦρχ᾽ ἴμεν, ὄφρ᾽ ἀφίκοντο κατὰ στρατὸν ᾗ μιν ἀνώγει,

μπρος στην κοιλιά θα σε πετύχαινε για και στα στήθια, σύντας
χιμάς εκεί που οι πρόμαχοι έστησαν γλυκό κουβεντολόγι.
Μον᾽ έλα τώρα, ας μη στεκόμαστε και σαν παιδιά μιλούμε,
μη μας ακούσουν και θυμώνοντας τα βάλουνε μαζί μας᾽
έμπα μονάχα στο καλύβι μου και διάλεξε κοντάρι.»
Αυτά είπε, κι ο Μηριόνης γρήγορα, σαν το γοργό τον Άρη,
με βιάση απ᾽ το καλύβι χάλκινο κοντάρι αρπάζει, κι έτσι
στου Ιδομενέα τ᾽ αχνάρια έτράβηξε, κι είχε στο νου το απάλε.
Πώς ο Άρης τρέχει ο αιματοστάλαχτος στον πόλεμο, κι ο Τρόμος,
ο γιος του ο αντρόκαρδος κι αφόβητος, τον ακλουθάει ξοπίσω,

που και τον πιο αντρειανό πολέμαρχο τον ρίχνει στη φευγάλα,
από τη Θράκη ως παν στους Έφυρους αρματωμένοι οι δυο τους,
και στους τρανούς Φλεγύες, κι ουδ᾽ άκουσαν μαζί τα παρακάλια
και των δυονώ, μον᾽ σ᾽ εναν χάρισαν από τους δυο τη νίκη'
παρόμοια οι δυο αρχηγοί στον πόλεμο τραβούσαν, ο Μηριόνης
κι ο Ιδομενέας, ζωσμένοι στ᾽ άρματα, που ξάστραφτε ο χαλκός τους.
και πρώτος ο Μηριόνης μίλησε και λέει στο σύντροφο του:
« Του Δευκαλίωνα γιε, που θα 'θελες να μπεις στη μάχη τώρα;
Τάχα δεξιά μεριά απ᾽ τ᾽ ασκέρι μας για και στη μέση μήπως,
για και ζερβά; τι άλλου από πόλεμο δεν έχουν τόση ανάγκη

οι Αργίτες πουθενά οι μακρομάλλοί; καθώς εκεί, λογιάζω.»
Κι ο Ιδομενέας του απηλογήθηκε, των Κρητικών ο ρήγας:
« Τα μεσιακά καράβια βρίσκουνται να διαφεντέψουν κι άλλοι,
οι Αίαντες οί δυο, κι ο Τεύκρος δίπλα τους, μες στους Αργίτες
πρώτος
στις δοξαριές, και στο αντροπάλεμα με τους στερνούς δε στέκει.
Αυτοί θα τον χορτάσουν πόλεμο τον Έχτορα, κι ας είναι
όσο το θέλει λιονταρόκαρδος κι όσο αν γυρεύει απάλε.
Πολύ θα του 'ρθει αλήθεια δύσκολο, σφαγή κι ας λαχταρίζει,
τη λύσσα ετούτων και τ᾽ ανίκητα να παραλύσει χέρια,
κι έτσι να κάψει τα καράβια μας, εξόν ο γιος του Κρόνου

δαυλό αναμμένο απά στα γρήγορα καράβια αν ρίξει ατός του᾽
τι ο τελαμώνιος Αίας δε γίνεται σ᾽ άλλον μπροστά να φύγει,
να 'ναι μαθές θνητός, να γεύεται της Δήμητρας το στάρι,
και να λαβώνεται από τ᾽ άρματα και τα τρανά κοτρόνια.
Κι ουδέ στο ρημαχτή θα δείλιαζε μπροστά Αχιλλέα, μαζί του
ν᾽ αντροπαλέψει᾽ μον᾽ στο τρέξιμο θα τον περνούσε εκείνος.
Όσο για μας τους δυο, για τράβηξε ζερβά απ᾽ τ᾽ ασκέρι, κάποιον
ευτύς να ιδοϋμε αν θα δοξάσουμε, για αν κάποιος μας δοξάσει.»
Αυτά είπε, κι ο Μηριόνης κίνησε, σαν τον γοργό τον Άρη,
κι ο άλλος μαζί, στο ασκέρι ως που 'φτασαν, κει που ζητούσε ο
πρώτος.

οἳ δ᾽ ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκὴν
αὐτὸν καὶ θεράποντα σὺν ἕντεσι δαιδαλέοισι,
κεκλόμενοι καθ᾽ ὅμιλον ἐπ᾽ αὐτῷ πάντες ἔβησαν·
τῶν δ᾽ ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρυμνῇσι νέεσσιν.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι

ἤματι τῷ ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἵ τ᾽ ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμόσ᾽ ἦλθε μάχη, μέμασαν δ᾽ ἐνὶ θυμῷ
ἀλλήλους καθ᾽ ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι

μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ᾽ ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἅμυδις· μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ᾽ ἀκάχοιτο.

τὼ δ᾽ ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μέν ῥα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδέ τι πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό,

ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἦχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ᾽ ἴα πάτρη,

ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
τώ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
λάθρῃ δ᾽ αἰὲν ἔγειρε κατὰ στρατὸν ἀνδρὶ ἐοικώς.
τοὶ δ᾽ ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο
πεῖραρ ἐπαλλάξαντες ἐπ᾽ ἀμφοτέροισι τάνυσσαν

ἄρρηκτόν τ᾽ ἄλυτόν τε, τὸ πολλῶν γούνατ᾽ ἔλυσεν.
ἔνθα μεσαιπόλιός περ ἐὼν Δαναοῖσι κελεύσας
Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε.
πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα,
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,

ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
Κασσάνδρην ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον,
ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
τῷ δ᾽ ὁ γέρων Πρίαμος ὑπό τ᾽ ἔσχετο καὶ κατένευσε
δωσέμεναι· ὃ δὲ μάρναθ᾽ ὑποσχεσίῃσι πιθήσας.

Κι οι Τρώες το Δομενέα σαν ένιωσαν, της αντριγιάς τη φλόγα,
τον ίδιο αυτόν και τον ακράνη του, με πλουμιστές αρμάτες,
ο ένας του άλλου κουράγιο δίνοντας απάνω του όλοι έπεσαν
κι άνοιξαν τα φουσάτα πόλεμο στων καραβιών τις άκρες.
Όπως βαρύν οι άνεμοι δρόλαπα σφυρίζοντας ασκώνουν,
τη μέρα ο κουρνιαχτός που πλήθυνε στις στράτες μέσα ολούθε,
κι όλοι μαζί φυσώντας ασκώσαν πυκνή τη σκόνη ως νέφος'
όμοια κι εκείνοι τότε ανάκατα μες στο σωρό χτυπιόνταν,
με κοφτερό χαλκό γυρεύοντας να σφάξει ο ένας τον άλλο.
Κι η φάουσα μάχη όρθανατρίχιασεν απ᾽ τα μακριά κοντάρια,

που εκράτουν και θέριζαν γύρα τους᾽ και θάμπωναν τα μάτια
απ᾽ τη χαλκένια φλόγα που 'βγαζαν τ᾽ αστραποβόλα κράνη
κι οι φρεσκογυαλισμένοι θώρακες και τα λαμπρά σκουτάρια,
όλοι μαζί ως τραβούσαν σίδερο θα 'χε καρδιά ο που το 'δε
τέτοιο κακό κι εχάρη μέσα του, χωρίς να καρδιοσώσει.
Οι δυο του Κρόνου γιοι οι τρανόκαρδοι, με άλλη βουλή ο καθένας,
στ᾽ ασκέρια τ᾽ αντρειωμένα εσύγκλωθαν τρανούς καημούς ωστόσο'
στους Τρώες ζητούσε και στον Έχτορα τη νίκη ο Δίας να δώσει,
τον Αχιλλέα το γοργοπόδαρο τιμώντας᾽ ούτε κι όμως
στην Τροία μπροστά λογάριαζε άχναροι ν᾽ αφανιστούν οι Αργίτες'

τη Θέτιδα μονάχα εδόξαζε και τον τρανό το γιο της.
Κι ο Ποσειδώνας πάλε ζύγωνε ν᾽ ασκώσει τους Αργίτες,
κρυφά από το ψαρί προβαίνοντας το κύμα, τι πονούσε
να τους θωρεί απ᾽ τους Τρώες να χάνουνται, και χόλιαζε του Δία.
Κι οι δυο από μια γενιά κρατιόντουσαν, τον ίδιο είχαν πατέρα,
μα ο Δίας στη γνώση πρώτος έρχουνταν, τι πιο μπροστά εγεννήθη.
Γι᾽ αυτό και φανερά δεν ήθελε να δώσει χέρι, μόνο
κρυφά αναγκάρδιωνε ακατάπαυτα, με όψη θνητού, τ᾽ ασκέρι.
Έτσι του πόλεμου του ανέσπλαχνου και της σφαγής της άγριας
τέντωσαν το σκοινί από πάνω τους, για να τους κλείσουν μέσα,

ασύντριφτο, άλυτο, μα που 'λυσε πολλών τα γόνα τότε.
Εκεί τους Δαναούς εγκάρδιωσε, κι ομπρός χιμώντας ξάφνου
ο Ιδομενέας τους Τρώες ετσάκισε, κι ας ήταν ψαρομάλλης·
τι τον τρανό Οθρυονέα κοντάρεψε, που μπήκε μες στο κάστρο
φτασμένος μόλις απ᾽ την Κάβησο, τον πόλεμο γρικώντας.
Την κόρη εζήτησε την πιο όμορφη του Πρίαμου, την Κασσάντρα,
με δίχως ξαγορά, και του 'ταξε τρανό πως θα 'κανε έργο,
τους γιους των Αχαιών πως θα 'διωχνε μεβιας από την Τροία.
και δέχτη ο γέρο Πρίαμος κι έταξε να του τη δώσει ταίρι,
κι εκείνος πια, τα θάρρη του έχοντας στο λόγο αυτό, επολέμα.

Ἰδομενεὺς δ᾽ αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ᾽ ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε, μέσῃ δ᾽ ἐν γαστέρι πῆξε.
δούπησεν δὲ πεσών· ὁ δ᾽ ἐπεύξατο φώνησέν τε·
Ὀθρυονεῦ περὶ δή σε βροτῶν αἰνίζομ᾽ ἁπάντων

εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ᾽ ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ᾽ ὑπέσχετο θυγατέρα ἦν.
καί κέ τοι ἡμεῖς ταῦτά γ᾽ ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ᾽ Ἀτρεΐδαο θυγατρῶν εἶδος ἀρίστην
Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν

Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
ἀλλ᾽ ἔπε᾽, ὄφρ᾽ ἐπὶ νηυσὶ συνώμεθα
ποντοπόροισιν
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν.
ὣς εἰπὼν ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην
ἥρως Ἰδομενεύς· τῷ δ᾽ Ἄσιος ἦλθ᾽ ἐπαμύντωρ

πεζὸς πρόσθ᾽ ἵππων· τὼ δὲ πνείοντε κατ᾽ ὤμων
αἰὲν ἔχ᾽ ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρὶ
λαιμὸν ὑπ᾽ ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν
ἔλασσεν.
ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωΐς

ἠὲ πίτυς βλωθρή, τήν τ᾽ οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
ὣς ὁ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθείς
βεβρυχὼς κόνιος δεδραγμένος αἱματοέσσης.
ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας ἃς πάρος εἶχεν,

οὐδ᾽ ὅ γ᾽ ἐτόλμησεν δηΐων ὑπὸ χεῖρας ἀλύξας
ἂψ ἵππους στρέψαι, τὸν δ᾽ Ἀντίλοχος μενεχάρμης
δουρὶ μέσον περόνησε τυχών· οὐδ᾽ ἤρκεσε θώρηξ
χάλκεος ὃν φορέεσκε, μέσῃ δ᾽ ἐν γαστέρι πῆξεν.
αὐτὰρ ὁ ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,

ἵππους δ᾽ Ἀντίλοχος μεγαθύμου Νέστορος υἱὸς
ἐξέλασε Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.
Δηΐφοβος δὲ μάλα σχεδὸν ἦλυθεν Ἰδομενῆος
Ἄσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος

Ἰδομενεύς· κρύφθη γὰρ ὑπ᾽ ἀσπίδι πάντοσ᾽ ἐΐσῃ,
τὴν ἄρ᾽ ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
δινωτὴν φορέεσκε, δύω κανόνεσσ᾽ ἀραρυῖαν·
τῇ ὕπο πᾶς ἐάλη, τὸ δ᾽ ὑπέρπτατο χάλκεον ἔγχος,
καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν

Κι ο Ιδομενέας τον εσημάδεψε με αστραφτερό κοντάρι,
κι αυτό τον βρήκε, ως καμαρώνοντας τραβούσε· ο θώρακας του
που εφόρα ο χάλκινος δεν άντεξε, μον᾽ στην κοιλιά του εμπήχτη.
Πέφτει με βρόντο᾽ καμαρώνοντας ο Ιδομενέας του κράζει:
«Οθρυονέα, σχαρίκια αξίζουνε σε σένα πάνω απ᾽ όλους,
όλα αν τελέψεις που καυκήθηκες στον Πρίαμο, του Δαρδάνου
τη φύτρα, που 'ταξε την κόρη του γυναίκα να σου δώσει.
Κι εμείς αλήθεια αν σου το τάζαμε, θα το'χαμέ τελέψει᾽
την πιο πανώρια θα σου δίναμε του Ἀτρείδη θυγατέρα,
απ᾽ το Άργος νύφη φέρνοντας σου την, αν ήθελες μονάχα

της Τροίας το κάστρο το πεντάμορφο μαζί μας να πατήσεις.
Τώρα στα πλοία τα πελαγόδρομα για έλα μαζί, το γάμο
για να ταιριάξουμε᾽ κακόθελους δε θά'βρεις συμπεθέρους!»
Αυτά είπε ο Ιδομενέας ο αντρόκαρδος, και μες στην άγρια μάχη
τον έσουρνε απ᾽ το πόδι. Πρόβαλε ξεγδικιωτής του τότε
ο Άσιος, πεζός μπροστά από τ᾽ άτια του᾽ κι αυτά φρούμαζαν πίσω
στους ώμους του, κι ο αμαξολάτης τους τ᾽ αντίσκοφτε, και κείνος
του Ιδομενέα να ρίξει εγύρευε᾽ μ᾽ αυτός τον βρίσκει πρώτος
κάτω απ᾽ τα γένια, στο καρύδι του, και τον καρφώνει ως πέρα.
Κι αυτός σωριάστη, όπως σωριάζεται για δρυς για λεύκα χάμω

για πεύκο τρισμεγάλο, που 'κοψαν πα στα βουνά οι μαστόροι -
με τα νιοτρόχιστα τσεκούρια τους, καρένα να το κάνουν
όμοια κι αυτός ομπρός στο αμάξι του και στ᾽ άλογα ξαπλώθη
βρουχιώντας, με τα νύχια ξύνοντας τη ματωμένη σκόνη.
Κι ο αμαξολάτης τότε σάστισε και το μυαλό του φεύγει'
δεν τόλμησε να στρέψει τ᾽ άλογα κι απ᾽ των οχτρών τα χέρια
να τα, γλιτώσει, κι έτσι ο Αντίλοχος τον βρήκε ο ψυχωμένος
καταμεσός με το κοντάρι του᾽ κι ουδέ κι ο θώρακας του
που εφόρα ο χάλκινος τον φύλαξε, μον᾽ στην κοιλιά του εμπήχτη,
κι αγκομαχώντας από τ᾽ όμορφο κατρακυλίστη αμάξι.

Κι ο Αντίλοχος, ο γιος του αντρόψυχου Νεστόρου, τ᾽ άλογα του
από τους Τρώες στους λιονταρόκαρδους Αργίτες τα δρομούσε.
Και τότε ο Δηφόβος λυπήθηκε τον Άσιο, και ζυγώνει
του Ιδομενέα να ρίξει απόκοντα στραφταλιστό κοντάρι.
Μα εκείνος ξέφυγε, το χάλκινο κοντάρι ως είδε αντίκρα,
ο Ιδομενέας, τι στ᾽ ολοστρόγγυλο σκουτάρι πίσω εκρύφτη,
που βοΐδοτόμαρα και λιόφωτος χαλκός το ανακουφώναν
καμαρωτά, και το αντιστύλωναν δυο πήχες από μέσα.
Πίσω απ᾽ αυτό-εστριμώχτη ολόκορμος, και το χαλκό κοντάρι
περνά από πάνω του κι ακράγγιξε του σκουταριού το γύρο,

ἔγχεος· οὐδ᾽ ἄλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
ἀλλ᾽ ἔβαλ᾽ Ἱππασίδην Ὑψήνορα ποιμένα λαῶν
ἦπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾽ ὑπὸ γούνατ᾽ ἔλυσε.
Δηΐφοβος δ᾽ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
οὐ μὰν αὖτ᾽ ἄτιτος κεῖτ᾽ Ἄσιος, ἀλλά ἑ φημι
εἰς Ἀΐδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.
ὣς ἔφατ᾽, Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ᾽ οὐδ᾽ ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου,
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ᾽ ὑποδύντε δύω ἐρίηρες ἑταῖροι
Μηκιστεὺς Ἐχίοιο πάϊς καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
Ἰδομενεὺς δ᾽ οὐ λῆγε μένος μέγα, ἵετο δ᾽ αἰεὶ
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ᾽ Αἰσυήταο διοτρεφέος φίλον υἱὸν
ἥρω᾽ Ἀλκάθοον, γαμβρὸς δ᾽ ἦν Ἀγχίσαο,
πρεσβυτάτην δ᾽ ὤπυιε θυγατρῶν Ἱπποδάμειαν
τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τοὔνεκα καί μιν
γῆμεν ἀνὴρ ὥριστος ἐνὶ Τροίῃ εὐρείῃ·
τὸν τόθ᾽ ὑπ᾽ Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε
θέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα·
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽ οὔτ᾽ ἀλέασθαι,
ἀλλ᾽ ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρὶ
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἕρκει ὄλεθρον·
δὴ τότε γ᾽ αὖον ἄϋσεν ἐρεικόμενος περὶ δουρί.
δούπησεν δὲ πεσών, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν
ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης·
Ἰδομενεὺς δ᾽ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας
Δηΐφοβ᾽ ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι
τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτω.
δαιμόνι᾽ ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ᾽ ἐμεῖο,
ὄφρα ἴδῃ οἷος Ζηνὸς γόνος ἐνθάδ᾽ ἱκάνω,
ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ᾽ ἐμὲ τίκτε πολέσσ᾽ ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ᾽ ἐνθάδε νῆες ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν.

κι αυτός κουδούνισε᾽ όμως άδικα του δυνατού χεριού του
δεν έφυγε η ριξιά, μον 'πέτυχε μες στην κοιλιά, στο σκώτι,
το γιο του Ιππάσου, τον Υψήνορα, και του 'λυσε τα γόνα.
Με περισσό καμάρι ο Δήφοβος φωνή μεγάλη σέρνει:
« Όχι, δεν κοίτεται ανεγδίκιωτος ο Άσιος θαρρώ πια τώρα᾽
μ᾽ αν στον τρανό τον Άδη εδιάβηκε τον κλειδαμπαρωμένο,
βαθιά θ᾽ αναγαλλιάσει, σύντροφο μαζί που του χαρίζω!»
Είπε, κι οι Αργίτες βαριοκάρδισαν το λόγο του ν᾽ ακούσουν,
και πιο πολύ η καρδιά του Αντίλοχου του αντρόψυχου εταράχτη᾽
μα δεν παράτησε το σύντροφο, κι ας ήταν πικραμένος,
μον᾽ τρέχει ομπρός του και τον σκέπασε με το σκουτάρι ολούθε᾽
και τότε έσκυψαν και τον σήκωσαν δυο γκαρδιακοί συντρόφοι,
ο αρχοντογέννητος Αλάστορας κι ο Μηκιστέας, του Εχίου
ο γιος, και τον πήγαιναν στ᾽ άρμενα, στα βογγητά του μέσα.
Η ορμή του Ιδομενέα δεν έσβηνεν ωστόσο᾽ στο σκοτάδι
το μαύρο ελαχταρούσε αδιάκοπα κάποιο απ᾽ τους Τρώες να στείλει,
για, τους Αργίτες διαφεντεύοντας, νεκρός να πέσει ατός του.
Εκεί το γιο του αρχοντογέννητου του Αισήτη, τον Αλκάθο,
τον αντρειανό, τον πολεμόχαρο, που ήταν γαμπρός του Αγχίση—
την πιο μεγάλη είχε απ᾽ τις κόρες του, την Ιπποδάμεια, πάρει,
που περισσά στο σπίτι ο κύρης της κι η σεβαστή της μάνα
την αγαπούσαν, τι ξεχώριζε στη γνώση και στα κάλλη
και στις δουλειές στις συνομήλικες ανάμεσα᾽ για τούτο
την πήρε ο πιο τρανός πολέμαρχος μες στην πλατιά την Τροία.
Αυτόν ο Ποσειδώνας δάμασε κάτω απ᾽ το χέρι τότε
του Ιδομενέα᾽ τα γόνα του 'δεσε, του γήτεψε τα μάτια
τ᾽ αστραφτερά, και πια δε δύνουνταν να φύγει, να γλιτώσει.
Κι όπως στεκόταν έτσι ασάλευτος, ίδια κολόνα ή δέντρο
αψηλοφούντωτο, κατάστηθα τον βρήκε το κοντάρι
του Ιδομενέα του πολεμόχαρου, κι ο θώρακας συντρίφτη
ο χάλκινος, που τον διαφέντευεν από το Χάρο ως τότε.
Τώρα όμως βούιξε κούφια, ως έσπαζε στου κονταριού το χτύπο.
Πέφτει με πάταχο, και βρέθηκε μπηγμένο το κοντάρι
μες στην καρδιά του, που ως σπαρτάριζε, του κονταριού την άκρη
σιγοκουνούσε, ωσόπου επάγωσε, και τ᾽ άγριο τ᾽ όπλο εστάθη.
Και τότε ο Ιδομενέας εφώναξε με περισσό καμάρι:
« Λογαριασμοί σαν τούτον, Δήφοβε, πολύ θαρρώ ν᾽ αξίζουν
σεις έναν, τρεις εμείς σκοτώσαμε᾽ του κάκου οι καυκησιές σου!
Άμυαλε! Αν θες, ατός σου πρόβαλε, ν᾽ αντικριστείς μαζί μου,
σαν ποιο ήρθε εδώ του Δία δισέγγονο να ιδείς και μοναχός σου.
Ο Δίας το Μίνωα πρώτα εγέννησε, που αφέντεψε την Κρήτη,
κι ο Μίνωας πάλε εστάθη του άψεγου του Δευκαλίωνα ο κύρης,
και τούτος πάλε εμένα γέννησε, μες στην πλατιά την Κρήτη
ρήγα τρανό᾽ και τώρα μ᾽ έφεραν δω πέρα τ᾽ άρμενα μου
κακό για σένα και τον κύρη σου και για τους Τρώες τους άλλους.»

ὣς φάτο, Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἄψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἷος.
ὣδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι
βῆναι ἐπ᾽ Αἰνείαν· τὸν δ᾽ ὕστατον εὗρεν ὁμίλου

ἑσταότ᾽· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ
οὕνεκ᾽ ἄρ᾽ ἐσθλὸν ἐόντα μετ᾽ ἀνδράσιν οὔ τι
τίεσκεν.
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία Τρώων βουληφόρε νῦν σε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.

ἀλλ᾽ ἕπευ Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος γε
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.

ἀλλ᾽ οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
ἀλλ᾽ ἔμεν᾽ ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς,
ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν
ἀνδρῶν
χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
ὀφθαλμὼ δ᾽ ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας

θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας·
ὣς μένεν Ἰδομενεὺς δουρικλυτός, οὐδ᾽ ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ᾽ ἑταίρους
Ἀσκάλαφόν τ᾽ ἐσορῶν Ἄφαρῆά τε Δηΐπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς·

τοὺς ὅ γ᾽ ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
δεῦτε φίλοι, καί μ᾽ οἴῳ ἀμύνετε· δείδια δ᾽ αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
καὶ δ᾽ ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.

εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ᾽ ἐπὶ θυμῷ
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἕνα φρεσὶ θυμὸν
ἔχοντες
πλησίοι ἔστησαν, σάκε᾽ ὤμοισι κλίναντες.
Αἰνείας δ᾽ ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι

Δηΐφοβόν τε Πάριν τ᾽ ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ οἱ ἅμ᾽ ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ᾽, ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν᾽ ἐκ βοτάνης· γάνυται δ᾽ ἄρα τε φρένα
ποιμήν·
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει

Είπε, κι ο Δήφοβος διχόγνωμος αναρωτήθη τότε,
πίσω να στρέψει, στους άντρόκαρδους τους Τρώες, να βρει κανένα
μαζί του να τον πάρει σύντροφο, για να χυθεί μονάχος.
Κι αυτό του εικάστη, ως διαλογίζουνταν, το πιο καλό πως είναι,
να τρέξει στον Αινεία᾽ τον πέτυχε να στέκει από τους άλλους

μακριά, στερνός, τι ο αρχοντογέννητος ο Πρίαμος την αντρεία του
δεν την τιμούσε όπως της άξιζε, και χόλιαζε μαζί του.
Κι ως ήρθε ομπρός του, με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Αίνεία, των Τρωών ρηγάρχη, πρόφτασε να τώρα το γαμπρό σου
να διαφεντέψεις; αν σου κόστισε στ᾽ αλήθεια ο σκοτωμός του.
Έλα μαζί να διαφεντέψουμε του Αλκάθοου το κουφάρι'
σ᾽ είχε κουνιάδο και σε ανάστησε, μικρό παιδί σαν ήσουν,
και τώρα ο Ιδομενέας τον σκότωσε, τρανός κονταρομάχος.»
Είπε, και την καρδιά συντάραξε μέσα στου Αινεία τα στήθη,
κι ευτύς κινάει διψώντας πόλεμο, το Δομενέα να σμίξει'

μ᾽ αυτός, καθώς παιδάκι ανήλικο δεν το 'βαλε στα πόδια,
μόνο στεκόταν και τον πρόσμενε, καθώς βουνίσιος κάπρος,
που πλήθος κυνηγοί χουγιάζοντας σ᾽ ερημοτόπι ζώνουν,
κι αυτός δε χάνει το κουράγιο του, μον᾽ στέκεται᾽ κι η ράχη
του αναχεντρώνεται, τα μάτια του πετούν φωτιές, και τρίζει
τα δόντια του, να διώξει θέλοντας κι αγριμολόους και σκύλους'
παρόμοια ο Ιδομενέας ο αντρόκαρδος δεν έκανε να φύγει
μπρος στον Αινεία που ερχόταν τρέχοντας, μον᾽ κράζει τους
συντρόφους,
τον Αφαρέα και τον Ασκάλαφο και το Μηριόνη ως είδε,
το Δήπυρο και τον Αντίλοχο, τους γαύρους πολεμάρχους:

και λόγια μίλησε ανεμάρπαστα, κουράγιο δίνοντας τους:
«Μονάχος είμαι, χέρι δώστε μου, σύντροφοι, τι φοβούμαι
μπρος στον Αινεία το γοργοπόδαρο, που απάνω μου χιμίζει.
Με την αντρεία του πλήθος δύνεται στη μάχη να σκοτώσει'
πα στον ανθό της είναι η νιότη του και πλήθια η δύναμη της.
Τα ίδια τα χρόνια ας ήταν να 'χαμε, με την καρδιά την ίδια,
και ποιος το ξέρει ποιος θα κέρδιζε, για αυτός για εγώ, τη νίκη!»
Αυτά είπε, κι όλοι αυτοί ως τον άκουσαν, με μια καρδιά στα στήθη,
δίπλα του παν και στέκουν, γέρνοντας στους ώμους τα σκουτάρια.
Κι από την άλλη ο Αινείας εφώναξε τους συντρόφους κοντά του,

το Δήφοβο και τον Αντήνορα θωρώντας και τον Πάρη᾽
το όμοια κι αυτοί τους Τρώες ρηγάδευαν, και πίσω τους φουσάτα
τους ακλουθούσαν, ως τα πρόβατα ξοπίσω απ᾽ τον προλάτη,
απ᾽ τη βοσκή ως τραβούν για πότισμα, και χαίρεται ο τσοπάνης·
παρόμοια κι η καρδιά αναγάλλιασε μέσα στου Αινεία τα στήθη, '
πλήθος φουσάτα ως είδε πίσω του να ξεκινούν μαζί του

ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
οἳ δ᾽ ἀμφ᾽ Ἀλκαθόῳ αὐτοσχεδὸν ὁρμήθησαν
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ᾽ ὅμιλον
ἀλλήλων· δύο δ᾽ ἄνδρες ἀρήϊοι ἔξοχον ἄλλων

Αἰνείας τε καὶ Ἰδομενεὺς ἀτάλαντοι Ἄρηϊ
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης

ᾤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
ἤφυσ᾽· ὃ δ᾽ ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ᾽ ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος

ἐσπάσατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν· βέλος οὔτ᾽ ἀλέασθαι.
τώ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,

τρέσσαι δ᾽ οὐκ ἔτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
ἀλλ᾽ ὅ γε καὶ τόθ᾽ ἅμαρτεν, ὃ δ᾽ Ἀσκάλαφον βάλε δουρὶ
υἱὸν Ἐνυαλίοιο· δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχος

ἔσχεν· ὃ δ᾽ ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοστῷ.
οὐδ᾽ ἄρα πώ τι πέπυστο βριήπυος Ἄρεος υἱὸς ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
ἧστο Διὸς βουλῇσιν ἐελμένος, ἔνθά περ ἄλλοι

ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
οἳ δ᾽ ἀμφ᾽ Ἀσκαλάφῳ αὐτοσχεδὸν ὁρμήθησαν·
Δηΐφοβος μὲν ἀπ᾽ Ἀσκαλάφου πήληκα φαεινὴν
ἥρπασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ᾽ ἄρα χειρὸς

αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ᾽ ἐξ αὖτις ἐπάλμενος αἰγυπιὸς ὡς
ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης
αὐτοκασίγνητος περὶ μέσσῳ χεῖρε τιτήνας

Και τότε στον Αλκάθο ολόγυρα ζυγώνοντας χυθήκαν
κρατώντας τα μακριά κοντάρια τους, κι άγρια ο χαλκός αχούσε
γύρω στα στήθη, όπως σημάδευαν ο ένας του άλλου στο πλήθος.
Μα δυο πολέμαρχοι ξεχώριζαν με την περίσσια αντρεία τους,

ο Αινείας κι ο Ιδομενέας, και γύρευαν, παρόμοιοι με τον Άρη,
ο ένας τον άλλο με το ανέσπλαχνο κοντάρι να λαβώσει.
Πρόφτασε ο Αινείας και πρώτος έριξε του Ιδομενέα, μα εκείνος
το χάλκινο κοντάρι έξέφυγε θωρώντας το απαντίκρυ·
κι εκείνο προσπερνώντας χώθηκε σεινάμενο στο χώμα,
του κάκου από του Αίνεία τ᾽ αδάμαστα ξετιναγμένο χέρια.
Ωστόσο τον Οινόμαο πέτυχεν ο Ιδομενέας στ᾽ αφάλι,
κι ως έσπασε ο χαλκός το θώρακα, μες στ᾽ άντερα του εχώθη,
κι αυτός στη γη σωριάστη σφίγγοντας το χώμα στις παλάμες.
Κι ο Ιδομενέας το μακρογίσκιωτο κοντάρι ανατραβούσε

απ᾽ το νεκρό, μ᾽ από τους ώμους του δεν μπόρεσε να βγάλει
την ώρια αρματωσιά, τι του 'ριχναν ολούθε γύρα οι Τρώες·
τι στεριά τώρα πια δεν τα 'νιωθε τα πόδια για γιουρούσι,
για να χυθεί μπροστά ως κοντάρεψε, για κι άλλον να ξεφύγει'
στήθος με στήθος κι αν εμάχουνταν και γλίτωνε του Χάρου,
μα δεν τον φέρναν πια τα πόδια του γοργά απ᾽ τη μάχη αλάργα.
και βήμα βήμα ως πισωπόδιζε, με αστραφτερό του ρίχνει
κοντάρι ο Δήφοβος· τι ασίγαστο θυμό του εκράτειε πάντα.
Μ᾽ αντί για τούτον, τον Ασκάλαφο, του Άρη το γιο, καρφώνει,
και το βαρύ κοντάρι επρόβαλε πίσω μεριά απ᾽ τον ώμο,

κι αυτός στη γη σωριάστη σφίγγοντας το χώμα στις παλάμες.
Μ᾽ ακόμα ο δυνατός, βροντόλαλος δε θα το μάθαινε Άρης,
νεκρός στο ανήμερο αντροπάλεμα πως έπεσεν ο γιος του'
στον Όλυμπο, κάτω από σύγνεφα χρυσομαργελωμένα
καθόταν, απ᾽ του Δία το θέλημα δεμένος, όπου κι οι άλλοι
αθάνατοι θεοί απ᾽ τον πόλεμο μακριά κλεισμένοι έμεναν.
Κι αυτοί τρογύρα απ᾽ τον Ασκάλαφο ζυγώνοντας χυθήκαν,
κι άρπαξε ο Δήφοβος του Ασκάλαφου το αστραφτερό το κράνος'
μ᾽ αμέσως ο Μηριόνης χύθηκε, σαν το γοργό τον Άρη,
και του καρφώνει το κοντάρι του στο μπράτσο, κι απ᾽ το χέρι

βουίζοντας το στενοπρόσωπο κύλησε κάτω κράνος.
Ξανά ο Μηριόνης τότε απάνω του πηδάει, καθώς αγιούπας,
και τράβηξε ψηλά απ᾽ το μπράτσο του το δυνατό κοντάρι,
και πίσω εχώθη στους συντρόφους του᾽ και τότες ο Πολίτης
στον αδερφό τα χέρια του άπλωσε, τον πήρε από τη μέση,

ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ᾽ ἵκεθ᾽ ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἔστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ᾽ ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα
τειρόμενον· κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρός.

οἳ δ᾽ ἄλλοι μάρναντο, βοὴ δ᾽ ἄσβεστος ὀρώρει.
ἔνθ᾽ Αἰνέας Ἀφαρῆα Καλητορίδην ἐπορούσας
λαιμὸν τύψ᾽ ἐπὶ οἱ τετραμμένον ὀξέϊ δουρί·
ἐκλίνθη δ᾽ ἐτέρωσε κάρη, ἐπὶ δ᾽ ἀσπὶς ἐάφθη
καὶ κόρυς, ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.

Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
οὔτασ᾽ ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
ἥ τ᾽ ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν᾽ ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ᾽ ὕπτιος ἐν κονίῃσι
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.

Ἀντίλοχος δ᾽ ἐπόρουσε, καὶ αἴνυτο τεύχε᾽ ἀπ᾽ ὤμων
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον, οὐδὲ δύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ
Ἀντιλόχου· πέρι γάρ ῥα Ποσειδάων ἐνοσίχθων

Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν.
οὐ μὲν γάρ ποτ᾽ ἄνευ δηΐων ἦν, ἀλλὰ κατ᾽ αὐτοὺς
στρωφᾶτ᾽· οὐδέ οἱ ἔγχος ἔχ᾽ ἀτρέμας, ἀλλὰ μάλ᾽ αἰεὶ
σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν
ἤ τευ ἀκοντίσσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.

ἀλλ᾽ οὐ λῆθ᾽ Ἀδάμαντα τιτυσκόμενος καθ᾽ ὅμιλον
Ἀσιάδην, ὅ οἱ οὖτα μέσον σάκος ὀξέϊ χαλκῷ
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
κυανοχαῖτα Ποσειδάων βιότοιο μεγήρας.
καὶ τὸ μὲν αὐτοῦ μεῖν᾽ ὥς τε σκῶλος πυρίκαυστος

ἐν σάκει Ἀντιλόχοιο, τὸ δ᾽ ἥμισυ κεῖτ᾽ ἐπὶ γαίης·
ἄψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων·
Μηριόνης δ᾽ ἀπιόντα μετασπόμενος βάλε δουρὶ
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
γίγνετ᾽ Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.

ἔνθά οἱ ἔγχος ἔπηξεν· ὁ δ᾽ ἐσπόμενος περὶ δουρὶ
ἤσπαιρ᾽ ὡς ὅτε βοῦς τόν τ᾽ οὔρεσι βουκόλοι ἄνδρες
ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρά οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ᾽ ἐγγύθεν
ἐλθών

κι απ᾽ το φριχτό τον βγάζει πόλεμο, στα γρήγορα ως που φτάσαν
αλόγατά του, που στεκόντουσαν απ᾽ τη σφαγήν αλάργα,
μπροστά στο αμάξι τους τ᾽ ολόπλουμο, κι ό άμαξολάτης δίπλα.
Κι όπως στο κάστρο πίσω εδιάγερναν, βαριά βογγούσε εκείνος,
τι απ᾽ τη νωπή πληγή του εστάλαζε το γαίμα, και πονούσε.

Χτυπιόνταν οι άλλοι ωστόσο, κι άσβηστος ο αλαλητός σκωνόταν.
Κι ο Αινείας χιμώντας του Καλήτορα το γιο με το κοντάρι,
τον Αφαρέα, που ορμούσε απάνω του, πα στο λαιμό βαρίσκει'
γέρνει απ᾽ την άλλη το κεφάλι του, του πέφτουν και σκουτάρι
και κράνος, και τον ζώνει ο Χάροντας ο ψυχοκαταλύτης.
Κι ο Αντίλοχος στο Θόωνα, ως στράφηκε, καιροφυλάει και ρίχνει
χιμώντας πάνω του, και του 'κοψε τη φλέβα πέρα ως πέρα,
που, τρέχοντας στην πλάτη αλάκερη, ψηλά ως το σβέρκο φτάνει'
κι όπως την έκοψε, τ᾽ ανάσκελα στη σκόνη αυτός εστρώθη,
του κάκου απλώνοντας τα χέρια του στους ακριβούς συντρόφους.

Κι ο Αντίλοχος χιμώντας τ᾽ άρματα του παίρνει από τους ώμους,
θωρώντας γύρω᾽ κι αν τον έζωσαν ολούθε οι Τρώες και 'ρίχναν
στ᾽ ολόπλουμο, βαρύ σκουτάρι του, δεν μπορούν να χαράξουν
με το χαλκό τους τον ανέσπλαχνο την τρυφερή τη σάρκα
του Αντίλοχου, τι τον παράστεκεν ο Ποσειδώνας πάντα,
το γιο του Νέστορα, κι ας του 'ριχναν πλήθος οι Τρώες κοντάρια'
αλάργα απ᾽ τους οχτρούς δεν έμενε ποτέ, μον᾽ τριγυρνούσε
αναμεσό τους᾽ το κοντάρι του δε σκόλαζε, μον᾽ σειόταν
όλη την ώρα τρεμοπαίζοντας, και λαχταρούσε πάντα
για από κοντά να πέφτει απάνω τους για από μακριά να ρίχνει.

Κι ο γιος τον είδε του Άσιου που 'ριχνε μέσα στων Τρωών το πλήθος,
ο Αδάμαντας, και του κοντάρεψε στη μέση το σκουτάρι
από κοντά. Μα ο γαλαζόχαιτος ο Ποσειδώνας κόβει
τη φόρα του χαλού, κι αρνήθη του να πάρει τη ζωή του.
και το μισό κοντάρι απόμεινε, καμένο λες παλούκι,
πα στο σκουτάρι, το άλλο εβρέθηκε κοιτάμενο στο χώμα.
Εχώθη τότε στους συντρόφους του, του Χάρου να ξεφύγει.
Μα ως έφευγε, ο Μηριόνης του 'ριξε, ξοπίσω παίρνοντας τον,
και βρήκε τον στο αφάλι ανάμεσα και στ᾽ αχαμνά, κει πέρα
που πιότερο πονάει το λάβωμα στους άμοιρους ανθρώπους.

Κει μέσα το κοντάρι του 'μπηξε᾽ κι αυτός απ᾽ το κοντάρι
ξοπίσω γύρα του σπαρτάριζε, σα βόδι που το δέσαν
βουκόλοι με σκοινιά και σέρνουν το μεβιας, αθέλητα του'
όμοια κρουσμένος εσπαρτάριζε κι αυτός για λίγην ώρα,
ως που ο τρανός Μηριόνης ζύγωσε και το κοντάρι βγάζει
απ᾽ το κορμί, κι η νύχτα εσκέπασε του Αδάμαντα τα μάτια.
Κι ο Ελενος χτύπησε το Δήπυρο με το μακρύ σπαθί του.

ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Δηΐπυρον δ᾽ Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·

τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρεΐδην δ᾽ ἄχος εἶλε βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ᾽ ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι
ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἄνελκε.
τὼ δ᾽ ἄρ᾽ ὁμαρτήδην ὸ μὲν ἔγχεϊ ὀξυόεντι

ἴετ᾽ ἀκοντίσσαι, ὃ δ᾽ ἀπὸ νευρῆφιν ὀϊστῷ.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
θώρηκος γύαλον, ἀπὸ δ᾽ ἔπτατο πικρὸς ὀϊστός.
ὡς δ᾽ ὅτ᾽ ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ᾽ ἀλωὴν
θρῴσκωσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι

πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ,
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρεΐδης δ᾽ ἄρα χεῖρα βοὴν ἀγαθὸς Μενέλαος
τὴν βάλεν ᾗ ῥ᾽ ἔχε τόξον ἐΰξοον· ἐν δ᾽ ἄρα τόξῳ

ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
ἄψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων
χεῖρα παρακρεμάσας· τὸ δ᾽ ἐφέλκετο μείλινον
ἔγχος.
καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐϋστρεφεῖ οἰὸς ἀώτῳ

σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ᾽ ἰθὺς Μενελάου κυδαλίμοιο
ἤϊε· τὸν δ᾽ ἄγε μοῖρα κακὴ θανάτοιο τέλος δὲ
σοὶ Μενέλαε δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες

Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχος,
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
οὔτασεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
ἔσχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ᾽ ἐνὶ καυλῷ
ἔγχος· ὃ δὲ φρεσὶν ἧσι χάρη καὶ ἐέλπετο νίκην.

Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
ἆλτ᾽ ἐπὶ Πεισάνδρῳ· ὃ δ᾽ ὑπ᾽ ἀσπίδος εἴλετο καλὴν
ἀξίνην εὔχαλκον ἐλαΐνῳ ἀμφὶ πελέκκῳ
μακρῷ ἐϋξέστῳ· ἅμα δ᾽ ἀλλήλων ἐφίκοντο.
ἤτοι ὃ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης

που 'χε απ᾽ τη Θράκη, στο μελίγγι του, και του πετάει το κράνος,
κι εκείνο εσφεντονίστη κι έπεσε στη γη᾽ κι Αργίτης κάποιος
απ᾽ όσους μάχουνταν το σήκωσε, στα πόδια του ως εκύλα.

Νύχτα ολοσκότεινη του Δήπυρου τα μάτια ευτύς σκεπάζει.
Τότε ο Μενέλαος, ο βροντόφωνος υγιός του Ατρέα, πικράθη,
και φοβερίζοντας στον Έλενο τον αντρειωμένο εχύθη
κουνώντας το μακρύ κοντάρι του, κι αυτός το τόξο αρπάζει.
Όμοια κι οι δυο τους ελαχτάριζαν ο ένας του άλλου να ρίξει,
τούτος σαγίτα από την κόρδα του, μακρύ κοντάρι εκείνος.
Κι ο γιος του Πρίαμου ευτΰς κατάστηθα στου θώρακα τη γούβα
τον δόξεψε, όμως πέρα πέταξε μακριά η πικρή σαγίτα.
Από δικράνι πως απλόχωρο μες στο φαρδύ τ᾽ αλώνι
ψηλά πηδούνε τα μαυρόφλουδα κουκιά και τα ροβίθια

στο σουριχτό του ανέμου φύσημα, στου λιχνιστη τη φόρα'
όμοια απ᾽ το θώρακα του ασύγκριτου Μενέλαου ξετινάχτη
κι αντιπηδώντας πέρα επέταξε μακριά η πικρή σαγίτα.
Τότε ο Μενέλαος, ο βροντόφωνος υγιός του Ατρέα, χιμώντας
στο χέρι, το δοξάρι που 'σφίγγε το τορνευτό, χτυπά τον
κι εχώθηκε ο χαλκός, το χέρι του περνώντας, στο δοξάρι.
Γυρίζει τότε στους συντρόφους του, του Χάρου να ξεφύγει,
κι ως κρέμασε το χέρι, εσούρνονταν το φράξινο κοντάρι.
Κι ο ψυχωμένος τότε Αγήνορας του το τραβάει, και δένει
το χέρι του σφιχτά με μάλλινη καλόστριφτη λουρίδα,

που 'χε μαζί του πάντα, ως σύντροφος του ρήγα, αν λαβωνόταν.
Στον ξακουστό Μενέλαο ο Πείσαντρος χιμίζει απάνω τότε,
κι η μαύρη Μοίρα του τον έσπρωχνε να βρει το θάνατο του,
Μενέλαε, να χαθεί απ᾽ το χέρι σου στην άγρια μέσα μάχη.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
ο γιος του Ατρέα λαθεύει, κι έφυγε πέρα η ριξιά, του ανέμου'
και τότε ο Πείσαντρος του ασύγκριτου Μενέλαου το σκουτάρι
χτυπάει᾽ μα το χαλκό δεν μπόρεσε να τον τρυπήσει ως πέρα,
τι το φαρδύ σκουτάρι εβάστηξε· και το κοντάρι σπάζει
στη δέση του, κι αυτός αγάλλουνταν, πως νίκησε θαρρώντας.

Το ασημοκαρφοπλούμιστο έσυρε σπαθί ο Μενέλαος τότε
κι απάνω του πηδάει᾽ μα ο Πείσαντρος απ᾽ το σκουτάρι κάτω
όμορφη αξίνα βγάζει χάλκινη, σε τορνεμένο γύρω
μακρύ στειλιάρι ελιάς, και βρέθηκαν ο ένας στον άλλο αντίκρα.
Τούτος στο κέρατο τον πέτυχε του αλογουρίσιου κράνους

ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προσιόντα μέτωπον
ῥινὸς ὕπερ πυμάτης· λάκε δ᾽ ὀστέα, τὼ δέ οἱ ὄσσε
πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν,
ἰδνώθη δὲ πεσών· ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·

λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων
Τρῶες ὑπερφίαλοι δεινῆς ἀκόρητοι ἀϋτῆς,
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς
ἣν ἐμὲ λωβήσασθε κακαὶ κύνες, οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδείσατε μῆνιν

ξεινίου, ὅς τέ ποτ᾽ ὔμμι διαφθέρσει πόλιν αἰπήν·
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μὰψ οἴχεσθ᾽ ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ᾽ αὐτῇ·
νῦν αὖτ᾽ ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ᾽ ἥρωας Ἀχαιούς.

ἀλλά ποθι σχήσεσθε καὶ ἐσσύμενοί περ Ἄρηος.
Ζεῦ πάτερ ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ᾽ ἐκ τάδε πάντα πέλονται·
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται

φυλόπιδος κορέσασθαι ὁμοιΐου πτολέμοιο.
πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.

ὣς εἰπὼν τὰ μὲν ἔντε᾽ ἀπὸ χροὸς αἱματόεντα
συλήσας ἑτάροισι δίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ᾽ αὖτ᾽ ἐξ αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
ἔνθά οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
Ἀρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἔπετο πτολεμίξων

ἐς τροίην, οὐδ᾽ αὖτις ἀφίκετο πατρίδα γαῖαν·
ὅς ῥα τότ᾽ Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρὶ
ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι
ἄψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων
πάντοσε παπταίνων μή τις χρόα χαλκῷ ἐπαύρῃ.

Μηριόνης δ᾽ ἀπιόντος ἴει χαλκήρε᾽ ὀϊστόν,
καί ῥ᾽ ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀϊστὸς
ἀντικρὺ κατὰ κύστιν ὑπ᾽ ὀστέον ἐξεπέρησεν.
ἕζόμενος δὲ κατ᾽ αὖθι φίλων ἐν χερσὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ

κεῖτο ταθείς· ἐκ δ᾽ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
ἐς δίφρον δ᾽ ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων,
ποινὴ δ᾽ οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.

κάτω απ᾽ τη φούντα᾽ μα όπως χύνουνταν, στο μέτωπο, στη ρίζα
της μύτης ο Μενέλαος του 'δωσε· τα κόκαλα του σπάζει,
κι όλο αίμα χύθηκαν τα μάτια του μέσα στη σκόνη, ομπρός του.
Κι ως έπεσε στη γη λυγίζοντας, πατώντας τον στο στήθος
παίρνει ο Μενέλαος την αρμάτα του και μ᾽ έπαρση φωνάζει:

«Να πώς τα πλοία των αλογάρηδων των Δαναών θ᾽ αφήστε,
Τρώες φαντασμένοι, πάντα αχόρταγοι γι᾽ ανήμερους πολέμους!
Ούτε οι άλλες οι ντροπές σας έλειψαν μήτε οι αδικίες, που εμένα
μου 'χετε κάνει, εσείς παλιόσκυλα! κι ουδέ το Δία φοβάστε,
που σκέπει τη φίλια ο βαρύβροντος, και στον τρανό θυμό του
μια μέρα το αψηλό σας σίγουρα θα ξεπατώσει κάστρο᾽
που εσείς μου πήρατε και φύγατε την ίδια μου γυναίκα,
και αυτή, που σας εφιλοκόνεψε, και βιος περίσσιο ακόμα.
Τώρα ξανά στα πελαγόδρομα τα πλοία φωτιά να βάλτε
φάουσα λυσσάτε, τους αντρόκαρδους σκοτώνοντας Αργίτες.

Μα θα κοπεί στη μάχη κάποτε, τρανή κι ας είναι, η ορμή σας.
Πατέρα Δία, στη γνώση ακούγεσαι πως ξεπερνάς τους άλλους,
Θεούς κι ανθρώπους, κι όμως γίνουνται τούτα από σένα τώρα
Μα πώς σε ανθρώπους θέλεις άνομους να κάνεις το χατίρι,
στους Τρώες, που ο πόθος τους πάντα άσεβος, κι ουδέ μπορούν
τον άγριο
του φοβερού πολέμου τάραχο ποτέ τους να χορτάσουν;
Όλα στο τέλος τα μπουχτίζουμε, τον ύπνο, την αγκάλη,
και το χορό μαθές τον όμορφο, και το γλυκό τραγούδι᾽
κι όμως αυτά είναι που ο καθένας μας να τα χαρεί γυρεύει,
κι όχι τον πόλεμο᾽ ανεχόρταγοι για μάχες μόνο οι Τρώες!»

Είπε, και το νεκρό από τ᾽ άρματα τα αιματωμένα γδύνει,
κι ως ο άψεγος Μενέλαος τα 'δωκε στους συντρόφους του πίσω,
γυρνάει ξανά και δίχως άργητα τους μπροστομάχους σμίγει.
Και τότε απάνω του ο Αρπαλίωνας, του ρήγα Πυλαιμένη
ο γιος, χιμάει᾽ στην Τροία τον κύρη του, κι αυτός να πολεμήσει,
είχε ακλουθήξει, μα δε γύρισε στη γη την πατρική του.
Αυτός το γιο του Ατρέα σιμώνοντας στη μέση το σκουτάρι
του κονταρεύει, μα δεν μπόρεσε να το τρυπήσει ως πέρα᾽
κι είπε να γύρει στους συντρόφους του, του Χάρου να ξεφύγει,
κλωθογυρίζοντας τα μάτια του, κανείς μην τον λαβώσει.

Μα ως έφευγε, ο Μηριόνης πάνω του χαλκή σαγίτα ρίχνει,
και στο δεξιό γλουτό τον πέτυχε, και πρόβαλε απαντίκρυ
κάτω απ᾽ το κόκαλο, τη φούσκα του τρυπώντας, η σαγίτα.
Κι όπως σωριάστη εκεί, εξεψύχησε, στων ακριβών συντρόφων
τα χέρια μέσα᾽ κι έτσι εκοίτουνταν στη γη, καθώς σκουλήκι,
φαρδύς πλατύς, και το αίμα του έτρεχε μουσκεύοντας το χώμα.
Κι οι Παφλαγόνες οι αντροδύναμοι τον γνοιάστηκαν, κι απάνω
στο αμάξι βάζοντας τον τράβηξαν κατά την Τροία την άγια,
θλιμμένοι᾽ κι ακλουθούσε ο κύρης του στο κλάμα βουτημένος,
κι ουδέ του γιου του που σκοτώθηκε το γαίμα επήρε πίσω.

τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσι·
τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε᾽ ὀϊστόν.
ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱὸς
ἀφνειός τ᾽ ἀγαθός τε Κορινθόθι οἰκία ναίων,

ὅς ῥ᾽ εὖ εἰδὼς κῆρ᾽ ὀλοὴν ἐπὶ νηὸς ἔβαινε·
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος
νούσῳ ὑπ᾽ ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
ἢ μετ᾽ Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
τώ ῥ᾽ ἅμα τ᾽ ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν

νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
τὸν βάλ᾽ ὑπὸ γναθμοῖο. καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ᾽ ἀπὸ μελέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος
εἶλεν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ᾽ οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδη

ὅττί ῥά οἱ νηῶν ἐπ᾽ ἀριστερὰ δηϊόωντο
λαοὶ ὑπ᾽ Ἀργείων. τάχα δ᾽ ἂν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος ἐννοσίγαιος
ὄτρυν᾽ Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
ἀλλ᾽ ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο

ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων,
ἔνθ᾽ ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου
θῖν᾽ ἔφ᾽ ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
ζαχρηεῖς γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.

ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοὶ
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδὲ δύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον
οἳ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ᾽ ἄρα τοῖσιν

ἦρχ᾽ υἱὸς Πετεῶο Μενεσθεύς, οἳ δ᾽ ἅμ᾽ ἕποντο
Φείδας τε Στιχίος τε Βίας τ᾽ ἐῢς· αὐτὰρ Ἐπειῶν
Φυλεΐδης τε Μέγης Ἀμφίων τε Δρακίος τε,
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε
Ποδάρκης.
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο

ἔσκε Μέδων Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος ἄνδρα κατακτὰς
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ᾽ Ὀϊλεύς·
αὐτὰρ ὁ Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο.
οἳ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες

Κι ο Πάρης, ως τον είδε που 'πεσε, θυμός βαρύς τον παίρνει,
τι αυτός παλιά τον καλοσκάμνιζε στους Παφλαγόνες μέσα'
κι έτσι θυμώνοντας ξαπόστειλε μεμιάς χαλκή σαγίτα.
Ήτανε κάποιος που τον έλεγαν Ευχήνορα, του μάντη
γιος του Πολύιδου, πλούσιος, άτρομος, στην Κόρινθο που ζούσε᾽
κι ως μες στα πλοία κινούσε, κάτεχε το μαύρο ριζικό του.
Συχνά απ᾽ το μυαλωμένο γέροντα Πολύιδο το 'χε ακούσει:
για από κακιάν αρρώστια θα᾽ σβήνε στο αρχοντικό του μέσα,
για θα τον σκότωναν στ᾽ Αργίτικα σιμά καράβια οι Τρώες.
Μα έτσι μηδέ ξαντίμεμα έδινε στους Δαναούς καθόλου,

κι απ᾽ τη φριχτήν αρρώστια γλίτωνε, που θα τον τυραννούσε.
Κάτω απ᾽ τ'αφτί και το σαγόνι του τον βρήκε, κι η ψυχή του
απ᾽ το κορμί με βιάση ως έφευγε, τον πήρε το σκοτάδι.
Έτσι κει πέρα ετούτοι εμάχουνταν σα φλόγα λαμπαδούσα,
μα ο μέγας Έχτορας δεν το 'ξερε, κι ουδ᾽ είχε μάθει ακόμα
ζερβά απ᾽ τα πλοία πως του ξεκλήριζαν οι Αργίτες τους δικούς του.
Οι Αργίτες τότε αλήθεια γρήγορα θα κέρδιζαν τη νίκη,
τι ο κοσμοσείστης Κοσμοκράτορας κουράγιο στους Αργίτες
τρανό είχε δώσει, κι ολοδύναμα τους σύντρεχε κι ατός του.
Στο τείχος και στις πόρτες έστεκεν, όπου 'χε πριν πηδήξει

το σκουταρόφραχτο τσακίζοντας των Αχαιών ασκέρι,
του Πρωτεσίλαου κει που βρίσκουνταν και του Αίαντα τα καράβια,
στης ψαριάς θάλασσας το ακρόγιαλο ψηλά σερμένα, κι ήταν
χτισμένο το τειχί από πάνω τους, όχι αψηλό᾽ κει πέρα
με ορμή χιμούσαν τώρα αλάγιαστη κι οι Τρώες και τ᾽ άλογα τους.
Κει πέρα κι Ίωνες μακροχίτωνες και Βοιωτοί βρίσκονταν
και Φθιώτες κι Επειοί περίλαμπροι, Λοκροί μαζί, και μόχτουν
να τον κρατήσουν, όπως χύνουνταν στα πλοία τους᾽ μα δεν
μπορούν
τον Έχτορα που φλογομάνιζε να διώξουν από μπρος τους.
και διαλεχτοί Αθηναίοι προμάχουνταν εκεί, κι ο Μενεσθέας,

ο γιος του Πετεού, ρηγάδευε μαζί με το Στιχίο,
το Φείδα και το Βία τον άτρομο. Στους Επειούς ο Μέγης,
γιος του Φυλέα, προλάτης έστεκε, κι ο Αμφίονας κι ο Δρακίος.
Στους Φθιώτες πάλε ομπρός ο Μέδοντας κι ο αντρόκαρδος
Ποδάρκης·
κι ήταν ο Μέδοντας κλεφτόγεννος υγιός του θείου του Οϊλέα
κι αδέρφι του Αίαντα, κι όμως άφησε τη γη την πατρική του
και ζούσε στη Φυλακή, τι έτυχε να 'χει σκοτώσει κάποιον
δικό της μητρυιας του Εριώπιδας, που 'χεν ο Οϊλέας γυναίκα.
Κι ο άλλος του Ιφίκλου γιος ακούγονταν κι αγγόνι του Φυλάκου.
Τούτοι μπροστά από τους αντρόκαρδους τους Φθιώτες τα καράβια

ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο·
Αἴας δ᾽ οὐκέτι πάμπαν Ὀϊλῆος ταχὺς υἱὸς
ἵστατ᾽ ἀπ᾽ Αἴαντος Τελαμωνίου οὐδ᾽ ἠβαιόν,
ἀλλ᾽ ὥς τ᾽ ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον
ἶσον θυμὸν ἔχοντε τιταίνετον· ἀμφὶ δ᾽ ἄρά σφι

πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
τὼ μέν τε ζυγὸν οἷον ἐΰξοον ἀμφὶς ἐέργει
ἰεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλσον ἀρούρης·
ὣς τὼ παρβεβαῶτε μάλ᾽ ἕστασαν ἀλλήλοιιν.
ἀλλ᾽ ἦτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ

λαοὶ ἕπονθ᾽ ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ᾽ ἵκοιτο.
οὐδ᾽ ἄρ᾽ Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,

οὐδ᾽ ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,
ἀλλ᾽ ἄρα τόξοισιν καὶ ἐϋστρεφεῖ οἷος ἀώτῳ
Ἴλιον εἰς ἅμ᾽ ἕποντο πεποιθότες, οἷσιν ἔπειτα
ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας·
δή ῥα τόθ᾽ οἱ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισι

μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ,
οἱ δ᾽ ὄπιθεν βάλλοντες ἐλάνθανον· οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί.
ἔνθά κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,

εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα
τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιίδμεναι ἄλλων·
ἀλλ᾽ οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
ἄλλῳ δ᾽ ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
ἄλλῳ δ᾽ ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ᾽ ἄνθρωποι,
καί τε πολέας ἐσάωσε, μάλιστα δὲ καὐτὸς ἀνέγνω.

αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ κατὰ τεῖχος ἔβησαν
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι κεδασθέντες κατὰ νῆας.

με τους Βοιωτούς μαζί διαφέντευαν με τ᾽ άρματα στο χέρι.
Ο Αίας ωστόσο, ο γιος ο γρήγορος του Οϊλέα, μακριά καθόλου
από τον Αίαντα δεν ξαλάργευε, το γιο του Τελαμώνα.
Πώς στέριο αλέτρι σε πρωτόργωτο χωράφι αδερφωμένα
ζευγάρι βόδια κρασοκόκκινα τραβούνε, κι ο ιδρώτας τους
γύρω βαθιά στα ριζοκέρατα περίσσιος αναβρύζει,
και μόνο ο γυαλιστός ανάμεσα ζυγός τα διαχωρίζει,
στο αυλάκι όπως τραβούν, και σκίζεται το χώμα ομπρός στ᾽ αλέτρι᾽
όμοια σμιχτά και τούτοι εστέκουνταν ο ένας στον άλλο δίπλα·
Το γιο του Τελαμώνα σύντροφοι πολλοί και ψυχωμένοι

ωστόσο ακλούθουν κι ανεβάσταζαν το μέγα του σκουτάρι,
κάθε που ο ιδρώτας πια κι ο κάματος στα γόνατα του εφτάναν
Όμως το γιο του Οϊλέα τον άτρομο τα Λοκρικά φουσάτα
δεν ακλουθούσαν δε θαρρεύουνταν να πολεμούν σιμάθε᾽
δεν είχαν τούτοι κράνη χάλκινα με φούντες αλογίσιες,
κι ουδ᾽ είχαν και κοντάρια φράξινα και στρογγυλά σκουτάρια»
μον᾽ στα δοξάρια και στις κόρδες τους, με αρνόμαλλο στριμμένες
είχαν τα θάρρη τους κι ακλούθηξαν μαζί στην Τροία και τούτοι
κι όλο μ᾽ αυτά χτυπούσαν κι έσπαζαν τις φάλαγγες των Τρωών
Έτσι άλλοι ομπρός, ντυμένοι στ᾽ άρματα τα πλουμιστά, παλεύαν

τους Τρώες χτυπώντας και τον Έχτορα το χαλκαρματωμένο
κι άλλοι με τόξα πίσω αθώρητοι᾽ κι οι Τρώες την αντριγιά τους
ξεχνούσαν πια, γιατί τους ρήμαζαν οι σαγιτιές ολούθε.
Και τότε ντροπιασμένοι απ᾽ τ᾽ άρμενα και τα καλύβια οι Τρωες
θα φεύγαν πίσω, στο ανεμόδαρτο καστρί τους να διαγύρουν,
ο Πολυδάμας αν δε ζύγωνε του Εχτόρου να μιλήσει:
«Έχτορα εσύ, κεφάλι αγύριστο, που δεν ακούς ορμήνιες!
Μια κι ο θεός αντρεία σου εχάρισε στον πόλεμο περίσσια,
γι᾽ αυτό και στο μυαλό φαντάζεσαι πως ξεπερνάς τους άλλους
Μα ένας εσύ, μαζί δε γίνεται τις χάρες να 'χεις όλες.

Στον έναν ο θεός εχάρισε παλικαριά περίσσια,
κιθάρα και φωνή στο δεύτερο, χορό στον άλλο δίνει,
και πάλε σ᾽ άλλον ο βροντόλαλος ο Δίας φυτεύει γνώμη
σωστή, και πλήθος κόσμος βρίσκεται μαζί του κερδεμένος'
πολλούς γλιτώνει, όμως καλύτερα τι κάνει αυτός το ξέρει.
Ωστόσο εγώ θα πω τη γνώμη μου, την πιο σωστή που ξέρω'
τι σ᾽ έχει η φλόγα ολούθε ολόγυρα ζωσμένα του πολέμου,
κι οι Τρώες οι αντρόψυχοι, αφού πάτησαν το καστροτείχι, τώρα
με τ᾽ άρματά τους άλλοι εστάθηκαν κι άλλοι χτυπιούνται άκόμα
σκορπώντας δώθε κείθε στ᾽ άρμενα, με πιο πολλούς πιο λίγοι'

ἀλλ᾽ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ᾽ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλὴν
ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν
αἴ κ᾽ ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθωμεν ἀπήμονες. ἦ γὰρ ἔγωγε
δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νησὶν ἀνὴρ ἅτος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.
ὣς φάτο Πουλυδάμας, ἄδε δ᾽ Ἕκτορι μῦθος ἀπήμων,
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Πουλυδάμα σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους,
αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ᾽ ἐλεύσομαι αὖτις ἐπὴν εὖ τοῖς ἐπιτείλω.
ἦ ῥα, καὶ ὁρμήθη ὄρεϊ νιφόεντι ἐοικὼς
κεκλήγων, διὰ δὲ Τρώων πέτετ᾽ ἠδ᾽ ἐπικούρων.
οἳ δ᾽ ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ᾽, ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὃ Δηΐφοβόν τε βίην θ᾽ Ἑλένοιο ἄνακτος
Ἀσιάδην τ᾽ Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱὸν
φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ᾽ εὗρ᾽ οὐκέτι πάμπαν ἀπήμονας οὐδ᾽ ἀνολέθρους·
ἀλλ᾽ οἳ μὲν δὴ νησὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
χερσὶν ὑπ᾽ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
οἳ δ᾽ ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
τὸν δὲ τάχ᾽ εὗρε μάχης ἐπ᾽ ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον Ἑλένης πόσιν ἠϋκόμοιο
θαρσύνονθ᾽ ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι,
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
Δύσπαρι εἶδος ἄριστε γυναιμανὲς ἠπεροπευτὰ
ποῦ τοι Δηΐφοβός τε βίη θ᾽ Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ᾽ Ἀδάμας ἠδ᾽ Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδ᾽ ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
ἐξ οὗ γὰρ παρὰ νησὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ᾽ ἐνθάδ᾽ ἐόντες ὁμιλέομεν Δαναοῖσι

Μον᾽ έλα, γύρνα πίσω, κάλεσε να 'ρθουν εδώ οι προλάτες,
κι έτσι μαζί να μελετήσουμε καλά την κάθε γνώμη,
αν θα ριχτούμε στα πολύκουπα καράβια τώρα απάνω
τη νίκη αν ο θεός μας χάριζε, για μήπως πρέπει τάχα
δίχως ζημιά απ᾽ τα πλοία να φύγουμε᾽ τι εγώ φοβούμαι μήπως
ό,τι από χτες οι Αργίτες χρώσταγαν μας το πλερώσουν τώρα'
τι κάποιος, της σφαγής ανέμπληστος, προσμένει στα καράβια,
και δε θα κρατηθεί άπ᾽ τον πόλεμο μακριά θαρρώ καθόλου.»
Αυτά είπε, κι άρεσαν στον Έχτορα τα γνωστικά του λόγια,
κι ευτύς πετιέται από το αμάξι του συνάρματος στο χώμα,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Εσύ εδώ πέρα, Πολυδάμαντα, για κράτα τους προλάτες,
κι εγώ θα τρέξω εκεί, στον πόλεμο να μπω, και πίσω πάλε
γοργά θα γύρω, το κουμάντο μου σα θα 'χω πια τελέψει.»
Είπε, και σα βουνό ξεχύθηκε που χιόνια το πλακώνουν,
με φωνές άγριες, από σύμμαχους και Τρώες περνώντας μέσα.
Όλοι δρομούνε στον καλόγνωμο τον Πολυδάμα γύρα,
το γιο του Πάνθου, ευτύς ως του Έχτορα την προσταγή γρικήξαν.
Κι αυτός τριγύριζε τους πρόμαχους, μήπως και βρει τον Άσιο,
το γιο του Υρτάκου, και τον Έλενο, τον αντρειωμένο ρήγα,
το Δήφοβο και τον Αδάμαντα, του Άσιου το γιο τον άξιο.
Μα δεν τους βρήκε ολότελα άβλαβους κι αχάλαστους πια τώρα'
τι άλλοι νεκροί, από χέρια Αργίτικα θανατωμένοι, αντίκρυ
στων καραβιών τις πρύμνες κοίτουνταν, κι άλλοι κρουσμένοι πάλε
από σαΐτιά για από κοντάρεμα στο κάστρο είχαν διαγύρει.
Όμως ζερβά μες στον πολύδακρο τον πόλεμο τον Πάρη,
το θείο τον άντρα της ωριόμαλλης Ελένης, ανταμώνει,
καρδιά να δίνει στους συντρόφους του, στη μάχη σπρώχνοντας τους·
κι όπως κοντά του εστάθη, με άσκημα τον αποπήρε λόγια:
« Πάρη κακόπαρη, πανέμορφε και γυναικά και πλάνε,
που βρίσκεται ο αντρειωμένος Έλενος κι ο Δήφοβος και του Άσιου
ο γιος ο Αδάμαντας; τι απόγινε κι ο Άσιος, ο γιος του Υρτάκου;
που να 'ναι ο Οθρυονέας; Συθέμελα πια τώρα η Τροία χαμένη
η απόγκρεμη᾽ και συ καρτέρα τον σε λίγο το χαμό σου!»
Και τότε ο θεόμορφος Αλέξαντρος απηλογιά του δίνει:
« Στο πάθος σου, Έχτορα, τον άφταιγο τον βγάζεις τώρα φταίχτη·
άλλες φορές μπορεί τον πόλεμο να θέλω να ξεφύγω,
όμως κιοτή και μένα η μάνα μου δε μ᾽ έκανε και τόσο᾽
τι αφόντας τους συντρόφους έσπρωξες τον πόλεμο ν᾽ ανοίξουν
δίπλα στα πλοία, χτυπούμε αλάγιαστα τους Δαναούς δω πέρα.

νωλεμέως· ἔταροι δὲ κατέκταθεν οὓς σὺ μεταλλᾷς.
οἴω Δηΐφοβός τε βίη θ᾽ Ἑλένοιο ἄνακτος
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ᾽ ἤμυνε Κρονίων.
νῦν δ᾽ ἄρχ᾽ ὅππῃ σε κραδίη θυμός τε κελεύει·

ἡμεῖς δ᾽ ἐμμεμαῶτες ἅμ᾽ ἐψόμεθ᾽, οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
πὰρ δύναμιν δ᾽ οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν.
ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως·
βὰν δ᾽ ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν

ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμύν τ᾽ Ἀσκάνιόν τε Μόρυν θ᾽ υἷ᾽ Ἱπποτίωνος,
οἵ ῥ᾽ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.

οἳ δ᾽ ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ᾽ ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδον δέ,
θεσπεσίῳ δ᾽ ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης
κυρτὰ φαληριόωντα, πρὸ μέν τ᾽ ἄλλ᾽, αὐτὰρ ἐπ᾽
ἄλλα·

ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ᾽
ἄλλοι,
χαλκῷ μαρμαίροντες ἅμ᾽ ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ᾽ ἡγεῖτο βροτολοιγῷ ἶσος Ἀρηϊ
Πριαμίδης· πρόσθεν δ᾽ ἔχεν ἀσπίδα πάντοσ᾽ ἐΐσην
ῥινοῖσιν πυκινήν, πολλὸς δ᾽ ἐπελήλατο χαλκός·

ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
πάντῃ δ᾽ ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι·
ἀλλ᾽ οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο μακρὰ βιβάσθων·

δαιμόνιε σχεδὸν ἐλθέ· τί ἢ δειδίσσεαι αὔτως
Ἀργείους; οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν,
ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.

ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
σοὶ δ᾽ αὐτῷ φημὶ σχεδὸν ἔμμεναι ὀππότε φεύγων
ἀρήσῃ Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,

Ωστόσο οι σύντροφοι σκοτώθηκαν που τώρα εσύ γυρεύεις᾽
ο Δήφοβος μονάχα κι ο Έλενος, ο ρήγας ο αντρειωμένος,
έχουνε φύγει, τι λαβώθηκαν με τα μακριά κοντάρια
κι οι δυο στο χέρι᾽ κι ουδέ γλίτωναν, αν δε βοηθούσε ο Δίας.
Τώρα η καρδιά και το κουράγιο σου κει που σε πάνε τράβα,
και ψυχωμένοι εμείς αντάμα σου θα᾽ ρθούμε᾽ δε θα λείψω,
με όση κι αν έχω ακόμα δύναμη, κι εγώ να πολεμήσω᾽
τι αλήθεια, πάνω απ᾽ ό,τι δύνεσαι δεν πολεμάς, κι ας θέλεις.»
Είπε ο αντρειανός, και μεταστρέφοντας τη γνώμη του αδερφού του
κινούν εκεί, η σφαγή κι ο πόλεμος που άναβαν, στον Ορθαίο,

στον άψεγο τον Πολυδάμαντα, στον Κεβριόνη γύρα,
στον Πολυφήτη τον ισόθεο, στο Φάλκη, στον Ασκάνιο,
στον Πάλμη γύρα, στου Ιπποτίωνα στερνά το γιο το Μόρη,
που απ᾽ την παχιά Ασκανία ξεκούραστοι χαράματα είχαν φτάσει
μια μέρα πριν, και τώρα εμάχουνταν σπρωγμένοι από το Δία.
Κι οι Τρώες μπροστά ετραβούσαν, πέφτοντας σαν άγρια ανεμοζάλη,
που ο Δίας πατέρας μπουμπουνίζοντας στον κάμπο ξεσηκώνει,
και με τρανό βουητό ξεχύνεται στο πέλαο, και θεριεύουν
της πολυτάραχης της θάλασσας τα κύματα βογγώντας,
δοξαρωτά, αφρισμένα, ατέλειωτα, μπρος το 'να, πίσω τ᾽ άλλο'

όμοια κι οι Τρώες τους βασιλιάδες τους απανωτοί ακλουθούσαν
ο ένας στον άλλο πίσω, κι άστραφταν μες στις χαλκές αρμάτες.
Κι άνοιγε δρόμο ο μέγας Έχτορας, σαν Άρης ξαγριεμένος,
ο γιος του Πρίαμου, τ᾽ ολοστρόγγυλο σκουτάρι ομπρός κρατώντας,
πού έξω χαλκός χοντρός το σκέπαζε, πυκνά δερμάτια μέσα.
Κι άστραφτε γύρα στα μελίγγια του σεινάμενο το κράνος᾽
κι ολούθε στις γραμμές δοκίμαζε, μια δω, μια κει τραβώντας,
μπας και τσακίσουν μπρος του, ως πήγαινε κρυμμένος στο
σκουτάρι.
Όμως οι Αργίτες το κουράγιο τους δεν το 'χασαν, και πρώτος
με δρασκελιές ο Αίας τον σίμωσε και τον αντροκαλιέται:

«Άμυαλε εσύ, για κοντοζύγωσε! Τι φοβερίζεις έτσι
τους Δαναούς; Δεν είμαστε άμαθοι κι εμείς από πολέμους·
μονάχα το κακό μας δάμασε του Δία μαστίγι τώρα.
Αλήθεια, ελπίζεις τα καράβια μας πατώντας να τα κάψεις;
Μα χεριά λέω κι εμείς πως έχουμε να τα διαφεντευτούμε.
Πολύ πιο πριν μπορεί το κάστρο σας το αρχοντικό, το πλούσιο,
έτσι να πέσει μες στα χέρια μας, στην άκρη του σπαθιού μας.
Και λέω, για σε τον ίδιο επλάκωσε πια η μέρα που ως θα φεύγεις,
το Δία μαζί και τους επίλοιπους θεούς θ᾽ ανακαλιέσαι
να ξεπερνούν τα ωριότριχα άτια σου και τα γεράκια ακόμα,

οἵ σε πόλιν δ᾽ οἴσουσι κονίοντες πεδίοιο.
ὡς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις
αἰετὸς ὑψιπέτης· ἐπὶ δ᾽ ἴαχε λαὸς Ἀχαιῶν
θάρσυνος οἰωνῷ· ὃ δ᾽ ἀμείβετο φαίδιμος Ἕκτωρ·
Αἶαν ἀμαρτοεπὲς βουγάϊε ποῖον ἔειπες·

εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ᾽ ὡς τίετ᾽ Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
πᾶσι μάλ᾽, ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς

μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ᾽ οἰωνοὺς
δημῷ καὶ σάρκεσσι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὡς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ᾽ ἅμ᾽ ἕποντο
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ᾽ ἴαχε λαὸς ὄπισθεν.

Ἀργεῖοι δ᾽ ἐτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο
ἀλκῆς, ἀλλ᾽ ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ἠχὴ δ᾽ ἀμφοτέρων ἵκετ᾽ αἰθέρα καὶ Διὸς αὐγάς.

κατά το κάστρο ως θα σε φέρνουνε στον κάμπο, μες στη σκόνη!»
Ως είπε αυτά τα λόγια, επρόβαλεν αϊτός αψηλοπέτης,
δεξιά μεριά, κι οι Αργίτες όλοι τους για το καλό σημάδι
σέρνουν φωνή· μα ο γαύρος Έχτορας γυρνάει κι απηλογιέται:
«Αίαντα μωρόλογε κι αστόχαστε, τι λόγια αυτά που κρένεις;
Υγιός του Δία του βροντοσκούταρου να 'μουν εγώ μακάρι
παντοτινά, κι απ᾽ την αρχόντισσα την Ήρα γεννημένος,
να με τιμούν, ως τον Απόλλωνα τιμούν και την Παλλάδα,
όσο είναι αλήθεια, η μέρα σήμερα πως φέρνει στους Αργίτες
όλους κακό᾽ κι εσύ το θάνατο θα βρεις, αν σου βαστάξει

να μείνεις στο μακρύ κοντάρι μου μπροστά, που θα σου σκίσει
το τρυφερό κορμί, και πέφτοντας στ᾽ Αργίτικα καράβια
με ξίγκια και ψαχνά τους σκύλους μας και τα όρνια θα χορτάσεις.»
Ως είπε τούτα, ομπρός εκίνησε, κι οι επίλοιποι ακλουθούσαν
με άγριο συντάραχο, και χούγιαξε το ασκέρι πίσωθέ τους.
Κι από την άλλη οι Αργίτες χούγιαξαν, κι ουδέ την αντριγιά τους
ξεχνούσαν, μόνο στέκαν άσειστοι μπροστά απ᾽ τους Τρώες που εχίμουν
κι ο αχός των δυο στα αιθέρια ασκώνουνταν, στου Δία τα λάμπη απάνω.

-Ξ- Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,
ἀλλ᾽ Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
φράζεο δῖε Μαχᾶον ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.
ὡς εἰπὼν σάκος εἶλε τετυγμένον υἱος ἑοῖο
κείμενον ἐν κλισίῃ Θρασυμήδεος ἱπποδάμοιο
χαλκῷ παμφαῖνον· ὃ δ᾽ ἔχ᾽ ἀσπίδα πατρὸς ἑοῖο.
εἵλετο δ᾽ ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
στῆ δ᾽ ἐκτὸς κλισίης, τάχα δ᾽ εἴσιδεν ἔργον ἀεικὲς
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε
Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
ὡς δ᾽ ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτως, οὐδ᾽ ἄρα τε προκυλίνδεται οὐδετέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,
ὡς ὃ γέρων ὅρμαινε δαϊζόμενος κατὰ θυμὸν
διχθάδι᾽, ἢ μεθ᾽ ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
ἦε μετ᾽ Ἀτρεΐδην Ἀγαμέμνονα ποιμένα λαῶν.
ὣδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι
βῆναι ἐπ᾽ Ἀτρεΐδην. οἳ δ᾽ ἀλλήλους ἐνάριζον
μαρνάμενοι· λάκε δέ σφι περὶ χροΐ χαλκὸς ἀτειρὴς
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Νέστορι δὲ ξύμβλητο διοτρεφέες βασιλῆες
πὰρ νηῶν ἀνιόντες ὅσοι βεβλήατο χαλκῷ
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων.
πολλὸν γάρ ῥ᾽ ἀπάνευθε μάχης εἰρύατο νῆες
θῖν᾽ ἔφ᾽ ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίον δὲ
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ᾽ εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί·

Ωστόσο ο Νέστορας, κι ας έπινε, γρικάει τα χουγιαχτά τους,
και στου Ασκληπιού το γιο ανεμάρπαστα γυρνάει και κρένει λόγια:
«Αρχοντικέ Μαχάονα, λόγιασε πού θα μας βγάλουν τούτα!
Δίπλα στα πλοία των αντρειωμένων μας ο τάραχος πληθαίνει'
μα κάθου εσύ εδώ πέρα κι ήσυχος κρασί φλογάτο πίνε,
ως η Εκαμήδη η καλοπλέξουδη νερό να σου ζεστάνει,
για να σε λούσει από τα γαίματα, κι εγώ σε κάποιο ωστόσο
θ᾽ ανέβω ξάγναντο, και γρήγορα τι γίνεται θα μάθω.»
Είπε, και πήρε το καλόφτιαστο σκουτάρι, που κοιτόταν
μες στο καλύβι, του αλογάτορα του γιου του Θρασυμήδη,
το αστραφτερό, τι αυτός του κύρη του κρατούσε το σκουτάρι'
και το γερό κοντάρι του άρπαξε, το καλοακονισμένο.
Μ᾽ απ᾽ το καλύβι ως βγήκε, εστάθηκε, ντροπές θωρώντας μπρος
του,
τους Αχαιούς να φεύγουν, πίσω τους τους Τρώες τους
αντρειωμένους
να τους χτυπούνε, και το Αργίτικο τειχί πεσμένο χάμω.
Πώς κύμα απόκουφο ανατάραξε το μέγα πέλαο ξάφνου,
τι σφουριχτοί σε λίγο αγέρηδες προσμένει να χυθούνε,
και μήτε δώθε παίρνει απίδρομο και μήτε κείθε ακόμα,
ως που να στρώσει αγέρας σίγουρος, ψηλά απ᾽ το Δία σταλμένος·
όμοια διχόγνωμος κι ο γέροντας με σπαραγμένα σπλάχνα
στους Αχαιούς τους αλογάρηδες μια γύρευε να τρέξει,
και μια στον άρχοντα Αγαμέμνονα, το γιο του Ατρέα το γαύρο.
Κι ως διαλογίζουνταν, του εικάστηκε το πιο καλό, του Ατρέα
το γιο να σμίξει. Κι οι άλλοι εμάχουνταν ο ένας του άλλου
χτυπώντας,
και γύρα απ᾽ τα κορμιά τους ο άσπλαχνος χαλκός αντιδονούσε,
με τα σπαθιά και με τα δίκοπα κοντάρια ως πολεμούσαν.
Εκεί τους αντρειανούς ο Νέστορας ρηγάδες ανταμώνει,
που απ᾽ τα καράβια τώρα ανέβαιναν, όσοι ήταν λαβωμένοι,
τον Οδυσσέα, τον Αγαμέμνονα και τον τρανό Διομήδη'
τι ήταν αλάργα από τον πόλεμο βγαλμένα τα καράβια,
στης ψαριάς θάλασσας το ακρόγιαλο. Τα πρώτα τα 'χαν σύρει
βαθιά στον κάμπο, και στις πρύμνες τους το καστροτείχι εχτίσαν
τι όλα τους τ᾽ άρμενα δεν μπόρεσε το απλόχωρο ακρογιάλι
να τα χωρέσει, και στριμώχτηκαν περίσσια τα φουσάτα᾽

τώ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
ἠϊόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι.
τώ ῥ᾽ οἵ γ᾽ ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο
ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφι
θυμὸς ἐνὶ στήθεσσιν. ὃ δὲ ξύμβλητο γεραιὸς

Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
ὦ Νέστορ Νηληϊάδη μέγα κῦδος Ἀχαιῶν
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ᾽ ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,

ὥς ποτ᾽ ἐπηπείλησεν ἐνὶ Τρώεσσ᾽ ἀγορεύων
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ

ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον ὥς περ Ἀχιλλεὺς
οὐδ᾽ ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
ἦ δὴ ταῦτά γ᾽ ἐτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.

τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἳ δ᾽ ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
νωλεμές· οὐδ᾽ ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται,

ὡς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ᾽ οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ᾽ ὅπως ἔσται τάδε ἔργα
εἴ τι νόος ῥέξει· πόλεμον δ᾽ οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·

Νέστορ ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῇσι μάχονται,
τεῖχος δ᾽ οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ᾗ ἔπι πολλὰ πάθον Δαναοί, ἔλποντο δὲ θυμῷ
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι

νωνύμνους ἀπολέσθαι ἀπ᾽ Ἄργεος ἐνθάδ᾽ Ἀχαιούς.
ᾔδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼν εἴπω πειθώμεθα πάντες.

και σκαλωτά λοιπόν τα τράβηξαν, και του γιαλού γιομώσαν
το στόμα το φαρδύ που ανοίγουνταν μέσα στους δυο τους
κάβους.
Τώρα κι αυτοί, τη μάχη θέλοντας και τη σφαγή να ιδούνε,
ακουμπισμένοι στα κοντάρια τους μαζί ετραβούσαν όλοι,
και σπάραζε η καρδιά στα στήθια τους· και ξάφνου εκεί
ανταμώνουν

το γέρο Νέστορα, και τρόμαξε στα σωθικά η καρδιά τους.
και τότε ο ρήγας Αγαμέμνονας τον έκραξε και του 'πε:
«Γιε του Νηλέα, ρηγάρχη Νέστορα, των Αχαιών η δόξα,
εδώ τι φτάνεις τώρα αφήνοντας την καταλύτρα μάχη;
Ο τρανός Έχτορας τα λόγια του φοβάμαι μην τελέψει,
που κάποτε είπε φοβερίζοντας μέσα στους Τρώες μιλώντας,
πως δε θα γύρει απ᾽ τα πλεούμενα, να ξαναμπεί στο κάστρο,
φωτιά πριν βάλει στα καράβια μας κι όλους εμάς ξεκάμει.
Τέτοιες φοβέρες κείνος έλεγε᾽ τώρα αληθεύουν όλα.
Κακό που με 'βρε! Κι οι αποδέλοιποι καλαντρειωμένοι Αργίτες

ως ο Αχιλλέας χολιάζουν μέσα τους κρυφά κι αυτοί μαζί μου,
κι ουδέ να κάνουν θέλουν πόλεμο στων καραβιών τις πρύμνες.»
Γυρνώντας ο γερήνιος Νέστορας ο αλογολάτης του 'πε:
« Αλήθεια, αυτά που λες τα βλέπουμε μπροστά μας όλα, κι ούτε
ο αψηλοβρόντης Δίας θα δύνουνταν τα που 'γιναν ν᾽ αλλάξει.
Το καστροτείχι πάει, μας γκρέμισε, που το θαρρούσαμε όλοι
πως άπαρτο προπύργι θα 'στέκε σε μας και στ᾽ άρμενά μας.
Κι αυτοί με πείσμα τώρα αλάγιαστο μπρος στα γοργά καράβια
παλεύουν δε θωρούν τα μάτια σου, και μια και δυο αν κοιτάξεις,
πούθε μεριά οι χτυπιές τους έρχουνται και σπάσαν οι δικοί μας·

έτσι όλοι ανάκατα σκοτώνουνται, και φτάνει ο αχός στα ουράνια.
Μ᾽ ας δούμε εμείς καλοζυγιάζοντας τι θ᾽ απογίνει τώρα.
Κάτι ας σκεφτούμε᾽ εγώ δε θα 'λεγα στη μάχη εσείς να μπείτε,
τι δεν μπορεί στ᾽ αλήθεια πόλεμο να κάνει ο λαβωμένος.»
Κι ο πρωταφέντης Αγαμέμνονας απηλογιά του δίνει:
«Μια και χτυπιούνται τώρα, Νέστορα, στων καραβιών τις πρύμνες
κι άδικα πήγε το καλόφτιαστο τειχί και το χαντάκι,
που τόσο οι Δαναοί παιδεύτηκαν, και μες στα στήθη έλπιζαν
πως άπαρτο προπύργι θα 'στεκε σε μας και στ᾽ άρμενα μας,
στο Δία θα πει τον τρανοδύναμο πως έτσι αρέσει τώρα,

εδώ μακριά από το Άργος άχναρα ν᾽ αφανιστούν οι Αργίτες.
Και τότε το 'ξερα, όντας έδινε σε μας ο Δίας το χέρι,
και τώρα ξέρω που ως αθάνατους θεούς δοξάζει εκείνους,
και τα δικά μας χέρια τα 'δεσε και την ορμή μας κόβει.
Μα τώρα ελατέ ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:

νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ᾽ ἐπ᾽ εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθῃ
νὺξ ἀβρότη, ἣν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.

οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ᾽ ἀνὰ νύκτα.
βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρεΐδη ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων·
οὐλόμεν᾽ αἴθ᾽ ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου

σημαίνειν, μὴ δ᾽ ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ᾽ ὀϊζύομεν κακὰ πολλά;

σίγα, μή τίς τ᾽ ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο
ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν
σκηπτοῦχός τ᾽ εἴη, καί οἱ πειθοίατο λαοὶ
τοσσοίδ᾽ ὅσσοισιν σὺ μετ᾽ Ἀργείοισιν ἀνάσσεις·

νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς
νῆας ἐϋσσέλμους ἅλαδ᾽ ἑλκέμεν, ὄφρ᾽ ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ᾽ αἰπὺς ὄλεθρος ἐπιρρέπῃ. οὐ γὰρ Ἀχαιοὶ

σχήσουσιν πόλεμον νηῶν ἄλα δ᾽ ἑλκομενάων,
ἀλλ᾽ ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθά κε σὴ βουλὴ δηλήσεται ὄρχαμε λαῶν.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Ὀδυσεῦ μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ

ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
νῆας ἐϋσσέλμους ἅλα δ᾽ ἑλκέμεν υἷας Ἀχαιῶν.
νῦν δ᾽ εἴη ὅς τῆσδέ γ᾽ ἀμείνονα μῆτιν ἐνίσποι
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·

ἐγγὺς ἀνήρ· οὐ δηθὰ ματεύσομεν· αἴ κ᾽ ἐθέλητε
πείθεσθαι, καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος
οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ᾽ ὑμῖν·
πατρὸς δ᾽ ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει.

«Όσα καράβια δίπλα βρίσκουνται στο κύμα ανασερμένα,
βαθιά, τραβώντας, να τα ρίξουμε στη θάλασσα την άγια,
να τα κρατήσουν οι αγκυρόπετρες ως να πλακώσει η νύχτα
η αθάνατη᾽ μπορεί τον πόλεμο να πάψουν πάλε απόψε
οι Τρώες, και τότε λέω να ρίξουμε και τ᾽ άλλα μας καράβια.

Ντροπή δεν είναι απ᾽ το ξεκλήρισμα και νύχτα να γλιτώσεις᾽
παρά ν᾽ αφανιστείς, καλύτερα στα πόδια να το βάλεις.»
Ταυροκοιτώντας ο πολύβουλος του απάντησε Οδυσσέας:
« Ατρείδη, τι είναι αυτός που ξέφυγε τα δυο σου χείλια ο λόγος;
Εσύ άλλους θα 'ξιζε, κακότυχε, να κυβερνάς —κιοτήδες,
και μόνο εμάς να μην αφέντευες, που ο Δίας μας έχει δώσει
από τα νιάτα ως τα γεράματα να κλώθουμε πολέμους
φριχτούς αδιάκοπα, ως που ο θάνατος να μας πετύχει κάπου.
Με τα σωστά σου το πλατύρουγο των Τρωών γυρεύεις κάστρο
να παρατήσουμε, για χάρη του που έχουμε τόσα πάθει;

Σώπα, μην τύχει και το λόγο σου κι άλλος γρικήσει Αργίτης,
λόγο, που λέω ποτέ δε θα 'πρεπε στο στόμα να τον βάλει
κανένας φρόνιμος, που θα 'ξερε να κρένει μυαλωμένα
καί βασιλιά ραβδί στα χέρια του κρατάει και τον ακούνε
τόσα φουσάτα, σαν τ᾽ Αργίτικα που εσύ αφεντεύεις τώρα.
Μα τέτοια τώρα που ξεστόμισες θα πω μυαλό δεν έχεις·
ζητάς τα καλοκούβερτα άρμενα να ρίξουμε στο κύμα,
όσο βαστούν ακόμα ο πόλεμος κι η χλαλοή· δε φτάνει
που οι Τρώες νικούνε; να τους κάνουμε κι άλλο χατίρι θέλεις,
κι εμάς να μας πλακώσει αφεύγατος χαμός; τι οι Αργίτες όλοι,

τ᾽ άρμενα αν ρίξουμε στη θάλασσα, δε θα βαστήξουν άλλο,
μον᾽ θα κοιτάξουν πώς να φύγουνε τη μάχη απαρατώντας'
κι έτσι η βουλή σου θα μας ρήμαζε, των Αχαιών ρηγάρχη!»
Κι ο πρωταφέντης Αγαμέμνονας του απηλογήθη κι είπε:
«Πολύ, Οδυσσέα, βαρύς ο λόγος σου κι ως την καρδιά με βρίσκει'
μα εγώ απ᾽ τους Αχαιούς δε γύρεψα ποτέ μου αθέλητα τους
τα καλοκούβερτα στη θάλασσα να ρίξουμε καράβια.
Μ᾽ ας δώσει κάποιος σας καλύτερη βουλή από τούτη τώρα,
για νιος για γέρος είναι, πρόθυμα κι εγώ να συνακούσω.»
Τότε ο Διομήδης ο βροντόφωνος γυρνώντας αποκρίθη:

«Ο άντρας αυτός εδώ είναι, αλάργα μας μην τον ζητάμε, φτάνει
σ᾽ ό,τι τυχόν θα πω ν᾽ ακούσετε, και μη βαρυγνωμήστε
και πείτε εγώ πως είμαι απ᾽ όλους σας ο πιο μικρός στα χρόνια.
Βαστώ κι εγώ από κύρη αντρόκαρδο και το 'χω για καμάρι,
απ᾽ τον Τυδέα, που χώμα ανάχυτο στη Θήβα τον σκεπάζει.

πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
οἴκεον δ᾽ ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ᾽ ἦν ἱππότα Οἰνεὺς
πατρὸς ἐμοῖο πατήρ· ἀρετῇ δ᾽ ἦν ἔξοχος αὐτῶν.
ἀλλ᾽ ὃ μὲν αὐτόθι μεῖνε, πατὴρ δ᾽ ἐμὸς Ἄργεϊ νάσθη

πλαγχθείς· ὡς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ᾽ ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,
πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκε· κέκαστο δὲ πάντας
Ἀχαιοὺς

ἐγχείῃ· τὰ δὲ μέλλετ᾽ ἀκουέμεν, εἰ ἐτεόν περ.
τὼ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
μῦθον ἀτιμήσαιτε πεφασμένον ὅν κ᾽ ἐῢ εἴπω.
δεῦτ᾽ ἴομεν πόλεμον δὲ καὶ οὐτάμενοί περ ἀνάγκῃ.
ἔνθα δ᾽ ἔπειτ᾽ αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος

ἐκ βελέων, μή πού τις ἐφ᾽ ἕλκεϊ ἕλκος ἄρηται·
ἄλλους δ᾽ ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῷ ἦρα φέροντες ἀφεστᾶσ᾽ οὐδὲ μάχονται.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
βὰν δ᾽ ἴμεν, ἦρχε δ᾽ ἄρά σφιν ἄναξ ἀνδρῶν
Ἀγαμέμνων.

οὐδ᾽ ἀλαοσκοπιὴν εἶχε κλυτὸς ἐννοσίγαιος,
ἀλλὰ μετ᾽ αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς,
δεξιτερὴν δ᾽ ἕλε χεῖρ᾽ Ἀγαμέμνονος Ἀτρεΐδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀτρεΐδη νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ

γηθεῖ ἐνὶ στήθεσσι φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ᾽ ἠβαιαί.
ἀλλ᾽ ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
σοὶ δ᾽ οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ᾽ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες

εὐρὺ κονίσουσιν πεδίον, σὺ δ᾽ ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς εἰπὼν μέγ᾽ ἄϋσεν ἐπεσσύμενος πεδίοιο.
ὅσσόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος,

τόσσην ἐκ στήθεσφιν ὄπα κρείων ἐνοσίχθων
ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ᾽ ἑκάστῳ
καρδίῃ, ἄληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ᾽ εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι
στᾶσ᾽ ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ᾽ ἔγνω

Τρεις ο Πορθέας υγιούς εγέννησε δίχως ψεγάδι, κι όλοι
στην Καλυδώνα την απόγκρεμη και στην Πλευρώνα εζούσαν,
τον Άγριο, δεύτερο το Μέλανα, στερνό το γαύρο Οινέα,
τον τρίτο απ᾽ όλους και καλύτερο, του κύρη μου τον κύρη.
Κι έμεινε αυτός εκεί, μα ο κύρης μου γυρνώντας πέρα δώθε

ρίζωσε στο Άργος᾽ έτσι θέλησεν ο Δίας κι οι αθάνατοι οι άλλοι.
Μια κόρη του Αδράστου παντρεύτηκε κι αρχοντεμένα εζούσε
σε πλούσιο σπίτι᾽ σταροχώραφα δικά του πλήθος είχε
κι άλλα πολλά τρογύρα χτήματα με δέντρα και μ᾽ αμπέλια᾽
κι είχε και πλήθος αρνοκάτσικα, και πρώτος στο κοντάρι
απ᾽ τους Αργίτες᾽ θα 'χετε ακουστά και σεις αν είπα αλήθειες.
Λοιπόν δε σέρνω από δειλιάρικη γενιά και τιποτένια,
για ν᾽ αψηφήσετε το λόγο μου, σωστός τυχόν αν είναι. -
Ομπρός, και λαβωμένοι ως είμαστε, να μπούμε μες στη μάχη᾽
η ανάγκη το καλεί. Κι ας μείνουμε, χωρίς να πολεμούμε,

μακριά από τις ριξιές, κανένας μας μη λαβωθεί και πάλε.
Τους άλλους όμως να γκαρδιώσουμε, που ως τώρα, τη ζωή τους
φυλάγοντας, αλάργα στέκουνται και στ᾽ άρματα δε μπαίνουν.»
Είπε, κι αυτοί, γρικώντας, πρόθυμα συνάκουσαν το λόγο'
κι ευτύς κίνησαν, κι ο Αγαμέμνονας τραβούσε ομπρός ο ρήγας.
Κι ο κοσμοσείστης ρήγας άδικα δε βίγλιζε ψηλάθε'
γερόντου θώρι επήρε κι έτρεξε, κι ως έσμιξε μαζί τους,
το δεξί χέρι του Αγαμέμνονα, του γιου του Ατρέα, φουχτώνει,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Ατρείδη, του Αχιλλέα θα χαίρεται το δίχως άλλο τώρα

η ανήμερη καρδιά, το θάνατο και τη φευγάλα ως βλέπει
των Αχαιών, τι αλήθεια μέσα του σταλιά μυαλό δεν έχει—
που το κακό να πέσει απάνω του κι απ᾽ το θεό να το 'βρει!
Μα εσένα ακόμα οι τρισμακάριστοι θεοί δε σε μίσησαν
θα 'ρθει η στιγμή, των Τρωών που οι κύβερνοι κι οι πρωτοκεφαλάδες
στον κάμπο κουρνιαχτό θ᾽ ασκώσουνε, και θα τους δεις κι ατός σου
πίσω στο κάστρο απ᾽ τα καλύβια μας κι απ᾽ τ᾽ άρμενα να φεύγουν.»
Έτσι του μίλησε, και χούγιαξε χιμώντας μες στον κάμπο.
Όσο φωνάζει ασκέρι αρίφνητο, στον πόλεμο που μπήκε,
εννιά χιλιάδες, δέκα, κι όλοι τους παλεύουν και χτυπιούνται'

τόση φωνή απ᾽ τα στήθια του έβγαλε κι ο κοσμοσείστης ρήγας,
και δύναμη τρανή ξεσήκωσε στον κάθε Αργίτη μέσα,
ξυπνώντας του λαχτάρα γι᾽ άπαυτους αγώνες και πολέμους.
Κι η Ήρα η χρυσόθρονη απ᾽ τον Όλυμπο, σε μια κορφή ως ανέβη,
στη γη τα μάτια κάτω ρίχνοντας σε μια στιγμή ξεκρίνει

τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
Ζῆνα δ᾽ ἐπ᾽ ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη

ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο·
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἠ αὐτήν,
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ, τῷ δ᾽ ὕπνον ἀπήμονά τε λιαρόν τε

χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
βῆ δ᾽ ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
κληῖδι κρυπτῇ, τὴν δ᾽ οὐ θεὸς ἄλλος ἀνῷγεν·
ἔνθ᾽ ἥ γ᾽ εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.

ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ᾽ ἀϋτμή.

τῷ ῥ᾽ ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο.
ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιον ἑανὸν ἕσαθ᾽, ὅν οἱ Ἀθήνη
ἔξυσ᾽ ἀσκήσασα, τίθει δ᾽ ἐνὶ δαίδαλα πολλά·

χρυσείῃς δ᾽ ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
ζώσατο δὲ ζώνῃ ἑκατὸν θυσάνοις ἀραρυίῃ,
ἐν δ᾽ ἄρα ἕρματα ἦκεν ἐϋτρήτοισι λοβοῖσι
τρίγληνα μορόεντα· χάρις δ᾽ ἀπελάμπετο πολλή.
κρηδέμνῳ δ᾽ ἐφύπερθε καλύψατο δῖα θεάων

καλῷ νηγατέῳ· λευκὸν δ᾽ ἦν ἠέλιος ὥς·
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῖ θήκατο κόσμον
βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ᾽ Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπε·

ῥά νύ μοί τι πίθοιο φίλον τέκος ὅττί κεν εἴπω,
ἦέ κεν ἀρνήσαιο κοτεσσαμένη τό γε θυμῷ,
οὕνεκ᾽ ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη πρέσβα θεὰ θύγατερ μεγάλοιο Κρόνοιο

αὖδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους.

τον αδερφό μαζί κι αντράδερφο, που ολούθε τριγυρνούσε
στη δοξαντρούσα μάχη αδιάκοπα, και χάρηκε η καρδιά της.
Κι από την άλλη στην πολύπηγη ψηλά την Ίδα βλέπει
το Δία να κάθεται, κι απ᾽ όχτρητα ξεχείλισε η καρδιά της.
Κι η πολυσέβαστη στοχάστηκε βοϊδομάτη Ήρα τότε

το πώς του Δία του βροντοσκούταρου το νου θα ξεπλανέψει᾽
και τούτη η πιο καλή της φάνηκε βουλή στο λογισμό της,
ν᾽ ανέβει απά στην Ίδα με όλες της τις χάρες στολισμένη,
μήπως τυχόν τον σπρώξει ο πόθος του και δίπλα της πλαγιάσει,
να τη χαρεί ζητώντας, κι έπειτα γλυκό κι ανέγνοιον ύπνο
του χύσει εκείνη απά στα βλέφαρα και στα βαθιά του φρένα.
Κινάει λοιπόν στο γυναικίτη της, χτισμένο από το γιο της
τον Ήφαιστο, πού πόρτες στέριωσε γερές στους παραστάτες
με μάνταλο κρυφό, που αθάνατος κανείς δεν άνοιγε άλλος.
Κι ως μπήκε εκεί, διπλομαντάλωσε τίς στραφταλοϋσες πόρτες'

το ποθητό κορμί με αθάνατο νερό ξεπλένει πρώτα,
να φύγει η λέρα, διπλοπάλαμα μετά με λάδι αλείφτη,
ευωδιαστό, θεϊκό, πανέμνοστο᾽ να το κουνούσες μόνο
στου Δία μπροστά το χαλκοκάτωφλο, το αρχοντικό παλάτι,
γη κι ουρανό μεμιάς θα γέμιζε με τη μοσκοβολιά του.
Μ᾽ αυτό το πάγκαλο της άλειψε κορμί, μετά εχτενίστη,
κι έπειτα πλέκει με τα χέρια της στραφταλιστές πλεξούδες,
θεϊκές, πανώριες, απ᾽ τ᾽ αθάνατο να κρέμουνται κεφάλι.
Θεϊκό μαντί κατόπι εφόρεσε, που 'χε η Αθηνά φασμένο
δουλεύοντας το για χατίρι της με περισσά κεντίδια,

και με χρυσά στο στήθος στέριωνε ψηλά θηλυκωτήρια.
Τη ζώνη που εκατό τη στόλιζαν φούντες τρογύρα εζώστη,
και σκουλαρίκια πέρασε έπειτα στα τρυπημένα αφτιά της,
τρίπετρα, μόρικα, που η χάρη τους στραφτάλιζε περίσσια.
Φοράει κεφαλοπάνι η αρχόντισσα θεά από πάνω ακόμα,
αφόρετο, πανώριο, κάτασπρο, καθώς του γήλιου η λάμψη,
και με σαντάλια πόδεσε όμορφα τ᾽ αστραφτερά της πόδια.
Κι ως έτσι το κορμί της στόλισε κάθε λογής, προβαίνει
έξω απ᾽ την κάμαρα, και κράζοντας την Αφροδίτη ομπρός της,
μακριά απ᾽ τους άλλους τους αθάνατους, αυτά της λέει τα λόγια:

«Θα το 'θελες αλήθεια, κόρη μου, σ᾽ ό,τι θα πω ν᾽ ακούσεις;
για θ᾽ αρνηθείς, τι μες στα στήθη σου χολιας εσύ μαζί μου,
που τους Αργίτες παραστέκουμαι κι εσύ τους Τρώες συντρέχεις;»
Τότε η Αφροδίτη απηλογήθηκε, του Δία η θυγατέρα:
«Ήρα, θεά σεβάσμια, του τρανού του Κρόνου η θυγατέρα,
τι έχεις στο νου σου, πες, κι ολόκαρδα θα κάνω εγώ ό,τι θέλεις,
μονάχα να περνά απ᾽ το χέρι μου και να μπορεί να γένει.»
Κι η Ήρα η σεβάσμια της απάντησε με δόλο και της είπε:
«Τον πόθο δωσ᾽ μου και τον έρωτα, που εσύ μ᾽ αυτά, σα θέλεις,
όλους δαμάζεις τους αθάνατους και τους θνητούς ανθρώπους.

εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ᾽ ἐν σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ᾽ ἀτίταλλον
δεξάμενοι Ῥείας, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης·

τοὺς εἶμ᾽ ὀψομένη, καί σφ᾽ ἄκριτα νείκεα λύσω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
εἰ κείνω ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,

αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
τὴν δ᾽ αὖτε προσέειπε φιλομειδὴς Ἀφροδίτη·
οὐκ ἔστ᾽ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.
ἦ καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα

ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
ἔνθ᾽ ἔνι μὲν φιλότης, ἐν δ᾽ ἵμερος, ἐν δ᾽ ὀαριστὺς
πάρφασις, ἥ τ᾽ ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόν ῥά οἱ ἔμβαλε χερσὶν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τῇ νῦν τοῦτον ἱμάντα τεῷ ἐγκάθεο κόλπῳ

ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς.
ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ᾽ ἔπειτα ἑῷ ἐγκάθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,

Ἥρη δ᾽ ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ᾽ ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν
σεύατ᾽ ἐφ᾽ ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ᾽ ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,

Λῆμνον δ᾽ εἰσαφίκανε πόλιν θείοιο Θόαντος.
ἔνθ᾽ Ὕπνῳ ξύμβλητο κασιγνήτῳ Θανάτοιο,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
Ὕπνε ἄναξ πάντων τε θεῶν πάντων τ᾽ ἀνθρώπων,
ἦμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες, ἠδ᾽ ἔτι καὶ νῦν

πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸς ὑπ᾽ ὀφρύσιν ὄσσε φαεινὼ
αὐτίκ᾽ ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον ἄφθιτον αἰεὶ
χρύσεον· Ἥφαιστος δέ κ᾽ ἐμὸς πάϊς ἀμφιγυήεις

τεύξει᾽ ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧσει,
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
τὴν δ᾽ ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Ἥρη πρέσβα θεὰ θύγατερ μεγάλοιο Κρόνοιο
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων

Πηγαίνω εγώ να ιδώ στην τελείωση της γης της πολυθρόφας
τον Ωκεανό, των θεών τον πρόγονο, και την Τηθή τη μάνα,
που με ανάθρεψαν και με ανάστησαν στο αρχοντικό τους, σύντας
με πήραν απ᾽ τη Ρέα, σαν έριξεν ο Δίας ο βροντολάλος
κάτω απ᾽ τη γη κι από τη θάλασσα την άκαρπη τον Κρόνο.
Σ᾽ αυτούς πηγαίνω, τις ατέλειωτες μαλιές τους να διαλύνω·
τι πάει καιρός πολύς που αγκάλιασμα δε χαίρουνται ουδ᾽ αγάπη·
χώρια κοιμούνται, τι έχουν μέσα τους ο ένας του άλλου μανιάσει.
Αν τώρα κάνω με τα λόγια μου και πουν ν᾽ αλλάξουν γνώμη,
ν᾽ ανέβουν πάλε στο κλινάρι τους κι ερωτικά να σμίξουν,

σ᾽ αγάπη λέω θα μ᾽ έχουν πάντα τους και σε τιμή κι οι δυο τους.»
Τότε η Αφροδίτη η αχνογελόχαρη της αποκρίθη κι είπε:
«Ουτε μπορώ κι ουδέ και πρέπει μου να σου αρνηθώ τη χάρη,
τι εσύ στου πρώτου απ᾽ τους αθάνατους την αγκαλιά κοιμάσαι.»
Είπε, και λύνει από τον κόρφο της το στηθοπάνι, που 'χε
λογιώ λογιώ πλουμιά, κι απάνω του τα μάγια έσμιγαν όλα,
κι η αποθυμιά και τα γλυκόλογα της ερωτιάς κι η αγάπη
και το ξελόγιασμα, που πλάνεψε και μυαλωμένο ακόμα.
Κι ως μες στα χέρια της το απίθωσε, τούτα της λέει τα λόγια:
«Να, πάρε χώσε αυτό στον κόρφο σου το στηθοπάνι τώρα

το πλουμιστό, που είναι όλα μέσα του, και δίχως άλλο ξέρε
πως δε θα γύρεις με ακατάφερτο το που 'χεις μες στο νου σου.»
Αυτά είπε, κι η Ήρα εχαμογέλασεν, η βοϊδομάτα αφέντρα,
κι ως χαμογέλασε, στον κόρφο της το στηθοπάνι χώνει.
Τότε η θεά Αφροδίτη εγύρισε στο αρχοντικό της πίσω,
κι η Ήρα γοργά χιμάει, τ᾽ ακρόκορφα του Ολύμπου παρατώντας·
την Πιερία και την πασίχαρη την Ημαθία διαβαίνει
και των Θρακών των αλογάρηδων τα χιονισμένα εχύθη
βουνά, κορφή κορφή, κι ουδ᾽ άγγιζε τη γη με τα ποδάρια.
Από τον Άθω απά στη θάλασσα περνάει την κυματούσα,

φτάνει μετά στο κάστρο που όριζεν ο θείος ο Θόας, στη Λήμνο,
κι εκεί ανταμώνει με του Θανάτου τον αδερφό, τον Ύπνο·
σφίγγει το χέρι του, του μίλησε κι αυτά του λέει τα λόγια:
«Ύπνε, δυνάστη των αθάνατων και των ανθρώπων όλων,
σε πεθυμιά δικιά μου αν έστρεξες ποτέ, και τώρα πάλε
επάκουσέ με, και τη χάρη σου θα τη θυμούμαι αιώνια.
Τ᾽ αστραφτερά του Δία για κοίμισε κάτω απ᾽ τα φρύδια μάτια,
μόλις εγώ πλαγιάσω δίπλα του, τον πόθο να χαρούμε'
και δώρο εγώ θρονί ακατάλυτο, πανώριο θα σου δώσω,
χρυσό, που ο γιος μου ο χεροδύναμος με τέχνη θα σου φτιάσει,

ο Ήφαιστος, να 'χει για τα λιόφωτο ποδάρια σου προσκάμνι,
να τ᾽ ακουμπάς μαθές απάνω του στα ξεφαντώματα σου.»
Κι ο Ύπνος ο ολόγλυκος της μίλησε κι άπηλογιά της δίνει:
«Ήρα, θεά σεβάσμια, του τρανού του Κρόνου θυγατέρα,
άλλο θεό αναιώνιο αν μου 'λεγές να σου κοιμίσω τώρα,

ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ᾽ οὐκ ἂν ἔγωγε Κρονίονος ἅσσον ἰκοίμην
οὐδὲ κατευνήσαιμ᾽, ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ

ἦματι τῷ ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεεν Ἰλιόθεν Τρώων πόλιν ἐξαλαπάξας.
ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ
ὄρσασ᾽ ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,

καί μιν ἔπειτα Κόων δ᾽ εὖ ναιομένην ἀπένεικας
νόσφι φίλων πάντων. ὃ δ᾽ ἐπεγρόμενος χαλέπαινε
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ᾽ ἔξοχα πάντων
ζήτει· καί κέ μ᾽ ἄϊστον ἀπ᾽ αἰθέρος ἔμβαλε πόντῳ,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·

τὴν ἰκόμην φεύγων, ὃ δ᾽ ἐπαύσατο χωόμενός περ.
ἄζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ᾽ ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
τὸν δ᾽ αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Ὕπνε τί ἢ δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;

ἦφῐ̣ς ὡς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν
ὡς Ἡρακλῆος περιχώσατο παῖδος ἑοῖο;
ἀλλ᾽ ἴθ᾽, ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων
δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν.

ὡς φάτο, χήρατο δ᾽ Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ᾽ ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
μάρτυροι ὦσ᾽ οἵ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἑόντες,

ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων
Πασιθέην, ἧς τ᾽ αὐτὸς ἐέλδομαι ἤματα πάντα.
ὡς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
ὄμνυε δ᾽ ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας
τοὺς ὑποταρταρίους οἳ Τιτῆνες καλέονται.

αὐτὰρ ἐπεί ῥ᾽ ὅμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε
ἠέρα ἐσσαμένω ῥίμφα πρήσσοντε κέλευθον.
Ἶδην δ᾽ ἱκέσθην πολυπίδακα μητέρα θηρῶν
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ᾽ ἐπὶ χέρσου

θα το 'κανα εύκολα, κι ας ήτανε του ποταμού το ρέμα
του Ωκεανού, που η φύτρα εστάθηκε σ᾽ ολάκερη την πλάση:
όμως το Δία δε θα τον ζύγωνα, το γιο του Κρόνου, κι ούτε
εγώ ποτέ μου θα τον κοίμιζα χωρίς την προσταγή του.
Κι άλλη φορά, θυμάσαι, σ᾽ άκουσα, κι έβαλα τότε γνώση,

τη μέρα από την Τροία που αρμένιζεν εκείνος, ο αντρειωμένος
υγιός του Δία, των Τρωών σαν πάτησε και ρήμαξε το κάστρο.
Χύθηκα τότε γύρα ολόγλυκος στου βροντοσκουταράτου
του Δία τα φρένα και τον κοίμισα᾽ κι εσύ κακιά εσοφίστης.
δουλειά του γιου του, κι άγριο σίφουνα στη θάλασσα του
ασκώνεις,
και ξεστρατίζοντας τον πέταξες στης Κως το αρχοντονήσι,
μακριά απ᾽ τούς φίλους του. Κι ως ξύπνησε, μανιάζοντας ο Δίας
κι άλλους θεούς μες στο παλάτι του βροντοχτυπούσε, ωστόσο
ζητούσε εμένα χώρια᾽ κι άφαντο θα μ᾽ έριχνε απ᾽ τα ουράνια
στο κύμα, η Νύχτα αν δε με γλίτωνε, που όλους, θεούς κι
ανθρώπους,

δαμάζει. Αυτή με δέχτη, ως έφευγα. Κι ο Δίας, και θυμωμένος,
κρατήθη, τη γοργή μη θέλοντας τη Νύχτα να πικράνει.
Τώρα άλλη θέλεις ανημπόρετη δουλειά να ξανακάνω.»
Και τότε η σεβαστή του απάντησε βοϊδομάτη Ήρα κι είπε:
«Ύπνε, όλα τούτα εσύ στα φρένα σου τι τ᾽ αναδεύεις τώρα;
ο βροντολάλος Δίας, φαντάζεσαι, τους Τρώες θα διαφεντέψει
σαν όπως για το γιο του εθύμωσε τον Ηρακλή μαζί μας;
Έλα, και κάποια εγώ απ᾽ τις νιότερες λέω να σου δώσω Χάρες,
που ταίρι σου ακριβό να κράζεται και να γενεί δικιά σου,
την Πασιθέα, που εσύ τη ρέγεσαι μέρα και νύχτα πάντα.»

Αυτά είπε, κι ο Ύπνος αναγάλλιασε κι απηλογιά της δίνει:
«Ομπρός, όρκίσου μου στο ανέσπλαχνο νερό της Στύγας τώρα,
το 'να σου χέρι απάνω βάνοντας στη γη την πολυθρόφα,
στη λαμπαδούσα το άλλο θάλασσα, να μας γενούν μαρτύροι
Όλοι οι θεοί που ζουν στα Τάρταρα βαθιά, στον Κρόνο γύρω,
αλήθεια κάποιαν απ᾽ τις νιότερες πως θα μου δώσεις Χάρες,
την Πασιθέα, που τόσο ρέγομαι μέρα και νύχτα πάντα.»
Αυτά είπε, και το λόγο του άκουσεν η κρουσταλλόχερη Ήρα,
κι ορκίστη στους θεούς ως ήθελε, με τ᾽ όνομά τους όλους,
που βρίσκουνται βαθιά στα Τάρταρα και που τους λεν Τιτάνες.

Και σαν ορκίστη και ξετέλεψε τον όρκο της, αφήκαν
της Λήμνος και της Ίμπρος φεύγοντας το κάστρο, και κίνησαν
σε καταχνιά κρυμμένοι, γρήγορα το δρόμο να τελέψουν.
Φτάνουν στην Ίδα την πολύπηγη, των αγριμιών τη μάνα,
και στο Λεχτό τη θάλασσα άφησαν και στη στεριά πάτησαν

βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.
ἔνθ᾽ Ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἥ τότ᾽ ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι᾽ ἠέρος αἰθέρ᾽ ἵκανεν·
ἔνθ᾽ ἧστ᾽ ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν

ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ᾽ ἐν ὄρεσσι
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ᾽ ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας
ἀμφεκάλυψεν,

οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
στῆ δ᾽ αὐτῆς προπάροιθεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽
ὀνόμαζεν·
Ἥρη πῇ μεμαυῖα κατ᾽ Οὐλύμπου τόδ᾽ ἱκάνεις;
ἵπποι δ᾽ οὐ παρέασι καὶ ἅρματα τῶν κ᾽ ἐπιβαίης.

τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ με σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ᾽ ἀτίταλλον·
τοὺς εἶμ᾽ ὀψομένη, καί σφ᾽ ἄκριτα νείκεα λύσω·

ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
ἵπποι δ᾽ ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑστᾶσ᾽, οἵ μ᾽ οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ᾽ Οὐλύμπου τόδ᾽ ἱκάνω,

μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ᾽ ἄγ᾽ ἐν φιλότητι τραπείομεν εὐνηθέντε.

οὐ γάρ πώ ποτέ μ᾽ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ᾽ ὁπότ᾽ ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον θεόφιν μήστωρ᾽ ἀτάλαντον·
οὐδ᾽ ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,

ἣ τέκε Περσῆα πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ᾽ ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον ῾Ραδάμανθυν·
οὐδ᾽ ὅτε περ Σεμέλης οὐδ᾽ Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ᾽ Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·

και σειούνταν οι κορφές, ως όδευαν, των δέντρων κάτωθέ τους.
Έχει, του Δία το μάτι θέλοντας να μην τον πάρει, εστάθη
ο Ύπνος, και σ᾽ έλατο σκαρφάλωσε πανύψηλο, που τότε
στην Ίδα εφύτρωνε κι υψώνουνταν ολόρθο στον αιθέρα.
Κει πάνω εκάθισε μες στου έλατου κρυμμένος τα κλωνάρια,

παρόμοιος με πουλί στριγγόφωνο, που στα βουνά φωλιάζει
και που οι θνητοί το λένε κύμιντη κι οι αθάνατοι χαλκίδα.
Κι η Ήρα κινάει και φτάνει γρήγορα στης αψηλής της Ίδας
το Γάργαρο᾽ κι ο Δίας την ξέκρινεν ο νεφελοστοιβάχτης.
Κι όπως την είδε, ο πόθος του 'ζωσε μεμιάς βαθιά τα σπλάχνα,
τρανός, σαν τότε που πρωτόσμιξαν και στο κλινάρι απάνω
συχνά φιλί κι αγκάλη εχαίρουνταν κρυφά από τους γονιούς τους.
Πήγε λοιπόν κι ομπρός της στάθηκε κι αυτά της λέει τα λόγια:
«Ήρα, τι τάχα από τον Όλυμπο σ᾽ έχει εδώ πέρα φέρει;
Αμάξι δε θωρώ μηδ᾽ άλογα, για ν᾽ ανεβείς να φύγεις.»

Κι η Ήρα η σεβάσμια του αποκρίθηκε με πονηριά και του 'πε:
«θέλω να πάω να ιδώ στην τελείωση της γης της πολυθρόφας
τον Ωκεανό, των θεών τον πρόγονο, και την Τηθή τη μάνα,
που με ανάθρεψαν στο παλάτι τους και με χαϊδαναστήσαν.
Σ᾽ αυτούς πηγαίνω, τις ατέλειωτες μαλιές τους να διαλύνω'
τι πάει καιρός πολύς που αγκάλιασμα δε χαίρουνται ουδ᾽ αγάπη'
χώρια κοιμούνται, τι έχουν μέσα τους ο ένας του άλλου μανιάσει.
Τ᾽ άτια μου τώρα στης πολύπηγης της Ίδας με προσμένουν
τη ρίζα, πάνω κι από θάλασσες κι από στεριές να τρέξουν.
Όμως για σένα από τον Όλυμπο φτάνω εδώ πέρα τώρα,

μην τύχει και θυμώσεις έπειτα, στο αρχοντικό αν ερχόμουν -
του Ωκεανού του βαθιορέματου χωρίς να το κατέχεις.»
Και τότε ο Δίας της αποκρίθηκεν ο νεφελοστοιβάχτης:
«Ήρα, για πέρα εκεί κι αργότερα μπορείς να ξεκινήσεις·
μον᾽ έλα τώρα να πλαγιάσουμε, τον πόθο να χαρούμε.
Ποτέ θνητής γυναίκας έρωτας για και θεάς ως τώρα
τόσο στα στήθη μου δε φούντωσε να πνίξει την καρδιά μου·
μηδέ και τότε σαν αγάπησα του Ιξίονα τη γυναίκα,
που τον Πειρίθοο γιο μου εχάρισε, θεό στη φρονιμάδα'
μηδέ και σαν τη λιγναστράγαλη Δανάη, τη θυγατέρα

του Ακρίσιου, αγάπησα, που μου 'κανε τον ξακουστό Περσέα᾽
μηδέ του κοσμολόητου Φοίνικα την κόρη ως αγαπούσα,
που το Ραδάμανθη μου εγέννησε και τον ισόθεο Μίνω'
μηδέ και τη Σεμέλη επόθησα και την Αλκμήνη τόσο,
που η πρώτη ενέννησε το Διόνυσο, χαρά στην οικουμένη,

ἣ δὲ Διώνυσον Σεμέλη τέκε χάρμα βροτοῖσιν·
οὐδ᾽ ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ᾽ ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς,
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·

αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα·
πῶς κ᾽ ἔοι εἴ τις νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ᾽ ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν

πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην
ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη.
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ,
ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·

ἔνθ᾽ ἴομεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη μήτε θεῶν τό γε δείδιθι μήτέ τιν᾽ ἀνδρῶν
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
χρύσεον· οὐδ᾽ ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,

οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·
τοῖσι δ᾽ ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ᾽ ἑρσήεντα ἰδὲ κρόκον ἠδ᾽ ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ᾽ ἔεργε.

τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην· στιλπναὶ δ᾽ ἀπέπιπτον ἔερσαι.
ὣς ὃ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ᾽ ἀγκὰς ἄκοιτιν·
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος

ἀγγελίην ἐρέων γαιήοχῳ ἐννοσιγαίῳ·
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
πρόφρων νῦν Δαναοῖσι Ποσείδαον ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ᾽ ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμ᾽ ἐκάλυψα·

Ἥρη δ᾽ ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
ὣς εἰπὼν ὃ μὲν ὤχετ᾽ ἐπὶ κλυτὰ φῦλ᾽ ἀνθρώπων,
τὸν δ᾽ ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
αὐτίκα δ᾽ ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
Ἀργεῖοι καὶ δ᾽ αὖτε μεθίεμεν Ἕκτορι νίκην

Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται;
ἀλλ᾽ ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται οὔνεκ᾽ Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ᾽ οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ᾽ ἀμυνέμεν ἀλλήλοισιν.

τον Ηρακλή στη Θήβα η δεύτερη, δικό μου γιο αντρειωμένο'
κι ουδέ τη ρήγισσα τη Δήμητρα την ομορφομαλλούσα,
για τη Λητώ την κοσμοξάκουστη για και την ίδια εσένα,
σαν όσο πόθο κι όσον έρωτα για σένα νιώθω τώρα.»
Κι η Ήρα η σεβάσμια του αποκρίθηκε με πονηριά και του 'πε:

«Υγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;"
Αλήθεια θέλεις να πλαγιάσουμε, τον πόθο να χαρούμε
στης Ίδας τις κορφές, που φαίνουνται τρογύρα αλάργα ολούθε;
και τι θα γίνει αν ως κοιμόμαστε μας δει αναιώνιος κάποιος
θεός, και σ᾽ όλους τους αθάνατους να το προφτάσει τρέξει;
Όχι, δε γίνεται, απ᾽ την κλίνη σου να σηκωθώ και πίσω
έτσι να φτάσω στο παλάτι σου᾽ ντροπή μεγάλη θα 'ταν.
Μ᾽ αν είναι τόσος τώρα ο πόθος σου κι αν τόσο αλήθεια θέλεις,
έχεις θαρρώ δικιά σου κάμαρα, χτισμένη από το γιο σου
τον Ήφαιστο, που πόρτες στέριωσε γερές στους παραστάτες·

κει πέρα ας πάμε να πλαγιάσουμε, μια και ζητάς αγκάλη.»
Και τότε ο Δίας της αποκρίθηκεν ο νεφελοστοιβάχτης:
«Ήρα, κανείς θεός, μη σκιάζεσαι, μήτε θνητός δεν είναι
για να μας δει· με τέτοιο σύγνεφο χρυσό θα σε σκεπάσω,
που μήτε ο γήλιος διαπερνώντας το βαθιά ως εμάς να φτάσει,
με όσο κι αν έχει φως και δύναμη να διαπερνάει τα πάντα.»
Αυτά είπε ο Δίας, και τη γυναίκα του στην αγκαλιά του παίρνει,
κι η γης η θεία χορτάρι νιόβλαστο φυτρώνει κάτωθέ τους,
σαφράνια και τριφύλλια ολόδροσα και κρίνους και ζουμπούλια,
πυκνά, απαλά, που ανακρατούσαν τους, το χώμα μην αγγίξουν.

Κει μέσα τότε οι δυο τους έγειραν, σε σύγνεφο κρυμμένοι,
χρυσό, πανώριο, κι αργοστάλαζε στραφταλιστή η δροσιά του.
Έτσι γλυκά ψηλά στο Γάργαρο κοιμόταν ο Πατέρας,
σκλάβος στον ύπνο και στον έρωτα, στην αγκαλιά της Ήρας·
κι ο Ύπνος ο ολόγλυκος στ᾽ Αργίτικα γοργά καράβια τρέχει,
το μήνυμα να πάει στον άρχοντα της γης, τον Κοσμοσείστη·
κι ως στάθη πλάι του, με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Μη στέκεις, Ποσειδώνα, σύντρεξε πια τώρα τους Αργίτες·
ας είναι και για λίγο, δώσε τους τη νίκη, όση ώρα ακόμα
κοιμάται ο Δίας᾽ τι εγώ του σκέπασα με ύπνο απαλό τα φρένα,

κι η Ήρα απ᾽ την άλλη τον ξεγέλασε, μαζί της να πλαγιάσει.»
Ως είπε αυτά, στων πολυξάκουστων θνητών τις χώρες φεύγει'
κι εκείνος, κεντρισμένος πιότερο να δώσει χέρι τώρα
στους Δαναούς, μεμιάς επήδηξε και στους προμάχους κράζει:
«Αργίτες, τι; ξανά θ᾽ αφήσουμε στον Έχτορα τη νίκη,
για να πατήσει τα καράβια μας, να δοξαστεί περίσσια;
Έτσι φωνάζει αυτός και πέτεται, τον Αχιλλέα θωρώντας
στα πλοία τα βαθουλά να κάθεται με μανιασμένα σπλάχνα.
Μα ούτε κι αυτόν θ᾽ αποζητήσουμε και τόσο, εμείς μονάχα
να κρατηθούμε αντρίκεια, δίνοντας ο ένας του άλλου κουράγιο.

ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·
ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται
ἐσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσι
κρύψαντες, χερσίν τε τὰ μακρότατ᾽ ἔγχε᾽ ἐλόντες
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ᾽ ἔτι φημὶ

Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
ὃς δέ κ᾽ ἀνὴρ μενέχαρμος, ἔχει δ᾽ ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὃ δ᾽ ἐν ἀσπίδι μείζονι δύτω.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
τοὺς δ᾽ αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ

Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων·
οἰχόμενοι δ᾽ ἐπὶ πάντας ἀρήϊα τεύχε᾽ ἄμειβον·
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν.
αὐτὰρ ἐπεί ῥ᾽ ἔσσαντο περὶ χροῒ νώροπα χαλκὸν
βάν ῥ᾽ ἴμεν· ἦρχε δ᾽ ἄρά σφι Ποσειδάων ἐνοσίχθων

δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ
εἴκελον ἀστεροπῇ· τῷ δ᾽ οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
δή ῥα τότ᾽ αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν

κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἤτοι ὃ μὲν Τρώεσσιν, ὃ δ᾽ Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἳ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον

ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
οὔτε πυρὸς τόσσός γε ποτὶ βρόμος αἰθομένοιο
οὔρεος ἐν βήσσῃς, ὅτε τ᾽ ὤρετο καιέμεν ὕλην·
οὔτ᾽ ἄνεμος τόσσόν γε περὶ δρυσὶν ὑψικόμοισι
ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,

ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δεινὸν ἀϋσάντων, ὅτ᾽ ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ᾽ ἀφάμαρτε,
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,

ἤτοι ὃ μὲν σάκεος, ὃ δὲ φασγάνου ἀργυροήλου·
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ᾽ Ἕκτωρ,
ὅττί ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
τὸν μὲν ἔπειτ᾽ ἀπιόντα μέγας Τελαμώνιος Αἴας

Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Τα πιο τρανά φορέστε που 'χουμε, τα πιο γερά σκουτάρια,
χώστε σε κράνη τα κεφάλια σας στραφταλιστά, κι ακόμα
φουχτώστε μες στις απαλάμες σας τα πιο μακριά κοντάρια,
κι ομπρός, εγώ το δρόμο ανοίγω σας! Του Πρίαμου ο γιος αλήθεια
δε θα κρατήσει ομπρός μας, ο Έχτορας, με όσην ορμή κι αν έχει.
Κι αν ένας αντρειανός στον ώμο του μικρό κρατάει σκουτάρι,
ας το περάσει ενού αχαμνότερου και πιο τρανό ας φορέσει.»
Είπε, κι αυτοί, γρικώντας, πρόθυμα συνάκουσαν το λόγο'
κι οι βασιλιάδες, ο Αγαμέμνονας ατός του κι ο Οδυσσέας

με το Διομήδη τους παράταζαν, και λαβωμένοι ας ήταν
και τρέχοντας ολούθε τ᾽ άρματα συνάλλαζαν, να βάλει
καλά ο καλός, και τ᾽ αχαμνότερα του πιο αχαμνού να δώσει.
και το χαλκό ως ντύθηκαν ποτ άστραφτε τρογύρα απ᾽ τα κορμιά
τους,
κινούν, κι ο Ποσειδώνας άνοιγε το δρόμο ο κοσμοσείστης,
το άγριο μακρύ σπαθί στο χέρι του το δυνατό κρατώντας,
που ειν᾽ ίδιο αστροπελέκι, κι άνθρωπος δεν το βαστά κανένας
να το αντικρίσει μες στον πόλεμο᾽ τρομάρα τον πλακώνει.
Κι από την άλλη ο μέγας Έχτορας παράταζε τους Τρώες.
Σφαγή ξάναψαν τότε ανήμερη κι αμάχη ο Ποσειδώνας

ο γαλαζόχαιτος κι ο αντρόκαρδος του Πρίαμου γιος στον κάμπο,
τους Τρώες ο δεύτερος συντρέχοντας κι ο πρώτος τους Αργίτες.
Κι η θάλασσα μεμιάς τ᾽ Αργίτικα πλημμύρισε καλύβια
και τ᾽ άρμενα, κι αυτοί χτυπιόντουσαν με αλαλητό μεγάλο.
Τόσο δε βόγγει ουδέ της θάλασσας το κύμα άπα στην ξέρα,
βαθιά απ᾽ το πέλαο που το σήκωσε βοριάς δριμύς φυσώντας'
μηδέ η φωτιά, που ξάφνου εκόρωσε σε όρος απάνω, τόσο
τριζομανάει στο λόγγο, ως ρίχτηκε πολλά να κάψει δέντρα'
τόσο δε σκούζει μήτε κι ο άνεμος σε δρυς ψηλούς φυσώντας,
τότε που με όλη του τη δύναμη μανιάζοντας μουγκρίζει,

όσην οι Τρώες κι οι Αργίτες έβγαλαν φωνή, καθώς χιμούσαν
ο ένας στον άλλο απάνω σκούζοντας με χουγιαχτά μεγάλα.
Ο Έχτορας πρώτος τότε ο αντρόκαρδος στον Αίαντα ρίχνει απάνω
με το κοντάρι, αντίκρυ ως έστρεφε, κι ανέσφαλτα τον βρήκε
κει που τα δυο λουριά στο στήθος του, του σκουταριού του το 'να
και του σπαθιού του ασημοκάρφωτου, σταύρωναν τεντωμένα.
Έτσι γλιτώνει, μα τον Έχτορα θυμός τον συνεπηρε,
που η γρήγορη ριξιά του ξέφυγε του κάκου από τα χέρια,
και πίσω έχώθη στους συντρόφους του, του Χάρου να ξεφύγει.
Κι ο μέγας Αίαντας, όπως έφευγεν, ο γιος του Τελαμώνα,

χερμαδίῳ, τά ῥα πολλὰ θοάων ἔχματα νηῶν
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἐν ἀείρας
στῆθος βεβλήκει ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς,
στρόμβον δ᾽ ὡς ἔσσευε βαλών, περὶ δ᾽ ἔδραμε
πάντῃ.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς

πρόρριζος, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆς, τὸν δ᾽ οὔ περ ἔχει θράσος ὅς κεν ἴδηται
ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός,
ὡς ἔπεσ᾽ Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
χειρὸς δ᾽ ἔκβαλεν ἔγχος, ἐπ᾽ αὐτῷ δ᾽ ἀσπὶς ἐάφθη

καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
οἳ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν
ἐλπόμενοι ἑρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
αἰχμάς· ἀλλ᾽ οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι

Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ
Σαρπηδών τ᾽ ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων.
τῶν δ᾽ ἄλλων οὔ τίς εὐ ἀκήδεσεν, ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. τὸν δ᾽ ἄρ᾽ ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ᾽ ἵκεθ᾽ ἵππους

ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ᾽ ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
ἀλλ᾽ ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,

ἔνθά μιν ἐξ ἵππων πέλασαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὃ δ᾽ ἀμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν,
ἕζόμενος δ᾽ ἐπὶ γοῦνα κελαινεφὲς αἷμ᾽ ἀπέμεσσεν·
αὖτις δ᾽ ἐξοπίσω πλῆτο χθονί, τὼ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ᾽ ἔτι θυμὸν ἐδάμνα.

Ἀργεῖοι δ᾽ ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὐτασε δουρὶ μετάλμενος ὀξυόεντι
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηΐς ἀμύμων

Ἤνοπι βουκολέοντι παρ᾽ ὄχθας Σατνιόεντος.
τὸν μὲν Ὀϊλιάδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
οὖτα κατὰ λαπάρην· ὃ δ᾽ ἀνετράπετ᾽, ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ᾽ ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ

απ᾽ τα κοτρόνια που αντιστύλωναν τα γρήγορα καράβια,
κι ως πολεμούσαν, μες στα πόδια τους σωρός κυλούσαν, παίρνει
και ρίχνει απάνω απ᾽ το σκουτάρι του, πλάι στο λαιμό, στο
στήθος,
κι η πέτρα ως σβούρα στριφογύριζεν, απάνω του ως χιμούσε.
Πώς ξεπατώνει δρυ απ᾽ τις ρίζες του του Δία τ᾽ αστροπελέκι᾽,
και μυρωδιά από θειάφι γύρα του βαριά πολύ αναδίνει'
και δίπλα εκεί κανείς αν βρέθηκε, παράλυσε θωρώντας,
τ᾽ είναι άγριο πράμα τ᾽ αστροπέλεκο του τρανού Δία σαν πέφτει'
παρόμοια κι ο Έχτορας σωριάστηκε μεμιάς στη σκόνη χάμω.
Φεύγει απ᾽ το χέρι το κοντάρι του, του πέφτει και σκουτάρι

και κράνος, και βρόντηξαν γύρα του τα ολόχαλκα άρματά του.
Κι οι γιοί των Αχαιών εχύθηκαν με χουγιαχτά, θαρρώντας
θα τον τραβήξουν πίσω, κι έριχναν χαλάζι τα κοντάρια.
Μα μήτε από μακριά δε μπόρεσε μήτε κοντά κανένας
το ρήγα να λαβώσει᾽ τι έτρεξαν οι πιο αντρειωμένοι γύρα
και στάθηκαν, ο θείος ο Αγήνορας κι ο Σαρπηδόνας, ρήγας
των Λυκιωτών, κι ο Γλαύκος ο άψεγος κι ο Αινείας κι ο
Πολυδάμας.
Κι από τους άλλους δεν τον άφησε μηδ᾽ ένας, μον᾽ μπροστά του
τα στρογγυλά σκουτάρια επύργωσαν κι οι σύντροφοι τον πήραν
στα χέρια, αλάργα από τον πόλεμο, στα γρήγορα ώσπου φτάσαν

αλόγατά του, πίσω που 'στεκαν απ᾽ της σφαγής την άψη,
μπροστά στο αμάξι τους τ᾽ ολόπλουμο, κι ο αμαξολάτης δίπλα.
Στο κάστρο τώρα αυτόν τον έσερναν στα βογγητά του μέσα'
μα σύντας φτάσαν στου ωριορέματου του ποταμού τον πόρο,
στου Σκάμαντρου του βαθιοστρόβιλου, που γιος του Δία λογιόταν,
στη γη απ᾽ τ᾽ αμάξι τον κατέβασαν, κι ως με νερό από πάνω
τον περεχύσαν, πήρε ανάσαση και του άνοιξαν τα μάτια'
κάθισε τότε απά στα γόνατα και μαύρο εξέρασε αίμα,
μετά ξανά στη γης ανάγειρε, και νύχτα του σκεπάζει
μαύρη τα μάτια, τι απ᾽ το χτύπημα δεν του 'χε φύγει ο πόνος.

Κι οι Αργίτες απ᾽ τη μάχη ως ξέκριναν τον Έχτορα να φεύγει,
με νέαν ορμή διψώντας πόλεμο πάνω στους Τρώες χύθηκαν.
Ο Αίαντας τότε, ο γοργοπόδαρος υγιός του Οϊλέα, πιο απ᾽ όλους
μπροστά πηδάει, στο Σάτνιο ρίχνοντας με μυτερό κοντάρι,
το γιο του Ηνόπου᾽ από πανέμορφη νεράϊδα γεννημένο
τον είχε, τότε που βουκόλευε στου Σατνιόη τους όχτους.
Κι ως τώρα ο γιος του Οϊλέα τον ζύγωσε, τρανός κονταρομάχος,
πα στο λαγγόνι τον εχτύπησε και τον ξαπλώνει χάμω'
κι οι Τρώες κι οι Αργίτες γύρω του άναψαν πεισματωμένη μάχη.
Κι ο Πολυδάμας ο πολέμαρχος να τον γλιτώσει τρέχει,

Πανθοΐδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον
υἱὸν Ἀρηϊλύκοιο, δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχος
ἔσχεν, ὃ δ᾽ ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοστῷ.
Πουλυδάμας δ᾽ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
οὐ μὰν αὖτ᾽ ὀΐῳ μεγαθύμου Πανθοΐδαο

χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐῳ
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
ὣς ἔφατ᾽, Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε

τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
καρπαλίμως δ᾽ ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ᾽ αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀΐξας, κόμισεν δ᾽ Ἀντήνορος υἱὸς
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.

τόν ῥ᾽ ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
νείατον ἀστράγαλον, ἀπὸ δ᾽ ἄμφω κέρσε τένοντε·
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδεϊ πλῆντ᾽ ἦ περ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ᾽ αὖτ᾽ ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι·

φράζεο Πουλυδάμα καί μοι νημερτὲς ἐνίσπες
ἦ ῥ᾽ οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο
ἢ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.

ἦρ᾽ εὖ γιγνώσκων, Τρῶας δ᾽ ἄχος ἔλλαβε θυμόν.
ἔνθ᾽ Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὃ δ᾽ ὕφελκε ποδοῖιν.
τῷ δ᾽ Ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
Ἀργεῖοι ἰόμωροι ἀπειλάων ἀκόρητοι

οὔ θην οἵοισίν γε πόνος τ᾽ ἔσεται καὶ ὀϊζὺς
ἡμῖν, ἀλλά ποθ᾽ ὧδε κατακτενέεσθε καὶ ὔμμες.
φράζεσθ᾽ ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν ἄπιτος ἔῃ· τὼ καί κέ τις εὔχεται ἀνὴρ

γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι.
ὣς ἔφατ᾽, Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ὁρμήθη δ᾽ Ἀκάμαντος· ὃ δ᾽ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέως ἄνακτος· ὃ δ᾽ οὔτασεν Ἰλιονῆα

υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·
τῷ δ᾽ ἄρ᾽ ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα.
τὸν τόθ᾽ ὑπ᾽ ὀφρύος οὖτα κατ᾽ ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ᾽ ὦσε γλήνην· δόρυ δ᾽ ὀφθαλμοῖο διὰ πρὸ

του Πάνθου ο γιος, και τον Προθήνορα χτυπάει δεξιά στον ώμο,
το γιο του Αρήλυκου᾽ κι επέρασε τον ώμο το κοντάρι,
κι αυτός στη γη εσωριάστη σφίγγοντας το χώμα στις παλάμες.
Φώναξε τότε ο Πολυδάμαντας με περισσό καμάρι:
« Θαρρώ και πάλε δεν σφεντόνισε του κάκου το κοντάρι
του γιου του Πάνθου του αντροδύναμου το σιδερένιο χέρι!
Κάποιος Αργίτης λέω το δέχτηκε μες στο κορμί, και τώρα
πάνω σ᾽ αυτό ακουμπώντας κίνησε να πάει στον Κάτω Κόσμο.»
Είπε, κι οι Αργίτες βαριοκάρδισαν το λόγο του ν᾽ ακούσουν,
όμως τον Αία πιο απ᾽ όλους άγγιξε βαθιά, τον αντρειωμένο

το γιο του Τελαμώνα, τι έπεσε στο πλάι του ο σκοτωμένος·
κι ως έφευγεν εκείνος, του 'ριξε το αστραφτερό κοντάρι.
Μα ο Πολυδάμας μ᾽ ένα πήδημα λοξό του μαύρου Χάρου,
ξεγλίτωσε, κι ο γιος του Αντήνορα το δέχτη στο κορμί του,
ο Αρχέλοχος· τι αυτόν οι αθάνατοι λογιάσαν να χαλάσουν.
Τον βρήκε εκεί που ο σβέρκος έσμιγε την κεφαλή, στο απάνω
σφοντύλι, και μεμιάς του εθέρισε τα δυο μεγάλα νεύρα.
Στο χώμα εκύλησαν, ως έπεφτε, κεφάλι, στόμα, μύτη,
πολύ πιο πριν στη γη τα γόνατα και τ᾽ αντικνήμια αγγίξουν.
Κι ο Αίας στον άψεγο αντιφώναξε τον Πολυδάμα τότε:

«Στοχάσου τώρα, Πολυδάμαντα, και πες μου την αλήθεια:
Δε σοζυγιάζει τον Προθήνορα τούτος εδώ που εχάθη;
Από αχαμνή γενιά δε φαίνεται, μηδέ αχαμνός κι ατός του·
αδέρφι θα 'λεγα του Αντήνορα του αλογατά πως είναι,
μπορεί και γιος, τι εκείνου πιότερο τη φαμελιά θυμίζει.»
Είπε, κι αλήθεια τον κατάλαβε, κι οι Τρώες επικραθήκαν
και τότε ο Ακάμαντας τον Πρόμαχο χτυπά με το κοντάρι,
τον αδερφό να σώσει, που έσερνεν απ᾽ το ποδάρι εκείνος·
κι ευτύς όλο καμάρι ο Ακάμαντας σέρνει φωνή μεγάλη:
«Αργίτες, που όλο ξεφωνίζετε κι όλο φοβέρες είστε,

εμάς μονάχα λέω τα βάσανα κι οι πίκρες δε θα δέρνουν,
μον᾽ κάπου κάπου θα σκοτώνεστε κι εσείς με τη σειρά σας.
Για δέστε τώρα πώς ο Πρόμαχος κοιμάται δαμασμένος
απ᾽ το κοντάρι μου, αξεπλέρωτος πολληώρα του αδερφού μου
να μη σταθεί ο χαμός. Καθένας μας γι᾽ αυτό παρακαλιέται,
κάποιον δικό ν᾽ αφήσει, το αίμα του να πάρει πίσω πάλε.»
Είπε, κι οι Αργίτες βαριοκάρδισαν το λόγο του ν᾽ ακούσουν,
μ᾽ απ᾽ όλους πιότερο ο αντροδύναμος Πηνέλαος επειράχτη,
και πέφτει απάνω στον Ακάμαντα᾽ μα τον ξεφεύγει ετούτος
το βασιλιά Πηνέλαο, ως χύνουνταν κι αυτός τον Ιλιονέα,

του βαριοκοπαδάρη Φόρβαντα βρίσκει το γιο, που απ᾽ όλους
τους Τρώες ο Ερμής αγάπα πιότερο και του 'χε βιος χαρίσει,
κι είχεν υγιό από τη γυναίκα του τον Ιλιονέα μονάχα.
Κάτω απ᾽ το φρύδι τον επέτυχε, στη ρίζα του ματιού του,
και το βολβό του βγάζει᾽ επέρασε το μάτι το κοντάρι,

καὶ διὰ ἰνίου ἦλθεν, ὃ δ᾽ ἔζετο χεῖρε πετάσσας
ἄμφω· Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ᾽ ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ· ὃ δὲ φὴ κώδειαν ἀνασχὼν

πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα·
εἰπέμεναί μοι Τρῶες ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
οὐδὲ γὰρ ἢ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ

ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι
ὅς τις δὴ πρῶτος βροτόεντ᾽ ἀνδράγρι᾽ Ἀχαιῶν

ἦρατ᾽, ἐπεί ῥ᾽ ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὗτα
Γυρτιάδην Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ᾽ Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,

Τεῦκρος δὲ Προθόωνά τ᾽ ἐνήρατο καὶ Περιφήτην·
Ἀτρεΐδης δ᾽ ἄρ᾽ ἔπειθ᾽ Ὑπερήνορα ποιμένα λαῶν
οὗτα κατὰ λαπάρην, διὰ δ᾽ ἔντερα χαλκὸς ἄφυσσε
δῃώσας· ψυχὴ δὲ κατ᾽ οὐταμένην ὠτειλὴν
ἔσσυτ᾽ ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψε.

πλείστους δ᾽ Αἴας εἶλεν Ὀϊλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.

και στο κεφάλι πίσω επρόβαλε, κι αυτός τα χέρια ανοίγει
και πέφτει᾽ κι ο Πηνέλαος σέρνοντας το κοφτερό σπαθί του
του το κατέβασε κατάσβερκα, κι αντάμα με το κράνος
την κεφαλή στη γη του επέταξε, και το τρανό κοντάρι
μέσα στο μάτι ακόμα εβρίσκουνταν σαν παπαρούνα τότε

στους Τρώες το σήκωσε και το 'δειξε, και λέει με περηφάνια:
«Τρεχάτε οι Τρώες και δώστε μήνυμα στον κύρη και στη μάνα
του αντρόκαρδου Ιλιονέα, στο σπίτι τους ν᾽ ασκώσουν μοιρολόγι᾽
τι όμοια το ταίρι και του Πρόμαχου, του γιου του Αλεγηνόρου,
δε θα χαρεί ποτέ τον άντρα της από την Τροία φτασμένο,
των Αχαιών οι γιοι σα γύρουμε με τα καράβια πίσω.»
Αυτά είπε, κι όλους τότε σύγκορμη τους έκοψε τρομάρα,
κι ο καθανείς τους γύρα εκοίταζε, του Χάρου να ξεφύγει.
Πέστε μου τώρα, Μούσες, που 'χετε τον Όλυμπο παλάτι,
σαν ποιος Αργίτης, ως τους έγειρε τη νίκη ο Κοσμοσείστης,

αρματωσιές του οχτρού ματόβαφες δικές του επήρε πρώτος;
Πρώτος ο μέγας Αίαντας χτύπησεν, ο γιος του Τελαμώνα,
τον Ύρτιο, που ήταν των αντρόκαρδων Μυσών τρανός ρηγάρχης'
κι ο Αντίλοχος μετά το Μέρμερο σκοτώνει και το Φάλκη'
το Μόρη και τον Ιπποτίωνα ρίχνει ο Μηριόνης κάτω,
τον Περιφήτη και τον Πρόθωνα στη γη ξαπλώνει ο Τεύκρος'
κι ο γιος του Ατρέα τον Υπερήνορα το ρήγα στο λαγγόνι
χτυπάει᾽ βαθιά ο χαλκός, τα σπλάχνα του ξεσκίζοντας, εχώθη,
και μέσα απ᾽ την πληγή που ανοίχτηκε χιμάει γοργά η ψυχή του
να φύγει, και σκοτάδι εσκέπασε θολό τα δυο του μάτια.

Μα οι πιο πολλοί απ᾽ τον Αία, το γρήγορον υγιό του Οϊλέα,
χάθηκαν
τι άλλος κανείς δεν του παράβγαινε, σαν έπαιρνε κυνήγι
αντρών φουσάτα που διασκόρπισαν, από το Δία σκιαγμένα.

-Ο- αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
οἳ μὲν δὴ παρ᾽ ὄχεσφιν ἐρητύοντο μένοντες
χλωροὶ ὑπαὶ δείους πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς

5 Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης,
στῆ δ᾽ ἄρ᾽ ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα·
Ἕκτορα δ᾽ ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ᾽ ἑταῖροι

10 εἵαθ᾽, ὃ δ᾽ ἀργαλέῳ ἔχετ᾽ ἄσθματι κῆρ ἀπινύσσων
αἷμ᾽ ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ᾽ Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
δεινὰ δ᾽ ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη

15 Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
οὐ μὰν οἶδ᾽ εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἰμάσσω.
ἦ οὐ μέμνῃ ὅτε τ᾽ ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα

20 χρύσεον ἄρρηκτον; σὺ δ᾽ ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
λῦσαι δ᾽ οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ ὄφρ᾽ ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ᾽ οὐδ᾽ ὣς θυμὸν ἀνίει

25 ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
πέμψας ἐπ᾽ ἀτρύγετον πόντον κακὰ μητιόωσα,
καί μιν ἔπειτα Κόων δ᾽ εὖ ναιομένην ἀπένεικας.
τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις

30 Ἄργος ἐς ἱππόβοτον καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ᾽ αὖτις μνήσω ἵν᾽ ἀπολλήξῃς ἀπατάων,
ὄφρα ἴδῃ ἦν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
ἦν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ᾽ ἀπάτησας.
ὣς φάτο, ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,

35 καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
σή θ᾽ ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν

Μα τα παλούκια πια σα διάβηκαν και το χαντάκι πέρα
μες στο φευγιό τους—κι απ᾽ τ᾽ Αργίτικα τα χέρια πλήθιοι έπεφταν—
κει που 'χαν στήσει πρίν τ᾽ αμάξια τους στάθηκαν και πρόσμεναν
χλωμοί απ᾽ το φόβο εκείνοι τρέμοντας. Κι ο Δίας ξυπνάει στην ώρα
δίπλα στην Ήρα τη χρυσόθρονη, πα στην κορφή της Ίδας.
Πετάχτη ορθός ευτύς κι αντίκρισε τους Τρώες και τους Αργίτες,
εκείνοι να τσακίζουν τρέμοντας, κι οι Δαναοί ξοπίσω
να τους χτυπούν, κι ο ρήγας δίπλα τους να στέκει Ποσειδώνας.
Κι είδε τον Έχτορα που εκοίτουνταν στον κάμπο, απ᾽ τους
συντρόφους

τριγυρισμένος, ανασαίνοντας βαριά, ξεπνοισμένος,
κι αίμα ξερνώντας, τι δεν του 'ριξεν ο πιο αχαμνός Αργίτης.
Τον πόνεσε ως τον είδε των θνητών και των θεών ο κύρης,
κι όλος θυμό στην Ήρα εμίλησε στραβοκοιτάζοντας την:
« Εσένα οι τέχνες οι παμπόνηρες, Ήρα στριμμένη, έβγαλαν
το θείο τον Έχτορα απ᾽ τον πόλεμο και τσάκισαν τ᾽ ασκέρι.
Θαρρώ πως πρέπει αυτές τις άσκημες δουλειές να μου πλερώσεις
πιο πρώτα εσύ, κι αστραποπέλεκο να ρίξω να σε κάψω.
Για δε θυμάσαι όντας σε κρέμασα ψηλάθε, κι απ᾽ τα πόδια
δυο αμόνια σου 'δεσα, και σου 'σφιξα μ᾽ ένα σκοινί τα χέρια

ασύντριφτο, χρυσό, και συ έμεινες να κρέμεσαι στα νέφη
και στον αιθέρα; Κι απ᾽ τον Όλυμπο ψηλά βαρυγκομούσαν
όλοι οι θεοί, μα δεν εδύνουνταν να᾽ ρθουν και να σε λύσουν'
γιατί όποιον άρπαζα τον τίναζα ψηλάθε απ᾽ το κατώφλι,
ως πού στη γη να φτάσει ξέψυχος· μα κι έτσι με κρατούσε
δίχως σωμό ο καημός που μ᾽ έτρωγε για του Ηρακλή τα πάθη,
αυτόν πού εσύ φουρτούνα ασκώνοντας με το Βοριά βοηθό σου
μες στο άγριο πέλαγο τον έσπρωξες για να χαθεί κει πέρα,
κι απέ τον πήγες ξεστρατίζοντας στης Κως τ᾽ αρχοντονήσι.
Μα τότε εγώ από κεί τον γλίτωσα και τον γυρίζω πίσω

μετά από τόσα μύρια βάσανα στο αλογοθρόφο το Άργος.
Ν᾽ αφήσεις πια τα ξεπλανέματα, γι'αυτό σου τα θυμίζω,
πως δε φελούν να ξέρεις ο έρωτας κι οι αγκάλες, που απ᾽ τους
άλλους
θεούς μακριά εδώ πέρα εχάρηκες, για να με ξεπλανέψεις.»
Αυτά είπε, κι η σεβάσμια ετρόμαξε βοϊδομάτη Ήρα τότε,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Βάζω τη Γη κι απάνω τ᾽ άσωστα τα ουράνια εγώ μαρτύρους,
βάζω της Στύγας τα κρεμάμενα νερά, που από τους όρκους
ο πιο τρανός μες στους τρισεύτυχους θεούς λογιέται πάντα,
το άγιο κεφάλι σου, του γάμου μας ακόμα το κλινάρι,

κουρίδιον, τὸ μὲν οὐκ ἄν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
μὴ δι᾽ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ᾽ ἀρήγει,
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
τειρομένους δ᾽ ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.

αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην
τῇ ἴμεν ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύῃς.
ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
εἰ μὲν δὴ σύ γ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη

ἶσον ἐμοὶ φρονέουσα μετ᾽ ἀθανάτοισι καθίζοις,
τώ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον

Ἶριν τ᾽ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
ὄφρ᾽ ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ᾽ ἱκέσθαι,
Ἕκτορα δ᾽ ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,

αὖτις δ᾽ ἐμπνεύσῃσι μένος, λελάθῃ δ᾽ ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ᾽ ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
Πηλεΐδεω Ἀχιλῆος· ὃ δ᾽ ἀνστήσει ὃν ἑταῖρον

Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε πολέας ὀλέσαντ᾽ αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ᾽ υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ᾽ ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν

αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς εἰς ὅ κ᾽ Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ᾽ οὔτ᾽ ἄρ᾽ ἐγὼ παύω χόλον οὔτέ τιν᾽ ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ᾽ ἐάσω
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ,

ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ᾽ ἐπένευσα κάρητι,
ἧματι τῷ ὅτ᾽ ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.

που δίχως λόγο δε θα το 'βαζα στο στόμα εγώ ποτέ μου:
δεν είναι από δικιά μου βούληση ποθ ο Κοσμοσείστης τώρα
τους Τρώες τσακίζει και τον Έχτορα, και διαφεντεύει ετούτους.
Ή ίδια η καρδιά του λέω τον έσπρωξε σ᾽ αυτό, και τους Αργίτες
μπροστά στα πλοία να βασανίζουνται σαν είδε, τους σπλαχνίστη.
Ωστόσο εγώ και κείνου θα 'λεγα να στρέξει τώρα, κι άλλη
απ᾽ τη δικιά σου, Μαυροσύγνεφε, να μην οδεύει στράτα.»
Είπε, και τότε των αθάνατων και των θνητών ο κύρης
χαμογελώντας με ανεμάρπαστα της συντυχαίνει λόγια:
«Αν απ᾽ εδώ κι ομπρός, βοϊδομάτη τρισέβαστη Ήρα, πάντα

την ίδια στων θεών τη σύναξη βουλή ακλουθάς με μένα,
ο Ποσειδώνας, κι αν θα το 'θελε να πάρει στράτες άλλες,
κατά που εμείς οι δυο θα ορίζαμε θ᾽ άλλαζε ευτύς τη γνώμη.
Μα τώρα αληθινά αν μου μίλησες και δίχως δόλο, σύρε
μες στων αθάνατων τη σύναξη και φώναξε μου να 'ρθουν
την Ίριδα και τον Απόλλωνα τον τρανοσαγιτάρη'
κείνη να πάει στων χαλκοθώρακων των Αχαιών τ᾽ ασκέρι,
στο ρήγα Ποσειδώνα μήνυμα να δώσει, από τη μάχη
να τραβηχτεί και στο παλάτι του ξανά να γύρει πίσω·
και πάλι ο Απόλλωνας τον Έχτορα στον πόλεμο να σπρώξει,

καινούργια να του βάλει δύναμη, τους πόνους να του γιάνει,
που τώρα τυραννούν τα σπλάχνα του, και τους Αργίτες πίσω
να στρέψει, κι ως γυναίκες τρέμοντας στα πόδια να το βάλουν
κι όπως θα φεύγουν, στα πολύσκαρμα καράβια του Αχιλλέα
να πέσουν πάνω᾽ τον ακράνη του θ᾽ ασκώσει εκείνος τότε,
τον Πάτροκλο᾽ κι αυτός απ᾽ του Έχτορα θα πέσει το κοντάρι,
αφού χαλάσει πλήθος άγουρους ομπρός στο κάστρο πρώτα,
μέσα στους άλλους τον αντρόκαρδο το γιο μου Σαρπηδόνα.
Κι ο γαύρος Αχιλλέας, θυμώνοντας για κείνον, θα σκοτώσει
τον Έχτορα μετά απ᾽ τ᾽ Αργίτικα καράβια όλο πιο πίσω

θα κάνω εγώ τους Τρώες να φεύγουνε, χέρι η Αθηνά ως να δώσει,
κι οι Αργίτες πια της Τροίας το απόγκρεμο ξεθεμελιώσουν κάστρο.
Μα ως τότε μήτε εγώ την όργητα θα παρατήσω, μήτε
άλλον θ᾽ αφήσω απ᾽ τους αθάνατους να σκέπει τους Αργίτες
δω πέρα, του Αχιλλέα το θέλημα πριν γένει απ᾽ άκρη ως άκρη,
καθώς του το 'ταξα και του 'γνεψα με το κεφάλι, τότε
που η Θέτιδα η θεά μου αγκάλιασε τα γόνα, να δοξάσω
τον Αχιλλέα παρακαλώντας με τον καστροκαταλύτη.»
Αυτά είπε, και το λόγο του άκουσεν η κρουσταλλόχερη Ήρα,
κι απ᾽ τα βουνά της Ίδας έδραμε στον Όλυμπο το μέγα.

ὡς δ᾽ ὅτ᾽ ἂν ἀΐξῃ νόος ἀνέρος, ὅς τ᾽ ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ
ἔνθ᾽ εἴην ἢ ἔνθα, μενοινήῃσί τε πολλά,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
ἵκετο δ᾽ αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ᾽ ἐπῆλθεν

ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἳ δὲ ἰδόντες
πάντες ἀνῄξαν καὶ δεικανόωντο δέπασσιν.
ἣ δ᾽ ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρῄῳ
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·

Ἥρη τίπτε βέβηκας; ἀτυζομένῃ δὲ ἔοικας·
ἦ μάλα δή σ᾽ ἐφόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ λευκώλενος Ἥρη·
μή με θεὰ Θέμι ταῦτα διείρεο· οἶσθα καὶ αὐτὴ
οἷος κείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.

ἀλλὰ σύ γ᾽ ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν
οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τί φημι
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν
οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων.

ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη,
ὄχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοί· ἣ δ᾽ ἐγέλασσε
χείλεσιν, οὐδὲ μέτωπον ἐπ᾽ ὀφρύσι κυανέῃσιν
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
νήπιοι οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·

ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες
ἢ ἔπει ἠὲ βίῃ· ὃ δ᾽ ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ᾽ ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
τὼ ἔχεθ᾽ ὅττί κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ.

ἤδη γὰρ νῦν ἔλπομ᾽ Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι φίλτατος ἀνδρῶν
Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄρης.
ὣς ἔφατ᾽, αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενος δ᾽ ἔπος ηὔδα·

μὴ νῦν μοι νεμεσήσετ᾽ Ὀλύμπια δώματ᾽ ἔχοντες
τίσασθαι φόνον υἷος ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ᾽ αἵματι καὶ κονίῃσιν.
ὣς φάτο, καί ῥ᾽ ἵππους κέλετο Δεῖμόν τε Φόβον τε

Πώς ταξιδεύει ενούς η θύμηση, που έχει γυρίσει χώρες
πολλές, και στη στιγμή στοχάζεται μες στα βαθιά του φρένα
,,να 'μουν εκεί, για αλλού, και του περνούν περίσσια απ᾽ το κεφάλι'
όμοια γοργά πετώντας έφτασε κι η Ήρα η σεβάσμια τότε
πα στον απόγκρεμο τον Όλυμπο και βρήκε στο παλάτι
του Δία μαζί όλους τους αθάνατους θεούς, κι αυτοί, ως την είδαν,
με ορμή σκωθήκαν χαιρετώντας τη με το κρασί στο χέρι.
Μ᾽ αυτή τους άλλους όλους άφησε, και παίρνει το ποτήρι
της ροδομάγουλης της Θέμιδας, που έτρεξε ομπρός της πρώτη
και κράζοντας τη με ανεμάρπαστα της συντυχαίνει λόγια:

«Ήρα, τι τρέχει κι ήρθες; Φαίνεσαι περίσσια συχυσμένη·
πολύ του Κρόνου ο γιος, το ταίρι σου, θα σ᾽ έχει λέω τρομάξει.»
Και τότε απηλογιά της έδωσεν η κρουσταλλόχερη Ήρα:
« Μη μου ζητάς να μάθεις, Θέμιδα, το ξέρεις δα κι ατή σου,
πόσο σκληρή καρδιά κι αμάλαχτη στα στήθια εκείνος κλείνει.
Μα κάμε αρχή, μες στο παλάτι μας ξανά οι θεοί να πάρουν
να τρων, κι εσύ με τους αθάνατους τους άλλους θα τ᾽ ακούσεις.
σαν τι αδικίες ο Δίας σοφίστηκε να κάνει᾽ λέω με τούτες
δε θα χαρεί κανείς στα φρένα του, μήτε θνητός και μήτε
θεός, γλυκό ψωμί κι αν έμεινε να χαίρεται κανένας!»

Είπε, και κάθισε στο θρόνο της η πολυσέβαστη Ήρα,
κι οι άλλοι θεοί μεμιάς δαγκώθηκαν στο αρχοντικό του Δία'
κι εκείνη με τα χείλια εγέλασε, μ᾽ απά στα μαύρα φρύδια
το μέτωπο της δε γαλήνευε, κι αυτά τους λέει ξεσπώντας:
«Άμυαλοι εμείς, που μες στην τρέλα μας τα βάζουμε μαζί του!
Να του ριχτούμε ακόμα θέλουμε, ν᾽ αφήσει αυτά που κάνει,
με λόγια η και μεβιας᾽ μ᾽ αλάργα μας καθίζει αυτός, και διόλου
δε μας ψηφά, δε λογαριάζει μας᾽ τι λέει πω ξεχωρίζει
μες σ᾽ όλους τους θεούς στη δύναμη και στην αντρεία περίσσια.
Λοιπόν βαστάτε, στον καθένα μας ό,τι κακό κι αν κάνει.

Έτσι τον Άρη τώρα επλάκωσε λέω συφορά μεγάλη,
τι ο γιος του ο Ασκάλχφος στον πόλεμο σκοτώθηκε, που αγάπη
περίσσια του 'χεν ο Άρης ο άτρομος, γιατί 'ταν λέει δικός του.»
Αυτά είπε, κι ο Άρης τότε χτύπησε τα δυο γερά μεριά του
με τ᾽ ανοιχτά του χεροπάλαμα, και φώναξε θρηνώντας:
« Μη μου κακιώστε τώρα, αθάνατοι του Ολύμπου, αν τρέξω κάτω
στα πλοία τ᾽ Αργίτικα, το θάνατο να γδικιωθώ του γιου μου,
κι ακόμα αν ειν᾽ γραφτό αστροπέλεκο του Δία να μ᾽ έβρει, αντάμα
με τους νεκρούς κι εγώ να κοίτουμαι στο γαίμα και στη σκόνη.»
Αυτά είπε, και να ζέψουν τ᾽ άτια του, το Φόβο και τον Τρόμο,

ζευγνύμεν, αὐτὸς δ᾽ ἔντε᾽ ἐδύσετο παμφανόωντα.
ἔνθά κ᾽ ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδείσασα θεοῖσιν
ὧρτο διὲκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάασσε,

τοῦ δ᾽ ἀπὸ μὲν κεφαλῆς κόρυθ᾽ εἵλετο καὶ σάκος ὤμων,
ἔγχος δ᾽ ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα
χάλκεον· ἡ δ᾽ ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
μαινόμενε φρένας ἠλὲ διέφθορας· ἦ νύ τοι αὔτως
οὔατ᾽ ἀκουέμεν ἐστί, νόος δ᾽ ἀπόλωλε καὶ αἰδώς.

οὐκ ἀΐεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη
ἠ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ
ἄψ ἴμεν Οὔλυμπον δὲ καὶ ἀχνύμενός περ ἀνάγκῃ,
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;

αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὃ δ᾽ ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
μάρψει δ᾽ ἑξείης ὅς τ᾽ αἴτιος ὅς τε καὶ οὐκί.
τώ σ᾽ αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων

ἠ πέφατ᾽, ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
ὣς εἰποῦσ᾽ ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ᾽ Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς
Ἶριν θ᾽, ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισι,

καί σφεας φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
Ζεὺς σφὼ εἰς Ἴδην κέλετ᾽ ἐλθέμεν ὅττι τάχιστα·
αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ᾽ εἰς ὦπα ἴδησθε,
ἔρδειν ὅττί κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.
ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,

ἔζετο δ᾽ εἰνὶ θρόνῳ· τὼ δ᾽ ἅΐξαντε πετέσθην.
Ἴδην δ᾽ ἵκανον πολυπίδακα μητέρα θηρῶν,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
τὼ δὲ πάροιθ᾽ ἐλθόντε Διὸς νεφεληγερέταο

στήτην· οὐδέ σφωϊν ἰδὼν ἐχολώσατο θυμῷ,
ὅττί οἱ ὦκ᾽ ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
βάσκ᾽ ἴθι Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ᾽ ἀγγεῖλαι, μὴ δὲ ψευδάγγελος εἶναι.

προστάζει ευτύς, κι ατός του εφόρεσε τη στραφτερή του αρμάτα.
Έτσι ο θυμός του Δία θα πλήθαινε το δίχως άλλο τότε,
κι η μάνητα του στους αθάνατους πιο ανήλεη θα ξεσπούσε,
αν η Αθηνά, μην πάθουν τρέμοντας όλοι οι θεοί, απ᾽ το θρόνο
δεν πεταγόταν, κει που κάθουνταν, να δράμει στο ξωπόρτι.
Από κεφάλι κι ώμους του 'βγαλε και κράνος και σκουτάρι,
και το χαλκό κοντάρι παίρνοντας απ᾽ το γερό του χέρι
το στήνει ορθό, και βάλθηκε έπειτα τον Άρη να μαλώνει:
«Ξεφρενιασμένε εσύ, θεότρελε, χαμένος πας! Του κάκου
τα 'χεις τ᾽ αφτιά κι ακούς. Δε σου 'μείνε ντροπή και νους καθόλου,

Ή κρουσταλλόχερη δεν άκουσες το τι μας είπεν Ήρα,
που τον Ολύμπιο Δία παράτησε πριν λίγην ώρα κι ήρθε;
Για θέλεις συφορές αρίφνητες να πάθεις και να γύρεις
με το στανιό ξανά στον Όλυμπο, κι ας καιγεται ή καρδιά σου,
και σε κακό να ρίξεις άμετρο και μας τους άλλους όλους;
Θα παρατήσει αυτός τους πέρφανους τους Τρώες και τους Αργίτες
και θα 'ρθει πίσω ευτύς στον Όλυμπο, και τις φωνές θα βάλει
βάζοντας χέρι αράδα σε όλους μας, για φταίμε για δε φταίμε.
Άσε λοιπόν σου λέω την όργητα για τον υγιό σου τώρα.
Κι άλλοι μαθές πολύ πιο κάλλιοι του στη δύναμη, στα χέρια,

νεκροί έχουν πέσει για θα πέσουνε᾽ τι των ανθρώπων όλων
η φύτρα κι η γενιά δε γίνεται του Χάρου να γλιτώσει.»
Αυτά είπε, και στο θρόνο εκάθισε τον αντρειωμένον Άρη.
Κι η Ήρα φωνάζει στον Απόλλωνα να βγει μαζί της έξω,
κι η Ίριδα να 'ρθει, των αθάνατων θεών μαντατοφόρα·
και τότε λέει και με ανεμάρπαστα τους συντυχαίνει λόγια:
« Στην Ίδα ο Δίας το γρηγορότερο να πάτε σας προστάζει,
κι όταν κει πέρα πια θα φτάσετε κι ομπρός στο Δία σταθείτε,
ό,τι προστάξει εκείνος κάνετε γοργά κι ό,τι ζητήσει.»
Η Ήρα η σεβάσμια σαν τους μίλησε, γυρνώντας στο θρονί της

πάει και καθίζει, κι αμολύθηκαν εκείνοι οι δυο πετώντας.
Φτάνουν στην Ίδα την πολύπηγη, των αγριμιών τη μάνα,
και βρίσκουν στην κορφή του Γάργαρου το Δία το βροντολάλο,
κι όπως καθόταν, τον περίζωνε γύρα ευωδάτο νέφος.
Κι αυτοί στο Δία μπροστά εσταμάτησαν το νεφελοστοιβάχτη'
κι όπως εκείνος τους αντίκρισε, δε θύμωσε καθόλου
που πρόθυμα το λόγο του άκουσαν απ᾽ τ᾽ ακριβό του ταίρι,
και λόγια μίλησε άνεμάρπαστα στην Ίριδα πιο πρώτα:
Ίριδα, ομπρός, για τρέχα γρήγορα στο ρήγα Ποσειδώνα,
και τούτα να του πεις᾽ μη γίνεσαι ψευτομαντατοφόρα.

παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ᾽ ἐπιπείσεται, ἀλλ᾽ ἀλογήσει,
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
μή μ᾽ οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ

μεῖναι, ἐπεί εὐ φημὶ βίῃ πολὺ φέρτερος εἶναι
καὶ γενεῇ πρότερος· τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.

ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα
ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις,
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη κλυτὸν ἐννοσίγαιον·
ἀγγελίην τινά τοι γαιήοχε κυανοχαῖτα

ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο.
παυσάμενόν σ᾽ ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ οἱ οὐκ ἐπέεσσ᾽ ἐπιπείσεαι, ἀλλ᾽ ἀλογήσεις,
ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίξων

ἐνθάδ᾽ ἐλεύσεσθαι· σὲ δ᾽ ὑπεξαλέασθαι ἄνωγε
χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι
καὶ γενεῇ πρότερος· σὸν δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
ἶσόν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη κλυτὸς ἐννοσίγαιος·

ὦ πόποι ἦ ῥ᾽ ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν
εἴ μ᾽ ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
τρεῖς γάρ τ᾽ ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓς τέκετο Ῥέα
Ζεύς καὶ ἐγώ, τρίτατος δ᾽ Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ᾽ ἔμμορε τιμῆς·

ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ᾽ ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ᾽ ἔλαχ᾽ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
γαῖα δ᾽ ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τώ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος

καὶ κρατερός περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι βέλτερον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν οὓς τέκεν αὐτός,
οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ.

Πες του ν᾽ αφήσει πια τον πόλεμο και τη σφαγή, με βιάση
στην άγια να μισέψει θάλασσα για στους θεούς τους άλλους.
Μ᾽ αν δεν ακούσει αυτά που ορίζω του και πει να τ᾽ αψηφήσει,
ας στοχαστεί καλά πρωτύτερα στο νου και στην καρδιά του,
μη δεν κρατήσει ως πέσω απάνω του, και δυνατός ας είναι᾽
τι πιο τρανός πολύ στη δύναμη θαρρώ απ᾽ αυτόν πως είμαι,
και τον περνώ στα χρόνια. Τίποτα δεν το 'χει ωστόσο εκείνος
να μου μιλάει σαν ίσος κι όμοιος μου, που κι άλλοι με τρομάζουν.»
Αυτά είπε, κι η ανεμόποδη Ίριδα γρικάει την προσταγή του,
κι απ᾽ τα βουνά της Ίδας χύθηκε στην Τροία την άγια κάτω.

Πώς όταν πέφτει από τα σύγνεφα χαλάζι κρύο για χιόνι,
απ᾽ του βοριά του αιθερογέννητου το φύσημα σπρωγμένο·
με όμοιαν ορμή κι η γρήγορη Ίριδα πετώντας τότε φτάνει,
και στον τρανό, κοντά του τρέχοντας, μιλάει τον Κοσμοσείστη:
« Της Γης αφέντη γαλαζόχαιτε, του βροντοσκουταράτου
του Δία δω πέρα κάποιο μήνυμα σταλμένη σου 'χω φέρει.
Ν᾽ αφήσεις πια τη μάχη επρόσταξε και τη σφαγή, με βιάση
στην άγια να μισέψεις θάλασσα για στους θεούς τους άλλους.
Μ᾽ αν δεν ακούσεις ό,τι ορίζει σου και πεις να τ᾽ αψηφήσεις,
ατός του να 'ρθει εδώ φοβέριζε να χτυπηθεί μαζί σου.

Μον᾽ φεύγα λέει το γρηγορότερο, μ᾽ εκείνον μην τα βάζεις,
τι πιο τρανός πολύ στη δύναμη κατέχεις το πως είναι,
και σε περνά στα χρόνια. Τίποτα θαρρεί δεν το 'χεις όμως
να του μιλάς σαν ίσος κι όμοιος του, που κι άλλοι τον τρομάζουν.»
Μα ο Κοσμοσείστης τότε θύμωσε κι απηλογιά της δίνει:
«Ωχού, τα λόγια τρυ όλο ξέπαρση, κι ας ειν᾽ τρανός, που θέλει,
μια κι είμαστε ίσοι, ν᾽ αφεντεύει με μεβιας, αθέλητα μου.
Τρεις αδερφοί απ᾽ τον Κρόνο που 'μαστε, παιδιά της Ρέας κι οι τρεις μας,
πρώτος ο Δίας, κι εγώ, και των νεκρών ο ρήγας, ο Άδης, τρίτος,
σε τρία τον κόσμο τον μοιράσαμε, καθένας το δικό του'

και κλήρο ως ρίξαμε, στη θάλασσα την αφρισμένη πέφτει
να μένω εγώ για πάντα, κι έλαχε στον Άδη το σκοτάδι,
και πήρε ο Δίας τα ουράνια τ᾽ άσωστα με σύγνεφα κι αιθέρα᾽
όμως η γη κι ο μέγας Όλυμπος είναι μαζί ολονώ μας.
Γι᾽ αυτό κι εγώ στου Δία το θέλημα δε σκύβω το κεφάλι᾽
τρανός κι ας είναι, ας κάθεται ήσυχα σ᾽ αυτό που του 'χει λάχει.
Κι ουδέ με σκιάζουν οι φοβέρες του, του πεταμού δεν είμαι᾽ :
και κάλλιο θα 'κανε τις κόρες του και τους υγιούς του εκείνος,
που έχει γεννήσει, να τους έβαζε μπροστά, να τους μαλώνει.
Εκείνοι ναι, θ᾽ άκοϋγαν θέλοντας και μη τις προσταγές του.»

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ᾽ ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται.

τὴν δ᾽ αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
ἐσθλὸν καὶ τὸ τέτυκται ὅτ᾽ ἄγγελος αἴσιμα εἰδῇ.
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει
ὁππότ᾽ ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ

νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ᾽ ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῷ·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος

Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ᾽ ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἴστω τοῦθ᾽ ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
ὡς εἰπὼν λίπε λαὸν Ἀχαιϊκὸν ἐννοσίγαιος,
δῦνε δὲ πόντον ἰών, πόθεσαν δ᾽ ἥρωες Ἀχαιοί.

καὶ τότ᾽ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
ἔρχεο νῦν φίλε Φοῖβε μεθ᾽ Ἕκτορα
χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,

οἵ περ ἐνέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ᾽ ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γ᾽ ἐτελέσθη.
ἀλλὰ σύ γ᾽ ἐν χείρεσσι λάβ᾽ αἰγίδα θυσσανόεσσαν,

τῇ μάλ᾽ ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
σοὶ δ᾽ αὐτῷ μελέτω ἑκατηβόλε φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ᾽ ἂν
Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ᾽ αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,

ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.
ὡς ἔφατ᾽, οὐδ᾽ ἄρα πατρὸς ἀνηκούστησεν
Ἀπόλλων,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἴρηκι ἐοικὼς
ὠκέϊ φασσοφόνῳ, ὅς τ᾽ ὠκιστος πετεηνῶν.
εὗρ᾽ υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον

Κι η ανεμοπόδα γρήγορη Ίριδα του απηλογήθη κι είπε:
«Της Γης αφέντη γαλαζόχαιτε, τα λόγια τούτα αλήθεια
στο Δία να φέρω, τόσο αράθυμα, πεισματωμένα που 'ναι;
Για να τ᾽ αλλάξεις θες; τι οι φρόνιμοι μπορεί κι αλλάζουν γνώμη.
Το ξέρεις, πάντα τους πρωτόγεννους συντρέχουν οι Ερινύες.»
Κι ο Ποσειδώνας τότε στράφηκε κι απηλογιά της δίνει:
« Πολύ σωστός ο λόγος, Ίριδα θεά, που μου 'πες τώρα'
μέγα αγαθό με αποκρισάτορα να κρένεις μυαλωμένο.
Όμως βαρύς θυμός τα φρένα μου και την καρδιά πλακώνει,
ίδιο μοιράδι οι δυο μας να 'χουμε, τον ίδιο κλήρο, κι όμως

πάντα να θέλει με πικρόχολα να με αποπαίρνει λόγια.
Μα τώρα εγώ—κι ας μου 'ρχεται άσκημα—στη γνώμη του θα κλίνω.
Κάποιο άλλο λόγο ωστόσο θα 'λεγα, κι όχι φοβέρα κούφια:
Αν το 'χει αυτός σκοπό, στο πείσμα μας, της Αθηνάς κι εμένα,
της Ήρας και του Ερμή και του Ηφαίστου του ρήγα, τη σπλαχνιά του
στην Τροία να δείξει την απόγκρεμη, κι ουδέ και στους Αργίτες
δόξα τρανή χαρίσει αφήνοντας να την πατήσουν, τότε
καλά ας το ξέρει, αγιάτρευτη όχτρητα θ᾽ ανοίξει αναμεσό μας.»
Αυτά είπε ο Κοσμοσείστης, κι άφησε τους Αχαιούς κι εχώθη
στα κύματα, κι ευτύς τον ένιωσαν το μισεμό του εκείνοι.

και τότε ο Δίας του Φοίβου εμίλησεν ο νεφελοστοιβάχτης:
«Και τώρα, Απόλλωνα, στον Έχτορα τον χαλκοκράνη τρέχα,
τι πια της Γης ο αφέντης έφυγεν, ο Κοσμοσείστης, πέρα
στην άγια θάλασσα, γλιτώνοντας απ᾽ τον αψύ θυμό μου.
Του τσακωμού μας το συντάραχο θα τον άκουγαν κι άλλοι,
όσοι θεοί που ζουν στα Τάρταρα, τρογύρα από τον Κρόνο.
Μα έτσι κι εγώ κι εκείνος βγαίνουμε πολύ πιο κερδεμένοι,
πού ομπρός στη συφορά που του 'ρχονταν τα χέρια μου εφοβήθη'
αλλιώς αύτη η δουλειά δεν τέλειωνε θαρρώ χωρίς ιδρώτα.
Μα πάρε εσύ το βροντοσκούταρο το κροσσωτό στα χέρια

και κούνα το, να φύγουν τρέμοντας οι Αργίτες οι αντρειωμένοι᾽
κι ατός σου γνοιάσου, μακροδόξαρε, τον Έχτορα το γαύρο,
και ξύπνα εντός του ορμή ακατάλυτην, ωσόπου στο φευγιό τους
οι Αργίτες δίπλα στον Ελλήσποντο και στα καράβια φτάσουν.
Μετά με λόγο και με πράξη μου μονάχος θα φροντίσω,
το πώς οι Αργίτες απ᾽ τα πάθη τους θα ξανασάνουν πάλε.»
Είπε, κι ο Φοίβος δεν παράκουσε του κύρη του το λόγο,
κι απ᾽ το βουνό της Ίδας χύθηκε, γοργό θαρρείς γεράκι,
το πιο γοργό από τα πετούμενα, που κυνηγάει τις φάσσες·
και τον αντρόκαρδο τον Έχτορα, το γιο του Πρίαμου, βρίσκει

ἥμενον, οὐδ᾽ ἔτι κεῖτο, νέον δ᾽ ἐσαγείρετο θυμόν,
ἀμφὶ ἒ γιγνώσκων ἑτάρους· ἀτὰρ ᾶσθμα καὶ ἱδρὼς
παύετ᾽, ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ υἱὲ Πριάμοιο, τί ἢ δὲ σὺ νόσφιν ἀπ᾽ ἄλλων

ἦσ᾽ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;
τὸν δ᾽ ὀλιγοδρανέων προσέφη κορυθαίολος
Ἕκτωρ·
τίς δὲ σύ ἐσσι φέριστε θεῶν ὅς μ᾽ εἴρεαι ἄντην;
οὐκ ἀΐεις ὅ με νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
οὓς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς βάλεν Αἴας

χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος
ἀλκῆς;
καὶ δὴ ἔγωγ᾽ ἐφάμην νέκυας καὶ δῶμ᾽ Ἀΐδαο
ἥματι τῷδ᾽ ἴξεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων

ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ᾽, ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ᾽ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·

αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ᾽ ἥρωας Ἀχαιούς.
ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
ὡς δ᾽ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων

εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὃ δ᾽ ἀγλαΐῃφι πεποιθὼς
ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα

ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
οἳ δ᾽ ὥς τ᾽ ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
τὸν μέν τ᾽ ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
εἰρύσατ᾽, οὐδ᾽ ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·

τῶν δέ θ᾽ ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠϋγένειος
εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
ὣς Δαναοὶ εἶος μὲν ὁμιλαδὸν αἰὲν ἔποντο
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ᾽ ἐποιχόμενον στίχας
ἀνδρῶν

να κάθεται, όχι πια να κοίτεται, τι ότι είχε συνεφέρει,
και τους δικούς του γύρα εγνώριζε᾽ κι ίδρος και βαριανάσα
του 'χαν κοπεί, η βουλή ως τον στύλωνε του Βροντοσκουταράτου.
Κι ο μακροσαϊτευτής Απόλλωνας κοντά του εστάθη κι είπε:
«Έχτορα, υγιέ του Πρίαμου, ξέχωρα τι κάθεσαι απ᾽ τους άλλους
δίχως πνοή, μακριά απ᾽ τον πόλεμο; σαν τι κακό σε βρήκε;»
Και τότε ο κρανοσείστης Έχτορας μιλεί του αποσωσμένος:
« Ποιος είσαι εσύ, τρανέ μου αθάνατε, που στέκεις και ρωτάς με;
Δεν το 'χεις μάθει που ως ερήμαζα στων Αχαιών τις πρύμνες
τους συντρόφους του, ο βροντερόφωνος με χτύπησε Αίας στο
στήθος

μ᾽ ένα βαρύ κοτρόνι κι έκοψε τη θρασεμένη αντρεία μου;
Κι είπα για μια στιγμή πως σήμερα τον Άδη θ᾽ αντικρίσω
και τους νεκρούς, τι κιόλας ένιωθα φτερό ν᾽ ανοιεί η ψυχή μου.»
Κι ο μακροσαϊτευτής Απόλλωνας απηλογιά του δίνει:
«Κάνε κουράγιο, και ξαπόστειλε του Κρόνου ο γιος βοηθό σου
τρανό απ᾽ την Ίδα, πλάι σου να σταθεί και να σε διαφεντεύει,
το Φοίβο εμένα τον Απόλλωνα το μαλαμοσπαθάρη,
που από καιρό και σένα γνοιάζουμαι και το αψηλό σου κάστρο.
Μον᾽ έλα, αμαξολάτες πρόσταξε πολλούς να πιλαλήσουν
στα βαθουλά γραμμή πλεούμενα τα γρήγορα τους άτια

κι εγώ στρωτό θ᾽ ανοίξω στ᾽ άλογα μιαν άκρη ως άλλη δρόμο,
μπροστά τους τρέχοντας, και διώχνοντας τους αντρειανούς Αργίτες.»
Αυτά είπε, και στου ρήγα εφύσηξε τα στήθια ορμή μεγάλη.
Πώς ξάφνου το άτι, που ξαπόστασε και χόρτασε κριθάρι
μες στο παχνί του, σπάει τα χάμουρα και πιλαλάει στον κάμπο
ποδοβολώντας, τι να λούζεται του αρέσει στο ποτάμι,
καμαρωτό, και το κεφάλι του κρατάει ψηλά, κι οι χήτες
πίσω στις πλάτες του ανεμίζουνται, κι αυτό αντριγιά γεμάτο
το φέρνουν γρήγορα τα γόνατα στις γνώριμες βοσκές του'
όμοια γοργά του Εχτόρου εδούλευαν και γόνατα και πόδια,

τη θεία φωνή ως νογήθη, κι άσκωνε τους Τρώες αμαξολάτες.
Πώς τύχει αλάφι μακροκέρατο για και βουνίσιο αγρίμι
να κυνηγούν σκυλιά στο σύλλογγο κι αγριμολόοι ξωτάροι,
κι ο βράχος κρύβοντας το ο απόγκρεμος και το ισκιωμένο δάσο
το γλίτωσαν, τι η μοίρα του 'γραφε να μην το ρίξουν κάτω'
κι άπ᾽ τις φωνές τους μακροχήτικος προβάλλει λιόντας ξάφνου
στο δρόμο τους, κι αυτοί πισώστρεψαν, τρανή κι ας ειν᾽ η ορμή τους·
όμοια κι οι Αργίτες τους κυνήγησαν όλοι μαζί για λίγο
με τα σπαθιά και με τα δίκοπα τρυπώντας τους κοντάρια,
μα ευτύς ως ξέκριναν τον Έχτορα να χύνεται στ᾽ ασκέρι,

τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
τοῖσι δ᾽ ἔπειτ᾽ ἀγόρευε Θόας Ἀνδραίμονος υἱός,
Αἰτωλῶν ὄχ᾽ ἄριστος ἐπιστάμενος μὲν ἄκοντι
ἐσθλὸς δ᾽ ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·

ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ πόποι ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι,
οἷον δ᾽ αὖτ᾽ ἐξαῦτις ἀνέστη κῆρας ἀλύξας
Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ᾽ Αἴαντος θανέειν Τελαμωνιάδαο.

ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ᾽, ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ᾽ ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼν εἴπω πειθώμεθα πάντες.

πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ᾽, ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ᾽ εἶναι,
στήομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες
δούρατ᾽ ἀνασχόμενοι· τὸν δ᾽ οἴω καὶ μεμαῶτα
θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.

ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
οἳ μὲν ἄρ᾽ ἀμφ᾽ Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα
Τεῦκρον Μηριόνην τε Μέγην τ᾽ ἀτάλαντον Ἄρηϊ
ὑσμίνην ἤρτυνον ἀριστῆας καλέσαντες
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω

ἦ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προΰτυψαν ἀολλέες, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ
μακρὰ βιβάς· πρόσθεν δὲ κί᾽ αὐτοῦ Φοῖβος Ἀπόλλων
εἰμένος ὤμοιιν νεφέλην, ἔχε δ᾽ αἰγίδα θοῦριν
δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ᾽, ἣν ἄρα χαλκεὺς

Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
τὴν ἄρ᾽ ὅ γ᾽ ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀολλέες, ὦρτο δ᾽ ἀϋτὴ
ὀξεῖ᾽ ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ᾽ ὀϊστοὶ
θρῴσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν

ἄλλα μὲν ἐν χροῒ πήγνυτ᾽ ἀρηϊθόων αἰζηῶν,
πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ᾽ ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἤπτετο, πῖπτε δὲ λαός.

φόβος τους έκοψε όλους, κι έμειναν με την ψυχή στα δόντια.
Και τότε ο Θόας, ο γιος του Αντραίμονα, σ᾽ όλους μπροστά φωνάζει,
των Αιτωλών τρανός πολέμαρχος, κονταροκατεχάρης,
παράξιος πάντα στο αντροπάλεμα᾽ στη σύναξη όμοια λίγοι
τον ενικούσαν, σαν παράβγαιναν οι νιούτσικοι στα λόγια.
και τότε μίλησε καλόγνωμος αναμεσό τους κι είπε:
«Ωχού, τι θάμα αυτό κι αντίθαμα τα μάτια μου που βλέπουν!
Για κοίτα, ορθός ξανά σηκώθηκε και ξέφυγε του Χάρου
ο Έχτορας, κι ήμαστε όλοι σίγουροι βαθιά στα φρένα μέσα
πως είχε σκοτωθεί απ᾽ τον Αίαντα, το γιο του Τελαμώνα.

Κάποιος θεός το χέρι του έβαλε ξανά και γλίτωσε τον,
τον Έχτορα· πολλών παράλυσε τα γόνατα ως τα τώρα,
και πάλε τα ίδια λέω πως θα 'χουμε᾽ τι ομπρός στους μπροστομάχους
δε θα 'χε δίχως το βαρύβροντο το Δία μια τέτοια λύσσα.
Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Τους άλλους, τους πολλούς, να κράξουμε να γύρουν στα καράβια,
και μόνο εμείς οι πιο λιοντόκαρδοι στο ασκέρι ας κρατηθούμε,
ψηλά βαστώντας τα κοντάρια μας στήθος με στήθος, κι ίσως
πρώτα απ᾽ αυτόν τη φόρα κόψουμε᾽ τι όσην αντρεία κι αν έχει,
θα φοβηθεί θαρρώ στο Αργίτικο να μπει το ασκέρι μέσα.»

Είπε, κι αυτοί γρικούν το λόγο του και πρόθυμα του ακούνε.
Στον Αίαντα γύρα ευτύς εστάθηκαν, στον Τεύκρο, στο Μηριόνη,
στο ρήγα Ιδομενέα, στον άτρομο, λες κι ήταν Άρης, Μέγη,
τους πιο αντρειανούς καλνώντας γύρα τους, και σύνταξαν τη μάχη
στους Τρώες αντίκρυ και στον Έχτορα· κι ωστόσο έπαιρναν δρόμο
οι άλλοι, οι πολλοί, στα πλοία τ᾽ Αργίτικα ξοπίσω να διαγύρουν.
Κι οι Τρώες απανωτοί ξεχύθηκαν, κι άνοιγε δρόμο πρώτος
με δρασκελιές μεγάλες ο Έχτορας· κι ομπρός του ετράβα ο Φοίβος,
ντυμένος σύγνεφο στους ώμους του, το ανίκητο, κροσσάτο,
λαμπρό, ανελέητο βροντοσκούταρο κρατώντας, που 'χε πάρει

ο Δίας απ᾽ το χαλκιά τον Ήφαιστο, μπρος του οι θνητοί να φεύγουν.
Τούτο κρατώντας τότε ο Απόλλωνας μπήκε μπροστά στ᾽ ασκέρι.
Κι οι Αργίτες μαζωχτοί εκρατήθηκαν, κι άγριος αχός ασκώθη
δώθε και κείθε, κι οι σαγίτες τους πηδούσαν απ᾽ τις κόρδες·
κι απ᾽ τα πολλά κοντάρια που 'ριχναν παλικαρίσια χέρια
πολλά εκαρφώνουνταν κατάσαρκα σε νέα κορμιά αντρειωμένα,
πολλά μεσοδρομίς, ολόλευκη πριν να γευτούνε σάρκα,
στη γη στέκονταν, κι ας λαχτάριζαν με σάρκα να χορτάσουν.
Όσο το βροντοσκούταρο άσειστο στα χέρια εκράτα ο Φοίβος,
πλήθαιναν οι ριξιές, και σκότωναν κι από τα δυο φουσάτα'

αὐτὰρ ἐπεὶ κατ᾽ ἐνῶπα ἰδὼν Δαναῶν ταχυπώλων
σεῖσ᾽, ἐπὶ δ᾽ αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
οἳ δ᾽ ὥς τ᾽ ἠὲ βοῶν ἀγέλην ἢ πῶϋ μέγ᾽ οἰῶν
θῆρε δύω κλονέωσι μελαίνης νυκτὸς ἀμολγῷ

ἐλθόντ᾽ ἐξαπίνης σημάντορος οὐ παρεόντος,
ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
ἦκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
ἔνθα δ᾽ ἀνὴρ ἔλεν ἄνδρα κεδασθείσης ὑσμίνης.
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,

τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον·
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν.
ἦτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
ἔσκε Μέδων Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν

ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος ἄνδρα κατακτὰς
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ᾽ Ὀϊλεύς·
Ἴασος αὖτ᾽ ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆ δ᾽ ἔλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης

πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ᾽ ἕλε δῖος Ἀγήνωρ.
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε
φεύγοντ᾽ ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα, τόφρα δ᾽ Ἀχαιοὶ
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ

ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ᾽ ἔναρα βροτόεντα·
ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε

γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
ὡς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους
κεκλόμενος Τρώεσσι κατὰ στίχας· οἳ δὲ σὺν αὐτῷ
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους

ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ᾽ ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
μακρὴν ἠδ᾽ εὐρεῖαν, ὅσον τ᾽ ἐπὶ δουρὸς ἐρωὴ
γίγνεται, ὁππότ᾽ ἀνὴρ σθένεος πειρώμενος ᾗσι.

μα σύντας πια τα μάτια εστύλωσε στους Δαναούς, κι αγνάντια
τους το 'σεισε κι ατός του ετράβηξε φωνή τρανή, η καρδιά τους
στα στήθη επάγωσε και ξέχασαν τη λιονταρίσια ορμή τους.
Πώς σε κοπάδι βόδια αρίφνητο για πρόβατα, που τύχει
να λείψει από κοντά ο τσοπάνος τους, μες στην καρδιά της νύχτας,
σαν πέσουν δυο θεριά αναπάντεχα, τα διασκορπίζουν όλα'
παρόμοια δειλιασμένοι εσκόρπισαν κι οι Δαναοί, τι ο Φοίβος
τους Τρώες τιμώντας και τον Έχτορα τους στρώνει στη φευγάλα.
Κι ως οι γραμμές της μάχης σκόρπισαν, καθένας κι έναν ρίχνει.
Τον Αρκεσίλαο πρώτος ο Έχτορας και το Στιχίο σκοτώνει,

στους Βοιωτούς τον έναν κύβερνο τους χαλκοθωρακάτους,
τον άλλο μπιστεμένο σύντροφο του γαύρου Ιδομενέα.
Κι ο Αινείας τον Ίασο και το Μέδοντα χτυπάει και ρίχνει κάτω·
κι ήταν ο Μέδοντας κλεφτόγεννος του αρχοντικού του Οϊλέα
κι αδέρφι του Αίαντα, κι όμως άφησε τη γη την πατρική του
και ζούσε στη Φυλακή, τι έτυχε να 'χει σκοτώσει κάποιον
δικό της μητρυγιας του Εριώπιδας, που 'χεν ι Οϊλέας γυναίκα'
κι ο τρανός Ίασος πάλε αφέντευε στων Αθηναίων τ᾽ ασκέρι,
κι αυτός του Σφήλου υγιός λογιάζουνταν κι αγγόνι του Βουκόλου.
Μετά σκοτώνει ο Πολυδάμαντας το Μηκιστέα, τον Έχιο

χτυπά ο Πολίτης μες στους πρόμαχους, κι ο Αγήνορας τον Κλόνιο.
Κι ο Πάρης πέτυχε το Δήοχο στο ριζοπλάτι πίσω,
μέσα στους πρόμαχους ως έφευγε, κι ως πέρα τον καρφώνει.
Κι ως τα κουφάρια αυτοί ξαρμάτωναν, οι Αργίτες στα παλούκια
και στο ανοιχτό χαντάκι εχύνουνταν και φεύγαν δώθε κείθε
στο καστροτείχι μέσα μπαίνοντας, σπρωγμένοι απ᾽ την ανάγκη.
Φώναξε τότε ο μέγας Έχτορας στους Τρώες γκαρδιώνοντάς τους:
«Χυθείτε στ᾽ άρμενα, κι αφήνετε τα αιματωμένα κούρσα!
Κι όποιον άλλου θα ιδώ από τ᾽ άρμενα να κοντοστέκει αλάργα,
δω πέρα θα του δώσω θάνατο, κι ουδέ ποτέ οι δικοί του,

γυναίκες κι άντρες, θα του βάλουνε φωτιά για να τον κάψουν,
μον᾽ τα σκυλιά μπροστά στο κάστρο μας θα τον τραβολογήσουν!»
Είπε, κι απά στις πλάτες χτύπησε με το μαστίγι τ᾽ άτια,
γραμμές γραμμές τους Τρώες ψυχώνοντας· κι αυτοί με κείνον όλοι
φώναζαν στ᾽ άλογα, τ᾽ αμάξια τους που έσερναν, και τα τρέχαν
με αλαλητό βαρύ᾽ κι ο Απόλλωνας μπροστά μπροστά τους όχτους
απ᾽ το βαθύ χαντάκι εγκρέμισε κλωτσώντας, και στην κοίτη
μέσα βαθιά τους πέταξε άκοπα, και στράτα γεφυρώνει
μακριά, φαρδιά, με το κοντάρι του κανένας όσο ρίχνει,
ως σφεντονίζει δοκιμάζοντας που φτάνει η δύναμη του.

τῇ ῥ᾽ οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ᾽ Ἀπόλλων
αἰγίδ᾽ ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ᾽, ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
ὅς τ᾽ ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν
ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.

ὣς ῥα σὺ ἤϊξε Φοῖβε πολὺν κάματον καὶ ὀϊζὺν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
ὣς οἵ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ᾽ εὐχετόωντο ἕκαστος·

Νέστωρ αὖτε μάλιστα Γερήνιος οὖρος Ἀχαιῶν
εὔχετο χεῖρ᾽ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ εἴ ποτέ τίς τοι ἐν Ἄργεῖ περ πολυπύρῳ
ἢ βοὸς ἢ οἰὸς κατὰ πίονα μηρία καίων
εὔχετο νοστῆσαι, σὺ δ᾽ ὑπέσχεο καὶ κατένευσας,

τῶν μνῆσαι καὶ ἄμυνον Ὀλύμπιε νηλεὲς ἦμαρ,
μηδ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
ὣς ἔφατ᾽ εὐχόμενος, μέγα δ᾽ ἔκτυπε μητίετα Ζεύς,
ἀράων ἀΐων Νηληϊάδαο γέροντος.
Τρῶες δ᾽ ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,

μᾶλλον ἐπ᾽ Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
οἵ δ᾽ ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ᾽ ἐπείγῃ
ἴς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ᾽ ὀφέλλει·
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον,

ἵππους δ᾽ εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἵ μὲν ἀφ᾽ ἵππων,
οἵ δ᾽ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι, τά ῥά σφ᾽ ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα εἰμένα χαλκῷ.

Πάτροκλος δ᾽ εἷος μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ᾽ ὅ γ᾽ ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ᾽ ἕλκεϊ λυγρῷ
φάρμακ᾽ ἀκέσματ᾽ ἔπασσε μελαινάων ὀδυνάων.

αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησε
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα καὶ ὠ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενος δ᾽ ἔπος ηὔδα·
Εὐρύπυλ᾽ οὐκ ἔτι τοι δύναμαι χατέοντί περ᾽ ἔμπης

Εκεί συμμαζεμένοι εχύνουνταν, κι ο Φοίβος πρώτος, κι είχε
το βροντοσκούταρο το ατίμητο στο χέρι, και το τείχος
των Αχαιών εγκρέμισε εύκολα, καθώς παιδί τον άμμο,
που αφού μαζί του παίξει χτίζοντας σπιτάκια στ᾽ ακρογιάλι,
τους δίνει μια κι ευτύς τα γκρέμισε με χέρια και με πόδια·
και συ παρόμοια, Φοίβε Απόλλωνα, τον κόπο και το μόχτο
των Αχαιών χαλνούσες, κι έριχνες κι εκείνους στη φευγάλα.
Έτσι κλεισμένοι αυτοί κρατιόντουσαν στα πλοία σιμά, και κράζαν
ο ένας του άλλου κουράγιο δίνοντας· και σήκωναν τα χέρια,
και ξεφωνώντας τους αθάνατους ανακαλιούνταν όλους'

και πιο πολύ ο γερήνιος Νέστορας, των Αχαιών η σκέπη,
τα χέρια απλώνοντας προσεύκουνταν ψηλά στ᾽ αστράτα ουράνια:
«Πατέρα Δία, στο πολυσίταρο το Άργος ποτέ αν, κανείς μας
παχιά μεριά προβάτου καίγοντας για και βοδιού, να γύρει
παρακαλούσε στην πατρίδα του, και συ του το 'χες τάξει,
μην το ξεχνάς, Όλύμπιε, σώσε μας από το μαύρο Χάρο,
και μην αφήνεις ν᾽ αφανίζουνται πια από τους Τρώες οι Αργίτες!»
Είπε, κι αφήκεν ο βαθύγνωμος ο Δίας βροντή μεγάλη,
την προσευκή του γέρου ως άκουσε, που 'χε ο Νηλέας γεννήσει.
Μα οι Τρώες, του Δία το χτύπο ως γρίκηξαν του
βροντοσκουταράτου,

με νέαν ορμή, διψώντας πόλεμο, χύθηκαν στους Αργίτες.
Πώς στην πλατύδρομη τη Θάλασσα τρανό χιμάει το κύμα
την κουπαστή καβαλικεύοντας του καραβιού, ως το σπρώχνει
του ανέμου η φόρα, που τα κύματα ψηλά σηκώνει ολόρθα'
όμοια κι οι Τρώες απ᾽ το καστρότειχο με άγριον αχό χιμούσαν,
και προσπερνώντας το με τ᾽ άτια τους στις πρύμνες πλάι
χτυπιούνταν
στηθος με στήθος με τα δίκοπα κοντάρια—από τ᾽ αμάξια
τούτοι, κι εκείνοι στα καράβια τους ανεβασμένοι απάνω,
κι είχαν κοντάρια χαλκομύτικα, μακριά πολύ και στέρια,
μες στα καράβια τους, στις θάλασσες να κονταροχτυπιούνται.

Ο Πάτροκλος, όση ώρα εμάχουνταν οι Τρώες με τους Αργίτες
αλάργα απ᾽ τα γοργά πλεούμενα, στο καστροτείχι απόξω,
μες στου καλόκαρδου του Ευρύτιυλου καθόταν το καλύβι,
και με τα λόγια του τον εύφραινε· και στην πικρή πληγή του
μαλαχτικά βοτάνια απίθωνε, να πάψει ο μαύρος πόνος.
Μα ως ξέκρινε τους Τρώες να χύνουνται στο καστροτείχι απάνω,
και τους Αργίτες ξεφωνίζοντας στα πόδια να το βάζουν,
σέρνει φωνή μεγάλη σκούζοντας και τα μεριά χτυπώντας
με τ᾽ ανοιχτά του χεροπάλαμα, κι αυτά του λέει με κλάμα:
« Πια δε βαστώ καθόλου, Ευρύπυλε, κι ας έχεις τόση ανάγκη,

ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἔγωγε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.

τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδ' ἐδύναντο
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν·
οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι κλισίῃσι μιγήμεναι ἠδὲ νέεσσιν.

ἀλλ' ὥς τε στάθμη δόρυ νήϊον ἐξιθύνει
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
εὖ εἰδῇ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε·
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν,

Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδὲ δύναντο
οὔθ' ὁ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆα
οὔθ' ὁ τὸν ἄψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε
δαίμων.
ἔνθ' υἱὸς Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας

πῦρ ἐς νῆα φέροντα κατὰ στῆθος βάλε δουρί.
δούπησεν δὲ πεσών, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·

Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
ἀλλ' υἱὸς Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
ὣς εἰπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.

τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα Μάστορος υἱὸν
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,
τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῷ
ἑσταότ' ἄγχ' Αἴαντος· ὃ δ' ὕπτιος ἐν κονίῃσι

νηὸς ἄπο πρυμνῆς χαμάδις πέσε, λύντο δὲ γυῖα.
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα
ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·

εδώ να μείνω, τι μας έζωσε βαρύς αλήθεια αγώνας.
Μον' βάλε τώρα τον ακράνη σου να σου περνάει την ώρα,
κι εγώ στον Αχιλλέα, στον πόλεμο για να τον σπρώξω, τρέχω.
Το σπλάχνο του ποιος ξέρει αν θ' άγγιζα μιλώντας του, αν μ' εβόηθα
κάποιος θεός· τι αξίζει η φώτιση σαν έρχεται από φίλο.»
Είπε, και παίρνει δρόμο τρέχοντας· κι οι Δαναοί κρατιούνταν
στους Τρώες που τους χτυπούσαν άσειστοι' μα πάλε να τους
διώξουν
μακριά απ' τ' άρμενα δε δύνουνταν, κι ας ήταν και πιο λίγοι.
Ωστόσο μήτε οι Τρώες τις φάλαγγες των Δαναών να σπάσουν
μπορούσαν και να φτάσουν στ' άρμενα σιμά και στα καλύβια,

Όπως μαδέρι ισιώνει σε άρμενο μιαν άκρη ως άλλη η στάφνη
σε άξιου μαστόρου χέρια, η φώτιση της Αθηνάς που κάνει
τα μυστικά που κρύβει η τέχνη του καλά να τα κατέχει'
όμοια κι αυτών μαθές σοζύγιαζε τότε η σφαγή κι η μάχη.
Κι όπως καθένας σε άλλο ολόγυρα καράβι επολεμούσε,
ο Έχτορας ήρθε ομπρός στον Αίαντα τον ξακουστό κι εστάθη.
Για ένα καράβι οι δυο τους μάχουνταν, μα δεν μπορούσαν μήτε
ο ένας το πλοίο να κάψει διώχνοντας τον Αίαντα, μήτε τούτος
να στρέψει πίσω πια τον Έχτορα, που 'χε θεό προλάτη.
Κι ο γαύρος Αίαντας τον Καλήτορα, το γιο του Κλύτιου, βρίσκει

στο στήθος με κοντάρι, ως έφερνε φωτιά για το καράβι'
πέφτει στη γη βροντώντας, κι ο δαυλός του ξέφυγε απ' το χέρι.
Κι ο μέγας Έχτορας, ως ξέκρινε νεκρό πεσμένο χάμω
στις σκόνες μέσα εκεί τον ξάδερφο στο μαύρο ομπρός καράβι,
σέρνει φωνή τους Τρώες γκαρδιώνοντας και τους Λυκιώτες όλους:
« Τρώες και Λυκιώτες κι όλοι οι Δάρδανοι, τρανοί κονταρομάχοι,
τη μάχη τέτοιαν ώρα δύσκολη μην παρατάτε ακόμα,
μόνο γλιτώστε τον Καλήτορα, μην τύχει και του πάρουν,
στο αρμενοστάσι ομπρός ως έπεσεν, οι Αργίτες τ' άρματά του.»
Είπε, κι απά στον Αίαντα τίναξε το λαμπερό κοντάρι,

μα ξαστοχάει, και το Λυκόφρονα τον Κυθηριώτη βρίσκει,
το γιο του Μάστορα, που σύντροφο τον είχεν ο Αίας κοντά του
κρατήσει, τι είχε στ' άγια Κύθηρα σκοτώσει εκείνος κάποιον.
Αυτόν, στον Αίαντα δίπλα ως έστεκε, στην κεφαλή, στ' αφτί του
ψηλά, χτυπάει με το κοντάρι του κι ανάσκελα στη σκόνη
χάμω απ' του πλοίου την πρύμνα εκύλησε, κι ελύθη η δύναμη του.
Κι ο Αίαντας πάγωσε, και μίλησε γυρνώντας του αδερφού του:
« Τεύκρο καλέ μου, τώρα ο σύντροφος σκοτώθηκε ο πιστός μας,
ο γιος του Μάστορα απ' τα Κύθηρα, που ήρθε σε μας να μείνει,
και σε ίδια σέβαση τον είχαμε με τους γονιούς μας πάντα.

τὸν δ᾽ Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
ὠκύμοροι καὶ τόξον ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
ὣς φάθ᾽, ὃ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέστη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ᾽ ὦκα βέλεα Τρώεσσιν ἐφίει.

καί ῥ᾽ ἔβαλε Κλεῖτον Πεισήνορος ἀγλαὸν υἱὸν
Πουλυδάμαντος ἑταῖρον ἀγαυοῦ Πανθοΐδαο
ἡνία χερσὶν ἔχοντα· ὃ μὲν πεπόνητο καθ᾽ ἵππους·
τῇ γὰρ ἔχ᾽ ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ᾽ αὐτῷ

ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
ἤριπε δ᾽ ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
κείν᾽ ὄχεα κροτέοντες. ἄναξ δ᾽ ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἦλυθεν ἵππων.

τοὺς μὲν ὅ γ᾽ Ἀστυνόῳ Προτιάονος υἱέϊ δῶκε,
πολλὰ δ᾽ ἐπότρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
ἵππους· αὐτὸς δ᾽ αὖτις ἰὼν promάχοισιν ἐμίχθη.
Τεῦκρος δ᾽ ἄλλον ὀϊστὸν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ
αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,

εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.
ἀλλ᾽ οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ᾽ ἐφύλασσεν
Ἕκτορ᾽, ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ῥῆξ᾽ ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ

ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ᾽ ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
ὦ πόποι ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νευρὴν δ᾽ ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα

πρώϊον, ὄφρ᾽ ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας·
ὦ πέπον ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ

μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς.
μὴ μὰν ἀσπουδί γε δαμασσάμενοί περ ἕλοιεν
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.
ὣς φάθ᾽, ὃ δὲ τόξον μὲν ἑνὶ κλισίῃσιν ἔθηκεν,
αὐτὰρ ὅ γ᾽ ἀμφ᾽ ὤμοισι σάκος θέτο τετραθέλυμνον,

κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ᾽ ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
βῆ δ᾽ ἰέναι, μάλα δ᾽ ὦκα θεὸν Αἴαντι παρέστη.
Ἕκτωρ δ᾽ ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,

Ο αντρόκαρδος τον σκότωσε Έχτορας. Μα οι γοργοθανατούσες
που είναι σαγίτες και το τόξο σου, του Απόλλωνα το δώρο;»
Είπε, κι αυτός τα λόγια του άκουσε και τρέχει ευτύς κοντά του'
το σαϊτολόγο μες στα χέρια του και το δοξάρι εκράτει
το λυγερό, και πήρε κι έριχνε βροχή στους Τρώες απάνω.
και βρήκε πρώτα του Πεισήνορα το γιο τον ψυχωμένο,
τον Κλείτο, που 'χε ο Πολυδάμαντας, ο γιος του Πάνθου, ακράνη,
τα νιόλουρα ως κρατούσε κι έβλεπε μονάχα τ᾽ άλογά του,
που τα 'ριχνε οπού ανακατώνουνταν τα πιο πολλά φουσάτα,
στους Τρώες για χάρη και στον Έχτορα᾽ μα το κακό τον βρήκε

μεμιάς, κι ουδέ κανείς τον γλίτωσε, κι ας το λαχταρούν τόσο'
τι ήρθε η σαγίτα και τον κάρφωσε στο σβέρκο η φαρμακούσα'
κι από το αμάξι εκατρακύλησε, και τ᾽ άτια έκαμαν πίσω,
με βρόντο το άδειο αμάξι σέρνοντας· κι ευτύς ο Πολυδάμας,
ως τα 'δε που 'φευγαν, επρόφταξε και στάθηκε μπροστά τους,
και στον Αστύνοο τα παράδωσε, το γιο του Προτιώνα'
κι αφού τον πρόσταξε να γνοιάζεται, πλάι του να τα 'χει πάντα
τ᾽ άλογα, αυτός γυρνώντας έσμιξε τους μπροστομάχους πάλε.
Κι ο Τεύκρος βγάζει για τον Έχτορα το χαλκοκράνη κι άλλη
σαγίτα, κι έτσι τέλος θα 'δινε στη μάχη ομπρός στα πλοία,

αν τη ζωή χτυπώντας του 'παίρνε στην αντριγιά του απάνω.
Μα το βαθύ μυαλό δεν ξέφυγε του Δία που τον γνοιαζόταν
τον Έχτορα, και δεν την έδωσε στον Τεύκρο τέτοια δόξα'
του σπάει την κόρδα την καλόστριφτη στο αλάθευτο δοξάρι,
ως το τραβούσε, κι η χαλκόβαρη σαγίτα ξεστρατίζει
και φεύγει πέρα, και του ξέφυγε το τόξο από τα χέρια.
Κι ο Τεύκρος πάγωσε, και μίλησε γυρνώντας του αδερφού του:
«Ωχού, κάποιος θεός τον κάθε μας σκοπό στη μάχη απάνω
μας τον ζαβώνει, τι μου τίναξε το τόξο από το χέρι
τη νιοστριμμένη κόρδα σπάζοντας, που το πουρνό την είχα

στεριώσει, στις πυκνές που θα 'ριχνα σαγίτες να βαστήξει.»
Κι ο μέγας Αίαντας του αποκρίθηκεν, ο γιος του Τελαμώνα:
« Καλέ μου, το δοξάρι σου άφησε και τίς πολλές σαγίτες,
με τους Αργίτες μια και τα᾽ βαλε θεός και μας ζαβώνει.
Πάρε στα χέρια το κοντάρι σου, στον ώμο το σκουτάρι,
και χύσου απά στους Τρώες χτυπώντας τους, και σπρώχνε και τους άλλους·
κι αν μας νικήσαν, όμως άμαχα μη μας τα πάρουν τώρα
τα γρήγορα άρμενα᾽ να δείξουμε καιρός την αντριγιά μας!»
Είπε, και κείνος το δοξάρι του μες στο καλύβι αφήνει,
το τετραβόδινο σκουτάρι του περνάει στους ώμους γύρα,

και στο γερό κεφάλι του έβαλε καλοφτιασμένο κράνος,
κι άγρια ψηλά από πάνω ανέμιζεν η φούντα του η αλογίσια.
Το δυνατό κοντάρι του άρπαξε, περίσσια ακονισμένο,
κι έτσι κινάει και φεύγει τρέχοντας και πλάι στον Αίαντα στέκει.
Κι ο μέγας Έχτορας, ως ξέκρινε να σπάει του Τεύκρου η κόρδα,

Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταὶ
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.

ῥεῖα δ᾽ ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή,
ἠμὲν ὀτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ᾽ ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ᾽ ἀρήγει.
ἀλλὰ μάχεσθ᾽ ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων

βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ᾽ ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Αἴας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
αἰδὼς Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ἔλπεσθ᾽ ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ

ἐμβαδὸν ἴξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
οὐ μὰν ἔς γε χορὸν κέλετ᾽ ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
ἡμῖν δ᾽ οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων

ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε.
βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δῃϊοτῆτι
ὧδ᾽ αὔτως παρὰ νηυσὶν ὑπ᾽ ἀνδράσι
χειροτέροισιν.
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.

ἔνθ᾽ Ἕκτωρ μὲν ἕλε Σχεδίον Περιμήδεος υἱὸν
ἀρχὸν Φωκήων, Αἴας δ᾽ ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ᾽ Ὦτον Κυλλήνιον ἐξενάριξε
Φυλεΐδεω ἔταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.

τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών· ὃ δ᾽ ὕπαιθα λιάσθη
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ
Ἀπόλλων
εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
αὐτὰρ ὅ γε Κροίσμου στῆθος μέσον οὔτασε δουρί.
δούπησεν δὲ πεσών· ὃ δ᾽ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα.

σέρνει φωνή τους Τρώες γκαρδιώνοντας και τους Λυκιώτες όλους:
«Τρώες και Λυκιώτες κι όλοι οι Δάρδανοι, τρανοί κονταρομάχοι,
άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιάς τη φλόγα
εδώ στα βαθουλά πλεούμενα᾽ τι με τα μάτια μου είδα
κάποιον τρανό που ο Δίας του εχάλασε να τώρα τη σαγίτα.

Ο Δίας βοηθός σαν έρχεται, εύκολα το καλοξεχωρίζεις,
και πότε δόξα δίνει αθάνατη σε κάποιους, άλλους πάλε
να παρατήσει λέει, και χάνουνται και δεν τους διαφεντεύει.
Να τώρα εμάς συντρέχει κι έκοψε τη φόρα απ᾽ τους Αργίτες.
Όλοι μαζί λοιπόν χτυπάτε τους στα πλοία μπροστά, κι αν κάποιος
από κοντάρι βρει το θάνατο για από σαγίτα τώρα,
ας πέσει· αξίζει διαφεντεύοντας το πατρικό του χώμα
να πέσει᾽ τα παιδιά του εγλίτωσαν και το ακριβό του ταίρι,
κι έμεινε απείραχτο το σπίτι του κι ο γονικός του ο κλήρος,
αν μπουν οι Αργίτες στα καραβιά τους και γύρουν στην πατρίδα.»

Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδία τους.
Κι ο Αίαντας απ᾽ την άλλη εγκάρδιωνε μιλώντας στους δικούς του:
«Ντροπής, Αργίτες, για χανόμαστε για και γλιτώνουμε όλοι
την ώρα αυτή, τη μαύρη αν διώξουμε φοβέρα άπ᾽ τα καράβια.
Ο Έχτορας τώρα αν τα καράβια μας πατήσει, μη θαρρείτε
πώς με τα πόδια στην πατρίδα σας θα φτάσετε ένας ένας;
Δεν τον ακούτε εσείς τον Έχτορα πώς κράζει και γκαρδιώνει
το ασκέρι του όλο, απά στη λύσσα του να κάψει τα καράβια;
Δεν τους καλνά χορό να στήσουνε, τους λέει να πολεμήσουν.
Άλλο δεν έχουμε καλύτερο κι εμείς παρά μαζί τους

στήθος με στήθος να παλέψουμε και να 'ρθουμε στα χέρια.
Κάλλιο, ζωή μας μένει ή θάνατος, να ιδούμε μια για πάντα,
παρά να τυραννιόμαστε άδικα μες σε σφαγές και μάχες -
χρόνια πολλά πλάι στα καράβια μας από αχαμνότερούς μας».
Αυτά είπε, κι όλοι επήραν δύναμη, στυλώθηκαν᾽ και τότε
το γιο του Περιμήδη εσκότωσε, των Φωκιωτών το ρήγα,
ο Έχτορας, το Σχεδίο᾽ κι εσκότωσεν ο Αίας το Λαοδάμα,
τον αντρειωμένο γιο του Αντήνορα, στους πεζολάτες πρώτο'
κι ο Πολυδάμας πάλι εσκότωσε τον Ώτο απ᾽ την Κυλλήνη,
του Μέγη ακράνη, στους αντρόκαρδους τους Επειούς ρηγάρχη.

Κι ο Μέγης, που τον είδε, απάνω του χιμάει, μα ο Πολυδάμας
πηδάει λοξά και δεν τον πέτυχε, τι ο Απόλλωνας του Πάνθου
το γιο να σκοτωθεί δεν άφησε μες στους προμάχους τότε·
κι έτσι τον Κροίσμο αυτός κατάστηθα με το κοντάρι βρίσκει.
Βρόντηξε πέφτοντας, κι ως έσκυβεν ο Μέγης να τον γδύσει,
χύθηκε ο Δόλοπας απάνω του, τρανός κονταρομάχος,

τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ αἰχμῆς ἐῢ εἰδὼς
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατον υἱὸν
Λαομεδοντιάδης εὖ εἰδότα θούριδος ἀλκῆς,
ὃς τότε Φυλεΐδαο μέσον σάκος οὔτασε δουρὶ
ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,

τόν ῥ’ ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος.
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης
ἐς πόλεμον φορέειν δηΐων ἀνδρῶν ἀλεωρήν·
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ’ ὀλέθρον.

τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
κύμβαχον ἀκρότατον νύξ’ ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ’ ἀφ’ ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
κάππεσεν ἐν κονίῃσι νέον φοίνικι φαεινός.
εἶος ὸ τῷ πολέμιζε μένων, ἔτι δ’ ἔλπετο νίκην,

τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ,
στῆ δ’ εὐρὰξ σὺν δουρὶ λαθών, βάλε δ’ ὦμον ὄπισθεν·
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα
πρόσσω ἱεμένη· ὸ δ’ ἄρα πρηνὴς ἐλιάσθη.
τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε’ ἀπ’ ὤμων

συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσε
πᾶσι μάλα, πρῶτον δ’ Ἰκεταονίδην ἐνένιπεν
ἴφθιμον Μελάνιππον. ὸ δ’ ὄφρα μὲν εἰλίποδας
βοῦς
βόσκ’ ἐν Περκώτῃ δηΐων ἀπὸ νόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,

ἄψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
ναῖε δὲ πὰρ Πριάμῳ, ὸ δέ μιν τίεν ἶσα τέκεσσι·
τόν ῥ’ Ἕκτωρ ἐνένιπεν ἔπος τ’ ἔφατ’ ἔκ τ’
ὀνόμαζεν·
οὕτω δὴ Μελάνιππε μεθήσομεν; οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;

οὐχ ὁρᾷς οἷον Δόλοπος περὶ τεύχε’ ἔπουσιν;
ἀλλ’ ἔπευ· οὐ γὰρ ἔτ’ ἔστιν ἀποσταδὸν Ἀργείοισι
μάρνασθαι, πρίν γ’ ἠὲ κατακτάμεν ἠὲ κατ’ ἄκρης
Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαι τε πολίτας.
ὣς εἰπὼν ὸ μὲν ἦρχ’, ὸ δ’ ἅμ’ ἕσπετο ἰσόθεος φώς·

Ἀργείους δ’ ὄτρυνε μέγας Τελαμώνιος Αἴας·
ὦ φίλοι ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ’ ἐνὶ θυμῷ,
ἀλλήλους τ’ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
αἰδομένων δ’ ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ’ οὔτ’ ἄρ κλέος ὄρνυται οὔτέ τις ἀλκή.

ο γιος του Λάμπου, του Λαομέδοντα τ’ αγγόνι, που 'χε ο Λάμπος
κάνει αντρειωμένο και πολύξερο στην τέχνη του πολέμου.
Τούτος σιμώνοντας εχτύπησε στη μέση το σκουτάρι
του Μέγη, μα ο γερός ο θώρακας που εφόραε, ταιριασμένος

με λάμες κουφωτές, τον γλίτωσε’ τον είχε απ’ την Εφύρα,
απ’ του Σελήη τους όχτους κάποτε φέρει ο Φυλέας στο σπίτι
του ρήγα Ευφήτη δώρο ατίμητο, που καλοσκάμνισέ τον,
απ’ τις ριξιές του οχτρού στον πόλεμο να τον γλιτώνει πάντα.
Αυτός απ’ το κορμί ξεμάκρυνε του γιου το Χάρο τώρα.
Κι ο Μέγης ρίχνει το κοντάρι του το μυτερό, και βρίσκει
του φουντωτού χαλκένιου κράνους του κατάκορφα την άκρη,
και πέρα πέταξε τη φούντα του, που ως έπεσε στη σκόνη,
φεγγοβολούσε ακέρια, νιόβαφη με λαμπερή πορφύρα.
Μα όσο μαζί του ακόμα εμάχουνταν κι έλπιζε ακόμα νίκη,

φτάνει ο Μενέλαος ο αντροδύναμος βοηθός του, κι ως εστάθη
πίσω κρυφά, στο πλάι του Δόλοπα, τον πέτυχε στον ώμο·
κι ως λαχταρούσε το κοντάρι του να πάει μπροστά, το στέρνο
του τρύπησε, κι αυτός σωριάστηκε τα πίστομα στο χώμα.
Κι αυτοί απ’ τους ώμους του τα χάλκινα χιμούν και παίρνουν όπλα’
κι ο Έχτορας τότε κράζει σε όλα του τ’ αδέρφια και ξαδέρφια'
και πρώτα του Ιετάονα μάλωσε το γιο, τον αντρειωμένο
Μελάνιππο, που πριν οι αντίμαχοι στης Τροίας τα μέρη φτάσουν,
τα στριφτοζάλικα τα βόδια του βοσκούσε στην Περκώτη’
σα φτάσαν όμως τα διπλόγυρτα των Δαναών καράβια,

στην Τροία ξανάρθε και ξεχώριζε μέσα στους Τρώες τους άλλους·
τον είχε ο Πρίαμος στο παλάτι του και τον τιμούσε ως γιο του.
Σ’ αυτόν μιλούσε ο μέγας Έχτορας μαλώνοντας τον τώρα:
« Έτσι θα μείνουμε, Μελάνιππε, με σταυρωμένα χέρια; :
και δε σε νιάζει που μας σκότωσαν τον ξάδερφο καθόλου;
Δε βλέπεις, τ’ άρματα του Δόλοπα πως τριγυρνούν εκείνοι;
Ακλούθα μου, τι τώρα απόμακρα δε στέκει τους Αργίτες
πια να χτυπούμε’ ή θα τους σφάξουμε για εκείνοι θα γκρεμίσουν
την Τροία την αψηλή συθέμελα και το λαό θα σφάξουν.»
Είπε και μπήκε ομπρός, κι ο ισόθεος τον ακολούθησε άντρας.

και τους Αργίτες ο Αίας εγκάρδιωνεν, ο γιος του Τελαμώνα:
« Άντρες φανείτε, φίλοι, κι όλοι σας ντροπή στα στήθια νιώστε,
κι ο ένας στον άλλο μπρος ας ντρέπεται στις άγριες μάχες μέσα'
τι όσοι κρατούν ντροπή δε χάνουνται, μον’ πιότεροι γλιτώνουν,
κι όσοι τσακίζουν δε δοξάζουνται και γλιτωμό δε βρίσκουν!»

ὣς ἔφαθ’, οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον,
ἐν θυμῷ δ’ ἐβάλοντο ἔπος, φράξαντο δὲ νῆας
ἔρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ’ ὄτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
Ἀντίλοχ’ οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,

οὔτε ποσὶν θάσσων οὔτ’ ἄλκιμος ὡς σὺ μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα.
ὣς εἰπὼν ὃ μὲν αὖτις ἀπέσσυτο, τὸν δ’ ὀρόθυνεν·
ἐκ δ’ ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ
ἀμφὶ ἒ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο

ἀνδρὸς ἀκοντίσσαντος· ὃ δ’ οὐχ ἅλιον βέλος ἦκεν,
ἀλλ’ Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον
νισόμενον πόλεμον δὲ βάλε στῆθος παρὰ μαζόν.
δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσε
κάλυψεν.
Ἀντίλοχος δ’ ἐπόρουσε κύων ὥς, ὅς τ’ ἐπὶ νεβρῷ

βλημένῳ ἀΐξῃ, τόν τ’ ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·
ὣς ἐπὶ σοὶ Μελάνιππε θόρ’ Ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων· ἀλλ’ οὐ λάθεν Ἕκτορα δῖον,
ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα.

Ἀντίλοχος δ’ οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής,
ἀλλ’ ὅ γ’ ἄρ’ ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι
φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
ὣς τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ

ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο·
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἕθνος ἑταίρων.
Τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισι
νηυσὶν ἐπεσσεύοντο, Διὸς δ’ ἐτέλειον ἐφετμάς,
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν

Ἀργείων καὶ κῦδος ἀπαίνυτο, τοὺς δ’ ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἐμβάλοι ἀκάματον, Θέτιδος δ’ ἐξαίσιον ἀρὴν
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεὺς

νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι.
ἐκ γὰρ δὴ τοῦ μέλλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην μάλα περ μεμαῶτα καὶ αὐτόν.

Είπε, μ’ αυτοί κι ατοί τους λόγιαζαν να κρατηθούν αντρίκεια,
και βαλαν στην καρδιά το λόγο του, και τα καράβια έφραξαν
με χάλκινο τειχί’ κι εκέντριζε τους Τρώες ο Δίας ψηλάθε.
Τότε ο Μενέλαος ο βροντόλαλος του Αντίλοχου φωνάζει:
« Κανένας Αχαιός, Αντίλοχε, δεν είναι νιότερός σου,

μηδέ και τόσο γοργογόνατος, μηδέ και πιο αντρειωμένος.
Να θε πηδήξεις, να πετύχαινες από τους Τρώες κανέναν!»
Είπε, κι αφού κουράγιο του 'δωκε, γυρνάει και φεύγει πίσω.
Κι αυτός πηδάει μπροστά απ’ τους πρόμαχους και ρίχνει το κοντάρι,
με προσοχή κοιτώντας γύρα του’ κι οι Τρώες έκαμαν πίσω,
καθώς κοντάριζε’ κι ούδ’ έφυγε στ’ ανώφελα η ριξιά του'
στο στήθος του Ικετάονα πέτυχε το γιο, τον ψυχωμένο
Μελάνιππο, στη μάχη ως έμπαινε, και στο βυζί τον βρίσκει.
Βρόντηξε πέφτοντας, και σκέπασε τα μάτια του σκοτάδι.
Κι ο Αντίλοχος χιμίζει απάνω του, σα σκύλος πα στο ελάφι

το λαβωμένο, που το πέτυχεν ο κυνηγός την ώρα
που απ’ τη μονιά του βγαίνει, κι έλυσε μεμιάς τα γόνατα του’
όμοια κι ο Αντίλοχος, Μελάνιππε, χυνόταν πάνωθέ σου,
για να σε γδύσει ο πολεμόχαρος. Τον πήρε όμως το μάτι
του Εχτόρου, κι ήρθε αντίκρυ τρέχοντας μες στη σφαγή κι εστάθη.
και δεν κρατήθη ομπρός του ο Αντίλοχος, με όσην αντρεία κι αν είχε'
σαν το θεριό στα πόδια το 'βαλε, σε βουκολιό που κάνει
κάποια ζημιά τρανή, σκοτώνοντας για σκύλο για βουκόλο,
και το 'βαλε στα πόδια γρήγορα, πολλοί πριν μαζωχτούνε'
όμοια έφευγε κι ο γιος του Νέστορα, κι απάνω του απολνούσαν

ριξιές φαρμακωμένες ο Έχτορας κι οι Τρώες με αχό μεγάλο.
Τέλος, σαν έφτασε στους συντρόφους, μεταγυρνάει και στέκει.
Και τότε οι Τρώες απάνω στ’ άρμενα χιμίξαν σαν τους λιόντες,
σάρκες ωμές που τρων, και τέλευαν τους ορισμούς του Δία,
που την ορμή τους όλο θεριεύε κεντρίζοντας τους, κι όλο
των Αχαιών τη δύναμη έκοβε, τη δόξα παίρνοντας τους·
τι μέσα του βαθιά τον Έχτορα βουλιόταν να δοξάσει,
το γιο του Πρίαμου, φλόγα αδάμαστη ν’ ανάψει στα καράβια
τα δρεπανόγυρτα, το θέλημα το άγριο να βγει ως την άκρη
της Θέτιδας· τι αυτό ο βαθύγνωμος πρόσμενε Δίας, τη φλόγα

που απ’ τ’ αναμμένο θα πετάγουνταν καράβι ν’ αντικρίσει"
κι ευτύς μετά, καθώς λογάριαζε, τους Τρώες απ’ τα καράβια
θα 'διωχνε πίσω πια, γυρίζοντας τη νίκη στους Αργίτες.
Με τέτοιους λογισμούς τον Έχτορα στα βαθουλά καράβια,
ως δα κι ατός του το λαχτάριζε, κεντούσε να χιμίξει.

μαίνετο δ᾽ ὡς ὅτ᾽ Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης·
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο, τὼ δέ οἱ ὄσσε
λαμπέσθην βλοσυρῇσιν ὑπ᾽ ὀφρύσιν, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο

Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ᾽ αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ᾽ ἀνδράσι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ᾽· ἤδη γάρ οἱ ἐπόρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφιν.

καί ῥ᾽ ἔθελεν ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων,
ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε᾽ ἄριστα·
ἀλλ᾽ οὐδ᾽ ὣς δύνατο ῥῆξαι μάλα περ μενεαίνων·
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
ἠλίβατος μεγάλη πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,

ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
αὐτὰρ ὃ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ᾽ ὁμίλῳ,
ἐν δ᾽ ἔπεσ᾽ ὡς ὅτε κῦμα θοὴ ἐν νηῒ πέσῃσι

λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπ᾽ ἐκ θανάτοιο φέρονται·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.

αὐτὰρ ὅ γ᾽ ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα εἰδὼς
θηρὶ μαχέσσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
ἤτοι ὃ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν

αἰὲν ὁμοστιχάει, ὃ δέ τ᾽ ἐν μέσσῃσιν ὀρούσας
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ᾽ Ἀχαιοὶ
θεσπεσίως ἐφόβηθεν ὑφ᾽ Ἕκτορι καὶ Διὶ πατρὶ
πάντες, ὃ δ᾽ οἷον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἄνακτος

ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ.
τοῦ γένετ᾽ ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθ᾽ Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.

Κονταροσείστης Άρης έλεγες πως είναι και φρενιάζει,
για κι άγρια φλόγα μες σε σύλλογγο βαθύ, στα κορφοβούνια'
αφροί το στόμα του μαργέλωναν, και κάτω απ᾽ τα άγρια φρύδια
βγάζαν φωτιές τα δυο τα μάτια του, κι όλο φοβέρα εσειόταν
το κράνος στα μελίγγια του Έχτορα τρογύρα, ως πολεμούσε'

τι ο Δίας ατός του τον παράστεκε ψηλάθε απ᾽ τον αιθέρα,
και μες στους άλλους τούτον δόξαζε μονάχα και τιμούσε'
του ήταν μαθές γραφτό λιγόχρονος πάνω στη γη να ζήσει,
τι κιόλας η Αθηνά η γλαυκόματη του σίμωνε τη μέρα,
που θα τον έβρισκεν ο θάνατος απ᾽ του Αχιλλέα τα χέρια.
και τις γραμμές να σπάσει εγύρευε μια δω μια κει, θωρώντας
τα πιο όμορφα άρματα κι οι πιότεροι που βρίσκουνταν Αργίτες.
Μα ουδ᾽ έτσι να τις σπάσει εδύνουνταν, και μ᾽ όλη του τη λύσσα,
τι εκείνοι σε σφιχτές κρατιόντουσαν γραμμές και δεν έφευγαν.
Πώς βράχος τρίψηλος, απόγκρεμος, στων σφουριχτών ανέμων

τη λύσσα στέκει και στα κύματα που πάνω του ξεσπούνε
γιγάντια, ορθόστητα, στο πέλαγος αντίκρυ τ᾽ αφρισμένο᾽
όμοια στέκονταν στέριοι ουδ᾽ έφευγαν μπροστά στους Τρώες κι οι
Αργίτες.
Κι αυτός, ξαστράφτοντας ολόγυρα παντού, χιμάει στ᾽ ασκέρι
και πέφτει μέσα, ως κύμα πού 'πεσε, θρεμμένο απ᾽ τους ανέμους
κι από τα σύγνεφα, σε γρήγορο καράβι εντός, κι ακέριο
μες στους αφρούς του το κουκούλωσε, κι η άγρια πνοή του ανέμου
ψηλά σφυρίζει μες στα ξάρτια του᾽ κι οι ναύτες παραλυούνε,
κάθε στιγμή ως θωρούν το θάνατο και μόλις του γλιτώνουν
παρόμοιο σπαραγμό στα στήθια τους κι οι Αργίτες νιώθαν τότε.

Κι αυτός—πώς λιόντας ανημέρωτος χιμίζει σε γελάδες,
που σε απλωμένου βάλτου αρίφνητες τη χλωρασιά βοσκούνε,
κι ο γελαδάρης στέκει δίπλα τους· μα το θεριό, που θέλει
γελάδα να του φάει στριφτόκερη, δεν ξέρει πώς να διώξει'
και μια μπροστά, μια πίσω βρίσκεται, στού κοπαδιού τον κάβο
για στην ουρά᾽ κι ο λιόντας χύνεται στη μέση και σπαράζει
μια του γελάδα, κι οι άλλες σκόρπισαν όμοια κι οι Αργίτες τότε
στο Δία πατέρα και στον Έχτορα μπροστά ετσακίζαν όλοι.
Κι αυτός τον Περιφήτη εσκότωσε το Μυκηναίο μονάχα'
γιος ήταν του Κοπρέα, που πήγαινε του βασιλιά Ευρυσθέα

τους ορισμούς στον αντροδύναμο τον Ηρακλή να φέρει.
Κακός ο κύρης, μα καλύτερος χίλιες φορές ο γιος του,
σε όλα παράξιος, και στο τρέξιμο και στης αντρείας τη χάρη,
και στο μυαλό απ᾽ τους πρώτους στάθηκε μες στις Μυκήνες τότε.
και τώρα ετούτος δόξα ατίμητη στον Έχτορα χαρίζει'

στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο,
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ᾽ ἔρκος ἀκόντων·
τῇ ὅ γ᾽ ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ᾽ ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,

στήθεϊ δ᾽ ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν᾽· οἳ δ᾽ οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ᾽ ἐγένοντο νεῶν, περὶ δ᾽ ἔσχεθον ἄκραι
νῆες ὅσαι πρῶται εἰρύατο· τοὶ δ᾽ ἐπέχυντο.

Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
ἀθρόοι, οὐδὲ κέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα Γερήνιος οὖρος Ἀχαιῶν

λίσσεθ᾽ ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
ὦ φίλοι ἀνέρες ἔστε καὶ αἰδῶ θέσθ᾽ ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ᾽ ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεῳ ζώουσι καὶ ᾧ κατατεθνήκασι·

τῶν ὕπερ ἐνθάδ᾽ ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑστάμεναι κρατερῶς, μὴ δὲ τρωπᾶσθε φόβον δέ.
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
τοῖσι δ᾽ ἀπ᾽ ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φόως γένετ᾽ ἀμφοτέρωθεν

ἠμὲν πρὸς νηῶν καὶ ὁμοιΐου πολέμοιο.
Ἕκτορα δὲ φράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδὲ μάχοντο,
ἠδ᾽ ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
οὐδ᾽ ἄρ᾽ ἔτ᾽ Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ

ἑστάμεν ἔνθά περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
ἀλλ᾽ ὅ γε νηῶν ἵκρι᾽ ἐπῴχετο μακρὰ βιβάσθων,
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι
κολλητὸν βλήτροισι δυωκαιεικοσίπηχυ.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἵπποισι κελητίζειν ἐῢ εἰδώς,

ὅς τ᾽ ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται
λαοφόρον καθ᾽ ὁδόν· πολέες τέ ἑ θηήσαντο
ἀνέρες ἠδὲ γυναῖκες· ὃ δ᾽ ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρῴσκων ἄλλοτ᾽ ἐπ᾽ ἄλλον ἀμείβεται, οἱ δὲ πέτονται·

τι ως γύριζε τις πλάτες, σκόνταψε στου σκουταριού το γύρο,
που ως χαμηλά στα πόδια του 'φτάνε, τον γλίτωνε απ᾽ τους χτύπους·
κει πάνω μπλέκοντας τ᾽ ανάσκελα κυλίστη, και το κράνος
κουδούνισε άγρια στα μελίγγια του τρογύρα, ως γκρεμιζόταν.
Τον πήρε όμως το μάτι του Έχτορα, και τρέχει ευτύς κοντά του'

στα στήθια το κοντάρι του 'μπήξε και δίπλα στους δικούς του
τον σκότωσε᾽ κι εκείνοι με όλο τους τον πόνο δεν τολμούσαν
να τον συντράμουν, τι τον Έχτορα τον έτρεμαν κι ατοί τους.
Ομπρός τους είχαν τώρα τ᾽ άρμενα, και τ᾽ ακρινά, τα πρώτα
που είχαν τραβήξει, τους περίζωναν κι οι Τρώες χύθηκαν γύρα'
κι οι Αργίτες στανικώς τραβήχτηκαν απ᾽ τα καράβια πίσω
τα πρώτα, δίπλα στα καλύβια τους, κι εκεί πια έμειναν όλοι,
κι ουδέ και δώθε κείθε σκόρπισαν τι τους κρατούσε ο φόβος,
μα κι ή ντροπή· και δίναν άπαυτα κουράγιο αναμεσό τους.
Κι απ᾽ όλους πιο ο γερήνιος Νέστορας, των Αχαιών η σκέπη,

στα γονικά τους τους εξόρκιζε θερμοπαρακαλώντας:
«Άντρες φανείτε, φίλοι, αδείλιαστοι, και τη ντροπή λογιάστε
του ξένου κόσμου, που προσμένει σας· στο νου του ας βάλει ακόμα
καθένας τα παιδιά, το ταίρι του, το βιος του, τους γονιούς του,
για στον Απάνω Κόσμο βρίσκουνται για κι έχουν πια πεθάνει'
σ᾽ αυτούς ξορκίζω σας, κι ας λείπουνε, στα γόνατα σας πέφτω'
σταθείτε ατράνταχτοι, μη στρέφετε τις πλάτες για φευγάλα !»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε ή καρδιά τους.
και τότες η Αθηνά απ᾽ τα μάτια τους σκορπάει τη μαύρη αντάρα,
τη φοβερή, κι αμέσως ξάστραψαν στο φως τα πάντα ομπρός τους,

και στη μεριά που έκαναν πόλεμο, κι εκεί τα πλοία που στέκαν.
Κι ευτύς το βροντερόφωνο Έχτορα θωρούν και τους συντρόφους,
κι αυτούς που πίσω πίσω εστέκουνταν χωρίς να πολεμούνε,
κι όσους κοντά στα γοργοτάξιδα καράβια επολεμούσαν.
Ωστόσο του Αίαντα του αντροδύναμου δεν του 'ρχονταν να στέκει
εκεί που κι οι άλλοι Αργίτες στέκουνταν αλάργα᾽ στην κουβέρτα
των καραβιών τους πηγαινόρχουνταν με δρασκελιές μεγάλες.
Κοντάρι μέσα στις παλάμες του, μακρύ, θαλασσομάχο,
εικοσαπήχινο, χαλκόδετο, κουνούσε μανιασμένος.
Πώς όταν άντρας αλογάτορας, πιδέξιος καβαλάρης,

παίρνει διαλέγει τέσσερα άλογα, κι άφοϋ τα ζέψει, τρέχει
μέσα απ᾽ τον κάμπο, σπιρουνώντας τα, να παν στο μέγα κάστρο,
μεσ᾽ από στράτα διαβατάρικη, κι άντρες γυναίκες πλήθος
τον χαίρουνταΐ᾽ κι αυτός ακούραστα δε σταματάει, μ᾽ απ᾽ το 'να
στο άλλο πηδάει και συχναλλάζει τα, καθώς αυτά πετούνε'
παρόμοια κι ο Αίαντας πηγαινόρχουνταν με δρασκελιές μεγάλες

ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ᾽ ἵκανεν,
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·

ἀλλ᾽ ὥς τ᾽ ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
ἔθνος ἐφορμᾶται ποταμὸν πάρα βοσκομενάων
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο
ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπισθε

χειρὶ μάλα μεγάλῃ, ὄτρυνε δὲ λαὸν ἅμ᾽ αὐτῷ.
αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἄντεσθ᾽ ἐν πολέμῳ, ὡς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ᾽ ἦν νόος· ἤτοι Ἀχαιοὶ

οὐκ ἔφασαν φεύξεσθαι ὑπ᾽ ἐκ κακοῦ, ἀλλ᾽ ὀλέεσθαι,
Τρωσὶν δ᾽ ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου
νῆας ἐνιπρήσειν κτενέειν θ᾽ ἥρωας Ἀχαιούς.
οἳ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·
Ἕκτωρ δὲ πρυμνῆς νεὸς ἥψατο ποντοπόροιο

καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
ἐς Τροίην, οὐδ᾽ αὖτις ἀπήγαγε πατρίδα γαῖαν.
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δῄουν ἀλλήλους αὐτοσχεδόν· οὐδ᾽ ἄρα τοί γε
τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδ᾽ ἔτ᾽ ἀκόντων,

ἀλλ᾽ οἵ γ᾽ ἐγγύθεν ἱστάμενοι ἕνα θυμὸν ἔχοντες
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ᾽ ἀπ᾽ ὤμων

ἀνδρῶν μαρναμένων· ῥέε δ᾽ αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὐχὶ μεθίει
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δὲ κέλευεν·
οἴσετε πῦρ, ἅμα δ᾽ αὐτοὶ ἀολλέες ὄρνυτ᾽ ἀϋτήν·
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε

νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
οἵ μ᾽ ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσιν
αὐτόν τ᾽ ἰσχανάασκον ἐρητύοντό τε λαόν·
ἀλλ᾽ εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς

σε άλλη κουβέρτα απ᾽ άλλη, κι έφτανε στον ουρανό η φωνή του'
κι όλο και τους Αργίτες γκάρδιωνε, τα πλοία να διαφεντέψουν
και τα καλύβια, αγριοφωνάζοντας. Μα κι ο Έχτορας ξοπίσω
μες στο στρατό των Τρωών δεν έστεκε των βαριαρματωμένων

σαν τον αϊτό, που σε πετούμενα—για μακρολαιμουδάτους
κύκνους για χήνες για και γερανούς—κοπαδιαστά ως βοσκούνε
στου πόταμου τους όχτους, άξαφνα χιμάει φτεροκοπώντας'
με ίδιαν ορμή απαντίκρυ εχίμιξε κι ο γιος του Πρίαμου πάνω
σ᾽ ένα καράβι γαλαζόπλωρο-᾽ κι ήταν του Δία το χέρι
το τρισμεγάλο που τον έσπρωξε, μαζί τους Τρώες κεντώντας.
Πεισματωμένος πάλε ο πόλεμος πλάι στα καράβια ανάβει·
θα 'λεες αδάμαστοι κι ακούραστοι πως σμίξαν πολέμαρχοι
να χτυπηθούν με τέτοια ανήμερη ξανά επαλεύαν λύσσα.
Κι είχε το κάθε ασκέρι ως μάχουνταν και λογισμό δικό του:

οι Αργίτες, πως χάθηκαν κι άδικα παλεύουν να γλιτώσουν
μ᾽ από τους Τρώες καθένας έλπιζε βαθιά στα στήθια μέσα
τα πλοία να κάψουν, τους αντρόκαρδους σκοτώνοντας Αργίτες.
Αυτά λογάριαζαν και στέκουνταν ο ένας στον άλλο αντίκρυ.
Κι ο Έχτορας τότε πελαγόδρομο, τρανό απ᾽ την πρύμνα αδράχνει
γοργό καράβι, εκείνο κάποτε τον Πρωτεσίλαο που 'χε
φέρει στην Τροία, μα δεν τον γύρισε στη γη την πατρική του.
Για το δικό του τώρα το άρμενο κι οι Τρώες κι οι Αργίτες όλοι
με λύσσα από κοντά σκοτώνουνταν, κι ουδέ και καρτερούσαν
σαγίτες και κοντάρια απάνω τους να πέφτουν απαλάργα'

ο ένας στον άλλο δίπλα στέκοντας με μια καρδιά στα στήθια
με κοφτερά πελέκια εμάχουνταν και με τσεκούρια ολούθε,
κι ακόμα με κοντάρια δίκοπα και με σπαθιά μεγάλα.
Πλήθος μαχαίρια μαυρομάνικα πανώρια τότε έπεσαν
άλλα απ᾽ τις φούχτες μες στα χώματα κι άλλα απ᾽ τους ώμους πάλε,
την ώρα που χτυπιούνταν, κι έπλεχεν η μαύρη γης στο γαίμα.
Κι ο Έχτορας απ᾽ την πρύμνα ως πιάστηκε, δεν ξέσφιγγε το χέρι,
μόνο κρατώντας το αντικόρακο παράγγελνε στους Τρώες:
«Φέρτε φωτιά, κι ασκώνετε όλοι σας τρανή φωνή στα ουράνια'
τη μέρα τούτη ο Δίας μας έδωκε για πλέριο γδικιωμό μας

τα πλοία τους όλα να πατήσουμε, που στων θεών το πείσμα
κακά μας δώσαν μύρια φτάνοντας, από ατολμία των γέρων,
που όντας εγώ ζητούσα πόλεμο στων καραβιών τις πρύμνες
κοντά, κι εμέ τον ίδιο αμπόδιζαν και το στρατό εκρατούσαν.
Μ᾽ αν όμως τότε μας ετύφλωνεν ο Δίας ο βροντολάλος

ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
ὣς ἔφαθ', οἳ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·
ἀλλ' ἀνεχάζετο τυτθόν, ὀϊόμενος θανέεσθαι
θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐσης.

ἔνθ' ἄρ' ὅ γ' ἑστήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε·
ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.

ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω,
ἦέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,
ᾗ κ' ἀπαμυναίμεσθ' ἑτεραλκέα δῆμον ἔχοντες·
ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων

πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα πατρίδος αἴης·
τὼ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.
καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι.
ὅς τις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,

τὸν δ' Αἴας οὔτασκε δεδεγμένος ἔγχεϊ μακρῷ·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὗτα.

ατός του τώρα μας ξεσήκωσε και μας αναγκαρδιώνει.»
Είπε, κι αυτοί χιμούν με πιότερη πα στους Αργίτες λύσσα.
Κι ο Αίαντας, που οι ριξιές τον ζόριζαν, πια δεν κρατήθηκε άλλο·
θαρρώντας πια πω ήρθεν η ώρα του, πισωδρομίζει λίγο
στον πάγκο απά τον εφταπίθαμο κι αφήνει την κουβέρτα.

Στάθηκε εκεί παραμονεύοντας, και το κοντάρι εκράτα -
τους Τρώες να διώχνει, την ακούραστη φωτιά που κουβαλούσαν
κι όλο και τους Αργίτες γκάρδιωνε βροντοφωνώντας άγρια:
« Αργίτες αντρειωμένοι, φίλοι μου, πιστοί σύντροφοι του Άρη,
άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιάς τη φλόγα!
θαρρείτε που άλλοι πίσω βρίσκουνται μαθές να μας σταθούνε,
για και καστρότειχο αψηλότερο, το Χάρο να μας διώξει;
τι κάστρο εδώ για μας δε βρίσκεται πυργοθωρακωμένο,
να 'χει στρατό, που σαν παλέψουμε, τη νίκη να μας δώσει.
Στων Τρωών τον κάμπο εδώ καθόμαστε των βαριαρματωμένων,

σε λίγο τόπο, πλάι στη θάλασσα, κι απ' την πατρίδα αλάργα.
Όχι η ατολμία, μόνο τα χέρια μας κρατούν το λυτρωμό μας!»
Είπε, και το κοντάρι ετίναζε το σουβλερό με λύσσα'
κι από τους Τρώες κανείς αν ζύγωνε στα βαθουλά καράβια,
φωτιά κρατώντας μες στα χέρια του στην προσταγή του Εχτόρου,
του 'ριχνε αυτός παραμονεύοντας με το μακρύ κοντάρι.
Δώδεκα χτύπησε έτσι στ' άρμενα στήθος με στήθος τότε.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Π-

-Π- ὣς οἳ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
Πάτροκλος δ᾽ Ἀχιλῆϊ παρίστατο ποιμένι λαῶν
δάκρυα θερμὰ χέων ὥς τε κρήνη μελάνυδρος,
ἥ τε κατ᾽ αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.

τὸν δὲ ἰδὼν ᾤκτιρε ποδάρκης δῖος Ἀχιλλεύς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
τίπτε δεδάκρυσαι Πατρόκλεες, ἠΰτε κούρη
νηπίη, ἥ θ᾽ ἅμα μητρὶ θέουσ᾽ ἀνελέσθαι ἀνώγει
εἰανοῦ ἁπτομένη, καί τ᾽ ἐσσυμένην κατερύκει,

δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται·
τῇ ἴκελος Πάτροκλε τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ,
ἦέ τιν᾽ ἀγγελίην Φθίης ἐξέκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον Ἄκτορος υἱόν,

ζώει δ᾽ Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι;
τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἦε σύ γ᾽ Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίης ἕνεκα σφῆς;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.

τὸν δὲ βαρὺ στενάχων προσέφης Πατρόκλεες ἱππεῦ·
ὦ Ἀχιλεῦ Πηλῆος υἱὲ μέγα φέρτατ᾽ Ἀχαιῶν
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.

βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ᾽ Ὀδυσεὺς δουρικλυτὸς ἠδ᾽ Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ.
τοὺς μέν τ᾽ ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται
ἕλκε᾽ ἀκειόμενοι· σὺ δ᾽ ἀμήχανος ἔπλευ Ἀχιλλεῦ.

μὴ ἐμέ γ᾽ οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις
αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα

πέτραι τ᾽ ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ᾽ ἐμέ περ πρόες ὦχ᾽, ἅμα δ᾽ ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.

Έτσι χτυπιούνταν στ᾽ ωριοκούβερτο καράβι γύρα ετούτοι,
κι ωστόσο ο Πάτροκλος εσίμωσε τον Αχιλλέα κι εστάθη,
δάκρυα ζεστά απ᾽ τα μάτια χύνοντας, σα μαύρη νερομάνα,
που απ᾽ αψηλό γκρεμό ξεχύνουνται τα σκοτεινά νερά της.
Κι όπως τον είδε, ο φτεροπόδαρος τον πόνεσε Αχιλλέας,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Γιατί είσαι δακρυσμένος, Πάτροκλε, σαν άπλερη παιδούλα,
που τρέχει δίπλα από τη μάνα της και της γυρεύει αγκάλη,
και πίσω την τραβάει, κι ας βιάζεται, κρατώντας τη απ᾽ το ρούχο,

και την κοιτάει στα μάτια κλαίγοντας, στα χέρια ως να την πάρει;
Με τούτη μοιάζεις τώρα, Πάτροκλε, στο κλάμα βουτηγμένος.
Στους Μυρμιδόνες έχεις τίποτα να πεις, σε μένα μήπως;
Για κι απ᾽ τη Φθία μας ήρθε μήνυμα, που εσύ το ξέρεις μόνο;
Ωστόσο λένε ζει ο Μενοίτιος, του Αχτόρου ο γιος, ακόμα,
ζει του Αιακού κι ο γιος, ο κύρης μου, στους Μυρμιδόνες μέσα,
και για τους δυο που θα λυπούμασταν πολύ βαριά, αν πέθαιναν.
Για μήπως τους Αργίτες κάθεσαι και κλαις, που ρημάζονται .
από δικό τους τώρα φταίξιμο στα βαθουλά καράβια;
Μίλα ανοιχτά, κι οι δυο να ξέρουμε, μην το κρατάς κρυμμένο.»

Και τότε εσύ, αλογάρη Πάτροκλε, βαριά βογγώντας είπες:
« Γιε του Πηλέα, που ο πιο λιοντόκαρδος στους Αχαιούς λογιέσαι,
συμπάθα με, κακό ανεβάσταχτο τους Αχαιούς πλακώνει'
τι κιόλας όλοι που ξεχώριζαν στην αντριγιά ως τα τώρα,
από κοντά η μακριά χτυπήθηκαν και στ᾽ άρμενα πλαγιάζουν.
Από σαϊτιά ο Διομήδης, ο άτρομος γιος του Τυδέα, λαβώθη,
από κοντάρι κι ο Αγαμέμνονας κι ο γαύρος Οδυσσέας,
από σαγίτα ακόμα ο Ευρύπυλος πα στο δεξιό μερί του.
Τώρα οι γιατροί με τα βοτάνια τους τ᾽ αρίφνητα γνοιάζονται
Να γιάνουν τις πληγές· αμέρωτος εσύ μονάχα μένεις.

θεός μη δώσει τέτοιο χόλιασμα κι εμέ ποτέ να λάχει!
Κακέ αντρειωμένε! Ποιος κι αργότερα θα ιδεί καλό από σένα,
αν τώρα απ᾽ το χαμό τον άδικο δε σώσεις τους Αργίτες;
Άσπλαχνε εσύ, τον αλογόχαρο Πηλέα δεν είχες, κύρη
κι ουδέ τη Θέτη μάνα᾽ η θάλασσα σ᾽ έχει γεννήσει εσένα
η αστραφτερή κι οι βράχοι οι απόγκρεμοι᾽ τόσο σκληρή η ψυχή σου!
Μ᾽ αν των θεών κανένα μήνυμα θες να ξεφύγεις τώρα,
που η σεβαστή σου το φανέρωσε μητέρα από το Δία,
καν στείλε εμένα τότε γρήγορα, μαζί και το άλλο ασκέρι
των Μυρμιδόνων φως θ᾽ αντίκριζαν οι Αργίτες έτσι κάπως.

δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ᾽ ἐμὲ σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ᾽ Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ

ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς φάτο λισσόμενος μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
οἱ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
ὤ μοι διογενὲς Πατρόκλεες οἷον ἔειπες·

οὔτε θεοπροπίης ἐμπάζομαι ἥν τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι
καὶ γέρας ἄψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ·

αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ᾽ ἐμῷ κτεάτισσα πόλιν εὐτείχεα πέρσας,
τὴν ἄψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρεΐδης ὡς εἴ τιν᾽ ἀτίμητον μετανάστην.

ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ᾽ ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ᾽ ὁπότ᾽ ἂν δὴ
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πτόλεμός τε.
τύνη δ᾽ ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,

ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
νηυσὶν ἐπικρατέως, οἱ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες
Ἀργεῖοι, Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε

θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδεΐδεω Διομήδεος ἐν παλάμῃσι

μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρεΐδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ᾽ Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἳ δ᾽ ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι μάχῃ νικῶντες Ἀχαιούς.

Και τη δικιά σου αρμάτα δώσε μου να βάλω άπα στους ώμους·
μπορεί, για σένα αν θα με πάρουνε, τον πόλεμο ν᾽ αφήσουν
οι Τρώες, κι οι Αργίτες οι πολέμαρχοι μια στάλα ν᾽ ανασάνουν,
που απόστασαν καλή στον πόλεμο κι η λίγη ανάσα ακόμα.
Κι εύκολα πέφτοντας ξεκούραστοι σε κουρασμένους πάνω,
απ᾽ τα καλύβια θα τους διώχναμε κι απ᾽ τ᾽ άρμενα στο κάστρο.»
Τέτοια μιλάει παρακαλώντας τον, ο ανέμυαλος! Τον ίδιο
πικρό χαμό του και το θάνατο να βρει παρακαλούσε!
Τότε ο Αχιλλέας ο γοργοπόδαρος βαρυγκομώντας είπε:
«Ωχού, τρισεύγενε μου Πάτροκλε, τι λόγια αυτά που κρένεις;

Μηδέ για τα γραμμένα νοιάζουμαι, που τάχα εγώ κατέχω,
μηδέ κι η μάνα μου φανέρωσε λόγο απ᾽ το Δία κανένα'
μα την καρδιά μου και τα φρένα μου βαρύς θυμός πλακώνει,
όντας ζητάει κανείς τον ίσο του να κλέψει, και να πάρει
πίσω ξανά το αρχοντομοίρι του, τι πιο είναι δυνατός του.
Αυτός ο πόνος τρώει τα σπλάχνα μου, τι έχω πολλά τραβήξει.
Την κόρη, οι γιοί που μου ξεδιάλεξαν των Αχαιών να πάρω,
κι εγώ με το σπαθί την κούρσεψα, τρανό πατώντας κάστρο,
μέσα απ᾽ τα χέρια μου ο Αγαμέμνονας την πήρε πίσω ο γαύρος,
ο γιος του Ατρέα, θαρρείς κι αψήφιστος πως ήμουν ξωμερίτης.

Μα ό,τι έγινε έγινε, ας τ᾽ αφήσουμε, τι αιώνια να κρατήσει
στα στήθη μου ο θυμός δε γίνεται, κι ας το 'χα τάξει αλήθεια
πως δε θα πάψω εγώ τη μάνητα, παρ'όντας πια θ᾽ ακούσω
να φτάνει η χλαλοή κι ο πόλεμος ως τ᾽ άρμενα μου ετούτα.
Μα τώρα εσύ τα πολυδόξαστα για φόρεσε άρματά μου,
κι έμπα στη μάχη, στους πολέμαρχους τους Μυρμιδόνες πρώτος,
αφού των Τρωών το μαύρο σύγνεφο μας ζώνει τα καράβια
με δύναμη μεγάλη ολόγυρα᾽ κι αυτοί στο ακροθαλάσσι,
οι Αργίτες, στριμωγμένοι εκόλλησαν σε λίγο στενοτόπι'
κι από την άλλη οι Τρώες εθάρρεψαν και ζύγωσαν κοντά μας'

τι πια του κράνους μου το μέτωπο να στραφταλίζει ομπρός τους
δεν το θωρούν λέω θα ξεχείλιζαν αμέσως τα χαντάκια
απ᾽ τους νεκρούς τους, όπως θα 'φευγαν, ο γιος του Ατρέα μ᾽ αγάπη
αν μου φερνόταν τώρα, κοίταξε, χτυπιούνται ομπρός στίς πρύμνες·
τι στου Διομήδη πια σταμάτησε τις φούχτες το κοντάρι
να ξεφρενιάζει, και το θάνατο να διώχνει απ᾽ τους Αργίτες·
κι ουδέ η φωνή του Ατρείδη ακούγεται να βγαίνει απ᾽ τ᾽ οχτρεμένο
το στόμα του· μοναχά του Έχτορα του αντροφονιά τρογύρα,
τους Τρώες καθώς προστάζει, ο αντίλαλος᾽ κι αυτοί κρατούν τον κάμπο
δικό τους όλο, και χουγιάζοντας τσακίζουν τους Αργίτες.

ἀλλὰ καὶ ὣς Πάτροκλε νεῶν ἄπο λοιγὸν ἀμύνων
ἔμπεσ᾽ ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ᾽ ἀπὸ νόστον ἕλωνται.
πείθεο δ᾽ ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι

πρὸς πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἄψ ἀπονάσσωσιν, ποτὶ δ᾽ ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ γ᾽ ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν

Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις·
μὴ δ᾽ ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι
Τρῶας ἐναιρόμενος προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ᾽ Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·

ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι
θήῃς, τοὺς δ᾽ ἔτ᾽ ἐᾶν πεδίον κάτα δηριάασθαι.
αἳ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
μήτέ τις οὖν Τρώων θάνατον φύγοι ὅσσοι ἔασι,
μήτέ τις Ἀργείων, νῶϊν δ᾽ ἐκδῦμεν ὄλεθρον,

ὄφρ᾽ οἷοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἴας δ᾽ οὐκ ἔτ᾽ ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ
βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ

πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ᾽ αἰεὶ
κὰπ φάλαρ᾽ εὐποίηθ᾽· ὃ δ᾽ ἀριστερὸν ὦμον ἔκαμνεν
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδὲ δύναντο
ἀμφ᾽ αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσιν.
αἰεὶ δ᾽ ἀργαλέῳ ἔχετ᾽ ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς

πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι,
ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς

πλῆξ᾽ ἄορι μεγάλῳ αἰχμῆς παρὰ καυλὸν ὄπισθεν,
ἀντικρὺ δ᾽ ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
πῆλ᾽ αὖτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
γνῶ δ᾽ Αἴας κατὰ θυμὸν ἀμύμονα ῥίγησέν τε

ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρε
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην·
χάζετο δ᾽ ἐκ βελέων. τοὶ δ᾽ ἔμβαλον ἀκάματον πῦρ
νηῒ θοῇ· τῆς δ᾽ αἶψα κατ᾽ ἀσβέστη κέχυτο φλόξ.
ὣς τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺς

Μα κι έτσι, απ᾽ τα καράβια διώχνοντας το χαλασμό, με λύσσα
χύσου στη μάχη μέσα, Πάτροκλε, μην κάψουν τα καράβια
με φάουσα φλόγα, και μας κόψουνε του γυρισμού τη στράτα.
Μα ό,τι θα πω, ως την άκρα βάλε το στο νου κι απάκουσέ μου·
τι δόξα και τιμή περίτρανη να μου χαρίσεις θέλω
μπρος στους Αργίτες, την πανέμορφη να μου γυρίσουν κόρη,
κι άλλα πολλά από πάνω ατίμητα να μου χαρίσουν δώρα.
Μόλις τους διώξεις από τ᾽ άρμενα, γύρνα τα πίσω, κι άλλη
ο άντρας της Ήρας ο βαρύβροντος αν σου χαρίζει δόξα,
μη θες τους Τρώες τους πολεμόχαρους να πολεμάς μονάχος,

δίχως εμένα᾽ τι τη δόξα μου θα λιγοστέψεις έτσι.
Και μη μεθύσεις απ᾽ τον πόλεμο κι απ᾽ τη σφαγή, κι ανοίξεις
δρόμο μπροστά, τους Τρώες σκοτώνοντας, κατά της Τροίας το
κάστρο,
μην τύχει και κανείς αθάνατος, απ᾽ τους θεούς του Ολύμπου,
στη μέση μπει᾽ τι αυτούς ο Απόλλωνας τους έχει στην καρδιά του.
Μόλις γλιτώσεις τα πλεούμενα, μεμιάς να γύρεις πίσω,
και μοναχούς τους άλλους άφησε να πολεμούν στον κάμπο.
Ε, λέει και να 'ταν, Δία πατέρα μου και Φοίβε κι Αθηνά μου,
μήτε ένας απ᾽ τους Τρώες να ξέφευγε του Χάρου, όσοι και να 'ναι,
μήτε κι Αργίτης, να γλιτώσουμε μονάχα εμείς οι δυο μας,

εμείς και να ξεκεφαλίσουμε της άγιας Τροίας το κάστρο!»
Σαν τέτοια λόγια συναλλήλως τους κουβέντιαζαν εκείνοι'
κι ο Αίαντας, που οι ριξιές τον ζόριζαν, πια δεν κρατήθηκε άλλο'
μαζί η βουλή του Δία τον δάμαζε κι οι γαύροι Τρώες που έριχναν.
Κι ολοτρογύρα απ᾽ τα μελίγγια του το στραφτερό του κράνος
απ᾽ τις χτυπιές φριχτά αντιδόνιζε, τι αλάγιαστα του έριχναν
πάνω στ᾽ αφάλια τα καλόφτιαστα᾽ κι είχε κοπεί ο ζερβός του
ο νώμος, το πολύπλουμο άπαυτα ν᾽ ανεβαστάει σκουτάρι.
Μα μ᾽ όλες τις ριξιές τρογύρα του βαστούσε εκείνος πάντα'
βαρύ λαχάνιασμα τον έπνιγε, κι απ᾽ όλο το κορμί του

κρουνός ο ιδρώτας κάτω εχύνουνταν, κι ανασασμό δεν είχε'
κακό μονάχα ολούθε επλάκωνε σε άλλο κακό από πάνω.
Πέστε μου τώρα, Μούσες, που έχετε τον Όλυμπο παλάτι,
πώς πήρε η φλόγα και πρωτόπεσε στ᾽ Αργίτικα καράβια;
Ο μέγας Έχτορας ζυγώνοντας με το μακρύ σπαθί του·
του Αίαντα χτύπησε το φράξινο κοντάρι, απά στη δέση,
και πέρα ως πέρα του το θέρισε. Κι ο γιος του Τελαμώνα
το κολοβό κοντάρι απόμεινε να παίζει μες στο χέρι'
κι ο χάλκινος χαλός βουίζοντας στη γη τινάχτη πέρα.
Και τότε ο Αίας, ανατριχιάζοντας στην άψεγη καρδιά του,

από θεού πως ήταν το 'νιωσε, κι ο Δίας ο αψηλοβρόντης
τους Τρώες πως βόηθαγε, και ζάβωνε κάθε βουλή δικιά του.
Απ᾽ τις ριξιές λοιπόν ξεμάκρυνε᾽ κι αυτοί στο πλοίο τινάζουν
φωτιάν αχόρταγη· φλόγα άσβηστη μεμιάς το περιζώνει.
Έτσι έτρωγε η φωτιά την πρύμνα του· τότε ο Αχιλλέας με βιάση

μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
ὄρσεο διογενὲς Πατρόκλεες ἱπποκέλευθε·
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν·
μή δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται·
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω.

ὣς φάτο, Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
ποικίλον ἀστερόεντα ποδώκεος Αἰακίδαο.

ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
εἵλετο δ᾽ ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.

ἔγχος δ᾽ οὐχ ἕλετ᾽ οἷον ἀμύμονος Αἰακίδαο
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ᾽ ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεὺς
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.

ἵππους δ᾽ Αὐτομέδοντα θοῶς ζευγνῦμεν ἄνωγε,
τὸν μετ᾽ Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα,
πιστότατος δέ οἱ ἔσκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην,

τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ Ἅρπυια Ποδάργη
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἴει,
τόν ῥά ποτ᾽ Ἠετίωνος ἐλὼν πόλιν ἤγαγ᾽ Ἀχιλλεύς,
ὃς καὶ θνητὸς ἐὼν ἔπεθ᾽ ἵπποις ἀθανάτοισι.

Μυρμιδόνας δ᾽ ἄρ᾽ ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς
πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἳ δὲ λύκοι ὣς
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή,
οἵ τ᾽ ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες
δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινόν·

καί τ᾽ ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου
λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
ἄκρον ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες

χτυπώντας τα μεριά του εφώναξε στον Πάτροκλο και του 'πε:
«Ομπρός, αλογοδρόμε Πάτροκλε, τρισεύγενε, ξεκρίνω
της φάουσας της φωτιάς το σφύριγμα πλάι στα καράβια τώρα'
μην πάει και πάρουν τα καράβια μας και σίγουρα χαθούμε.
Τ᾽ άρματα φόρα εσύ, το ασκέρι μας εγώ θα πάω να μάσω.»

Είπε, και κείνος πήρε κι έβαζε τη στραφτερή του αρμάτα"
και πρώτα γύρα στ᾽ αντικνήμια του στεριώνει τις κνημίδες,
τις όμορφες, που τις σφιχτόδεναν πανώσφυρα ασημένια'
δεύτερα πέρασε στο στήθος του τρογύρα του Αχιλλέα
του φτεροπόδαρου το θώρακα τον αστροπλουμισμένο'
μετά το ασημοκαρφοπλούμιστο σπαθί περνά στους ώμους,
το χάλκινο, και το κατάβαρο, θεόρατο σκουτάρι'
στο δυνατό κεφάλι του έβαλε καλοφτιαγμένο κράνος, :
κι άγρια ψηλά από πάνω ανέμιζεν η φούντα του η αλογίσια'
και δυο γερά κοντάρια εφούχτωσε, που του 'ρχονταν στο χέρι.

Μον᾽ το βαρύ, μεγάλο, ασήκωτο κοντάρι του Αχιλλέα
δεν πήρε του άψεγου᾽ δε δύνουνταν κανένας να το παίζει
Αργίτης άλλος μες στα χέρια του᾽ μόνο ο Αχιλλέας μπορούσε—
το φράξινο κοντάρι, ο Χείρωνας που απ᾽ τις κορφές του Πηλίου
για να σκοτώνει ηρώους αντρόκαρδους στον κύρη του είχε δώσει.
Κράζει μετά τον Αυτομέδοντα για να του ζέψει τ᾽ άτια'
μετά απ᾽ τον Αχιλλέα τον άτρομο τιμούσε απ᾽ όλους τούτον,
τί κάτεχε πως έστεκε άσειστος στης μάχης τη φοβέρα.
Και τ᾽ άτια αμέσως ο Αυτομέδοντας τα γρήγορα, τον Ξάνθο
και το Βαλίο, που σαν τον άνεμο γοργοπετούσαν, ζεύει.

Τα 'χε γεννήσει με το Ζέφυρο μιαν Άρπια, η Φτεροπόδα,
μια μέρα σε λιβάδι ως έβοσκε, στου Ωκεανού τους όχτους.
Και τον ασύγκριτο τον Πήδασο στ᾽ άλλα αποδίπλα ζεύει'
κουρσό τον είχε απ᾽ του Ηετίωνα φέρει ο Αχιλλέας το κάστρο,
κι αν και θνητός, μα με τ᾽ αθάνατα παράβγαινε άλογά του.
Κι ωστόσο στα καλύβια τρέχοντας τους Μυρμιδόνες όλους
αρμάτωνε ο Αχιλλέας· και φρένιαζαν αυτοί, σα σαρκοφάγοι
λύκοι, που δύναμη ακατάλυτη τους σπρώχνει, κι ως σπαράζουν
τρανή αλαφίνα διπλοκέρατη μες στα βουνά, την τρώνε
αρπαχτικά᾽ κι ως τα μουσούδια τους βάφηκαν μ᾽ αίμα άκρατο,

κοπαδιαστά να πιουν ξεκίνησαν σε μαύρη νερομάνα'
και το βαθύ νερό απανάλαφρα με τις λιγνές τους γλώσσες
λάφτουν, κι αναξερνούν τα γαίματα᾽ μα ατρόμητη στα στήθια
βαστάει η ψυχή τους, κι ας εβάρυνε τόσο πολύ η κοιλιά τους·
όμοια οι προλάτες κι οι πολέμαρχοι των Μυρμιδόνων τρέχαν

ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
ῥώοντ᾽· ἐν δ᾽ ἄρα τοῖσιν ἀρήϊος ἵστατ᾽ Ἀχιλλεύς,
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
πεντήκοντ᾽ ἦσαν νῆες θοαί, ᾗσιν Ἀχιλλεὺς
ἐς Τροίην ἡγεῖτο Διῒ φίλος· ἐν δὲ ἑκάστῃ

πεντήκοντ᾽ ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·
πέντε δ᾽ ἄρ᾽ ἡγεμόνας ποιήσατο τοῖς ἐπεποίθει
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ
υἱὸς Σπερχειοῖο διιπετέος ποταμοῖο·

ὃν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη
Σπερχειῷ ἀκάμαντι γυνὴ θεῷ εὐνηθεῖσα,
αὐτὰρ ἐπίκλησιν Βώρῳ Περιήρεος υἱῖ,
ὅς ῥ᾽ ἀναφανδὸν ὄπυιε πορὼν ἀπερείσια ἕδνα.
τῆς δ᾽ ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε

παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς ἀργεϊφόντης
ἠράσατ᾽, ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένῃσιν
ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς.
αὐτίκα δ᾽ εἰς ὑπερῷ᾽ ἀναβὰς παρελέξατο λάθρῃ

Ἑρμείας ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον πέρι μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος Εἰλείθυια
ἐξάγαγε πρὸ φόως δὲ καὶ ἠελίου ἴδεν αὐγάς,
τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο

ἠγάγετο πρὸς δώματ᾽, ἐπεὶ πόρε μυρία ἕδνα,
τὸν δ᾽ ὃ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ᾽ ἀτίταλλεν
ἀμφαγαπαζόμενος ὡς εἴ θ᾽ ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν

ἔγχεϊ μάρνασθαι μετὰ Πηλεΐωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτης δ᾽ Ἀλκιμέδων Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ᾽ ἡγεμόνεσσιν Ἀχιλλεὺς
στῆσεν ἐΰ κρίνας, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·

Μυρμιδόνες μή τίς μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι
πάνθ᾽ ὑπὸ μηνιθμόν, καί μ᾽ ᾐτιάασθε ἕκαστος·
σχέτλιε Πηλέος υἱὲ χόλῳ ἄρα σ᾽ ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·

οἵκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
ταῦτά μ᾽ ἀγειρόμενοι θάμ᾽ ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἔης τὸ πρίν γ᾽ ἐράασθε.
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.

στον ψυχωμένο γύρα σύντροφο του φτερωτού Αχιλλέα
να μαζευτούν κι ο πολεμόχαρος γιος του Πηλέα σιμά τους
τους σκουταράτους άντρες έσπρωχνε και τ᾽ άτια να κινήσουν.
Είχε ο Αχιλλέας πενήντα γρήγορα καράβια που κυβέρνα,
ο λατρευτός του Δία, σαν έφτασε στην Τροία, και στο καθένα

πενήντα παλικάρια εκάθουνταν πα στο κουπί συντρόφοι'
και πέντε κεφαλή τους έβαλε ρηγάρχες μπιστεμένους
να κυβερνούν, κι αυτός βασίλευε περίσσια πάνω απ᾽ όλους.
Στον πρώτο λόχο ο λαμπροθώρακος Μενέσθιος κυβερνούσε,
του Σπερχειού, του ουρανογέννητου του ποταμού, βλαστάρι·
μια κόρη του Πηλέα τον γέννησε πανώρια, η Πολύδωρα,
θνητή, που με θεό κοιμήθηκε, το Σπερχειό το γαύρο,
μα γιος του Βώρου νοματίζουνταν κι αγγόνι του Περήρη'
τι αυτός την πήρε απ᾽ τον πατέρα της με μυριοπλούσια δώρα.
Στόν άλλο λόχο ο γαύρος Εύδωρος αφέντευε, μιας κόρης,

της Πολυμήλας, κλεφτογέννημα, που στο χορό ήταν πρώτη,
του Φύλα η θυγατέρα· τι άρεσε του Αργοφονιά, ως την είδε
που στο χορό ετραγούδα κάποτε με άλλες μαζί κοπέλες
στη χάρη της χουγιάχτρας Άρτεμης της χρυσοδοξαρούσας.
Ευτύς στο ανώγι άνέβη κι έσμιξε κρυφά μαζί της τότε
ο πονηρός Ερμής, τρισεύγενον υγιό χαρίζοντας της,
τον Εύδωρο, καλό στο τρέξιμο, καλό και στο κοντάρι.
Κι η θεά Λεχούσα αφού η βαρύπονη της έβγαλε το γιο της
όξω στο φως, και του ήλιου αντίκρισε την άγια λάμψη, εκείνην
ο γαύρος Εχεκλής, ο ατρόμητος του Αχτόρου ύγιός, την πήρε

γυναίκα, μύρια δώρα δίνοντας, στο αρχοντικό του μέσα.
Και το μωρό το χαϊδανάσταινε με αγάπη ο γέρο Φύλας,
,.και πάντα γνοιαστικά το φρόντιζε, σαν να 'ταν γιος δικός του.
Στον τρίτο λόχο ο γιος του Μαίμαλου μπήκε αρχηγός, ο γαύρος
ο Πείσαντρος, που στο κοντάρεμα ξεχώριζε απ᾽ τους άλλους,
μετά από του Αχιλλέα το σύντροφο, στους Μυρμιδόνες μέσα.
Κι ο γέρο αλογολάτης Φοίνικας τον τέταρτο οδηγούσε,
κι ο ψυχωμένος Αλκιμέδοντας, του Λαέρκη ο γιος, τον πέμπτο.
Κι ως όλους ο Αχιλλέας τους χώρισε, και πήραν θέση δίπλα
-στους αρχηγούς, γυρνώντας μίλησε παλικαρίσια λόγια:

«Μη λησμονήσει τις φοβέρες του κανένας, Μυρμιδόνες,
που για τους Τρώες εδώ πετούσατε πλάι στα γοργά καράβια,
όσο ο θυμός μου εκράτα, κι όλοι σας τα βάζατε μαζί μου:
,,Γιε του Πηλέα σκληρέ, η μητέρα σου σε είχε χολή βυζάξει;
Άσπλαχνε εσύ, που τους συντρόφους σου στ᾽ άρμενα εδώ κρατάς μας
με το στανιό. Στα πελαγόδρομα λοιπόν καράβια ας μπούμε,
πίσω να πάμε, μια και σου 'πνίξε μαύρος θυμός τα σπλάχνα."
Τέτοια όλοι σας μαζί μου λέγατε συχνά, και τώρα να το
της μάχης πριν που λαχταρούσατε το έργο το μέγα ομπρός σας.
Ο που 'χει τώρα στήθος ατρομο στους Τρώες ας πέσει απάνω!»

ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ᾽ ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
δώματος ὑψηλοῖο βίας ἀνέμων ἀλεείνων,
ὡς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.

ἀσπὶς ἄρ᾽ ἀσπίδ᾽ ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ᾽ ἀνήρ·
ψαῦον δ᾽ ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
πάντων δὲ προπάροιθε δύ᾽ ἀνέρε θωρήσσοντο
Πάτροκλός τε καὶ Αὐτομέδων ἕνα θυμὸν ἔχοντες

πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεὺς
βῆ ῥ᾽ ἴμεν ἐς κλισίην, χηλοῦ δ᾽ ἀπὸ πῶμ᾽ ἀνέῳγε
καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
θῆκ᾽ ἐπὶ νηὸς ἄγεσθαι ἐΰ πλήσασα χιτώνων
χλαινάων τ᾽ ἀνεμοσκεπέων οὔλων τε ταπήτων.

ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ᾽ ἀνδρῶν πίνεσκεν ἀπ᾽ αὐτοῦ αἴθοπα οἶνον,
οὔτέ τεῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διὶ πατρί.
τό ῥα τότ᾽ ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
πρῶτον, ἔπειτα δ᾽ ἔνιψ᾽ ὕδατος καλῇσι ῥοῇσι,

νίψατο δ᾽ αὐτὸς χεῖρας, ἀφύσσατο δ᾽ αἴθοπα οἶνον.
εὔχετ᾽ ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λείβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών· Δία δ᾽ οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα Δωδωναῖε Πελασγικὲ τηλόθι ναίων
Δωδώνης μεδέων δυσχειμέρου, ἀμφὶ δὲ Σελλοὶ

σοὶ ναίουσ᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι,
ἠμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
τίμησας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν,
ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ·
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,

ἀλλ᾽ ἔταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσι
μάρνασθαι· τῷ κῦδος ἅμα πρόες εὐρύοπα Ζεῦ,
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται ἢ ῥα καὶ οἷος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι

μαίνονθ᾽, ὁππότ᾽ ἐγὼ περ ἴω μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεί κ᾽ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν.
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.

Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους,
κι ακόμα πιο τους λόχους έσφιξαν το βασιλιά γρικώντας.
Πώς αρμοδένει τοίχο ο μάστορας με αδρές σφιγμένες πέτρες
σπιτιού αψηλού, να το αφεντεύουνε, σύντας φυσούν οι άνεμοι·
όμοια σφιχτά τα κράνη αρμόδεναν κι οι αφαλωτές ασπίδες.
Σκούδο στο σκούδο σφιχτοσμίγουνταν, κράνος στο κράνος, άντρας
στον άντρα᾽ κι ως έσκυβαν, άγγιζαν στ᾽ αλογουρίσια κράνη
ψηλά τα κέρατα τα ολόλαμπρα᾽ τόσο πυκνά αρμόδεναν.
Κι ομπρός απ᾽ όλους ο Αυτομέδοντας κι ο Πάτροκλος, ντυμένοι
μες στ᾽ άρματα τους, πηγαινόρχουνταν, με μια καρδιά κι οι δυο
τους,

μπροστά απ᾽ τους Μυρμιδόνες στέκοντας να πολεμούν. Κι ωστόσο
μπήκε ο Αχιλλέας μες στο καλύβι του, κι ανοίγει μια κασέλα
ωριόξομπλη, που η χιοναστράγαλη του 'χε απιθώσει Θέτη,
μαζί του να την πάρει, στο άρμενο, ξεχειλιστή χιτώνες
και κάπες, να 'χει να ζεσταίνεται, κι ολόσγουρα κιλίμια.
Μαστορεμένη κούπα εφύλαγεν εκεί᾽ με τούτην άλλος
άντρας κρασί ποτέ δεν έπινε φλογόμαυρο, και μήτε
σε άλλο θεό σπονδές επρόσφερνε, μόνο στο Δία πατέρα.
Την πήρε τότε απ᾽ την κασέλα του, την πάστρεψε με θειάφι,
με λαγαρό νερό τρεχούμενο την ξέπλυνε κατόπι,

κι ατός του ως νίφτηκε, φλογόμαυρο κρασί ανασέρνει, κι έτσι
μες στην αυλή του επήρε κι έσταζε κρασί, ψηλά θωρώντας,
κι έκαμε ευκή, κι ο κεραυνόχαρος τα λόγια του άκουε Δίας:
« Δία της Δωδώνης, πρωτοκύβερνε, πελασγικέ, που μένεις
μακριά, την παγερή αφεντεύοντας Δωδώνη, και τρογύρα
χαμοκοιτάμενοι, ανιφτόποδοι, ζουν οι Σελλοί, οι δικοί σου
προφήτες· κι άλλοτε συνάκουσες την προσευκή μου εμένα
και μου 'δωσες τιμή, παιδεύοντας ανήλεα τους Αργίτες·
όμοια και τώρα αυτό το θέλημα μη μου το αρνιέσαι πάλε:
ατός μου εγώ στων πλοίων τη σύναξη θα μείνω τώρα πίσω,

μα τον πιστό τους στέλνω ακράνη μου με πλήθος Μυρμιδόνες
να πολεμήσει. Δία βροντόλαλε, δωσ᾽ του τιμή και δόξα,
και μέσα την καρδιά του στύλωσε, που κι ο Έχτορας να μάθει,
αν τάχα ο σύντροφος μου δύνεται και μόνος μες στη μάχη
να χτυπηθεί, για αν τότε ανίκητα τα χέρια του μονάχα
λυσσομανούν, σύντας στον πόλεμο κι εγώ χιμώ μαζί του
Μ᾽ απ᾽ τα καράβια πια τον πόλεμο και το κακό σα διώξει,
ας μου γυρίσει πίσω ανέβλαβος στα γρήγορα καράβια
με τους αντρόμαχους συντρόφους του και μ᾽ όλα τ᾽ άρματά του.»
Είπε, κι ο Δίας ο βαθυστόχαστος ακούει την προσευχή του,

τῷ δ᾽ ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ᾽ ἀνένευσε·
νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
δῶκε, σόον δ᾽ ἀνένευσε μάχης ἐξαπονέεσθαι.
ἦτοι ὃ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρὶ
ἂψ κλισίην εἰσῆλθε, δέπας δ᾽ ἀπέθηκ᾽ ἐνὶ χηλῷ,

στῆ δὲ πάροιθ᾽ ἐλθὼν κλισίης, ἔτι δ᾽ ἤθελε θυμῷ
εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
οἳ δ᾽ ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ᾽ ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο

εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες
αἰεὶ κερτομέοντες ὁδῷ ἔπι οἰκί᾽ ἔχοντας
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
τοὺς δ᾽ εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
κινήσῃ ἀέκων, οἳ δ᾽ ἄλκιμον ἦτορ ἔχοντες

πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσι.
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
ἐκ νηῶν ἐχέοντο· βοὴ δ᾽ ἄσβεστος ὀρώρει.
Πάτροκλος δ᾽ ἐτάροισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Μυρμιδόνες ἕταροι Πηληϊάδεω Ἀχιλῆος

ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὡς ἂν Πηλεΐδην τιμήσομεν, ὃς μέγ᾽ ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες,
γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.

ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου,
ἐν δ᾽ ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ᾽ Ἀχαιῶν.
Τρῶες δ᾽ ὡς εἶδοντο Μενοιτίου ἄλκιμον υἱὸν
αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι μαρμαίροντας,

πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ᾽ ἐλέσθαι·
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ

ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
νηῒ πάρα πρυμνῇ μεγαθύμου Πρωτεσιλάου,
καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
ἦγαγεν ἐξ Ἀμυδῶνος ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντος·
τὸν βάλε δεξιὸν ὦμον· ὃ δ᾽ ὕπτιος ἐν κονίῃσι

κι ένα απ᾽ τα δυο ο πατέρας του 'δωκε, και το άλλο του το αρνήθη
να διώξει απ᾽ τα καραβιά του 'δωκε και πόλεμο και μάχη,
μα να 'ρθει ζωντανός του αρνήθηκεν από τη μάχη πίσω.
Κι αφού έκαμε σπονδή κι ευκήθηκε στο Δία πατέρα εκείνος,
γυρνώντας στο καλύβι απίθωσε την κούπα στην κασέλα,
και στο καλύβι ομπρός εστάθηκε, τι λαχταρούσε πάντα
να βλέπει μες στον άγριο πόλεμο τους Τρώες και τους Αργίτες.
Κι αυτοί μαζί με τον αντρόκαρδο τον Πάτροκλο κινούνε
όλο καρδιά, ως που πια συνάρματοι στους Τρώες απάνω επέσαν
και χύθηκαν, σα σφήκες θα 'λεγες, στη στράτα που φωλιάζουν,

και τα μικρά παιδιά το πήρανε να τις κεντούν συνήθιο
αγγρίζοντάς τις, έτσι που 'χτισαν στο δρόμο τα κελιά τους,
τ᾽ ανέμυαλα! τι κι άλλους έκαναν κακό να βρουν μεγάλο·
κι αν να περάσει κάποιος έτυχε διαβάτης κι άθελα του
τις πείραξε, μεμιάς εχίμιξαν όλες μαζί πετώντας
όλο κουράγιο κατά πάνω του, το γόνο τους να σώσουν'
με ίδιο κουράγιο, με ίδια ανάκαρα κι οι Μυρμιδόνες πέρα
απ᾽ τ᾽ άρμενα χιμούσαν, κι άσβηστος ο αλαλητός σκωνόταν.
Και τότε ο Πάτροκλος χουγιάζοντας γκαρδιώνει τους συντρόφους:
« Πιστοί μου Μυρμιδόνες, σύντροφοι του ξακουστού Αχιλλέα,

άντρες φανείτε, ορθή κρατάτε τη της αντριγιάς τη φλόγα,
το βασιλιά μας να τιμήσουμε, που στα καράβια πρώτος
μες στους Αργίτες, κι οι σύντροφοι του στο άγριο το απάλε πρώτοι·
κι ο πρωταφέντης Αγαμέμνονας να νιώσει, ο γιος του Ατρέα,
την τύφλα του, που παραψήφησε των Αχαιών τον πρώτο.»
Αυτά είπε, κι όλοι επήραν δύναμη και στύλωσε η καρδιά τους,
κι απανωτοί στους Τρώες εχίμιξαν, καί τ᾽ άρμενα τρογύρα
αντιλάλησαν άγρια, ως φώναξαν οί ψυχωμένοι Αργίτες.
Κι οι Τρώες, ως ξέκριναν τον Πάτροκλο τον αντρειωμένο ομπρός
τους,
αυτόν και τον αμαξολάτη του, να λάμπουν στ᾽ άρματα τους,

όλοι τρομάρα εντός τους ένιωσαν, ξεστέλιωσαν οι λόχοι,
τι ο γαύρος Αχιλλέας φοβήθηκαν πως δίπλα στα καράβια
την όχτρητα έδιωξε από πάνω του κι έκαμε αγάπη πάλε'
κι όλοι τα μάτια κλωθογύριζαν, του Χάρου πώς να φύγουν.
Πρώτος ο Πάτροκλος σφεντόνισε το αστραφτερό κοντάρι
μπροστά του, μες στη μέση, όπου άρχιζαν οι πιο πολλοί να
σπάζουν,
στου Πρωτεσίλαου του τρανόψυχου τρογύρα το καράβι'
και τον τρανό Πυραίχμη επέτυχε, που 'χε τους Παίονας φέρει
απ᾽ τον Αξιό το φαρδιορέματο μακριά, απ᾽ την Αμυδώνα᾽
Στον ώμο το δεξιό τον χτύπησε, κι ανάσκελα βογγώντας

κάππεσεν οἰμώξας, ἔταροι δέ μιν ἀμφεφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
ἐκ νηῶν δ᾽ ἔλασεν, κατὰ δ᾽ ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴς δ᾽ ἄρα νηῦς λίπετ᾽ αὐτόθι· τοὶ δὲ φόβηθεν

Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ᾽ ἐπέχυντο
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ᾽ ἀλίαστος ἐτύχθη.
ὡς δ᾽ ὅτ᾽ ἀφ᾽ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
ἔκ τ᾽ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι

καὶ νάπαι, οὐρανόθεν δ᾽ ἄρ᾽ ὑπερράγη ἄσπετος αἰθήρ,
ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ
τυτθὸν ἀνέπνευσαν, πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή·
οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ᾽ Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,

ἀλλ᾽ ἔτ᾽ ἄρ᾽ ἀνθίσταντο, νεῶν δ᾽ ὑπόεικον ἀνάγκῃ.
ἔνθα δ᾽ ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
αὐτίκ᾽ ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

ῥῆξεν δ᾽ ὀστέον ἔγχος, ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ
κάππεσ᾽· ἀτὰρ Μενέλαος ἀρήϊος οὖτα Θόαντα
στέρνον γυμνωθέντα παρ᾽ ἀσπίδα, λῦσε δὲ γυῖα.
Φυλεΐδης δ᾽ Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος

μυὼν ἀνθρώπου πέλεται· περὶ δ᾽ ἔγχεος αἰχμῇ
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Νεστορίδαι δ᾽ ὃ μὲν οὗτασ᾽ Ἀτύμνιον ὀξέϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
ἤριπε δὲ προπάροιθε. Μάρις δ᾽ αὐτοσχεδὰ δουρὶ

Ἀντιλόχῳ ἐπόρουσε κασιγνήτοιο χολωθείς
στὰς πρόσθεν νέκυος· τοῦ δ᾽ ἀντίθεος Θρασυμήδης
ἔφθη ὀρεξάμενος πρὶν οὐτάσαι, οὐδ᾽ ἀφάμαρτεν,
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
δρύψ᾽ ἀπὸ μυώνων, ἀπὸ δ᾽ ὀστέον ἄχρις ἄραξε·

δούπησεν δὲ πεσών, κατὰ δὲ σκότος ὄσσε κάλυψεν.
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
βήτην εἰς Ἔρεβος Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι
υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν
θρέψεν ἀμαιμακέτην πολέσιν κακὸν ἀνθρώποισιν.

κυλίστη κατά γης, κι οι σύντροφοι τρογύρα του σκόρπισαν,
οι Παίονες᾽ τί όλοι ομπρός στον Πάτροκλο το ρίξαν στη φευγάλα,
τον αρχηγό τους μόλις σκότωσε, που ήταν στη μάχη ο πρώτος.
Κι ως τούτοι πίσω έκαμαν, έσβησε τη λαμπαδούσα φλόγα,
κι απόμεινε εκεί πέρα το άρμενο μισόκαφτο᾽ κι εκείνοι,
οι Τρώες, σκόρπισαν με άγριο τάραχο᾽ κι οι Δαναοί χύθηκαν
στα βαθουλά καράβια, κι άσωστος αλαλητός ασκώθη.
Από βουνού μεγάλου κάποτε ψηλή κορφή πώς σπρώχνει
ο Δίας ο αστραπορίχτης σύγνεφο πυκνό και φεύγει αλάργα,
και γύρα οι βίγλες όλες φαίνουνται, τ᾽ ακρόκορφα, οι λαγκάδες,

κι από τα ουράνια κάτω απέραντος ανοίγει ξάφνου ο αίθέρας᾽
όμοια κι οι Αργίτες, από τ᾽ άρμενα την άγρια φλόγα ως διώξαν,
μια στάλα ανάσαναν, μα ο πόλεμος δε σκόλαζε καθόλου·
τι οι Τρώες μπροστά στους πολεμόχαρους τους Αχαιούς ακόμα
δε γύριζαν την πλάτη στ᾽ άρμενα τα μαύρα για να φύγουν,
μον᾽ στανικώς πισωδρομίζοντας αντιστέκονταν πάντα.
Κι ως οι γραμμές της μάχης σκόρπισαν, σκοτώνει από 'ναν άντρα
κάθε αρχηγός· κι απ᾽ όλους ο άτρομος γιος του Μενοίτιου πρώτος
στο μερί πάνω τον Αρήλυκο χτυπάει, τη ράχη ως γύρνα,
με μυτερό κοντάρι χάλκινο, και βγήκε από την άλλη·

του σπάει το κόκαλο, κι απίστομα στο χώμα πέφτει εκείνος.
Μετά ο Μενέλαος ο πολέμαρχος το Θόα στο στήθος βρίσκει,
γυμνός πλάι στο σκουτάρι ως έμεινε, και την ορμή του κόβει.
Τον Άμφικλο, με φόρα ως χύνουνταν, παραμονεύει ο Μέγης,
και προλαβαίνοντας τον πέτυχε πα στο μερί, κει που 'ναι
κανείς πιο σαρκωμένος᾽ κι έκοψε τα νεύρα γύρω η μύτη
του κονταριού, κι ευτύς εσκέπασε τα μάτια του σκοτάδι.
Κι ο πρώτος απ᾽ τους γιους του Νέστορα βαρίσκει τον Ατύμνιο,
ο Αντίλοχος, και τα λαγγόνια του περνά τα απ᾽ άκρη ως άκρη,
και πέφτει ομπρός του᾽ τότε σίμωσε με το κοντάρι ο Μάρης,

θυμό γιομάτος για τ᾽ αδέρφι του᾽ μπρος στο κουφάρι εστάθη,
και χύθη απάνω στον Αντίλοχο᾽ μα πριν προφτάσει, ρίχνει
ο Θρασυμήδης, και τον πέτυχε στον ώμο ευτύς απάνω.
Του κονταριού ο χαλός διαχώρισε τ᾽ απανωβράχιονό του
από το κρέας τρογύρα, κι έσπασε το κόκαλο του ως πέρα.
Πέφτει βροντώντας, και του σκέπασε τα μάτια το σκοτάδι.
Έτσι από δυο αδερφούς σκοτώθηκαν κι ομάδι εκατεβήκαν
οι δυο του Σαρπηδόνα αντρόκαρδοι σύντροφοι μες στον Άδη,
του Αμισωδάρου οι γιοι οι πολέμαρχοι, που την αδάμαστη είχε
τη Χίμαιρα αναθρέψει, ανείπωτη ζημιά σε πλήθος κόσμο.

Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας
ζωὸν ἕλε βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
λῦσε μένος πλήξας ξίφει αὐχένα κωπήεντι.
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ᾽ ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Πηνέλεως δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ᾽ ἠκόντισαν ἄμφω·
τὼ δ᾽ αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν
φάσγανον ἐρραίσθη· ὃ δ᾽ ὑπ᾽ οὔατος αὐχένα θεῖνε

Πηνέλεως, πᾶν δ᾽ εἴσω ἔδυ ξίφος, ἔσχεθε δ᾽ οἷον
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ᾽ Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισι
νύξ᾽ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον·
ἤριπε δ᾽ ἐξ ὀχέων, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς.

Ἰδομενεὺς δ᾽ Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
νύξε· τὸ δ᾽ ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
νέρθεν ὑπ᾽ ἐγκεφάλοιο, κέασσε δ᾽ ἄρ᾽ ὀστέα λευκά·
ἐκ δ᾽ ἐτίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί· τὸ δ᾽ ἀνὰ στόμα καὶ κατὰ ῥῖνας

πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος
ἀμφεκάλυψεν.
οὗτοι ἄρ᾽ ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
σίνται ὑπ᾽ ἐκ μήλων αἱρεύμενοι, αἵ τ᾽ ἐν ὄρεσσι
ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἳ δὲ ἰδόντες

αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας·
ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἳ δὲ φόβοιο
δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ᾽ ὃ μέγας αἰὲν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ
ἵετ᾽ ἀκοντίσσαι· ὃ δὲ ἰδρείῃ πολέμοιο

ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους
σκέπτετ᾽ ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ᾽ ἑρίηρας ἑταίρους.
ὡς δ᾽ ὅτ᾽ ἀπ᾽ Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν
εἴσω

αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ,
ὡς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε,
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ᾽ ἵπποι
ἔκφερον ὠκύποδες σὺν τεύχεσι, λεῖπε δὲ λαὸν
Τρωϊκόν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.

Κι ο Αίας, του Οϊλέα ο γιος, χιμίζοντας προφταίνει, ως πιστομιόταν
μες στην αντάρα, τον Κλεόβουλο και του 'κοψε τη φόρα,
με το σπαθί του τ᾽ ωριομάνικο χτυπώντας τον στο σβέρκο"
απ᾽ το αίμα το σπαθί του επύρωσε, και κείνου τα δυο μάτια
σφάλιξε η Μοίρα η τρανοδύναμη κι ο κόκκινος ο Χάρος.
Τότε ο Πηνέλαος με το Λύκωνα τρέχουν κοντά, γιατί είχαν
ο ένας του άλλου λαθέψει κι έριξαν του κάκου τα κοντάρια'
με τα σπαθιά τους τότε σίμωσαν, κι ο Λύκωνας του δίνει
στου κράνους του αψηλά το κέρατο, μα του σπαθιού το χέρι
του σπάει᾽ τότε ο Πηνέλαος του 'δωκε κάτω απ᾽ τ᾽ αφτί, στο
σβέρκο,

και το σπαθί του εχώθη αλάκερο, κι ως μοναχά το δέρμα ·
κρατούσε, το κεφάλι εκρέμασε κι ελύθη η δύναμη του.
Τρεχάτος κι ο Μηριόνης πρόφτασε και κονταρεύει απάνω
στο δεξιόν ώμο τον Ακάμαντα, στο αμάξι του ως πηδούσε,
και πέφτει καταγής, και χύθηκε στα μάτια του σκοτάδι.
Κι ο Ιδομενέας χτυπάει με ανέσπλαχνο κοντάρι τον Ερύμα
στο στόμα, κι ο χαλός ο χάλκινος βγήκε αντικρύ περνώντας
στη ρίζα του μυαλού, και σύντριψε τα κόκαλα του τ᾽ άσπρα᾽
πετάχτηκαν τα δόντια, κι αίματα τα μάτια του γιομώσαν
τα δυο, κι απ᾽ τ᾽ ανοιχτό το στόμα του κι απ᾽ τα ρουθούνια το αίμα

ξερνούσε, και το μαύρο σύγνεφο τον έζωσε του Χάρου.
Σκοτώσαν έτσι οι Αργίτες κύβερνοι καθείς κι από 'ναν άντρα.
Πώς λύκοι ξαγριεμένοι ρίχνουνται σε αρνιά, σε ρίφια απάνω,
αρπάζοντας τα απ᾽ τα κοπάδια τους, που ανέμελος τσοπάνος
τ᾽ αφήκε στα βουνά και σκόρπισαν, κι εκείνοι βλέποντας τα
χιμούν με βιάση στ᾽ αρνοκάτσικα με την καρδιά την τρέμια'
όμοια στους Τρώες κι οι Αργίτες χίμιξαν, κι αυτοί μεμιάς το ρίχνουν
με τρόμο στο φευγιό σκληρίζοντας, πάσα αντριγιά ξεχνώντας.
Κι ο μέγας Αίας να ρίξει εγύρευε στο χαλκοκράνη πάντα
τον Έχτορα, μ᾽ αυτός, κατέχοντας την τέχνη του πολέμου,

τους ώμους τους φαρδιούς εσκέπαζε με ταύρινο σκουτάρι,
και τις σαϊτιές που βούιζαν ξέφευγε, τις κονταριές που εβρόντουν,
τι το 'νιωθε καλά πως έγερνε τώρα απ᾽ την άλλη η νίκη·
μα κι έτσι έμενε εκεί, παλεύοντας να σώσει τους συντρόφους.
Πώς απ᾽ τον Όλυμπο ένα σύγνεφο προς τ᾽ ουρανού τα βάθη
τα ξάστερα πλαταίνει, ο δρόλαπας καθώς του Δία ξεσπάζει'
όμοια κι εκείνοι έσκουζαν κι έφευγαν απ᾽ τα καράβια τότε,
καί δίχως τάξη πίσω εδιάβαιναν και τ᾽ άτια ξεμακραίναν
γοργά τον Έχτορα συνάρματο, τους άλλους παρατώντας
τους Τρώες, που το ανοιχτό τους μπόδιζε χαντάκι αθέλητα τους.

πολλοὶ δ᾽ ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι
ἄξαντ᾽ ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ᾽ ἀνάκτων,
Πάτροκλος δ᾽ ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἄρ τμάγεν· ὕψι δ᾽ ἀέλλη
σκίδναθ᾽ ὑπὸ νεφέων, τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ᾽ ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαόν,
τῇ ῥ᾽ ἔχ᾽ ὁμοκλήσας· ὑπὸ δ᾽ ἄξοσι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ᾽ ἀνακυμβαλίαζον.
ἀντικρὺ δ᾽ ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
πρόσσω ἰέμενοι, ἐπὶ δ᾽ Ἕκτορι κέκλετο θυμός·
ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι.
ὡς δ᾽ ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
ἤματ᾽ ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δή ῥ᾽ ἄνδρεσσι κοτεσσάμενος χαλεπῆνῃ,
οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
ἐκ δὲ δίκην ἐλάσωσι θεῶν ὄπιν οὐκ ἀλέγοντες·
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
πολλὰς δὲ κλιτῦς τότ᾽ ἀποτμήγουσι χαράδραι,
ἐς δ᾽ ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπικάρ, μινύθει δέ τε ἔργ᾽ ἀνθρώπων·
ὣς ἵπποι Τρῳαὶ μεγάλα στενάχοντο θέουσαι.
Πάτροκλος δ᾽ ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
εἴα ἰεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
κτείνε μεταΐσσων, πολέων δ᾽ ἀπετίνυτο ποινήν.
ἔνθ᾽ ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ
στέρνον γυμνωθέντα παρ᾽ ἀσπίδα, λῦσε δὲ γυῖα·
δούπησεν δὲ πεσών· ὃ δὲ Θέστορα Ἤνοπος υἱὸν
δεύτερον ὁρμηθείς· ὃ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ
ἧστο ἀλείς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ᾽ ἄρα χειρῶν
ἡνία ἠΐχθησαν· ὃ δ᾽ ἔγχεϊ νύξε παραστὰς
γναθμὸν δεξιτερόν, διὰ δ᾽ αὐτοῦ πεῖρεν ὀδόντων,
ἔλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς
πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
ὣς ἕλκ᾽ ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,

Πολλά φαριά, τ᾽ αμάξια σέρνοντας γοργά, μες στο χαντάκι,
του τιμονιού την άκρια ως έσπαζαν, τ᾽ αρχονταμάξια άφηναν.
Ξοπίσω ο Πάτροκλος, γκαρδιώνοντας τους Αχαιούς, τραβούσε
το χαλασμό των Τρωών γυρεύοντας· κι αυτοί γέμιζαν όλες
τις στράτες σκόρπιοι με συντάραχο και χλαλοή, κι η σκόνη
ψηλά κάτω απ᾽ τα νέφη απλώνουνταν, και πιλαλούσαν τ᾽ άτια
μακριά από τα καλύβια κι άρμενα, να πάν στο κάστρο πίσω.
Κι ο Πάτροκλος εκεί που πιότερους θωρούσε ανταριασμένους
χυνόταν με φοβέρες, κι έπεφταν κάτω απ᾽ τ᾽ αξόνια εκείνοι
με το κεφάλι, και τ᾽ αμάξια τους αναποδογύριζαν.
Και το χαντάκι αντίκρα επήδηξαν τα γρήγορα άλογα του,
τ᾽ αθάνατα, οι θεοί που κάποτε χάρισαν στον Πηλέα,
μπροστά χιμώντας, τι στον Έχτορα να ρίξει ελαχταρούσε᾽
όμως εκείνον τον ξεμακραίναν τα γρήγορα άλογά του.
Πώς όντας πιάσει μπόρα, αλάκερη πλαντάζει η γης η μαύρη,
κάποιαν ημέρα του χινόπωρου, νεροποντή σα στέλνει
ο Δίας, καθώς τον πήρε η μάνητα κι η οργή για τους ανθρώπους,
στην αγορά που κρίνουν άνομα, στραβά κρισολογώντας,
και λαχταρούν το δίκιο αψήφιστα κι ουδέ θεούς λογιάζουν
τους ποταμούς τους όλους ξέχειλους θωρούν να τρέχουν τότε,
και τις πλαγιές τα ξερορέματα να κόβουν πλημμυρώντας,
που απ᾽ το βουνό με ορμή στη θάλασσα τη σκοτεινή ως κυλούνε,
μουγκρίζουν δυνατά, ρημάζοντας τους μόχτους των ανθρώπων
όμοια βαριά εμουγκρίζαν τρέχοντας κι οι τρωικές φοράδες.
Και σύντας άριεψεν ο Πάτροκλος τις φάλαγγες τις πρώτες,
πίσω ξανά στα πλοία τις έσπρωξε᾽ κι ουδέ στο κάστρο μέσα
να μπουν τους άφηνε, κι ας το 'θελαν, μον᾽ έσφαζε χιμώντας
ολούθε, στο ποτάμι ανάμεσα και στο αψηλό το τείχος
και στα καράβια, πίσω παίρνοντας το αίμα πολλών που έπεσαν.
Τον Πρόνοο πρώτο τότε εχτύπησε με το λαμπρό κοντάρι,
γυμνός πλάι στο σκουτάρι ως έμεινε, και την ορμή του κόβει.
Βρόντηξε πέφτοντας᾽ κι ο Πάτροκλος στο Θέστορα, του Ηνόπου
το γιο. χιμώντας πάνω—κάθουνταν στ᾽ ώριο του αμάξι ετούτος
κουβαριαστός, τι ο νους του εσάστισε, και τα λουριά απ᾽ τα χέρια
του ξέφυγαν κι εκείνος σίμωσε και στη δεξιά μασέλα
τον κονταρεύει, και του πέρασε τα δόντια ως πέρα, κι έτσι
με το κοντάρι τον ανάσυρεν απ᾽ του αμαξιού το γύρο,
σε κάβο όπως ψαράς που κάθεται και σέρνει με τ᾽ αγκίστρι
και με το λιναρένιο αρμίδι του τρανό απ᾽ το κύμα ψάρι'
όμοια τον έσερνε απ᾽ τ᾽ αμάξι του με ορθάνοιχτο το στόμα,

κὰδ δ᾽ ἄρ᾽ ἐπὶ στόμ᾽ ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
αὐτὰρ ἔπειτ᾽ Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρῳ
μέσσην κὰκ κεφαλήν· ἣ δ᾽ ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὃ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.

αὐτὰρ ἔπειτ᾽ Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε
Ἰφέα τ᾽ Εὐιππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ᾽ ὡς οὖν ἴδ᾽ ἀμιτροχίτωνας ἑταίρους

χέρσ᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
κέκλετ᾽ ἄρ᾽ ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
αἰδὼς ὦ Λύκιοι· πόσε φεύγετε; νῦν θοοὶ ἔστε.
ἀντήσω γὰρ ἐγὼ τοῦδ᾽ ἀνέρος, ὄφρα δαείω
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε

Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν.
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἐπεὶ ἴδεν ἔκθορε δίφρου.
οἳ δ᾽ ὥς τ᾽ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχείλαι
πέτρῃ ἐφ᾽ ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,

ὡς οἳ κεκλήγοντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου πάϊς ἀγκυλομήτεω,
Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε·
ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
μοῖρ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.

διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
ἢ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμῳ,
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·

αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
ἄνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἴσῃ
ἄψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

αἴ κε ζὼν πέμψῃς Σαρπηδόνα ὃν δὲ δόμον δέ,
φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.

κι όπως τον έσπρωξε τ᾽ απίστομα, ξεψύχησε πεσμένος.
Μετά, ως χιμούσε ο Ερύλαος πάνω του, στην κεφαλή του ρίχνει
καταμεσός κοτρόνι, κι έσκισε στη μέση εκείνη ακέρια
στο στέριο μέσα κράνος· κι έπεσε τα μπρούμυτα στο χώμα,
και γύραθε του εχύθη ο θάνατος ο ψυχοκαταλύτης.
Μετά στον Πυρή, στον Ερύμαντα χιμίζει και στου Αργέου
το γιο Πολύμηλο, στον Εύιππο, στον αντρειωμένο Επάλτη,
και στον Εχίο και στον Τληπόλεμο και στον Ιφέα το γαϋρο,
κι όλους απανωτά τους σώριασε στη γη την πολυθρόφα.
Κι ο Σαρπηδόνας τους ξεζώνατους τους συντρόφους του ως είδε

να πέφτουν κάτω από του Πάτροκλου τα μανιασμένα χέρια,
με οργή φωνάζει τους ισόθεους προστάζοντας Λυκιώτες:
« Ντροπή, Λυκιώτες! Που μου φεύγετε; Γοργοποδαριαστείτε'
τι εγώ με τούτον τον πολέμαρχο θ᾽ αντικριστώ, να μάθω,
ποιος να 'ναι τάχα μ᾽ έτοια δύναμη, και τόση θράψη κάνει
στους Τρώες· πολλών αλήθεια αντρόκαρδων τα γόνατα έχει
λύσει.»
Είπε, κι από το αμάξι επήδηξε συνάρματος στο χώμα'
κι ως να τον δει, πετάχτη ο Πάτροκλος, κι αυτός από τ᾽ αμάξι.
Κι όπως δυο αγιούπες γαντζομύτηδες και νυχοποδαράτοι
παλεύουν δυνατά στρηνιάζοντας σε ολόρθο βράχο απάνω'

όμοια και τούτοι οι δυο σκληρίζοντας ο ένας του άλλου χιμίξαν.
Κι όπως τους είδε, τους σπλαχνίστηκε βαθιά του ο γιος του Κρόνου,
κι είπε στην Ήρα, που καί ταίρι του μαζί ήταν κι᾽ αδερφή του:
«Ωχού μου εμένα, ο πιο που αγάπησα θνητός, ο Σαρπηδόνας,
γραφτό 'ναι τώρα από τον Πάτροκλο να κατεβεί στον Άδη.
Και μέσα μου η καρδιά διχόγνωμη σαλεύει, ως διαλογούμαι,
να τον αρπάξω απ᾽ την πολύδακρη τη μάχη και στης πλούσιας
Λυκίας τα μέρη, πριν ο θάνατος τον έβρει, να τον φέρω,
για και ν᾽ αφήσω τώρα ο Πάτροκλος να πάρει τη ζωή του;»
Και τότε η σεβαστή του απάντησε βοϊδομάτη Ήρα κι είπε:

«Υγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;
Έναν θνητό πώς θες, που θάνατο του 'χει γραμμένα η Μοίρα,
τώρα ξανά απ᾽ τον πολυστέναχτο να τον γλιτώσεις Χάρο;
Κάμε ό,τι θες, μα κι όλοι οι αθάνατοι δεν έχουμε ίδια γνώμη.
Άκου, ένα λόγο τώρα θα 'λεγα, και συ στο νου σου βαλ᾽ τον:
Αν στείλεις ζωντανό στο σπίτι του το Σαρπηδόνα πίσω,
κι άλλος θεός, στοχάσου, αργότερα θα θέλει σαν και σένα
τον ακριβό του γιο απ᾽ τον πόλεμο τον άγριο να γλιτώσει'
γιατί πολλοί στου Πρίαμου μάχουνται το μέγα κάστρο γύρα
θεών υγιοί, και συ θα θύμωνες περίσσια τους γονιούς τους.

ἀλλ᾽ εἴ τοι φίλος ἐστί, τεὸν δ᾽ ὀλοφύρεται ἦτορ,
ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
αὐτὰρ ἐπὴν δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,
πέμπειν μιν θάνατόν τε φέρειν καὶ νήδυμον ὕπνον

εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
ἔνθά έ ταρχύσουσι κασίγνητοί τε ἔται τε
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε

παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
φθίσειν ἐν Τροίῃ ἐριβώλακι τηλόθι πάτρης.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
ἔνθ᾽ ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
ὅς ῥ᾽ ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,

τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ᾽ αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
δεύτερον ὁρμηθείς, ὃ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ᾽ ἔβραχε θυμὸν ἀΐσθων,
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, ἀπὸ δ᾽ ἔπτατο θυμός.

τὼ δὲ διαστήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ᾽, ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίῃσι.
τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὔρετο τέκμωρ·
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ
ἄῖξας ἀπέκοψε παρήορον οὐδ᾽ ἐμάτησε·

τὼ δ᾽ ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν·
τὼ δ᾽ αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
ἔνθ᾽ αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ᾽ ὑπὲρ ὦμον ἀριστερὸν ἦλυθ᾽ ἀκωκὴ
ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν· ὃ δ᾽ ὕστερος ὄρνυτο χαλκῷ

Πάτροκλος· τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ᾽ ἔβαλ᾽ ἔνθ᾽ ἄρα τε φρένες ἔρχαται ἀμφ᾽ ἀδινὸν κῆρ.
ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῖς
ἠὲ πίτυς βλωθρή, τήν τ᾽ οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νηΐον εἶναι·

ὣς ὃ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθείς
βεβρυχὼς κόνιος δεδραγμένος αἱματοέσσης.
ἡΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών
αἴθωνα μεγάθυμον ἐν εἰλιπόδεσσι βόεσσι,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,

Αν όμως είναι τόση η αγάπη σου και σκίζεται η καρδιά σου,
τώρα άφησε τον μες στον πόλεμο να σκοτωθεί τον άγριο,
κάτω απ᾽ του Πάτροκλου τ᾽ ανίκητα τα χέρια δαμασμένος·
κι έπειτα, σαν τον έβρει ο Χάροντας και ξεψυχήσει, στείλε
το γλυκόν Ύπνο και το Θάνατο, στα χέρια να τον πάρουν
και να τον πάνε στης απλόχωρης Λυκίας τα μέρη πέρα.
Μνημούρι εκεί οι δικοί κι οι φίλοι του με μια κολόνα απάνω
θα του σηκώσουν τι όσοι πέθαναν άλλη δε λάχαν χάρη.»
Είπε, κι ο κύρης των αθάνατων και των θνητών το δέχτη,
και ματερές ψιχάλες έριξε στο χώμα, να τιμήσει

τον ακριβό το γιο του θέλοντας, που του 'μελλε στην πλούσια
την Τροία να τον σκοτώσει ο Πάτροκλος απ᾽ την πατρίδα αλάργα.
Κι όπως τρεχάτοι κοντοζύγωσαν χιμώντας ο ένας του άλλου,
χτυπάει τον ξακουστόν ο Πάτροκλος Θρασύμηλο χιμώντας,
που αμαξολάτης ήταν έμνοστος του ρήγα Σαρπηδόνα'
στο κατωκοίλι τον εχτύπησε και την ορμή του κόβει.
Κι ο Σαρπηδόνας χύθη δεύτερος, μα το λαμπρό κοντάρι
του λάθεψε, και μόνο το άλογο, τον Πήδασο, στην πλάτη
βρίσκει δεξιά᾽ και κείνο εμούγκρισε, και ξεψυχώντας κάτω
στον κουρνιαχτό βογγώντας έπεσε, και πέταξε η ψυχή του.

Χωρίζουν τ᾽ άλλα δυο τ᾽ αλόγατα, τριζοκοπα ο ζυγός τους,
και μπλέκουν τα λουριά, το τρίζυγο σαν έπεσε άτι κάτω.
Μα ο ψυχωμένος Αυτομέδοντας ευτύς θαράπιο βρίσκει:
Το ολόμακρο σπαθί του ετράβηξε πλάι στο παχύ μερί του,
και κόβει τα λουριά του τρίζυγου, δίχως στιγμή να χάνει.
Και πήραν ίσιο δρόμο τ᾽ άλογα και στα λουριά στρώθηκαν.
Κι εκείνοι οι δυο τους ξανασίμωσαν με λυσσασμένη αμάχη·
μα πάλε ο Σαρπηδόνας λάθεψε με το λαμπρό κοντάρι,
και πέρασε ο χαλός στου Πάτροκλου τον ζερβόν ώμο απάνω,
δίχως ν᾽ αγγίξει᾽ τότε ο Πάτροκλος χιμάει με τη σειρά του,

και το κοντάρι από το χέρι του δεν έφυγε του κάκου,
μον᾽ πέτυχε η καρδιά όπου βρίσκεται ζωσμένη απ᾽ τ᾽ άλλα σπλάχνα'
κι αυτός σωριάστη, όπως σωριάζεται για δρυς για λεύκα χάμω
για πεύκο τρισμεγάλο, που 'κοψαν πα στα βουνά οι μαστόροι
με τα νιοτρόχιστα τσεκούρια τους, καρένα να το κάνουν
όμοια κι αυτός ομπρός στο αμάξι του και στ᾽ άλογα ξαπλώθη
βρουχιώντας, με τα νύχια ξύνοντας τη ματωμένη σκόνη.
Πώς σε κοπάδι ταύρο, δύναμη κι ορμή γιομάτο, λιόντας
χιμάει και τρώει, μες στα στριφτόζαλα τα βόδια τ᾽ άλλα ως βόσκει,
και κλείνει αυτός τα μάτια βόγγοντας στου λιόντα τα σαγόνια'

ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
κτεινόμενος μενέαινε, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον πολεμιστὰ μετ᾽ ἀνδράσι νῦν σε μάλα χρὴ
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας
πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ᾽ Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν
ὀφθαλμοὺς ῥῖνάς θ᾽· ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων
ἐκ χροὸς ἔλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἔποντο·
τοῖο δ᾽ ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ᾽ αἰχμήν.
Μυρμιδόνες δ᾽ αὐτοῦ σχέθον ἵππους φυσιόωντας
ἰεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ᾽ ἀνάκτων.
Γλαύκῳ δ᾽ αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
ὠρίνθη δέ οἱ ἦτορ ὅ τ᾽ οὐ δύνατο προσαμῦναι.
χειρὶ δ᾽ ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ
τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων.
εὐχόμενος δ᾽ ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
κλῦθι ἄναξ ὅς που Λυκίης ἐν πίονι δήμῳ
εἷς ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ᾽ ἀκούειν
ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείῃς ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ᾽ αὐτοῦ·
ἔγχος δ᾽ οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ᾽ ὥριστος ὄλωλε
Σαρπηδὼν Διὸς υἱός· ὃ δ᾽ οὐ οὗ παιδὸς ἀμύνει.
ἀλλὰ σύ πέρ μοι ἄναξ τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ᾽ ὀδύνας, δὸς δὲ κράτος, ὄφρ᾽ ἑτάροισι
κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν,
αὐτός τ᾽ ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτίκα παῦσ᾽ ὀδύνας ἀπὸ δ᾽ ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.

όμοια απ᾽ τον Πάτροκλο πεθαίνοντας των Λυκιωτών των γαύρων
ο πρωτολάτης δεν εδείλιασε, μον᾽ λέει στο σύντροφό του:
«Γλαύκε μου εσύ, τρανέ πολέμαρχε, καιρός να δείξεις τώρα
κονταρομάχος και πολέμαρχος πως είσαι ψυχωμένος·
πια άλλο απ᾽ τον πόλεμο μη γνοιάζεσαι, γοργόποδος αν είσαι.
Και πρώτα πρώτα ολούθε τρέχοντας των Λυκιωτών τους πρώτους
να 'ρθουν να πολεμήσουν άσκωσε στο Σαρπηδόνα γύρα,
κι έλα μετά και συ και πάλεψε τρογύρα απ᾽ το κορμί μου'
τι θα σου γίνω εγώ κι αργότερα, μέρα και νύχτα πάντα,
ντροπή και καταφρόνια, αν τ᾽ άρματα μπορέσουν και μου γδύσουν
οι Αργίτες τώρα, καθώς έπεσα στων καραβιών τις πρύμνες.
Καρδιά λοιπόν, ομπρός, ξεσήκωσε και τους δικούς μας όλους!»
Είπε, κι ο θάνατος του σκέπασε και μάτια και ρουθούνια.
Κι εκείνος τότε, απά στο στήθος του πατώντας, το κοντάρι
απ᾽ το κορμί τραβάει, κι ομάδι του ξεχύθηκαν τα σπλάχνα,
και την ψυχή εκείνου εξερίζωσε μαζί με το χαλό του.
Κι οι Μυρμιδόνες τ᾽ άτια εκράτησαν, που λαχάνιαζαν, κι όλο
να φύγουν γύρευαν, ως έμεινε το αρχονταμάξι ολάδειο.
Πίκρα βαριά το Γλαύκο επλάκωσε, τα λόγια του ν᾽ ακούσει,
κι οργή τον πήρε που δε δύνουνταν να τόνε διαφεντέψει'
μον᾽ μες στο χέρι εκράταε σφίγγοντας το μπράτσο, πού πονούσε
απ᾽ την πληγή, του Τεύκρου πού άνοιξεν η σαγιτιά, στο τείχος
το μέγα ως χίμα, απ᾽ τους συντρόφους του τη συφορά να διώξει. .
Κι ευκήθη τότε στον Απόλλωνα το μακροσαγιτάρη:
« Άκουσε, αφέντη, εσύ που βρίσκεσαι μες στη Λυκία την πλούσια
για καί στην Τροίαν εδώ, τι δύνεσαι να συνακούς ολούθε
όποιον τον ζώνει ανάγκη᾽ μ᾽ έζωσε και μένα ανάγκη τώρα'
φριχτά με τυραννάει το λάβωμα᾽ το μπράτσο μου σουβλίζουν
πόνοι δριμιοί, κι ουδέ ξεραίνεται, να σταματήσει το αίμα.
Νιώθω τον ώμο από το χτύπημα βαρύ, και το κοντάρι
δε στέκει στέριο μες στη φούχτα μου, για να ριχτώ στη μάχη
πα στους οχτρούς· κι ο πιο αντρειωμένος μας εχάθη, ο Σαρπηδόνας,
ο γιος του Δία, που δε διαφέντεψε μηδέ και το παιδί του.
Μα καν, αφέντη εσύ, την άσκημη λαβωματιά μου γιάνε,
τους πόνους κοίμισε, και δύναμη δώσ'μου ξανά, να βάλω
κουράγιο στους Λυκιώτες συντρόφους, στον πόλεμο να μπούνε,
κι ατός μου να παλέψω απ᾽ το κορμί του σκοτωμένου γύρα.»
Είπε, και την ευκή του επάκουσεν ο Απόλλωνας ο Φοίβος·
μεμιάς τους πόνους του σταμάτησε, ξεραίνει απ᾽ την πληγή του
το μαύρο γαίμα, και το στήθος του με άγριαν ορμή γιομίζει.

Γλαῦκος δ᾽ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ γήθησέν τε
ὅττί οἱ ὦκ᾽ ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
πρῶτα μὲν ὄτρυνεν Λυκίων ἡγήτορας ἄνδρας
πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε μακρὰ βιβάσθων

Πουλυδάμαντ᾽ ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
βῆ δὲ μετ᾽ Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν,
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων,
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης

θυμὸν ἀποφθινύθουσι· σὺ δ᾽ οὐκ ἐθέλεις ἐπαμύνειν.
κεῖται Σαρπηδὼν Λυκίων ἀγὸς ἀσπιστάων,
ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ·
τὸν δ᾽ ὑπὸ Πατρόκλῳ δάμασ᾽ ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλὰ φίλοι πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,

μὴ ἀπὸ τεύχε᾽ ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.
ὣς ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος
ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἔρμα πόληος

ἔσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ᾽ αὐτῷ
λαοὶ ἕποντ᾽, ἐν δ᾽ αὐτὸς ἀριστεύεσκε μάχεσθαι·
βὰν δ᾽ ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ᾽ ἄρά σφιν
Ἕκτωρ χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς
ὦρσε Μενοιτιάδεω Πατροκλῆος λάσιον κῆρ·

Αἴαντε πρώτω προσέφη μεμαῶτε καὶ αὐτώ·
Αἴαντε νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ᾽ ἀνδράσιν ἢ καὶ ἀρείους.
κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν
Σαρπηδών· ἀλλ᾽ εἴ μιν ἀεικισσαίμεθ᾽ ἑλόντες,

τεύχεά τ᾽ ὤμοιιν ἀφελοίμεθα, καί τιν᾽ ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.
ὣς ἔφαθ᾽, οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
οἳ δ᾽ ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,

σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
δεινὸν ἀΰσαντες· μέγα δ᾽ ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ᾽ ἐπὶ νύκτ᾽ ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ἐλίκωπας Ἀχαιούς·

βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν
υἱὸς Ἀγακλῆος μεγαθύμου δῖος Ἐπειγεύς,
ὅς ῥ᾽ ἐν Βουδείῳ εὖ ναιομένῳ ἤνασσε
τὸ πρίν· ἀτὰρ τότε γ᾽ ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
ἐς Πηλῆ᾽ ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·

Κι ο Γλαύκος το 'νιώσε στα φρένα του και χάρηκε η καρδιά του,
που έτσι τρανός θεός συνάκουσε μεμιάς την προσευκή του.
Και πρώτα πρώτα ολούθε τρέχοντας των Λυκιωτών τους κάλλιους
να 'ρθουν να πολεμούν ξεσήκωσε στο Σαρπηδόνα γύρα'
μετά στους Τρώες μακροσκελίζοντας κινούσε, κει που έστεκαν
ο γιος του Πάνθου ο Πολυδάμαντας κι ο Αγήνορας ο θείος,
κι ήταν κι ο Αινείας μαζί τους κι ο Έχτορας ο χαλκοκρανωμένος.
Στάθη κοντά τους, κι ανεμάρπαστα του συντυχαίνει λόγια:
« Έχτορα, τώρα πια αποξέχασες τους σύμμαχους σου αλήθεια,
που εδώ μακριά από την πατρίδα τους και τους δικούς για σένα

σκοτώνουνται, μα εσύ δε γνοιάζεσαι βοήθεια να τους δώσεις.
Των Λυκιωτών ο πρώτος κοίτεται νεκρός, ο Σαρπηδόνας,
που πάντα τη Λυκία διαφέντευε, κριτής και πολέμαρχος·
ο Άρης ο χάλκινος τον σκότωσε στου Πάτροκλου τα χέρια.
Όμως σταθείτε, φίλοι, δίπλα του, κι ας μη δεχτεί η καρδιά σας
το σκοτωμένο να ντροπιάσουνε, να πάρουν τ᾽ άρματά του
οι Μυρμιδόνες, για όσους χάθηκαν Αργίτες μανιασμένοι,
που τα κοντάρια μας τους σκότωσαν μπρος στα γοργά καράβια.»
Έτσι είπε αυτός, και κατακέφαλα περίζωσε τους Τρώες
καημός αβάσταχτος, αγιάτρευτος᾽ τι στο καστρί τους πύργο,

ξένος κι ας ήταν, τον λογάριαζαν, κι έσερνε πλήθιο ασκέρι
κοντά, κι ατός του μες στον πόλεμο ξεχώριζε απ᾽ τους πρώτους.
Με λύσσα στους Αργίτες έπεσαν λοιπόν θυμό γιομάτος,
-που εχάθη ο Σαρπηδόνας, ο Έχτορας τραβούσε ομπρός. Ωστόσο
η αντρίστικη καρδιά του Πάτροκλου ξεσήκωνε τους άλλους·
στους δυο τους Αίαντες πρώτα εμίλησε, που φρένιαζαν κι ατοί
τους:
« Αίαντες, τώρα να βοηθήσετε καιρός με την καρδιά σας,
την ίδια αντρεία όπως πάντα δείχνοντας και πιο μεγάλη ακόμα.
Κοίτεται ο πρώτος στο καστρότειχο των Αχαιών που εμπήκε,
ο Σαρπηδόνας· να τον παίρναμε, και την αρματωσιά του

να γδύναμε, να τον ντροπιάζαμε᾽ και να σκοτώναμε όλους
με ανέσπλαχνο χαλκό, που θα 'τρεχαν να τόνε διαφεντέψουν.»
Είπε, μ᾽ αυτοί κι ατοί τους λόγιαζαν να κρατηθούν αντρίκεια'
κι ως απ᾽ τις δυο μεριές τους λόχους τους στέριωσαν ο καθένας,
Λυκιώτες, Τρώες, Αργίτες έσμιξαν και Μυρμιδόνες—όλοι,
και πιάστηκαν τρογύρα απ᾽ τ᾽ άψυχο κορμί του σκοτωμένου,
φριχτά χουγιάζοντας, κι οι αρμάτες τους αλάγιαστα βροντούσαν
κι ο Δίας με νύχτα μαύρη ετύλιξε τ᾽ αντροπαλέματά τους,
για να ξεσπάσει ανήλεος πόλεμος τρογύρα απ᾽ τον υγιό του.
Οι Αργίτες πρώτοι πισωδρόμισαν οι στραφτομάτες τότε'

τι όχι απ᾽ τους πιο αχαμνούς χτυπήθηκε στους Μυρμιδόνες
κάποιος,
ο Επειγέας, ο αρχοντογέννητος γιος του Αγακλή του γαύρου,
που στο Βουδείο την αρχοντόχωρα βασίλευε σε χρόνια
παλιά, μα ως σκότωσε έναν ξάδερφο τρανό, στη Θέτη επήγε

οἳ δ᾽ ἅμ᾽ Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἔπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
τόν ῥα τόθ᾽ ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὁ δ᾽ ἄρα πρηνὴς ἐπὶ νεκρῷ

κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλῳ δ᾽ ἄρ᾽ ἄχος γένετο φθιμένου ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ἐοικὼς
ὠκέϊ, ὅς τ᾽ ἐφόβησε κολοιούς τε ψῆράς τε·
ὡς ἰθὺς Λυκίων Πατρόκλεες ἱπποκέλευθε

ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο.
καί ῥ᾽ ἔβαλε Σθενέλαον Ἰθαιμένεος φίλον υἱὸν
αὐχένα χερμαδίῳ, ῥῆξεν δ᾽ ἀπὸ τοῖο τένοντας.
χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
ὅσση δ᾽ αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,

ἣν ῥά τ᾽ ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ
ἠὲ καὶ ἐν πολέμῳ δηΐων ὕπο θυμοραϊστέων,
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ᾽ Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος Λυκίων ἀγὸς ἀσπιστάων
ἐτράπετ᾽, ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον

Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ
στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
δούπησεν δὲ πεσών· πυκινὸν δ᾽ ἄχος ἔλλαβ᾽ Ἀχαιούς,

ὡς ἔπεσ᾽ ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
στὰν δ᾽ ἀμφ᾽ αὐτὸν ἰόντες ἀολλέες· οὐδ᾽ ἄρ᾽ Ἀχαιοὶ
ἀλκῆς ἐξελάθοντο, μένος δ᾽ ἰθὺς φέρον αὐτῶν.
ἔνθ᾽ αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν
Λαόγονον θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς

Ἰδαίου ἐτέτυκτο, θεὸς δ᾽ ὡς τίετο δήμῳ.
τὸν βάλ᾽ ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ᾽ ἀπὸ μελέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος
εἷλεν.
Αἰνείας δ᾽ ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος.

ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε, τὸ δ᾽ ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ᾽ οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης.
αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης

τη χιοναστράγαλη προσπέφτοντας και στον Πηλέα το ρήγα'
κι αυτοί μαζί με τον πολέμαρχο τον Αχιλλέα τον στείλαν
πέρα στην Τροία την καλοφόραδη, τους Τρώες να πολεμήσει.
Μα στο νεκρό όπως τώρα ζύγωνε, τον βρίσκει με λιθάρι
στην κεφαλή του ο μέγας Έχτορας, κι αυτή στα δυο εχωρίστη
στο στέριο μέσα κράνος, κι έπεσε τ᾽ απίστομα στο χώμα,

και γύραθέ του εχύθη ο θάνατος ο ψυχοκαταλύτης.
Πικράθη ο Πάτροκλος το σύντροφο νεκρό να ιδεί να πέφτει,
καί χύθη ομπρός μέσα απ᾽ τους πρόμαχους, ίδια γοργό γεράκι,
που οι καλιακούδες όλες φεύγουνε και τα ψαρόνια ομπρός του᾽
ίδιος, αλογοδρόμε Πάτροκλε, στους Τρώες απάνω εχύθης
και στους Λυκιώτες, για το σύντροφο που εχάθη μανιασμένος·
και το Σθενέλαο, το πανάκριβο βλαστάρι του Ιθαιμένη,
με πέτρα απά στο σβέρκο επέτυχε, και του 'κοψε τα νεύρα᾽
πισωδρομίζει ο γαύρος Έχτορας, μαζί κι οι μπροστομάχοι.
Όσο του μακρού πάει ψιλόλιγνο κοντάρι, που το ρίχνει

τη δύναμη του δοκιμάζοντας για στους αγώνες κάποιος,
για και στη μάχη, οχτροί σαν πλάκωσαν να σφάξουν και να ράνουν
τόσο κι οι Τρώες επισωδρόμισαν, σπρωγμένοι απ᾽ τους Αργίτες.
Πρώτος ο Γλαύκος, των πολέμαρχων των Λυκιωτών ο ρήγας,
πίσω γυρνάει, και τον συντρόκαρδο το Βαθυκλή σκοτώνει,
το γιο τον ακριβό του Χάλκωνα, που ζούσε στην Ελλάδα,
πρώτος σε βιος και πλούτη ανάμεσα στους Μυρμιδόνες όλους.
Ετούτον χτύπησε κατάστηθα με το κοντάρι ο Γλαύκος
γυρνώντας ξάφνου, όπως τον έφτανε πα στο κυνήγι εκείνος·
κι ως έπεσε με βρόντο, ανείπωτα τον πόνεσαν οι Αργίτες,

τέτοιο αντρειωμένο, κι αναγάλλιασαν οι Τρώες από την άλλη.
Κι ήρθαν τρογυρα του καί στάθηκαν πολλοί᾽ κι οι Αργίτες όμως
της αντριγιάς αναθυμήθηκαν κι απάνω τους χύθηκαν.
Τότε ο Μηριόνης κάποιον σκότωσε ρηγάρχη από τους Τρώες,
το Λαογόνο, γιο του Ονήτορα τρανό, του Δία της Ίδας
ιερέας που εστάθη και τον σέβουνταν σαν τους θεούς ο κόσμος·
κάτω απ᾽ τ᾽ αφτί κι απ᾽ το σαγόνι του τον βρήκε, κι η ψυχή του
απ᾽ το κορμί με βιάση ως έφυγε, τον πήρε το σκοτάδι.
Κι ο Αινείας το χάλκινο κοντάρι του τινάζει στο Μηριόνη·
τί ως πίσω απ᾽ το σκουτάρι επήγαινε, πώς θα τον βρει λογιούσε'

μα είδε απαντίκρα αυτός το χάλκινο κοντάρι και ξεφεύγει·
τι έσκυψε ομπρός, και πίσω εχώθηκε στο χώμα το κοντάρι,
πέρα μακριά, κι η ουρά του απόμεινε σεινάμενη να τρέμει,
ωσόπου η ορμή του καταλάγιασε κι η δύναμη του εχάθη. :
Έτσι έμεινε ο χαλός σφαράζοντας του Αινεία στο χώμα μέσα

ᾤχετ’, ἐπεί ῥ’ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Αἰνείας δ’ ἄρα θυμὸν ἐχώσατο φώνησέν τε·
Μηριόνη τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ’ ἔβαλόν περ.
τὸν δ’ αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα·

Αἰνεία χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς

εὖχος ἐμοὶ δοίης, ψυχὴν δ’ Ἀΐδι κλυτοπώλῳ.
ὣς φάτο, τὸν δ’ ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·
Μηριόνη τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις;
ὦ πέπον οὔ τοι Τρῶες ὀνειδείοις ἐπέεσσι
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει.

ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ’ ἐνὶ βουλῇ·
τὼ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.
ὣς εἰπὼν ὃ μὲν ἦρχ’, ὃ δ’ ἅμ’ ἕσπετο ἰσόθεος φώς.
τῶν δ’ ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει
οὔρεος ἐν βήσσῃς, ἔκαθεν δέ τε γίγνετ’ ἀκουή,

ὣς τῶν ὄρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ’ εὐποιητάων,
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
οὐδ’ ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν

ἐκ κεφαλῆς εἵλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
οἳ δ’ αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺς

τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ’ αὐτοὺς αἰὲν ὅρα καὶ φράζετο θυμῷ,
πολλὰ μάλ’ ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
αὐτοῦ ἐπ’ ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ

χαλκῷ δῃώσῃ, ἀπό τ’ ὤμων τεύχε’ ἕληται,
ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι
ὅφρ’ ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν

μπηγμένος άδικα, ξεφεύγοντας απ’ το γερό του χέρι.
Κι ο Αινείας όλο θυμό και μάνητα φωνή μεγάλη σέρνει:
« Χορευταράς κι αν είσαι, σίγουρα, Μηριόνη, το κοντάρι
να σ’ έβρισκε μονάχα, σου 'κοβε τη φόρα μια για πάντα!»
Τότε ο Μηριόνης του αποκρίθηκε, του κονταριού ο τεχνίτης:

«Αινεία, τρανή κι αν έχεις δύναμη, σα δύσκολο να κόψεις
τη φόρα σπ’ όλους που σου χύνουνται και λαχταρούν μαζί σου
να πολεμούν θνητός γεννήθηκες και συ μαθές, στοχάσου.
Ο κοφτερός χαλκός μου αν έβρισκε κατάκορμα και σένα,
θα 'δινες λέω, κι ας έχεις δύναμη κι αντρεία, σε μένα τότε
δόξα τρανή, στον καλοφόραδο τον Άδη τη ζωή σου.»
Αυτά είπε, κι ο αντρειωμένος Πάτροκλος μιλάει μαλώνοντας τον:
«Μηριόνη, τώρα αυτά τι τα 'θελες, και παλικάρι που 'σαι;
Με λόγια και βρισιές, καλότυχε, δε θα τραβήξουν χέρι
οι Τρώες απ’ το νεκρό· πρωτύτερα θα φάει το χώμα κι άλλους.

Τα λόγια κυβερνούν στη σύναξη, στον πόλεμο τα μπράτσα"
τα λόγια το λοιπόν παράτησε και πιάσε το κοντάρι!».
Είπε, και μπήκε ομπρός, κι ο ισόθεος τον ακολούθησε άντρας.
Από βουνού φαράγγι σύχλωρο ψηλά πως ανεβαίνουν
απ’ τους λατόμους τα χτυπήματα και από μακριά γρικιούνται'
όμοια κι αυτών οι βρόντοι ανέβαιναν ψηλά απ’ της γης τα πλάτη
απ’ το χαλκό κι απ’ τα καλόφτιαστα, βοϊδόπετσα σκουτάρια,
τα δίκοπα κοντάρια ως πάνω τους και τα σπαθιά κρουγόνταν.
Κι ουδέ ποτέ κανένας που 'ξερε το θείο το Σαρπηδόνα
θα τον ξεχώριζε· τι γαίματα και σκόνες και κοντάρια

αποκορφής τον αποσκέπαζαν ως με τ’ ακρόποδά του.
Κι όλο πύκνωναν στο κουφάρι του τρογυρα, σαν τις μύγες
που ζουζουνούν στη μάντρα, ολόγυρα στις γαλατοκαρδάρες,
την άνοιξη, καθώς ξεχείλισε στους άρμεγούς το γάλα'
όμοια κι εκείνοι στο κουφάρι του μαζεύουνταν τρογυρα.
Κι ο Δίας στιγμή απ’ τον άγριο πόλεμο δε σήκωνε τα μάτια
τ’ αστραφτερά, μον’ θώρειε αδιάκοπα, κι εντός του εστοχαζόταν
πολλά για το χαμό του Πάτροκλου, κι αναρωτιόταν, τάχα
να τον σκοτώσει δίχως άργητα μες στη σφαγή την άγρια
με το κοντάρι ο γαύρος Έχτορας στου ισόθεου Σαρπηδόνα

το κορμί πάνω, κι απ’ τους ώμους του να πάρει τ’ άρματά του,
για και σε πιο πολλούς τον παιδεμό τον άγριο να πληθύνει;
Κι αυτό του είκάστη, ως διαλογίζουνταν, το πιο καλό πως είναι:
Μια φορά ακόμα πάλε ο σύντροφος του ξακουστού Αχιλλέα
τους Τρώες ομάδι και τον Έχτορα το χαλκοκράνη πίσω

ὥσαιτο προτὶ ἄστυ, πολέων δ᾽ ἀπὸ θυμὸν ἔλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·
ἐς δίφρον δ᾽ ἀναβὰς φύγαδ᾽ ἔτραπε, κέκλετο δ᾽ ἄλλους
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
ἔνθ᾽ οὐδ᾽ ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν

πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλαμμένον ἦτορ
κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ᾽ αὐτῷ
κάππεσον, εὖτ᾽ ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
οἳ δ᾽ ἄρ᾽ ἀπ᾽ ὤμοιιν Σαρπηδόνος ἔντε᾽ ἔλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας

δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
καὶ τότ᾽ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
εἰ δ᾽ ἄγε νῦν φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἀπὸ πρὸ φέρων λοῦσον ποταμοῖο ῥοῇσι

χρῖσόν τ᾽ ἀμβροσίῃ, περὶ δ᾽ ἄμβροτα εἵματα ἕσσον·
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι
ὕπνῳ καὶ θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
θήσουσ᾽ ἐν Λυκίης εὐρείης πίονι δήμῳ,
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε

τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων.
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν,
αὐτίκα δ᾽ ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας
πολλὸν ἀπὸ πρὸ φέρων λοῦσεν ποταμοῖο ῥοῇσι

χρῖσέν τ᾽ ἀμβροσίῃ, περὶ δ᾽ ἄμβροτα εἵματα ἕσσε·
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
ὕπνῳ καὶ θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.
Πάτροκλος δ᾽ ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας

Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ᾽ ἀάσθη
νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν
ἦ τ᾽ ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
ἀλλ᾽ αἰεί τε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν·
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην

ῥηϊδίως, ὅτε δ᾽ αὐτὸς ἐποτρύνῃσι μάχεσθαι·
ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
ἔνθα τίνα πρῶτον τίνα δ᾽ ὕστατον ἐξενάριξας
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατον δὲ κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον

να ρίξει στο καστρί, και θάνατο σε Τρώες πολλούς να δώσει.
Απ᾽ 'ολους πριν στο στήθος του Έχτορα περίσσια δείλια βάνει'
πηδάει στο αμάξι του, και φεύγοντας φωνάζει και στους άλλους
τους Τρώες να φύγουν, τι τη γνώρισε τη ζυγαριά του Δία.
Κι ουδέ οι τρανοί Λυκιώτες βάσταξαν, μον᾽ διασκορπίσαν όλοι,

το ρήγα τους θωρώντας άψυχο μες στους νεκρούς τους άλλους
να κοίτεται᾽ τι πλήθος πάνω του σωριάζουνταν, του Κρόνου
ο γιος το σκοτωμό ως ξεσήκωνε τον άγριο αναμεσό τους.
Κι από τους ώμους τότε τ᾽ άρματά του Σαρπηδόνα γδύνουν,
που άστραφταν χάλκινα, κι ο αντρόκαρδος γιος του Μενοίτιου τότε
τα δίνει να τα παν οι σύντροφοι στα βαθουλά καράβια.
Κι ο Δίας στο Φοίβο εστράφη κι έλεγεν ο νεφελοστοιβάχτης:
« Απ᾽ τις ριξιές, ομπρός, Απόλλωνα, το Σαρπηδόνα βγάλε'
τα μελανά του σφούγγιξε αίματα, μετά κουβάλησε τον
μακριά πολύ, στο ρέμα λούσε τον του ποταμού, με λάδι

αθάνατο άλειψε τον, φόρα του θεϊκό χιτώνα γύρω,
και στους γοργούς περαματάρηδες, τα διδυμάρια αδέρφια,
δωσ᾽ τον, στον Ύπνο και στο Θάνατο, για να τον κουβαλήσουν
πέρα στης καρπερής κι απλόχωρης Λυκίας τα καμποτόπια.
Μνημούρι εκεί οι δικοί κι οι σύντροφοι με μια κολόνα απάνω
θα του σηκώσουν τι όσοι πέθαναν άλλη δε λάχαν χάρη.»
Είπε, κι ο Φοίβος δεν παράκουσε το λόγο του κυρού του᾽
απ᾽ τα βουνά της Ίδας έτρεξε στην άγρια μέσα μάχη,
κι απ᾽ τις ριξιές γοργά ανασήκωσε το θείο το Σαρπηδόνα
μακριά· στου ποταμού τον έλουσε το ρέμα, τον αλείφει

με λάδι αθάνατο, του φόρεσε θεϊκό χιτώνα γύρω,
και στους γοργούς περαματάρηδες, τον δίνει να τον πάρουν,
μαζί στον Ύπνο και στο Θάνατο, τα διδυμάρια αδέρφια,
που ευτύς στην καρπερή κι απλόχωρη Λυκία τον απίθωσαν.
Κι ο Πάτροκλος τον Αυτομέδοντα και τ᾽ άτια του προστάζει,
και στο κυνήγι επήρε κι έστρωσε τους Τρώες και τους Λυκιώτες
—κακό της κεφαλής του, ο ανέμυαλος! τι του Αχιλλέα το λόγο
αν άκουε, την κακιά θα ξέφευγε του μαύρου Χάρου μοίρα.
Μ᾽ απ᾽ των θνητών πιο πάνω στέκουνται πάντα οι βουλές του Δία᾽
τι αυτός κι απ᾽ του αντρειωμένου ακόπιαστα τα χέρια αρπάει τη
νίκη

και στο φευγιό τον ρίχνει, κι άλλοτε να χτυπηθεί τον σπρώχνει.
Και τότε ήταν ο Δίας τον Πάτροκλο που γέμισε κουράγιο.
Πάτροκλε, ο πρώτος ποιος που σκότωσες, ποιος ο στερνός
αλήθεια,
την ώρα αυτή, οι θεοί στο θάνατο που σ᾽ είχαν πια καλέσει·

καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ᾽ Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
τοὺς ἕλεν· οἱ δ᾽ ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Πατρόκλου ὑπὸ χερσί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν,

εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
ἔστη τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ᾽ ἀρήγων.
τρὶς μὲν ἐπ᾽ ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ᾽ αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων
χείρεσσ᾽ ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων.

ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ᾽ ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
χάζεο διογενὲς Πατρόκλεες· οὔ νύ τοι αἶσα
σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
οὐδ᾽ ὑπ᾽ Ἀχιλλῆος, ὅς περ σέο πολλὸν ἀμείνων.

ὣς φάτο, Πάτροκλος δ᾽ ἀνεχάζετο πολλὸν ὀπίσσω
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ᾽ ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.

ταῦτ᾽ ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων
ἀνέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίῃ ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο·

τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορ τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ᾽ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τώ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
ἀλλ᾽ ἄγε Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,

αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.
ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Κεβριόνῃ δ᾽ ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
ἵππους ἐς πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
δύσεθ᾽ ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισιν

ἦκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ᾽ ἄλλους μὲν Δαναοὺς ἔα οὐδ᾽ ἐνάριζεν·
αὐτὰρ ὃ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
Πάτροκλος δ᾽ ἐτέρωθεν ἀφ᾽ ἵππων ἅλτο χαμᾶζε
σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον

Τον Άδραστο καί τον Επίστορα και τον Αυτόνοο πρώτα,
του Μέγα τον υγιό τον Πέριμο, τον Έλασο, το Μούλιο,
τον Έχεκλο και το Μελάνιππο μετά και τον Πυλάρτη.
Κι οι άλλοι, ως τον είδαν που τους σκότωνε, το ρίξαν στη φευγάλα.
Οι Αργίτες τότε το αψηλόπορτο της Τροίας θα παίρναν κάστρο,
ως χίμα ο Πάτροκλος, τι φρένιαζε γύρω μπροστά χτυπώντας,

αν δε στεκόταν στον καλόχτιστο τον πύργο απάνω ο Φοίβος,
τους Τρώες βοηθώντας και λογιάζοντας πολλά κακά για κείνον.
Τρεις πάτησε φορές ο Πάτροκλος στ᾽ ολόρθο καστροτείχι,
πα στη γωνιά, και τρεις ο Απόλλωνας του σπρώχνει το σκουτάρι
με τα δυο χέρια του τ᾽ αθάνατα, και τον τινάζει πίσω.
Μα σύντας χίμιξε και τέταρτην, ίδια θεός, ο Φοίβος
ο μακρορίχτης φοβερίζοντας άγρια φωνή του σέρνει:
« Πάτροκλε, πίσω, αρχοντογέννητε! Με το κοντάρι σου, όχι,
των Τρωών των πέρφανων δε γράφτηκε να πατηθεί το κάστρο,
μηδέ με του Αχιλλέα, που ασύγκριτα πιο αντρόκαρδος λογιέται.»

Ετσι του μίλησε, κι ο Πάτροκλος πίσω πολύ ετραβήχτη,
του μακροσαγιτάρη Απόλλωνα τη μάνητα να φύγει.
Κι ο Έχτορας τ᾽ άτια τα μονόνυχα κρατάει στο Ζερβοπόρτι,
κι αναρωτιόταν, να τα γύριζε, να μπει ξανά στη μάχη,
για να προστάξει, στο καστρότειχο να σφαλιχτεί ο στρατός του.
Κι ως τούτα ανάδευεν, ο Απόλλωνας πρόβαλε ομπρός του ο
Φοίβος,
μ᾽ έναν θνητό αντρειωμένο μοιάζοντας και δυνατό, τον Άσιο'
θείος του αλογάρη Εχτόρου εκράζουνταν από μητέρα ετούτος·
τι ήταν υγιός μαθές του Δύμαντα κι αδέρφι της Εκάβης,
και στου Σαγγάριου πλάι τα ρέματα, μες στη Φρυγίαν εζούσε.

Με τούτον μοιάζοντας ο Απόλλωνας, ο γιος του Δία, του κάνει:
« Απ᾽ τη σφαγή τι φεύγεις, Έχτορα; Δε σου ταιριάζει εσένα!
Αχ, να 'μουν τόσο πιο λιοντόκαρδος όσο 'μαι πιο αχαμνός σου,
κι άσκημα τότε θα το πλήρωνες να φεύγεις απ᾽ τη μάχη!
Ομπρός, με τ᾽ ατσαλόνυχα άτια σου τον Πάτροκλο κυνήγα,
μπας τον σκοτώσεις, και περίτρανη σου δώσει ο Φοίβος δόξα.»
Ως είπε αυτά ο θεός, στο αντρίστικο γυρνά ξανά τ᾽ απάλε'
κι ο μέγας Έχτορας του αντρόκαρδου Κεβριόνη ευτύς φωνάζει
να του κεντήσει πίσω τ᾽ άλογα για τη σφαγή· κι ο Φοίβος
στ'ασκέρια ωστόσο έχώθη τρέχοντας, καί στους Αργίτες άγρια

σκορπίζει ταραχή, τον Έχτορα τιμώντας και τους Τρώες.
Κι ο Έχτορας άφηνε, δε σκότωνε τους Δαναούς τους άλλους·
με τ᾽ ατσαλόνυχα άτια εγύρευε τον Πάτροκλο μονάχα.
Κι ο Πάτροκλος πηδά απ᾽ τ᾽ αμάξι του τότε στη γη, κι εκράτα
στο ζερβί χέρι το κοντάρι του, με τ᾽ άλλο αρπάει μια πέτρα

μάρμαρον ὀκριόεντα τόν οἱ περὶ χεὶρ ἐκάλυψεν,
ἦκε δ᾽ ἐρεισάμενος, οὐδὲ δὴν χάζετο φωτός,
οὐδ᾽ ἀλίωσε βέλος, βάλε δ᾽ Ἕκτορος ἡνιοχῆα
Κεβριόνην νόθον υἱὸν ἀγακλῆος Πριάμοιο
ἵππων ἡνί᾽ ἔχοντα μετώπιον ὀξέϊ λᾶϊ.

ἀμφοτέρας δ᾽ ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
αὐτοῦ πρόσθε ποδῶν· ὃ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ἐοικὼς
κάππεσ᾽ ἀπ᾽ εὐεργέος δίφρου, λίπε δ᾽ ὀστέα θυμός.
τὸν δ᾽ ἐπικερτομέων προσέφης Πατρόκλεες ἱππεῦ·

ὢ πόποι ἦ μάλ᾽ ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν
νηὸς ἀποθρῴσκων, εἰ καὶ δυσπέμφελος εἴη,
ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.

ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.
ὣς εἰπὼν ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
ὣς ἐπὶ Κεβριόνῃ Πατρόκλεες ἅλσο μεμαώς.

Ἕκτωρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἅλτο χαμᾶζε.
τὼ περὶ Κεβριόναο λέονθ᾽ ὡς δηρινθήτην,
ὥ τ᾽ ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο
ἄμφω πεινάοντε μέγα φρονέοντε μάχεσθον·
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς

Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν οὐχὶ μεθίει·
Πάτροκλος δ᾽ ἑτέρωθεν ἔχεν ποδός· οἳ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.

ὡς δ᾽ Εὖρός τε Νότος τ᾽ ἐριδαίνετον ἀλλήλοιιν
οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕλην
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων,

ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες
δῄουν, οὐδ᾽ ἔτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ᾽ ὀξέα δοῦρα πεπήγει
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
πολλὰ δὲ χερμάδια μεγάλ᾽ ἀσπίδας ἐστυφέλιξαν

τραχιά, γυαλιστερή, που ολάκερο του γέμιζε το χέρι.
Κι όπως σιμά του ήρθε και στάθηκε, τη ρίχνει αντιπατώντας·
κι ήταν καλή η ριξιά, τη δέχτηκε του Εχτόρου ο αμαξολάτης,
ο Κεβριόνης, γιος κλεφτόσπαρτος του ξακουστού Πριάμου,
που εκράταε τα λουριά, στο μέτωπο᾽ κι η σουβλερή κοτρόνα

τα δυο τα φρύδια του θρουβάλιασε, κι ουδέ τα κόκαλα του
δεν άντεξαν, μον᾽ χάμω εκύλησαν τα μάτια του στη σκόνη,
στα πόδια του μπροστά᾽ και κύλησε σα βουτηχτής στο χώμα
απ᾽ τ᾽ ώριο αμάξι, κι απ᾽ τα κόκαλα ξεχύθηκε η ψυχή του.
Και του 'πες τότε αναγελώντας τον, Πάτροκλε εσύ αλογάρη:
«Πωπώ, σβελτάδα που 'χει! Ανάλαφρες για ιδές βουτιές που παίρνει!
Να θε βρισκόταν και στη θάλασσα την ψαροθρόφα ετούτος,
κόσμο πολύ μαθές θα χόρταινε ψαρεύοντας για στρείδια,
απ᾽ το καράβι πάνω αν έπεφτε, κι ας ήταν και φουρτούνα,
σβέλτα αφού τόσο από το αμάξι του βουτάει στον κάμπο τώρα.

Αλήθεια, έχουν κι οι Τρώες στο κάστρο τους πιδέξιους βουτηχτάδες!»
Είπε, και στο κορμί του αντρόκαρδου Κεβριόνη απάνω εχύθη
με ορμή, σα λιόντας, που ρημάζοντας μαντριά χτυπιέται ξάφνου
στο στήθος, κι είναι το κουράγιο του στερνά που τον σκοτώνει'
παρόμοιος στον Κεβριόνη εχίμιξες, Πάτροκλε εσύ, λυσσώντας.
Πηδάει στο χώμα τότε κι ο Έχτορας από το αμάξι απάνω,
και στον Κεβριόνη γύρα επιάστηκαν να χτυπηθούν, σα λιόντες
που απά σε κορφοβούνια, ολόγυρα σε σκοτωμένο αλάφι,
κι οι δυο πεινώντας, όλο μάνητα, παλεύουν θρασεμένοι'
όμοια κι αυτοί, τρανοί πολέμαρχοι, στον Κεβριόνη γύρα,

τη μια μεριά ο πανώριος Έχτορας, κι ο Πάτροκλος την άλλη,
με ανέσπλαχνο χαλκό τις σάρκες τους ποθούσαν να σπαράξουν.
Κι ως το κεφάλι του 'πιασε ο Έχτορας, δεν τ᾽ άφηνε απ᾽ τα χέρια,
και πάλε ο Πάτροκλος το πόδι του κρατούσε, κι οι άλλοι γύρα
και Τρώες κι Αργίτες—όλοι πόλεμο πεισματωμένο άνοιξαν.
Σιρόκος και Νοτιάς πως μάχουνται, ποιος πιο πολύ φυσώντας,
σ᾽ ενός βουνού το ποροφάραγγο, το θρασεμένο δάσο
—βαλανιδιές, μελιές, λιγνόφλουδες κρανιές— θ᾽ αναταράξει,
και τα μακριά κλωνάρια δέρνουνται χτυπώντας ένα τ᾽ άλλο
με άγριον αχό, κι ως σπάνε, ο σάλαγος αντιλαλεί τρογύρα'

παρόμοια Τρώες κι Αργίτες χίμιξαν κι ο ένας τον άλλο έσφαζαν,
και την πικρή στο νου κανένας τους δεν έβαζε φευγάλα.
Τρογύρα στον Κεβριόνη αρίφνητα και κοφτερά κοντάρια
και φτερωτές σαγίτες μπήγουνταν πηδώντας απ'τις κόρδες·
αρίφνητες κι οι πέτρες που έκρουναν με βρόντο τα σκουτάρια,

μαρναμένων ἀμφ᾽ αὐτόν· ὃ δ᾽ ἐν στροφάλιγγι κονίης
κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ὄφρα μὲν Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἵπτετο, πῖπτε δὲ λαός·
ἦμος δ᾽ Ἠέλιος μετενίσετο βουλυτὸν δέ,

καὶ τότε δή ῥ᾽ ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἔλοντο,
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε.
τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε θοῷ ἀτάλαντος Ἀρηϊ

σμερδαλέα ἰάχων, τρὶς δ᾽ ἐννέα φῶτας ἔπεφνεν.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
ἔνθ᾽ ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή·
ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
δεινός· ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν,

ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·
στῆ δ᾽ ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ᾽ ὤμω
χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε.
τοῦ δ᾽ ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ᾽ ἵππων

αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι
αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν
ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν,
ἀλλ᾽ ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον
ῥύετ᾽ Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν

ᾗ κεφαλῇ φορέειν, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος
βριθὺ μέγα στιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ᾽ ὤμων
ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.
λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.

τὸν δ᾽ ἄτη φρένας εἶλε, λύθεν δ᾽ ὑπὸ φαίδιμα γυῖα,
στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ
ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀνὴρ
Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
ἔγχεΐ θ᾽ ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισι·

καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ᾽ ἵππων
πρῶτ᾽ ἐλθὼν σὺν ὄχεσφι διδασκόμενος πολέμοιο·
ὅς τοι πρῶτος ἐφῆκε βέλος Πατρόκλεες ἱππεῦ
οὐδὲ δάμασσ᾽· ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ᾽ ὑπέμεινε

γύρα του ως μάχουνταν και κοίτουνταν μακρύς φαρδύς εκείνος
στη στροβιλούσα σκόνη, ανέγνοιαστος από άτια πια και μάχες.
Όσο κρατιόταν αρμενίζοντας στο μεσουράνι ο γήλιος,
κι από τους δυο στρατούς σωριάζουνταν περίσσιοι απ᾽ τις ριξιές
τους'
μα ως τέλος ο ήλιος πήρε κι έγερνεν, η ώρα που λύουν τα βόδια,

οι Αργίτες πώς νικούσαν έδειξαν, κι ενάντια στα γραμμένα,
κι έξω απ᾽ των Τρωών τον άγριο τάραχο του αντρόψυχου Κεβριόνη
τράβηξαν το νεκρό, και τ᾽ άρματα του πήραν απ᾽ τους ώμους.
Απά στους Τρώες χιμίζει ο Πάτροκλος λυσσομανώντας τότε·
τρεις πάνω του φορές εχίμιξε, σαν τον γοργό τον Άρη,
και τρεις εννιά αντρειωμένους σκότωσε χουγιάζοντας με λύσσα.
Μα σύντας χίμιξε και τέταρτη, θεός λες κι ήταν, τότε
σήμανε πια ο καιρός σου, Πάτροκλε, να κατεβείς στον Άδη·
τι ο Φοίβος ήρθε καταπάνω σου στην άγρια μέσα μάχη
τρομαχτικός. Και δεν τον ένιωσε στην ταραχή την τόση,

κλεφτάτα όπως ερχόταν πάνω του μες σε πυκνήν αντάρα.
Πίσω του εστάθη, και του χτύπησε κι ώμους φαρδιούς και πλάτες
με την παλάμη του, και σβούριξαν τα μάτια του απ᾽ τη ζάλη.
Κι ο Φοίβος τότε απ᾽ το κεφάλι του πετάει το κράνος χάμω,
που κουδουνίζοντας ανάμεσα στα πόδια των αλόγων
κατρακυλούσε, και μολεύουνταν η φούντα του στη σκόνη
και στο αίμα μέσα· κι ομως άλλοτε το φουντωμένο ετούτο
το κράνος οι θεοί δεν άφηναν να κυλιστεί στη σκόνη,
μόνο το μέτωπο διαφέντευε τ᾽ ωραίο και το κεφάλι
του ισόθεου του Αχιλλέα᾽ μα του Έχτορα το 'δινε τότε ο Δίας

να το φορέσει στο κεφάλι του—σιμά ήταν κι ο χαμός του.
Και το βαρύ, τρανό, το ασήκωτο, το χαλκαρματωμένο
μακρόισκιωτο κοντάρι του 'σπάσε χίλιες μεριές στα χέρια'
πέφτει κι η ασπίδα από τους ώμους του με τα λουριά της χάμω'
την ίδιαν ώρα λύνει ο Απόλλωνας το θώρακα του ο ρήγας·
αντράλα επλάκωσε τα φρένα του, του λύθηκαν τα γόνα,
κι εστάθη σαστισμένος· πίσω του με το κοντάρι τότε
του ρίχνει από κοντά ένας Δάρδανος αναμεσός στους ώμους,
ο Εύυφορβος, γιος του Πάνθου, στ᾽ άλογα και στα γοργά ποδάρια
και στο κοντάρι τους ομήλικους που ξεπερνούσεν όλους·

κι είχε από τ᾽ άλογά τους είκοσι γκρεμίσει ως τώρα κάτω,
ως πρωτοβγήκε απά στο αμάξι του, πώς πολεμούν να μάθει.
Και πέτυχε, αλογάρη Πάτροκλε, πρώτος αυτός να σ᾽ έβρει᾽
όμως δε σ᾽ εριξε, μον᾽ γρήγορα, τραβώντας το κοντάρι
απ᾽ το κορμί σου, μέσα έχώθηκε στο πλήθος, και δεν είπε

Πάτροκλον γυμνόν περ ἐόντ᾽ ἐν δηϊοτῆτι.
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς
ἄψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Ἕκτωρ δ᾽ ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
ἄψ ἀναχαζόμενον βεβλημένον ὀξέϊ χαλκῷ,

ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὗτα δὲ δουρὶ
νείατον ἐς κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
δούπησεν δὲ πεσών, μέγα δ᾽ ἴκαχε λαὸν Ἀχαιῶν·
ὡς δ᾽ ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
ὥ τ᾽ ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον

πίδακος ἀμφ᾽ ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·
πολλὰ δέ τ᾽ ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·

Πάτροκλ᾽ ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν
νήπιε· τάων δὲ πρόσθ᾽ Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸς

Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ᾽ ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ᾽, οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι·
μή μοι πρὶν ἰέναι Πατρόκλεες ἱπποκέλευθε

νῆας ἔπι γλαφυρὰς πρὶν Ἕκτορος ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.
ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πείθε.
τὸν δ᾽ ὀλιγοδρανέων προσέφης Πατρόκλεες ἱππεῦ·
ἤδη νῦν Ἕκτορ μεγάλ᾽ εὔχεο· σοὶ γὰρ ἔδωκε

νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ με δάμασσαν
ῥηιδίως· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἔλοντο.
τοιοῦτοι δ᾽ εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντές κ᾽ αὐτόθ᾽ ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
ἀλλά με μοῖρ᾽ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,

ἀνδρῶν δ᾽ Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὔ θην οὐδ᾽ αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ
χερσὶ δαμέντ᾽ Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.

ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει
ὀν πότμον γοόωσα λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
Πατρόκλεις τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;

αγνάντια να σταθεί στον Πάτροκλο, γυμνός αυτός κι ας ήταν.
Βαριά βλαμμένος τότε ο Πάτροκλος κι απ᾽ του θεού το χτύπο
κι απ᾽ το κοντάρι, πισωπόδισε, του Χάρου να ξεφύγει.
Κι ως είδεν ο Έχτορας τον Πάτροκλο τον αντρειωμένο τότε
να κάνει πίσω, από το χάλκινο κοντάρι λαβωμένος,

ζυγώνοντας τον τον κοντάρεψε, κι απά στο κατωκοίλι
τον βρήκε, το χαλκό του χώνοντας βαθιά στα σπλάχνα μέσα.
Βροντώντας πέφτει αυτός, ανείπωτος καημός για τους Αργίτες.
Πώς κάπρο ακούραστο παλεύοντας τον βάζει λιόντας κάτω,
που θρασεμένο έστησαν πόλεμο στα κορφοβούνια απάνω,
πλάι σε νερό που τρέχει απόλιγο και θεν να πιουν κι οι δυο τους,
ωσόπου ο κάπρος πια σωριάζεται στη γης αγκομαχώντας·
όμοια τον Πάτροκλο τον άτρομο, που 'χε πολλούς σκοτώσει,
από κοντά χτυπώντας ο Έχτορας τον έστειλε στον Άδη᾽
κι όλο καμάρι πια ανεμάρπαστα του συντυχαίνει λόγια:

«Έλεγες, Πάτροκλε, το κάστρο μας να το ρημάξεις τώρα,
και τις Τρωαδίτισσες, αρπάζοντας το φως της λευτεριάς τους,
να τις φορτώσεις στα καράβια σου, να γύρεις στην πατρίδα.
Άμυαλε εσύ! Τα γρήγορα άλογα του Εχτόρου στέκουν μπρος τους
και λαχταρούνε πάντα πόλεμο· κι ατός μου, στο κοντάρι
πρώτος, τους Τρώες τους πολεμόχαρους απ᾽ τη σκλαβιά γλιτώνω.
Μα εσένα το κορμί σου σίγουρα θα φανέ εδώ οι αγιούπες.
Τον Αχιλλέα δεν είδα να 'ρχεται να σε συντρέξει, δόλιε,
τρανός κι ας είναι· πίσω απόμεινε, κι ως έφευγες θα σου 'πε:
,,Στα βαθουλά καράβια κοίταξε, Πάτροκλε εσύ αλογαρη,

μην ξαναγύρεις πίσω, του Έχτορα του αντροφονια πριν σκίσεις
ματώνοντας του το πουκάμισο στα στήθια του τρογύρα."
Σαν τέτοια λέω θα σου 'πε, ανέμυαλε, και γύρισε το νου σου!»
Και του αποκρίθης τότε ξέπνογος, Πάτροκλε εσύ αλογάρη:
«Τώρα όσο θες καμάρωνε, Έχτορα, τι σου 'δωκεν ο Δίας,
του Κρόνου ο γιος, μαζί κι ο Απόλλωνας τη νίκη· αυτοί με ρίξαν
με δίχως κόπο, αυτοί και τ᾽ άρματα μου πήραν απ᾽ τους ώμους"
τι τέτοιοι σαν και σένα κι είκοσι να πρόβελναν μπροστά μου,
όλοι νεκροί από το κοντάρι μου θα πέφταν εδώ πέρα.
Ναι, της Λητώς ο γιος με σκότωσε και η μαύρη Μοίρα εμένα,

κι απ᾽ τους θνητούς όχι άλλος, ο Εύφορβος᾽ τρίτος εσύ με γδύνεις.
Κάποιο άλλο λόγο τώρα θα 'λεγα, και συ στο νου σου βαλτ᾽ τον:
Πολύ και σένα δεν απόμεινε να ζήσεις λέω, τι κιόλα
δίπλα σου η Μοίρα η τρανοδύναμη·κι ο Χάρος παραστέκουν
απ᾽ του Αχιλλέα τα χέρια του άψεγου να σκοτωθείς γραφτό 'ναι.»
Ως είπε τούτα, ευτύς ο θάνατος του σκέπασε τα μάτια,
κι απ᾽ το κορμί η ψυχή του επέταξε να κατεβεί στον Άδη,
θρηνολογώντας για τη μοίρα της, που αφήκε αντρεία και νιότη.
Κι ο μέγας Έχτορας του μίλησε, νεκρός κι ας ήταν, κι είπε:
« Το μαύρο χαλασμό μου, Πάτροκλε, τι προφητεύεις τώρα;

τίς δ᾽ οἶδ᾽ εἴ κ᾽ Ἀχιλεὺς Θέτιδος πάϊς ἠϋκόμοιο
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;
ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἴρυσε λὰξ προσβάς, τὸν δ᾽ ὕπτιον ὦσ᾽ ἀπὸ δουρός.
αὐτίκα δὲ ξὺν δουρὶ μετ᾽ Αὐτομέδοντα βεβήκει
ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

Ποιος ξέρει, ο γιος της καλοπλέξουδης της Θέτης, ο Αχιλλέας,
αν πιο μπροστά από το κοντάρι μου δε χτυπηθεί και πέσει!»
Είπε, και τράβηξε το χάλκινο κοντάρι απ᾽ την πληγή του,
πατώντας το κορμί, κι ανάσκελα τον σπρώχνει απ᾽ το κοντάρι"
κι ευτύς χιμάει με το κοντάρι του στο θείον αμαξολάτη
που 'χε ο Αχιλλέας, στον Αυτομέδοντα, ποθώντας να του ρίξει.
Όμως εκείνον τα γοργόποδα τον ξεμακραίναν άτια,
τ᾽ αθάνατα, οι θεοί που κάποτε χάρισαν στον Πηλέα.

-Ρ- οὐδ᾽ ἔλαθ᾽ Ἀτρέος υἱὸν ἀρηΐφιλον Μενέλαον
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαῖν᾽ ὥς τις περὶ πόρτακι μήτηρ

πρωτοτόκος κινυρὴ οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
πρόσθε δέ οἱ δόρυ τ᾽ ἔσχε καὶ ἀσπίδα πάντοσ᾽ ἐΐσην,
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ᾽ ἀντίος ἔλθοι.
οὐδ᾽ ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε

Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ᾽ ἄρ᾽ αὐτοῦ
ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ὄρχαμε λαῶν
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ᾽ ἔναρα βροτόεντα·
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ᾽ ἐπικούρων

Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
τώ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.

οὔτ᾽ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο

ἧς ἥβης ἀπόνηθ᾽, ὅτε μ᾽ ὤνατο καί μ᾽ ὑπέμεινε
καί μ᾽ ἔφατ᾽ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ἑ φημι πόδεσσί γε οἷσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος εἴ κέ μευ ἄντα

στήῃς· ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
ὣς φάτο, τὸν δ᾽ οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
νῦν μὲν δὴ Μενέλαε διοτρεφὲς ἦ μάλα τείσεις

γνωτὸν ἐμὸν τὸν ἔπεφνες, ἐπευχόμενος δ᾽ ἀγορεύεις,
χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε᾽ ἐνείκας

Ωστόσο τη ματιά δεν ξέφυγε του γαύρου γιου του Ατρέα
Μενέλαου, πως οι Τρώες τον Πάτροκλο στον πόλεμο σκότωσαν.
Γοργά περνάει μεσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος,
κι εστάθη πλάι του, στο μοσκάρι της πρωτόγεννη όπως μάνα
στέκεται δίπλα μουκανίζοντας, πριν άμαθη από γέννα'
όμοια ο ξανθός Μενέλαος στάθηκε στον Πάτροκλο αποδίπλα'
μπροστά τ᾽ ολόκυκλο σκουτάρι του και το κοντάρι εκράτα,
λύσσα γεμάτος, όποιον θα 'βγαινε μπροστά του να σκοτώσει.
Μα ουδέ κι ο κονταράς παράτησε του Πάνθου υγιός να φύγει

τον αψεγάδιαστο τον Πάτροκλο που εκοίτουνταν, μον᾽ τρέχει
και πλάι του στέκει, και του αντρόκαρδου Μενέλαου τέτοια κράζει:
« Μενέλαε, γιε του Ατρέα τρισεύγενε, τρανέ μπροστάρη, πίσω!
Τραβήξου απ᾽ το νεκρό, παράτησε τα ματωμένα κούρσα'
τι από τους Τρώες κι από τους σύμμαχους πρώτα από εμέ κανένας,
στην άγρια μάχη δεν κοντάρεψε τον Πάτροκλο᾽ άσε τώρα
κι εγώ να πάρω δόξα ατίμητη μέσα στους Τρώες τους άλλους,
μη τη ζωή σου πάρω, ρίχνοντας, τη γλυκομελιτούσα!»
Τότε ο ξανθός Μενέλαος θύμωσε βαριά κι απηλογήθη:
« Η καυκησιά η πολλή στον άνθρωπο και πώς δε στέκει, θέ μου!

Τόση δεν έχει μήτε η λιόπαρδη και μήτε ο λιόντας λύσσα,
μηδέ κι ο κάπρος ο ανημέρωτος, που απ᾽ όλους πιο μανιάζει
στα στήθια του η καρδιά, απ᾽ την πλήθια της τη δύναμη μεθώντας,
όσην αγριότη κλείνουν μέσα τους οι γιοι του Πάνθου οι γαύροι.
Μα κι ο αλογάρης Υπερήνορας, και μ᾽ όλη την αντρεία του,
δεν την εχάρηκε τη νιότη του, που ο πιο αχαμνός θαρρώντας
πως είμαι Αργίτης κι αψηφώντας με δεν έφυγε από μπρος μου'
κι ούτε στο σπίτι λέω να γύρισε με τα δικά του πόδια,
να φράνει τη γλυκιά γυναίκα του, τους σεβαστούς γονιούς του.
Και σένα τώρα εγώ τα γόνατα θα λύσω, μπρος μου αν μείνεις.

Άκουσε ωστόσο και τη γνώμη μου᾽ μέσα στ᾽ ασκέρι πάλε
γυρνώντας τρέχα, και μη στέκεσαι μπροστά μου, μη σου τύχει
κακό κανένα᾽ τι κι ο ανέμυαλος σαν πάθει φρονιμεύει.»
Είπε, μα εκείνος δεν τον άκουσε κι απηλογιά του δίνει:
« Την ώρα αυτή βαριά, τρισεύγενε Μενέλαε, θα πλερώσεις
τον αδερφό μου που θανάτωσες και το παινιέσαι κιόλα'
και στη γωνιά τη χήρα του έκλεισες του νιου σπιτιού τους μέσα,
και στους γονιούς του πένθος χάρισες ανείπωτο και θρήνους.
Μπορεί των ερημων τα κλάματα να σταματούσα, αν ήταν
παίρνοντας τώρα το κεφάλι σου και την αρμάτα σου όλη

Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ.
ἀλλ᾽ οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται
οὐδ᾽ ἔτ᾽ ἀδήριτος ἦτ᾽ ἀλκῆς ἤτε φόβοιο.
ὣς εἰπὼν οὔτησε κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην·
οὐδ᾽ ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ

ἀσπίδ᾽ ἐνὶ κρατερῇ· ὃ δὲ δεύτερος ὄρνυτο χαλκῷ
Ἀτρεΐδης Μενέλαος ἐπευξάμενος Διὶ πατρί·
ἄψ δ᾽ ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
νύξ᾽, ἐπὶ δ᾽ αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσας·
ἀντικρὺ δ᾽ ἀπαλοῖο δι᾽ αὐχένος ἦλυθ᾽ ἀκωκή,

δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ᾽, οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
χώρῳ ἐν οἰοπόλῳ, ὅθ᾽ ἅλις ἀναβέβροχεν ὕδωρ,

καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
ἐλθὼν δ᾽ ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ
βόθρου τ᾽ ἐξέστρεψε καὶ ἐξετάνυσσ᾽ ἐπὶ γαίῃ·
τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον

Ἀτρεΐδης Μενέλαος ἐπεὶ κτάνε τεύχε᾽ ἐσύλα.
ὡς δ᾽ ὅτε τίς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθὼς
βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ ἢ τις ἀρίστη·
τῆς δ᾽ ἐξ αὐχέν᾽ ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
πρῶτον, ἔπειτα δέ θ᾽ αἷμα καὶ ἔγκατα πάντα
λαφύσσει

δῃῶν· ἀμφὶ δὲ τόν γε κύνες τ᾽ ἄνδρές τε νομῆες
πολλὰ μάλ᾽ ἰύζουσιν ἀπόπροθεν οὐδ᾽ ἐθέλουσιν
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.

ἔνθά κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ Ἕκτορ᾽ ἐπῶρσε θοῷ ἀτάλαντον Ἀρηϊ
ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

Ἕκτορ νῦν σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων
ἵππους Αἰακίδαο δαΐφρονος· οἳ δ᾽ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ᾽ ὀχέεσθαι
ἄλλῳ γ᾽ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος ἀρήϊος Ἀτρέος υἱὸς

στου Πάνθου και στης άξιας Φροντίδας τα χέρια να τα ρίξω.
Όμπρός λοιπόν, ας δοκιμάσουμε κι ας κονταροκρουστούμε᾽
γιατί να χάνουμε την ώρα μας; Για νίκη για φευγάλα!»·
Είπε, κι ευτύς πα στ᾽ ολοστρόγγυλο τον χτύπησε σκουτάρι'
μα δεν το τρύπησε, τι στράβωσε του κονταριού του η μύτη
πα στο γερό σκουτάρι᾽ δεύτερος ο γιος του Ατρέα χιμίζει
με το κοντάρι, μα πρωτύτερα στο Δία πατέρα ευκήθη.
Κι όπως εκείνος πισωπόδιζε, στου λαρυγγιού τη ρίζα
τον βρίσκει, κι έβαλε και δύναμη με το βαρύ του χέρι,
κι απαντικρύ ο χαλός επρόβαλε στον τρυφερό λαιμό του.

Πέφτει με βρόντο, κι από πάνω του βρόντηξαν τ᾽ άρματα του,
και μ᾽ αίμα τα μαλλιά του εμούσκεψαν, που τα 'χε σαν τις Χάρες,
και τα σγουρά του, που αναπλέκουνταν με μάλαμα κι ασήμι.
Πώς ανασταίνει μ᾽ έγνοια ολόδροσο φιντάνι ελιά ο ξωμάχος
σε τόπο απόμερο, που γύρα του νερά βρυσίζουν πλήθια,
πανώριο, τρυφερό, κι οι αγέρηδες κάθε λογής φυσώντας
το ακρολυγούν, και στέκει κάτασπρο μέσα στον πλήθιο ανθό του'
όμως αγέρας ξάφνου ασκώνεται και δυνατό δρολάπι
κι από το λάκκο του ανασπώντας το στο χώμα το ξαπλώνει'
του Πάνθου τον υγιό, τον Εύφορβο τον κονταρά, παρόμοια

σκότωσε ο γιος του Ατρέα, κι απ᾽ τ᾽ άρματα να τόνε γδύνει επήρε.
Κι όπως βουνίσιος λιόντας, έχοντας τα θάρρη στην αντρεία του,
την πιο καλή γελάδα, που 'βοσκε με το κοπάδι, αρπάζει,
κι ως στα γερά την πάρει δόντια του και της τσακίσει πρώτα
το σβέρκο, αναρουφάει το γαίμα της και τρώει τα σωθικά της
σπαράζοντας την᾽ ολοτρόγυρα σκυλιά και βοϊδολάτες
μακριάθε του χουγιάζουν άπαυτα, καρδιά δεν έχουν όμως
να πέσουν πάνω του, τι ολόχλωμος τους περεχύνει φόβος·
όμοια και τότε μες στα στήθια του κανείς καρδιά δεν είχε
μπροστά να βγει, τον πολυδόξαστο Μενέλαο ν᾽ αντικρίσει.

Έτσι ο Μενέλαος θα 'παίρνε εύκολα του Ευφόρβου την αρμάτα,
αν δεν τον έκοβε ζηλόφτονος ο Απόλλωνας ο Φοίβος
κι έσπρωχνε απάνω του τον Έχτορα, που σαν τον Άρη εχίμα,
του Μέντη μοιάζοντας, που αφέντευε στους Κίκονες ρηγάρχης'
και κράζοντας τον με ανεμάρπαστα τον αποπήρε λόγια:
« Εχτορα εσύ, του κάκου τ᾽ άπιαστα να πιάσεις τρέχεις τώρα,
του αντρόκαρδου Αχιλλέα τ᾽ αλόγατα, που ζόρικο πολύ 'ναι
θνητοί να τα μερώσουν άνθρωποι και να τα κυβερνήσουν
μόνο ο Αχιλλέας μπορεί, τι αθάνατη τον έχει κάνει μάνα.
Μα να ο Μενέλαος ο πολέμαρχος, ο γιος του Ατρέα, που εστάθη

Πατρόκλῳ περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνε
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.
ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Ἕκτορα δ᾽ αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
πάπτηνεν δ᾽ ἄρ᾽ ἔπειτα κατὰ στίχας, αὐτίκα δ᾽ ἔγνω

τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ᾽ ἐπὶ γαίῃ
κείμενον· ἔρρει δ᾽ αἷμα κατ᾽ οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ
ὀξέα κεκλήγων φλογὶ εἴκελος Ἡφαίστοιο
ἀσβέστῳ· οὐδ᾽ υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·

ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγὼν εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ
Πάτροκλόν θ᾽, ὃς κεῖται ἐμῆς ἕνεκ᾽ ἐνθάδε τιμῆς,
μή τίς μοι Δαναῶν νεμεσήσεται ὅς κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι

αἰδεσθείς, μή πώς με περιστήωσ᾽ ἕνα πολλοί·
Τρῶας δ᾽ ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
ἀλλὰ τί ἦ μοι ταῦτα φίλος διελέξατο θυμός;
ὁππότ᾽ ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι
ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.

τώ μ᾽ οὔ τις Δαναῶν νεμεσήσεται ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ᾽, ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ᾽ αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν

Πηλεΐδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη.
εἷος ὁ ταῦθ᾽ ὅρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ.
αὐτὰρ ὅ γ᾽ ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
ἐντροπαλιζόμενος ὥς τε λὶς ἠϋγένειος,

ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῇ· τοῦ δ᾽ ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ᾽ ἔβη ἀπὸ μεσσαύλιοιο·
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
στῆ δὲ μεταστρεφθεὶς ἐπεὶ ἵκετο ἔθνος ἑταίρων

παπταίνων Αἴαντα μέγαν Τελαμώνιον υἱόν.
τὸν δὲ μάλ᾽ αἶψ᾽ ἐνόησε μάχης ἐπ᾽ ἀριστερὰ πάσης
θαρσύνονθ᾽ ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι·
θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα.

δίπλα στον Πάτροκλο και σκότωσε τον πιο αντρειανό απ᾽ τους Τρώες,
του Πάνθου τον υγιό τον Εύφορβο, και του 'κοψε τη φόρα.»
Ως είπε αυτά ο θεός, στο αντρίστικο γυρνά ξανά το απάλε.
Πίκρα βαριά μεμιάς επλάκωσε τα σωθικά του Εχτόρου'
και στις γραμμές τα μάτια ως έριξε τρογύρα, ευτύς ξεκρίνει
τον ένα να κουρσεύει τ᾽ άρματα τα ξακουστά, τον άλλο
στη γη να κοίτεται, και το αίμα του να τρέχει απ᾽ την πληγή του.
Κινάει, περνάει μεσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος
σκληρίζοντας, παρόμοιος με άσβηστη που καίει του Ηφαίστου
φλόγα.
Μα όπως εφώναζε, τον άκουσεν ο γιος του Ατρέα που ερχόταν,

και με βαριά καρδιά στην πέρφανη γυρνάει και λέει ψυχή του:
« Ωχού μου, απ᾽ τα πανώρια τ᾽ άρματα τώρα αν τραβήξω πίσω
κι από τον Πάτροκλο, που κοίτεται για την τιμή μου εμένα,
μπας και θυμώσει λέω θωρώντας με κανείς απ᾽ τους Αργίτες·
μονάχος πάλε αν με τον Έχτορα και με τους Τρώες τα βάλω
από ντροπή, μη εκείνοι πιότεροι τον ένα εμένα ζώσουν
τι τώρα ο κρανοσείστης Έχτορας με όλους τους Τρώες πλακώνει.
Όμως γιατί η καρδιά μου κάθεται και τ᾽ αναδεύει ετούτα;
Ενάντια στου θεού το θέλημα να πολεμάς με κάποιον
που 'χει θεό προστάτη, γρήγορα κακό τρανό θα σ᾽ έβρει.

Ποιος Δαναός λοιπόν θα θύμωνε θωρώντας με να φεύγω
στον Έχτορα μπροστά, που μάχεται κι είναι οι θεοί μαζί του;
Ν᾽ άκουγα μόνο το βροντόφωνο τον Αίαντα κάπου τώρα!
Μαζί χιμώντας θα θυμούμασταν ξανά την αντριγιά μας,
κι ενάντια στο θεό᾽ να σέρναμε καν το κουφάρι πίσω
για χάρη του Αχιλλέα᾽ καλύτερο στα πάθη μας δε βρίσκω.»
Κι ως τούτα ανάδευε στα φρένα του βαθιά και στην καρδιά του,
των Τρωών το ασκέρι με τον Έχτορα προλάτη τον σίμωσαν'
κι εκείνος το κουφάρι αφήνοντας γυρνάει γοργά τις πλάτες,
κάθε στιγμή θωρώντας πίσω του, σα λιόντας μακροχήτης'

που κυνηγούν μακριά απ᾽ τη στάνη τους βοσκοί μαζί και σκύλοι
με κονταριές και με χουγιάσματα᾽ και του θεριού παγώνει
η ατρόμητη καρδιά, κι αθέλητα μακραίνει απ᾽ το μαντρί τους'
όμοια παράτησε τον Πάτροκλο τότε ο Μενέλαος πίσω,
και μόνο στους δικούς του ως έφτασε, μεταγυρνάει και στέκει,
τον Αία το μέγα ολούθε ψάχνοντας, το γιο του Τελαμώνα'
μεμιάς τον ξέκρινε που έστέκουνταν ζερβιά μεριά απ᾽ τη μάχη,
και τους συντρόφους του όλους γκάρδιωνε, στη μάχη σπρώχνοντας
τους·
τι φούντωνε άγριο φόβο ο Απόλλωνας εντός τους για φευγάλα.
Πήρε λοιπόν να τρέχει, κι έφτασε γοργά σιμά του κι είπε:

Αἶαν δεῦρο πέπον, περὶ Πατρόκλοιο θανόντος
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε᾽ ἔχει κορυθαίολος Ἕκτωρ.
ὣς ἔφατ᾽, Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.

Ἕκτωρ μὲν Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε᾽ ἀπηύρα,
ἕλχ᾽ ἴν᾽ ἀπ᾽ ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
τὸν δὲ νέκυν Τρῳῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον·
Ἕκτωρ δ᾽ ἄψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ᾽ ἑταίρων,

ἐς δίφρον δ᾽ ἀνόρουσε· δίδου δ᾽ ὅ γε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ᾽ ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας
ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
ᾧ ῥά τε νήπι᾽ ἄγοντι συναντήσωνται ἐν ὕλῃ

ἄνδρες ἐπακτῆρες· ὃ δέ τε σθένεϊ βλεμεαίνει,
πᾶν δέ τ᾽ ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρεΐδης δ᾽ ἑτέρωθεν ἀρηΐφιλος Μενέλαος
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.

Γλαῦκος δ᾽ Ἱππολόχοιο πάϊς Λυκίων ἀγὸς ἀνδρῶν
Ἕκτορ᾽ ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ εἶδος ἄριστε μάχης ἄρα πολλὸν ἐδεύεο.
ἦ σ᾽ αὔτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα.
φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς

οἷος σὺν λαοῖς τοὶ Ἰλίῳ ἐγγεγάασιν·
οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ᾽ ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ᾽ ὅμιλον

σχέτλι᾽, ἐπεὶ Σαρπηδόν᾽ ἅμα ξεῖνον καὶ ἑταῖρον
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,
ὅς τοι πόλλ᾽ ὄφελος γένετο πτόλεΐ τε καὶ αὐτῷ
ζωὸς ἐών· νῦν δ᾽ οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τὼ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν

οἴκαδ᾽ ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
ἄτρομον, οἷόν τ᾽ ἄνδρας ἐσέρχεται οἳ περὶ πάτρης
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.

εἰ δ᾽ οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἔλθοι τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
λύσειαν, καί κ᾽ αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ᾽ ἀνέρος, ὃς μέγ᾽ ἄριστος

«Αίαντα, ομπρός, καλέ μου, ας δράμουμε, τον Πάτροκλο σκότωσαν'
Καν το κουφάρι ας δοκιμάσουμε στον Αχιλλέα να πάμε
γυμνό᾽ τι τον ξαρμάτωσε ο Έχτορας ο λαμπροκρανοσείστης.»
Είπε, κι ο γαύρος Αίας τινάχτηκε, σπαρτάρησε η καρδιά του,
κι ευτύς περνάει μεσ᾽ απ᾽ τους πρόμαχους με το Μενέλαο δίπλα.
Ο Έχτορας έσερνε τον Πάτροκλο, σαν πήρε τ᾽ άρματά του,
με κοφτερό χαλκό απ᾽ τους ώμους του την κεφαλή να κόψει
και να πετάξει το κουφάρι του θροφή στης Τροίας τους σκύλους.
Μα σίμωσε ο Αίας με το σκουτάρι του, που φάνταζε σαν πύργος,
κι ο Έχτορας πίσω στους συντρόφους του γυρνάει τους μαζωμένους,

κι απά στο αμάξι ανέβη᾽ τ᾽ άρματά τα ώρια στους Τρώες τ᾽ αφήνει,
στο κάστρο να τα πάν, ασύγκριτη να του χαρίζουν δόξα.
Κι ο Αίας με το φαρδύ σκουτάρι του τον Πάτροκλο σκεπάζει
κι εστάθη ομπρός, ως στέκει λιόντισσα στα λιονταρόπουλά της,
που αγριμολόοι στο δάσος πέτυχαν, καθώς τα σεργιανίζει,
κι αυτή, μεθώντας απ᾽ την πλήθια της τη λύσσα, ρίχνει κάτω
αλάκερό της τ᾽ απανώφρυδο, σκεπάζοντας τα μάτια·
όμοια στεκόταν ο Αίας στον Πάτροκλο μπροστά τον αντρειωμένο,
κι ο γιος του Ατρέα του παραστέκουνταν από την άλλη, ο γαύρος
Μενέλαος, και βαθύς ανέβαινε στα σωθικά του ο πόνος.

Κι ο Γλαύκος τότε, ο γιος του Ιππόλοχου, των Λυκιωτών ο ρήγας,
λόγια βαριά πετάει στον Έχτορα ταυροκοιτάζοντάς τον:
« Έχτορα εσύ πανώριε, ως φαίνεται, καρδιά σταλιά δεν έχεις!
Τέτοιο όνομα τρανό δεν τ᾽ άξιζες, αφού κιοτεύεις τώρα.
Κοίτα από δω κι ομπρός το κάστρο σας του Χάρου να γλιτώσεις
μονάχος, με όσες εγεννήθηκαν ψυχές στο κάστρο μέσα.
Κανένας λέω Λυκιώτης πόλεμο πια δε θ'άνοίξει αλήθεια
με τους Αργίτες για το κάστρο σας. Και ποια μαθές η χάρη
μέρα και νύχτα που παλεύουμε με τους οχτρούς δω πέρα;
Και πώς κανέναν αχαμνότερο ξοπίσω θα γλιτώσεις,

αφού το Σαρπηδόνα, ανέσπλαχνε, το φίλο, τον ακράνη,
τον απαράτησες διαγούμισμα και κουρσός στους Αργίτες,
που ζώντας τόσο επαραστάθηκε το κάστρο σου και σένα;
και τώρα τα σκυλιά από πάνω του δε σου βαστάει να διώξεις.
Γι᾽ αυτό οι Λυκιώτες, αν μ᾽ ακούσουνε, θα γύρουν στην πατρίδα
μπρος πίσω πια, και τότε χάθηκε μεμιάς της Τροίας το κάστρο·
τι οι Τρώες αν κρύβαν τώρα ολόθαρρη καρδιά στα στήθια μέσα,
ατρόμητη, όπως έχουν όλοι τους που απ᾽ τους οχτρούς παλεύουν
να διαφεντέψουν την πατρίδα τους και πολεμούν γεμάτα,
γρήγορα θα 'χαμε τον Πάτροκλο μέσα στην Τροία τραβήξει.

Κι αν στο τρανό καστρί τον φέρναμε του Πρίαμου του ρηγάρχη,
νεκρό, απ᾽ τη μάχη μέσα αρπώντας τον, το δίχως άλλο τότε
του Σαρπηδόνα τα ώρια τ᾽ άρματα θα μας γύριζαν πίσω
οι Αργίτες, και στην Τροία θα φέρναμε και το νεκρό τον ίδιο·
τι τέτοιου αντρούς σκοτώθη ο σύντροφος, που στα καράβια πρώτος

Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες.
ἀλλὰ σύ γ᾽ Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
στήμεναι ἄντα κατ᾽ ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,
οὐδ᾽ ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστι.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος
Ἕκτωρ·

Γλαῦκε τί ἢ δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
ὦ πόποι ἦ τ᾽ ἐφάμην σὲ περὶ φρένας ἔμμεναι ἄλλων
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας οἷον ἔειπες,
ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.

οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ᾽ αἰεί τε Διὸς κρείσσων νόος αἰγιόχοιο,
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηϊδίως, ὁτὲ δ᾽ αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ᾽ ἄγε δεῦρο πέπον, παρ᾽ ἔμ᾽ ἵστασο καὶ ἴδε
ἔργον,

ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἦ τινα καὶ Δαναῶν ἀλκῆς μάλα περ μεμαῶτα
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.
ὣς εἰπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,

ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ᾽ ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς.
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
δηΐου ἐκ πολέμοιο· θέων δ᾽ ἐκίχανεν ἑταίρους

ὦκα μάλ᾽ οὔ πω τῆλε ποσὶ κραιπνοῖσι μετασπών,
οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλεΐωνος.
στὰς δ᾽ ἀπάνευθε μάχης πολυδακρύου ἔντε᾽ ἄμειβεν·
ἤτοι ὃ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν
Τρωσὶ φιλοπτολέμοισιν, ὃ δ᾽ ἄμβροτα τεύχεα δῦνε

Πηλεΐδεω Ἀχιλῆος ἅ οἱ θεοὶ Οὐρανίωνες
πατρὶ φίλῳ ἔπορον· ὃ δ᾽ ἄρα ᾧ παιδὶ ὄπασσε
γηράς· ἀλλ᾽ οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
τὸν δ᾽ ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺς
τεύχεσι Πηλεΐδαο κορυσσόμενον θείοιο,

κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
ἆ δείλ᾽ οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ᾽ ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι·
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,

μες στους Αργίτες, κι οι σύντροφοι του στο άγριο τ᾽ απάλε πρώτοι.
Μα εσύ στον Αίαντα τον αντρόκαρδο μες στων οχτρών τη ζάλη
αντίκρα να σταθείς δε βάσταξες και να τον δεις στα μάτια,
κι ουδέ να χτυπηθείς κατάστηθα, τι σε περνάει στο απάλε!»
Ταυροκοιτάζοντάς τον ο Έχτορας ο κρανοσείστης του 'πε:

«Γλαύκο, και πώς εσύ ο λιοντόκαρδος σα φαντασμένος κρένεις;
Ωχού μου, πώς περνάς λογάριαζα στο νου τους άλλους όλους
Λυκιώτες, όσοι ζουν στη χώρα σας την παχιοχώματούσα'
μα τέτοια τώρα που ξεστόμισες θα πω μυαλό δεν έχεις,
που λες ομπρός στο σαραντάπηχο δε βάσταξα τον Αία.
Μήτε η σφαγή και μήτε ο σάλαγος με σκιάζει των αλόγων,
όμως του Δία του βροντοσκούταρου πάντα η βουλή πιο πάνω'
τι αυτός απ᾽ του αντρειωμένου ακόπιαστα τα χέρια αρπάει τη νίκη
και στο φευγιό τον ρίχνει, κι άλλοτε να χτυπηθεί τον σπρώχνει.
Έλα, καλέ, και στάσου δίπλα μου και θώραε τι θα κάμω,

αν θα 'μαι εγώ, καθώς μου το χτυπάς, ολημερίς δειλιάρης,
για κι αν Αργίτη κάποιου, με όλη του τη λύσσα κι αν παλεύει
τρογύρα στο νεκρό του Πάτροκλου, μεμιάς τη φόρα κόψω.»
Είπε, κι ευτύς τους Τρώες γκαρδιώνοντας φωνή μεγάλη σέρνει:
« Τρώες και Λυκιώτες κι όλοι οι Δάρδανοι, τρανοί κονταρομάχοι,
άντρες σταθείτε, ορθή κρατάτε τη της αντριγιάς τη φλόγα,
ωσόπου εγώ φορέσω τ᾽ άρματά του ασύγκριτου Αχιλλέα,
τα ώρια, πού κούρσεψα τον Πάτροκλο σκοτώνοντας το γαύρο.»
Είπε και φεύγει ο μέγας Έχτορας ο λαμπροκρανοσείστης
απ᾽ τη φριχτή σφαγή, και τρέχοντας προφταίνει τους συντρόφους

—μακριά δεν ήταν—κυνηγώντας τους με γρήγορα ποδάρια,
που του Αχιλλέα πήγαιναν τ᾽ άρματά τα ξακουστά στο κάστρο.
Στέκει μακριά από τον πολύδακρο τον πόλεμο κι αλλάζει'
δίνει στους Τρώες τους πολεμόχαρους στην Τροία την άγια πίσω
να πάνε τα δικά του τ᾽ άρματά, κι εκείνος του Αχιλλέα
φοράει τ᾽ αθάνατα, στον κύρη του παλιά δοσμένο δώρο
απ᾽ τους θεούς, κι αυτός σα γέρασε τα χάρισε στο γιο του'
μα στου γονιού του εκείνος τ᾽ άρματά δεν ήταν να γεράσει.
Ωστόσο ο Δίας ως τον αγνάντεψεν ο νεφελοστοιβάχτης,
να βάζει εκεί στην άκρη τ᾽ άρματά του αρχοντικού Αχιλλέα,

την κεφαλή κουνώντας μίλησε μες στην καρδιά του κι είπε:
«Βαριόμοιρε! Δεν πάει στο θάνατο καθόλου ο νους σου εσένα,
που πια σε ζύγωσε, μον᾽ άρπαξες τρανού αντρειωμένου τώρα
τ᾽ αθάνατα άρματα και ντύνεσαι, που τόνε τρέμουν κι άλλοι.
Το γλυκομίλητο του σκότωσες και ψυχωμένο ακράνη

τεύχεα δ᾽ οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχης ἐκνοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνος.
ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων.

Ἕκτορι δ᾽ ἤρμοσε τεύχε᾽ ἐπὶ χροΐ, δῦ δέ μιν Ἄρης
δεινὸς ἐνυάλιος, πλῆσθεν δ᾽ ἄρα οἱ μέλε᾽ ἐντὸς
ἀλκῆς καὶ σθένεος· μετὰ δὲ κλειτοὺς ἐπικούρους
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσι
τεύχεσι λαμπόμενος μεγαθύμου Πηλεΐωνος.

ὄτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι
Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε
Ἀστεροπαῖόν τε Δεισήνορά θ᾽ Ἱππόθοόν τε
Φόρκυν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν·
τοὺς ὅ γ᾽ ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·

κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων·
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
ἐνθάδ᾽ ἀφ᾽ ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
ἀλλ᾽ ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ᾽ Ἀχαιῶν.

τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τώ τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω
ἠὲ σαωθήτω· ἢ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπης

Τρῶας ἐς ἱπποδάμους ἐρύσῃ, εἴξῃ δέ οἱ Αἴας,
ἥμισυ τῷ ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ᾽ αὐτὸς
ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν
δούρατ᾽ ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο
θυμὸς

νεκρὸν ὑπ᾽ Αἴαντος ἐρύειν Τελαμωνιάδαο
νήπιοι· ἦ τε πολέσσιν ἐπ᾽ αὐτῷ θυμὸν ἀπηύρα.
καὶ τότ᾽ ἄρ᾽ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
ὦ πέπον ὦ Μενέλαε διοτρεφὲς οὐκέτι νῶϊ
ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.

οὔ τι τόσον νέκυος περιδείδια Πατρόκλοιο,
ὅς κε τάχα Τρώων κορέει κύνας ἠδ᾽ οἰωνούς,
ὅσσον ἐμῇ κεφαλῇ περιδείδια μή τι πάθῃσι,
καὶ σῇ, ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει
Ἕκτωρ, ἡμῖν δ᾽ αὖτ᾽ ἀναφαίνεται αἰπὺς ὄλεθρος.

κι από κεφάλι κι ώμους άπρεπα του πήρες την αρμάτα.
Μα τώρα δόξα εγώ περίλαμπρη να σου χαρίσω θέλω'
τι δε θα σε δεχτεί γυρίζοντας ποτέ της η Αντρομάχη,
τα ξακουστά από πάνω σου άρματα να βγάλει του Αχιλλέα.»
Είπε, και γνέφει με τα φρύδια του τα μαύρα ο γιος του Κρόνου,

κι απάνω του ταιριάζει τ᾽ άρματα, κι ευτύς τον πλημμυρίζει
ο Άρης φριχτός, λυσσάρης᾽ δύναμη κι αντρεία του ξεχειλούνε
χέρια και πόδια, κι έτσι εκίνησε στους ξακουστούς συμμάχους
με δυνατές φωνές χουγιάζοντας, και φάνταζε μπροστά τους,
μες στην άρματα του όπως άστραφτε, σαν τον τρανό Αχιλλέα.
Και πήγε σ᾽ έναν έναν κι έδινε μιλώντας του κουράγιο,
στο Μέδοντα και στο Θερσίλοχο, στο Μέσθλη και στο Γλαύκο,
και στον Αστεροπαίο, στον Έννομο τον ορνιομαντολόγο,
και στον Ιππόθοο, στο Δεισήνορα, στο Φόρκη, στο Χρομίο'
κι έτσι τους γκάρδιωνε ανεμάρπαστα φωνάζοντας τους λόγια:

«Λογής λογής φυλές, ακούστε με, γειτόνοι σύμμαχοι μας,
πλήθος λαούς εγώ δε γύρεψα κι ουδέ τους είχα ανάγκη,
σύντας σας κάλεσα απ᾽ τα κάστρα σας κι ήρθατε εδώ ένας ένας·
μόνο των Τρωών να διαφεντέψετε σας ήθελα τα ταίρια
και τα παιδιά απ᾽ τους πολεμόχαρους, όσο βαστάτε, Αργίτες.
Γι᾽ αυτό και γδύνω τους ανθρώπους μου τραπέζια να σας κάνω
και δώρα, κι όλονών τη δύναμη περίσσια σας αυξαίνω.
Ίσια μπροστά ας γυρνά καθένας σας λοιπόν, και για ας γλιτώσει
για ας σκοτωθεί· τέτοιο έχει ο πόλεμος γλυκοκουβεντολόγι!
Κι όποιος τραβήξει εδώ τον Πάτροκλο, και σκοτωμένος πού 'ναι,

στους Τρώες τους αλογάδες, διώχνοντας τον Αίαντα πίσω πάλε,
θα πάρει τα μισά απ᾽ τα κούρσα του᾽ τ᾽ άλλα μισά θα πάρω
ατός μου εγώ, και θα 'ναι η δόξα του σαν τη δικιά μου πάντα.»
Είπε, κι αυτοί γραμμή ξεχύθηκαν στους Δαναούς με λύσσα
ψηλά κρατώντας τα κοντάρια τους, και το νεκρό λογιάζαν
από τον Αίαντα πως θ᾽ αρπάξουνε, το γιο του Τελαμώνα,
οι ανέμυαλοι! τι αυτός εσώριασε πολλούς πα στο κουφάρι.
Κι ο Αίας γυρνάει στο βροντερόφωνο και λέει Μενέλαο τότε:
« Αρχοντικέ Μενέλαε, φίλε μου, πια δέν τ᾽ ολπίζω τώρα
μήτε κι εμείς οι δυο να γύρουμε γεροί ξανά απ᾽ τη μάχη'

για το κουφάρι εγώ του Πάτροκλου δεν τρέμω τόσο τώρα,
που θα χορτάσει τα όρνια γρήγορα και τα σκυλιά της Τροίας,
όσο μαθές για το κεφάλι μου μήπως και πάθει τρέμω,
και το δικό σου᾽ τι όλα γύρω μας, καθώς πολέμου γνέφος,
τα 'χει σκεπάσει ο μένας Έκτορας, κι εμάς ζωή δε μένει.

ἀλλ᾽ ἄγ᾽ ἀριστῆας Δαναῶν κάλει, ἤν τις ἀκούσῃ.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
οἵ τε παρ᾽ Ἀτρεΐδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ

δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν·
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ᾽ ἐνὶ θυμῷ

Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
ὣς ἔφατ᾽, ὀξὺ δ᾽ ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
πρῶτος δ᾽ ἀντίος ἦλθε θέων ἀνὰ δῃϊοτῆτα,
τὸν δὲ μετ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.

τῶν δ᾽ ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ᾽ εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προΰτυψαν ἀολλέες· ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ.
ὡς δ᾽ ὅτ᾽ ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ᾽ ἄκραι

ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοὶ
ἕστασαν ἀμφὶ Μενοιτιάδῃ ἕνα θυμὸν ἔχοντες
φραχθέντες σάκεσιν χαλκήρεσιν· ἀμφὶ δ᾽ ἄρά σφι
λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν

χεῦ᾽, ἐπεὶ οὐδὲ Μενοιτιάδην ἔχθαιρε πάρος γε,
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
μίσησεν δ᾽ ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι
Τρῳῇσιν· τὼ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·

νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν᾽ αὐτῶν
Τρῶες ὑπέρθυμοι ἔλον ἔγχεσιν ἱέμενοί περ,
ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ᾽ ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ᾽ ἔργα τέτυκτο

τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα.
ἴθυσεν δὲ διὰ προμάχων σὺν εἴκελος ἀλκὴν
καπρίῳ, ὅς τ᾽ ἐν ὄρεσσι κύνας θαλερούς τ᾽ αἰζηοὺς
ῥηϊδίως ἐκέδασσεν, ἐλιξάμενος διὰ βήσσας·
ὡς υἱὸς Τελαμῶνος ἀγαυοῦ φαίδιμος Αἴας

ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας
οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι.
ἦτοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμος υἱὸς
Ἱππόθοος ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην

Μον᾽ έλα, κράξε εδώ τους κάλλιους μας, μπας και κανείς ακούσει.»
Τότε ο Μενέλαος ο βροντόφωνος στα λόγια του συγκλίνει,
και πήρε δυνατά και φώναζε, ν᾽ ακούσουν όλοι οι Αργίτες:
« Φίλοι μου εσείς, προλάτες κι άρχοντες μες στους Αργίτες, όσοι
στους γιους του Ατρέα, τον Αγαμέμνονα και το Μενέλαο, δίπλα

πίνουν κρασί όσο θεν ανέξοδα, και κυβερνάει καθένας
το ασκέρι του κι αντάμα χαίρεται τιμή απ᾽ το Δία και δόξα·
να ξεχωρίσω πέφτει δύσκολο τους άρχους έναν έναν,
τόσο πολύ πια τώρα εκόρωσεν η αντάρα του πολέμου.
Καθείς λοιπόν ας έρθει μόνος του, μην το δεχτεί η καρδιά του
ξεφάντωμα να γίνει ο Πάτροκλος στης Τροίας τους σκύλους τώρα.»
Είπε, κι ο γιος του Οϊλέα τον άκουσεν, ο γοργοπόδης Αίας,
και πρώτος απαντίκρυ επρόφτασε μες στη σφαγή τρεχάτος·
μετά κι ο Ιδομενέας του ακλούθηξε, μαζί του κι ο Μηριόνης,
ο σύντροφος του, που σοζύγιαζε τον αντροφόνον Άρη.

Όμως τους άλλους όλους που 'φτασαν και ποιος ν᾽ αναθιβάλει,
απ᾽ τους Αργίτες, όσοι πίσω τους κορώσανε τη μάχη;
Σύψυχοι οι Τρώες χιμίζουν, κι ο Έχτορας ολομπροστά τραβούσε.
Σε ποταμού ουρανοκατέβατου το στόμα πώς το κύμα
τρανό, στο ρέμα ενάντια·, χύνεται και βόγγει, και τα βράχια
γύρα βρουχιούνται, όπως η θάλασσα με ορμή πετάγεται οξω'
με τόσο βρουχητό ξεχύνουνταν κι οι Τρώες· όμως κι οι Αργίτες
στον Πάτροκλο τρογύρα ασάλευτοι με μια καρδιά εστεκόνταν,
κρυμμένοι πίσω από τα χάλκινα σκουτάρια τους᾽ και γύρα
στ᾽ αστραφτερά τους κράνη εσκόρπιζε του Κρόνου ο γιος αντάρα

πολλή· τι διόλου δεν οχτρεύουνταν τον Πάτροκλο από πρώτα,
που του Αιακού πιστά τον εγγονό συντρόφευε, όσο ζούσε'
κι οι σκύλοι των οχτρών δεν έστρεγε στην Τροία να τον σπαράξουν
γι᾽ αυτό και γκάρδιωνε τους φίλους του, για να τον διαφεντέψουν.
Οι Αργίτες πρώτοι επισωδρόμισαν οι στραφτομάτες τότε,
κι άφήκαν το νεκρό και το 'βαλαν στα πόδια, όμως κανέναν
δε σκότωσαν οι Τρώες οι αντρόκαρδοι, και μ᾽ όλη τους τη λύσσα,
μονάχα το νεκρό τραβούσανε᾽ μα κι οι Αχαιοί μακριά του
πολληώρα δε στάθηκαν γρήγορα τους μεταστρέφει πάλε
ο μέγας Αίαντας, που ξεχώριζε σ᾽ αντρειά και κάλλη απ᾽ όλους

τους Αχαιούς, εξόν τον άψεγο γιο του Πηλέα μονάχα.
Μέσα απ᾽ τους πρόμαχους ξεχύθηκε, στη δύναμη ίδια κάπρος,
που στα βουνά και σκύλους άκοπα και νιους αγριμολόγους
μες στα φαράγγια ξάφνου απάνω τους γυρνώντας διασκορπίζει'
όμοια κι ο Αίας, ο γιος ο αντρόκαρδος του γαύρου Τελαμώνα,
των Τρωών τις φάλαγγες διασκόρπισε, χιμώντας, δίχως κόπο,
που τριγυρίζανε τον Πάτροκλο και λαχταρούσαν πάντα
να τον τραβήξουν μες στο κάστρο τους, να δοξαστούν περίσσια.
Την ώρα εκείνη ο γιος ο αντρόκαρδος του πελασγού του Λήθου,
ο Ιππόθοος, μες στον άγριο σάλαγο τον έσερνε απ᾽ το πόδι,

δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ᾽ αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
τὸν δ᾽ υἱὸς Τελαμῶνος ἐπαΐξας δι᾽ ὁμίλου
πλῆξ᾽ αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρῄου·

ἤρικε δ᾽ ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ
πληγεῖσ᾽ ἔγχεΐ τε μεγάλῳ καὶ χειρὶ παχείῃ,
ἐγκέφαλος δὲ παρ᾽ αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
αἱματόεις· τοῦ δ᾽ αὖθι λύθη μένος, ἐκ δ᾽ ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε

κεῖσθαι· ὃ δ᾽ ἄγχ᾽ αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ
τῆλ᾽ ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ᾽ ὑπ᾽ Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ᾽ αὖτ᾽ Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·

ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὃ δὲ Σχεδίον μεγαθύμου Ἰφίτου υἱὸν
Φωκήων ὄχ᾽ ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
οἰκία ναιετάασκε πολέσσ᾽ ἄνδρεσσιν ἀνάσσων,
τὸν βάλ᾽ ὑπὸ κληῖδα μέσην· διὰ δ᾽ ἀμπερὲς ἄκρη

αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Αἴας δ᾽ αὖ Φόρκυνα δαΐφρονα Φαίνοπος υἱὸν
Ἱπποθόῳ περιβάντα μέσην κατὰ γαστέρα τύψε·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς

ἤφυσ᾽· ὃ δ᾽ ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοστῷ.
χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκροὺς
Φόρκυν θ᾽ Ἱππόθοόν τε, λύοντο δὲ τεύχε᾽ ἀπ᾽
ὤμων.
ἔνθά κεν αὖτε Τρῶες ἀρῃϊφίλων ὑπ᾽ Ἀχαιῶν

Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
Ἀργεῖοι δέ κε κῦδος ἔλον καὶ ὑπὲρ Διὸς αἶσαν
κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ᾽ αὐτὸς Ἀπόλλων
Αἰνείαν ὄτρυνε δέμας Περίφαντι ἐοικὼς
κήρυκι Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι

κηρύσσων γήρασκε φίλα φρεσὶ μήδεα εἰδώς·
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέῃ τε

με το λουρί τα νεύρα δένοντας, στους αστραγάλους γύρα,
στους Τρώες για χάρη και στον Έχτορα᾽ μα το κακό τον βρήκε
μεμιάς, κι ουδέ κανείς τον γλίτωσε, κι ας το λαχταρούν τόσο᾽
τι ο γιος του Τελαμώνα εχίμιξε μπροστά και τον βαρίσκει
από κοντά, μεσ᾽ απ᾽ το κράνος του το χαλκομαγουλάτο.
Το κράνος σπάει το αλογοφούντωτο με του χαλού το χτύπο,
απ᾽ το τρανό κοντάρι ως κρούστηκε και το βαρύ το χέρι'
στου κονταριού ψηλά πετάχτηκαν τη δέση τα μυαλά του
απ᾽ την πληγή, όλο γαίμα᾽ η δύναμη του λύνεται, κι αμέσως
του φεύγει του αντρειωμένου Πάτροκλου το πόδι από τα χέρια

στη γή᾽ κι αυτός σιμά τ᾽ απίστομα πα στο νεκρό εσωριάστη,
μακριά πολύ απ᾽ την παχιοχώματη τη Λάρισα᾽ γραφτό του
δεν ήταν τους γονιούς στα γέρα τους να ιδεί κι αυτός,
μον 'στάθη λιγόχρονος, κι ο Αίας τον σκότωσε με το κοντάρι τότε.
Στον Αίαντα ρίχνει αμέσως ο Έχτορας με αστραφτερό κοντάρι·
μ᾽ αυτός, ως το 'δε ομπρός του που 'ρχονταν, το ξέφυγε από τρίχα'
κι έτσι το γιο του αντρόκαρδου Ίφιτου, το Σχέδιο, στους Φωκιώτες
πρώτος απ᾽ όλους που λογιάζουνταν στην αντριγιά, και ζούσε
στον Πανοπέα τον κοσμοξάκουστο, περίσσιους κυβερνώντας—
αυτόν χτυπάει στο κλειδοκόκαλο᾽ και πρόβαλε απ᾽ την άλλη

στο ριζοπλάτι πίσω η χάλκινη του κονταριού του μύτη.
Βαρύς σωριάστη, κι από πάνω του βρόντηξαν τ᾽ άρματά του.
Και πάλι ο Αίας το γιο του Φαίνοπα, τον πολέμαρχο Φόρκη,
που ομπρός απ᾽ τον Ιππόθοο στάθηκε, πα στην κοιλιά βαρίσκει᾽
κι ως έσπασε ο χαλκός το θώρακα, μες στ᾽ άντερά του εχώθη,
κι αυτός στη γη σωριάστη σφίγγοντας το χώμα στις παλάμες.
Πισωδρομίζει ο γαύρος Έχτορας κι οι μπροστομάχοι τότε,
κι οι Αργίτες τους νεκρούς, χουγιάζοντας, όξω τραβούν, το Φόρκη
και τον Ιππόθοο, κι απ᾽ τους ώμους τους έγδυναν τις αρμάτες.
Και τότε οι Δαναοί οι πολέμαρχοι τους Τρώες στο κάστρο απάνω

δίχως ψυχή καμιά κι ανάκαρα θα κυνηγούσαν πίσω,
κι αυτοί, αντρειωμένοι και λιοντόκαρδοι, δόξα τρανή κι ενάντια
στου Δία το θέλημα θα κέρδιζαν, αν τον Αινεία με βιάση
δεν άσκωνεν ο Φοίβος, μοιάζοντας στην όψη τον Περίφα,
το γιο του Ηπύτη το μαντάτορα, που πλάι στου Αινεία τον κύρη,
γέρος κι αυτός, εζούσε με άδολη μες στην καρδιά του αγάπη·
όμοιος μ᾽ αυτόν ο Φοίβος του 'κραξεν, ο γιος του Δία, και του 'πε:
« Αινεία, την Τροία και πώς θα σώζατε την αψηλή, και δίχως
να θέλουν οι θεοί; Πολέμαρχους είδα πολλούς ως τώρα
που άλλο δεν είχαν απ᾽ την τόλμη τους και την παλικαριά τους

πλήθεΐ τε σφετέρῳ καὶ ὑπερδέα δῆμον ἔχοντας·
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσι
νίκην· ἀλλ᾽ αὐτοὶ τρεῖτ᾽ ἄσπετον οὐδὲ μάχεσθε.
ὣς ἔφατ᾽, Αἰνείας δ᾽ ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἐς ἄντα ἰδών, μέγα δ᾽ Ἕκτορα εἶπε βοήσας·

Ἕκτόρ τ᾽ ἠδ᾽ ἄλλοι Τρώων ἀγοὶ ἠδ᾽ ἐπικούρων
αἰδὼς μὲν νῦν ἦδε γ᾽ ἀρηΐφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι ἀναλκείῃσι δαμέντας.
ἀλλ᾽ ἔτι γάρ τίς φησι θεῶν ἐμοὶ ἄγχι παραστὰς
Ζῆν᾽ ὕπατον μήστωρα μάχης ἐπιτάρροθον εἶναι·

τώ ῥ᾽ ἰθὺς Δαναῶν ἴομεν, μηδ᾽ οἵ γε ἕκηλοι
Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα.
ὣς φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
ἔνθ᾽ αὖτ᾽ Αἰνείας Λειώκριτον οὔτασε δουρὶ

υἱὸν Ἀρίσβαντος Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
τὸν δὲ πεσόντ᾽ ἐλέησεν ἀρηΐφιλος Λυκομήδης,
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἱππασίδην Ἄπισάονα ποιμένα λαῶν
ἥπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾽ ὑπὸ γούνατ᾽ ἔλυσεν,

ὅς ῥ᾽ ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
καὶ δὲ μετ᾽ Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
τὸν δὲ πεσόντ᾽ ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
ἴθυσεν δὲ καὶ ὃ πρόφρων Δαναοῖσι μάχεσθαι·
ἀλλ᾽ οὔ πως ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντῃ

ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ᾽ ἔχοντο.
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο πολλὰ κελεύων·
οὔτέ τιν᾽ ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει
οὔτέ τινα προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ᾽ ἀμφ᾽ αὐτῷ βεβάμεν, σχεδόθεν δὲ
μάχεσθαι.

ὣς Αἴας ἐπέτελλε πελώριος, αἵματι δὲ χθὼν
δεύετο πορφυρέῳ, τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν· οὐδ᾽ οἳ γὰρ ἀναιμωτί γε μάχοντο,
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ

ἀλλήλοις ἀν᾽ ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρός, οὐδέ κε φαίης
οὔτέ ποτ᾽ ἠέλιον σῶν ἔμμεναι οὔτε σελήνην·
ἠέρι γὰρ κατέχοντο μάχης ἐπί θ᾽ ὅσσον ἄριστοι
ἔστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι.

και την αντρεία και τα φουσάτα τους, κι ας ήταν λίγοι ωστόσο.
Και τώρα ο Δίας εμείς να πάρουμε τη νίκη, κι όχι οι Αργίτες,
ποθεί, μα εσείς μονάχα τρέμετε κι ουδέ που πολεμάτε!»
Έτσι μιλάει, κι ο Αινείας τον γνώρισε, στα μάτια όπως τον είδε
το μακρορίχτη Φοίβο, κι έκραξε φωνάζοντας του Εχτόρου:
«Έχτορα εσύ κι οι επίλοιποι άρχοντες των Τρωών και των
συμμάχων,
ντροπή μας απ᾽ τους πολεμόχαρους κυνηγημένοι Αργίτες
δίχως ψυχή καμιά κι ανάκαρα στο κάστρο ν᾽ ανεβούμε.
Να, τώρα ακόμα εστάθη δίπλα μου κάποιος θεός, και μου 'πε
διαφεντευτή το Δία πως έχουμε, τον κύβερνο του κόσμου.

Στους Δαναούς λοιπόν ας πέσουμε γραμμή, να μη μας πάρουν
το νεκρό Πάτροκλο ανεμπόδιστα ξοπίσω στ᾽ άρμενά τους.»
Αυτά είπε, και πηδώντας στάθηκε μπροστά πολύ απ᾽ τους
πρώτους·
κάνουν κι αυτοί στροφή και στάθηκαν αντίκρα στους Αργίτες.
Και τότε χτύπησε το Λειώκριτο με το κοντάρι ο Αινείας,
του Αρίσβα τον υγιό, τον άφοβο του Λυκομήδη ακράνη.
Μα ο Λυκομήδης τον συμπόνεσε θωρώντας τον να πέφτει,
κι ήρθε, κοντά του έστάθη, κι έριξε το αστραφτερό κοντάρι,
και βρήκε τον τρανό Απισάονα, το γιο του Ιππάσου, απάνω
στο σκώτι, χαμηλά, και του 'λυσε μεμιάς τα γόνα κάτω.

Είχεν έρθει απ᾽ την παχιοχώματη την Παιονία, και πρώτος
λογιόταν στην αντρεία · τον πέρναγεν ο Αστεροπαίος μονάχα
Μα ως έπεσε νεκρός, τον πόνεσεν ο Αστεροπαίος ο γαύρος,
κι έτσι κι αυτός γραμμή ξεχύθηκε στους Δαναούς με λύσσα·
του κάκου! Αυτοί με τα σκουτάρια τους ταμπουρωμένοι ολούθε,
γύρα απ᾽ τον Πάτροκλο όρθιοι, επρόβελναν μπροστά τους τα
κοντάρια.
Κι ο Αίας πηγαινορχόταν κι έδινε πολλές αρμήνιες σ᾽ όλους,
πιο πίσω απ᾽ το νεκρό κανένας τους μήτε να φεύγει τώρα,
μήτε μπροστά απ᾽ τους άλλους πόλεμο να στήνει τους Αργίτες,
μον᾽ να σταθούν σιμά τρογύρα του, κι από κοντά να ρίχνουν.

Τέτοιες ο Αίας ο σαραντάπηχος έδινε διάτες, κι όλη
με κόκκινο αίμα η γης μουσκεύουνταν, και πέφταν σωριασμένοι
κι από τους Τρώες νεκροί αξεχώριστα κι απ᾽ τους τρανούς
συμμάχους
κι απ᾽ τους Αργίτες᾽ τι αναιμάτωτα δε μάχουνταν και τούτοι"
όμως πολύ λιγότεροι έπεφταν, τι είχαν στο νου τους πάντα
ο ένας του άλλου να παραστέκεται μες στη σφαγή την άγρια.
Έτσι σα φλόγα τούτοι εμάχουνταν, κι ουδέ να πεις μπορούσες
ο ήλιος αχάλαστος αν έμενε και το φεγγάρι ακόμα'
τι μες στον κάμπο αντάρα εσκέπαζε τους αντρειωμένους όλους,
γύρω όσοι απ᾽ του Μενοίτιου στέκανε το γιο το σκοτωμένο.

οἳ δ᾽ ἄλλοι Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ
εὖκηλοι πολέμιζον ὑπ᾽ αἰθέρι, πέπτατο δ᾽ αὐγὴ
ἠελίου ὀξεῖα, νέφος δ᾽ οὐ φαίνετο πάσης
γαίης οὐδ᾽ ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο
ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα

πολλὸν ἀφεσταότες. τοὶ δ᾽ ἐν μέσῳ ἄλγε᾽ ἔπασχον
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέϊ χαλκῷ
ὅσσοι ἄριστοι ἔσαν· δύο δ᾽ οὔ πω φῶτε πεπύσθην
ἀνέρε κυδαλίμω Θρασυμήδης Ἀντίλοχός τε
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ᾽ ἔτ᾽ ἔφαντο

ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
τὼ δ᾽ ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ
ὀτρύνων πόλεμον δὲ μελαινάων ἀπὸ νηῶν.
τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει

ἀργαλέης· καμάτῳ δὲ καὶ ἰδρῷ νωλεμὲς αἰεὶ
γούνατά τε κνῆμαί τε πόδες θ᾽ ὑπένερθεν ἑκάστου
χεῖρές τ᾽ ὀφθαλμοί τε παλάσσετο μαρναμένοιιν
ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην

λαοῖσιν δώῃ τανύειν μεθύουσαν ἀλοιφῇ·
δεξάμενοι δ᾽ ἄρα τοί γε διαστάντες τανύουσι
κυκλόσ᾽, ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ᾽ ἀλοιφὴ
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διὰ πρό·
ὣς οἵ γ᾽ ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ

εἵλκεον ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
Τρωσὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς
νῆας ἔπι γλαφυράς· περὶ δ᾽ αὐτοῦ μῶλος ὀρώρει
ἄγριος· οὐδέ κ᾽ Ἄρης λαοσσόος οὐδέ κ᾽ Ἀθήνη
τόν γε ἰδοῦσ᾽ ὀνόσαιτ᾽, οὐδ᾽ εἰ μάλα μιν χόλος ἵκοι·

τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
ἦματι τῷ ἐτάνυσσε κακὸν πόνον· οὐδ᾽ ἄρα πώ τι
ᾔδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
πολλὸν γὰρ ῥ᾽ ἀπάνευθε νεῶν μάρναντο θοάων
τείχει ὕπο Τρώων· τό μιν οὔ ποτε ἔλπετο θυμῷ

τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριμφθέντα πύλῃσιν
ἆψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν
ἐκπέρσειν πτολίεθρον ἄνευ ἔθεν, οὐδὲ σὺν αὐτῷ·
πολλάκι γὰρ τό γε μητρὸς ἐπεύθετο νόσφιν
ἀκούων,
ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.

Ωστόσο πέρα οι Τρώες οι επίλοιποι κι οι ξακουσμένοι Αργίτες
χτυπιούνταν μες στο φως ανέμποδα, κι απλώνουνταν η λάμψη
του γήλιου καφτερή᾽ δεν έβλεπες—βουνό και κάμπο ολούθε—
νέφος κανένα· συναλλάζοντας κι αυτοί χτυπιούνταν, μόνο
πώς τις πικρές ριξιές θα ξέφευγαν ο ένας του άλλου πρόσεχαν
τι ήταν αλάργα᾽ μα όσοι βρέθηκαν στη μέση εμαρτυρούσαν
απ᾽ την αντάρα κι απ᾽ τον πόλεμο, κι απ᾽ το χαλκό κόβονταν
οι πιο αντρειωμένοι τον ανέσπλαχνο. Δυο μόνο, ο Θρασυμήδης
κι ο Αντίλοχος, τρανοί πολέμαρχοι, δεν είχαν μάθει ακόμα
πως χάθηκε ο άψεγος ο Πάτροκλος· για ζωντανό τον είχαν

και με τους Τρώες να στήνει πόλεμο στους μπροστομάχους μέσα.
Μονάχα τους δικούς τους γνοιάζουνταν, μη σκοτωθούν για φύγουν,
και πολεμούσαν χώρια, ο Νέστορας ως είχε παραγγείλει,
καθώς από τα μαύρα τ᾽ άρμενα τους έσπρωχνε στη μάχη.
Όμως στους άλλους μέσα ασκώνουνταν φριχτού πολέμου απάλε
τρανό οληµέρα, κι απ᾽ τον κάματο και τον ιδρώτα σ᾽ όλους
και πόδια κάτω αλάγιαστα, άπαυτα, και γόνα κι αντικνήμια
και χέρια κι όψες έμολεύουνταν, ως μάχουνταν τρογύρα
στου εγγονού του Αιακού του γρήγορου τον αντρειωμένο ακράνη.
Πώς όντας πει να δώσει ο μάστορας τρανού βοδιού τομάρι

να το τεντώσουν οι καλφάδες του, με ξίγκι ποτισμένο'
κι αυτοί το παίρνουν και, μακραίνοντας, ολούθε το τεντώνουν,
και πίνει το τομάρι το άλειμμα και το νερό του φεύγει,
πολλοί ως τραβούν κι αυτό τεντώνεται του μάκρους πέρα ως πέρα'
παρόμοια το νεκρό του Πάτροκλου μες σε στενόν αλώνι
τραβούσαν πέρα δώθε᾽ κι ελπιζαν βαθιά μες στην καρδιά τους
οι Τρώες πως θα τον παν στο κάστρο τους, κι οι Αργίτες στα
καράβια
τα βαθουλά, και ξέσπαε γύρα του τρομαχτικός αγώνας.
Ο Άρης μαθές ο πολεμόχαρος παράπονο δε θα 'χε
μήτε η Αθηνά θωρώντας, άμετρος κι ας ήταν ο θυμός της·

τόσο τρανόν αγώνα ξάναψε σε ανθρώπους μέσα κι άτια
τη μέρα εκείνη ο Δίας ολόγυρα στον Πάτροκλο. Κι ωστόσο
δεν ήξερε ο Αχιλλέας ο άντρόκαρδος το θάνατο του ακόμα·
πολύ μακριά μαθές απ᾽ τ᾽ άρμενα τα γρήγορα χτυπιούνταν,
κάτω απ᾽ της Τροίας το κάστρο" ουδ᾽ έβαζε στο νου του αυτός ποτέ
του
πως Θα τον σκότωναν, μον᾽ έλεγε, στο καστροπόρτι ως φτάσει,
ξοπίσω ζωντανός θα γύριζε᾽ δεν το 'λπιζε ποτέ του
το κάστρο να πατήσει δίχως του, κι ουδέ μαζί του ακόμα'
τι έτσι συχνά απ᾽ τη μάνα του άκουγε, κρυφά σαν του μιλούσε,
και του ξεδιάλυνε το θέλημα του Δία του τρισμεγάλου'

δὴ τότε γ᾽ οὔ οἱ ἔειπε κακὸν τόσον ὅσσον ἐτύχθη
μήτηρ, ὅττί ῥά οἱ πολὺ φίλτατος ὤλεθ᾽ ἑταῖρος.
οἳ δ᾽ αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ᾽ ἔχοντες
νωλεμὲς ἐγχρίμπτοντο καὶ ἀλλήλους ἐνάριζον·
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·

ὦ φίλοι οὐ μὰν ἦμιν ἐϋκλεὲς ἀπονέεσθαι
νῆας ἔπι γλαφυράς, ἀλλ᾽ αὐτοῦ γαῖα μέλαινα
πᾶσι χάνοι· τό κεν ἦμιν ἄφαρ πολὺ κέρδιον εἴη
εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
ἄστυ πότι σφέτερον ἐρύσαι καὶ κῦδος ἀρέσθαι.

ὣς δέ τις αὖ Τρώων μεγαθύμων αὐδήσασκεν·
ὦ φίλοι, εἰ καὶ μοῖρα παρ᾽ ἀνέρι τῷδε δαμῆναι
πάντας ὁμῶς, μή πώ τις ἐρωείτω πολέμοιο.
ὣς ἄρα τις εἴπεσκε, μένος δ᾽ ὄρσασκεν ἑκάστου.
ὣς οἳ μὲν μάρναντο, σιδήρειος δ᾽ ὀρυμαγδὸς

χάλκεον οὐρανὸν ἷκε δι᾽ αἰθέρος ἀτρυγέτοιο·
ἵπποι δ᾽ Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο
ἐν κονίῃσι πεσόντος ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων Διώρεος ἄλκιμος υἱὸς

πολλὰ μὲν ἄρ μάστιγι θοῇ ἐπεμαίετο θείνων,
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ᾽ ἀρειῇ·
τὼ δ᾽ οὔτ᾽ ἄψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
ἠθελέτην ἰέναι οὔτ᾽ ἐς πόλεμον μετ᾽ Ἀχαιούς,
ἀλλ᾽ ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ᾽ ἐπὶ τύμβῳ

ἀνέρος ἐστήκῃ τεθνηότος ἠὲ γυναικός,
ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες
οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν
ἡνιόχοιο πόθῳ· θαλερὴ δ᾽ ἐμιαίνετο χαίτη

ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
μυρομένω δ᾽ ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονίων,
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
θνητῷ, ὑμεῖς δ᾽ ἐστὸν ἀγήρω τ᾽ ἀθανάτω τε;

ἦ ἵνα δυστήνοισι μετ᾽ ἀνδράσιν ἄλγε᾽ ἔχητον;
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσά τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ᾽ οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.

ἦ οὐχ ἅλις ὡς καὶ τεύχε᾽ ἔχει καὶ ἐπεύχεται αὔτως;
σφῶϊν δ᾽ ἐν γούνεσσι βαλῶ μένος ἠδ᾽ ἐνὶ θυμῷ,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται

για τέτοιο όμως κακό η μητέρα του δεν του 'χε μιλημένα,
το που 'χε γίνει τώρα, που 'χασε τον γκαρδιακό του ακράνη.
Κι εκείνοι στο κουφάρι ολόγυρα, τα σουβλερά κοντάρια
κρατώντας, άπαυτα χτυπιόντουσαν, κι ο ένας τον άλλο έριχναν
κι ο κάθε απ᾽ τους Αργίτες έλεγε τους χαλκοθωρακάτους:
« Συντρόφοι, πίσω να γυρίσουμε θα 'ναι ντροπή μεγάλη
στα βαθουλά καράβια· ας άνοιγε πιο πρώτα η γης η μαύρη
κι όλους εδώ να μας κατάπινε, χίλιες φορές μακάρι,
παρά μαθές να τον αφήσουμε στους Τρώες τους αλογάδες
να τον τραβήξουν μες στο κάστρο τους, να δοξαστούν περίσσια.»

Και πάλε οι Τρώες οι λιονταρόκαρδοι φωνοκοπούσαν έτσι:
« Γραφτό κι αν είναι ακόμα, σύντροφοι, να πέσουμε όλοι αντάμα
κοντά στον άντρα αυτόν, κανένας μας μη φύγει από τη μάχη!»
Έτσι μιλούσαν και συδαύλιζαν ο ένας του άλλοϋ τη λύσσα.
Κι ως τούτοι εμάχουνταν κι ο σάλαγος ο σιδερένιος πάνω ᾽
στα χάλκινα τα ουράνια ανέβαινε μέσα απ᾽ τον άδειο αιθέρα,
του εγγονού του Αιακού τ᾽ αλόγατα παράμερα απ᾽ τη μάχη
θρηνούσαν, απ᾽ την ώρα που 'νιωσαν στον κουρνιαχτό να πέφτει
ο αμαξολάτης τους απ᾽ του Έχτορα του αντροφονια το χέρι.
Του κάκου ο γαύρος Αυτομέδοντας, του Διώρη ο γιος, τα χτύπα

συχνά πυκνά με το μαστίγι του το λυγερό να φύγουν,
και πότε αρχίναε τα γλυκόλογα και πότε τις φοβέρες.
Εκείνα μήτε στον Ελλήσποντο μαθές να γύρουν θέλαν
πίσω στα πλοία, μήτε στον πόλεμο με τους Αργίτες πάλε"
μον᾽ όπως η κολόνα ασάλευτη κρατιέται, που τη στησαν
ορθή, στον τάφο ενούς που πέθανε για και γυναίκας πάνω,
όμοια έμεναν κι εκείνα ασάλευτα, ζεμένα στ᾽ ώριο αμάξι,
στη γη κολλώντας τα κεφάλια τους᾽ κι από τα βλέφαρα τους
ζεστά τα δάκρυα κάτω ετρέχανε στο χώμα, και θρηνούσαν
ποθώντας τον αμαξολάτη τους· κι οι πλούσιες τους οι χήτες

στα πλάγια του ζυγού σκονίζουνταν, ξεφεύγοντας τη ζεύλα.
Κι ο γιος του Κρόνου, ως τα 'δε που 'κλαιγαν, εψυχοπόνεσέ τα,
και το κεφάλι σειώντας μίλησε μες στην καρδιά του κι είπε:
«Δυστυχισμένα! τι σας χάρισα στο βασιλιά Πηλέα,
που 'ναι θνητός, μα εσείς αγέραστα κι αθάνατα λογιέστε;
τάχα και σεις για να παιδεύεστε με τους θνητούς τους έρμους;
Πλάσμα κανένα από τον άνθρωπο πιο δύστυχο δεν είναι
άλλο στη γης, απ᾽ όσα πάνω της σαλεύουν κι ανασαίνουν.
Του Πρίαμου τον υγιό τον Έχτορα δε θα τον δείτε ωστόσο
ν᾽ ανέβει στο πλουμάτο αμάξι σας, τι δε θα τον αφήσω.

Δε φτάνει που κρατάει και τ᾽ άρματα και ψευτοκαμαρώνει;
Στα γόνατα σας τώρα δύναμη και στην καρδιά σας βάζω,
τον Αυτομέδοντα απ᾽ τον πόλεμο στα βαθουλά καράβια
για να γλιτώστε᾽ τι τρανότερη στους Τρώες θα δώσω δόξα
να σφάζουν, ως στα καλοκούβερτα καράβια πια να φτάσουν

δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ·
ὡς εἰπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ.
τὼ δ᾽ ἀπὸ χαιτάων κονίην οὖδας δὲ βαλόντε
ῥίμφα φέρον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς.
τοῖσι δ᾽ ἐπ᾽ Αὐτομέδων μάχετ᾽ ἀχνύμενός περ
ἑταίρου

ἵπποις ἀΐσσων ὥς τ᾽ αἰγυπιὸς μετὰ χῆνας·
ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ᾽ ἐκ Τρώων ὁρυμαγδοῦ,
ῥεῖα δ᾽ ἐπαΐξασκε πολὺν καθ᾽ ὅμιλον ὀπάζων.
ἀλλ᾽ οὐχ ᾗρει φῶτας ὅτε σεύαιτο διώκειν·
οὐ γάρ πως ἦν οἷον ἐόνθ᾽ ἱερῷ ἐνὶ δίφρῳ

ἔγχει ἐφορμᾶσθαι καὶ ἐπίσχειν ὠκέας ἵππους.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἀλκιμέδων υἱὸς Λαέρκεος Αἱμονίδαο·
στῆ δ᾽ ὄπιθεν δίφροιο καὶ Αὐτομέδοντα προσηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν

ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;
οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ᾽ Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.
τὸν δ᾽ αὖτ᾽ Αὐτομέδων προσέφη Διώρεος υἱός·

Ἀλκίμεδον τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα

δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.
ὡς ἔφατ᾽, Ἀλκιμέδων δὲ βοηθόον ἅρμ᾽ ἐπορούσας
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
Αὐτομέδων δ᾽ ἀπόρουσε· νόησε δὲ φαίδιμος
Ἕκτωρ,
αὐτίκα δ᾽ Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·

Αἰνεία Τρώων βουληφόρε χαλκοχιτώνων
ἵππω τώδ᾽ ἐνόησα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι·
τώ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ
σῷ ἐθέλεις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊ

τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἀρηϊ.
ὡς ἔφατ᾽, οὐδ᾽ ἀπίθησεν ἑῢς πάϊς Ἀγχίσαο.
τὼ δ᾽ ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους
αὔῃσι στερεῇσι· πολὺς δ᾽ ἐπελήλατο χαλκός.
τοῖσι δ᾽ ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδὴς

και πέσει ο γήλιος βασιλεύοντας και το άγιο απλώσει σκότος.»
Αυτά είπε, και τα δυο τ᾽ αλόγατα περίσσια ορμή γιομίζει·
στη γη τινάζουν απ᾽ τις χήτες τους τη σκόνη, καί με βιάση
το αμάξι έσερναν το γοργόφτερο σε Τρώες κι Αργίτες μέσα.
Μ᾽ αυτούς χτυπιόταν ο Αυτομέδοντας, κι ας έκλαιγε το φίλο,

χιμώντας πάνω τους με τ᾽ άλογα, καθώς αϊτός σε χήνες.
Εύκολα ξέφευγε απ᾽ το σάλαγο των Τρωών μακριά τρεχάτος,
κι εύκολα εχίμιζε, τα ασκέρι τους το πλήθιο κυνηγώντας.
Μα όσες φορές κι αν χύθη απάνω τους, δε σκότωσε κανένα'
τι δεν μπορούσε, μόνος που 'μεινε στο στέριο μέσα αμάξι,
μαζί κοντάρι κι άτια γρήγορα μαθές να κυβερνήσει.
Μα πια τον είδεν ο Αλκιμέδοντας, του Λαέρκη ο γιος, τ᾽ αγγόνι
του Αιμόνου, μπιστεμένος σύντροφος, και πίσω από τ᾽ αμάξι
στάθη, κι ευτύς τον Αυτομέδοντα φωνάζοντας του κράζει:
«Σαν ποιος να σου 'βαλε, Αυτομέδοντα, θεός στα στήθια μέσα

τέτοια στραβή βουλή και σάλεψε τα γνωστικά σου φρένα;
τι πολεμάς τους Τρώες μονάχος σου στους μπροστομάχους μέσα!
Μα ο σύντροφος σου εχάθη, κι ο Έχτορας ατός του την αρμάτα
του εγγονού του Αιακού στους ώμους του φοράει και καμαρώνει.»
Και του αποκρίθηκε ο Αυτομέδοντας, του Δίωρη ο γιος, και του 'πε:
«Άλλος Αργίτης, Αλκιμέδοντα, ποιος παραβγαίνει εσένα,
να κυβερνάει τ᾽ αθάνατα άλογα, να κόβει την ορμή τους,
εξόν ο Πάτροκλος, στη φρόνεση που ίδια θεός λογιόταν,
σα ζούσε; τώρα όμως ο θάνατος κι η Μοίρα τον κρατούνε.
Τ᾽ αστραφτερά εσύ τώρα νιόλουρα καί το μαστίγι πάρε,

κι εγώ θα κατεβώ απ᾽ τ᾽ αμάξι μου, πεζός να πολεμήσω.»
Έτσι μιλούσε, κι ο Αλκιμέδοντας πηδά στο αμάξι απάνω,
γοργά στα χέρια του τα νιόλουρα και το μαστίγι αρπώντας,
κι όξω πετάχτηκε ο Αυτομέδοντας· όμως τον είδε αντίκρα
ο γαύρος Έχτορας, κι ως έστεκε σιμά του ο Αινείας, του κράζει:
«Αινεία, των Τρωών δημογέροντα των χαλκοθωρακάτων,
του γρήγορου Αχιλλέα τ᾽ αλόγατα θωρώ με αμαξολάτες
αδύναμους εκεί, που επρόβαλαν και μες στο απάλε μπαίνουν.
Έτσι θαρρώ πω θα τα παίρναμε, φτάνει και συ να θέλεις
με την καρδιά σου᾽ τι αν απάνω τους χυθούμε οι δυο μας τώρα,

δε θα βαστούσαν, μπρος μας στέκοντας, να χτυπηθούν μαζί μας.»
Είπε, κι ο γιος ο αρχοντογέννητος τον άκουσε του Αγχίση.
Ίσια τραβούν με βοϊδοσκούταρα σκεπάζοντας τους ώμους,
στεριά, στεγνά, κι ήταν απάνω τους παχύς χαλκός στρωμένος.
Κι ο Άρητος τράβηξε ο θεόμορφος μαζί τους κι ο Χρομίος

ἦϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
αὐτώ τε κτενέειν ἐλάαν τ᾽ ἐριαύχενας ἵππους
νήπιοι, οὐδ᾽ ἄρ᾽ ἔμελλον ἀναιμωτί γε νέεσθαι
αὖτις ἀπ᾽ Αὐτομέδοντος. ὃ δ᾽ εὐξάμενος Διὶ πατρὶ
ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφὶ μελαίνας·

αὐτίκα δ᾽ Ἀλκιμέδοντα προσηύδα πιστὸν ἑταῖρον·
Ἀλκίμεδον μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
ἀλλὰ μάλ᾽ ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ᾽ ἐπ᾽ Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω

νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
Ἀργείων, ἤ κ᾽ αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη.
ὣς εἰπὼν Αἴαντε καλέσσατο καὶ Μενέλαον·
Αἴαντ᾽ Ἀργείων ἡγήτορε καὶ Μενέλαε
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ᾽ οἵ περ ἄριστοι

ἀμφ᾽ αὐτῷ βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῇδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείας θ᾽, οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ᾽ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·

ἧσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀρήτοιο κατ᾽ ἀσπίδα πάντοσ᾽ ἴσην·
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός,
νειαίρῃ δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.

ὡς δ᾽ ὅτ᾽ ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνὴρ
κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο
ἶνα τάμῃ διὰ πᾶσαν, ὃ δὲ προθορὼν ἐρίπῃσιν,
ὣς ἄρ᾽ ὅ γε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
νηδυίοισι μάλ᾽ ὀξὺ κραδαινόμενον λύε γυῖα.

Ἕκτωρ δ᾽ Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ·
ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε, τὸ δ᾽ ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ᾽ οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης.

καί νύ κε δὴ ξιφέεσσ᾽ αὐτοσχεδὸν ὁρμηθήτην
εἰ μή σφω᾽ Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ᾽ ἦλθον καθ᾽ ὅμιλον ἑταίρου κικλήσκοντος·
τοὺς ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ Αἰνείας τ᾽ ἠδὲ Χρομίος θεοειδής,

συντροφεμένοι, τι λογάριαζαν και κείνους να σκοτώσουν
και τα δυο τ᾽ άλογα τα ορθόλαιμα να κάνουνε δικά τους,
οι ανέμυαλοι! Τον Αυτομέδοντα πριχού ξεφύγουν, μ᾽ αίμα
το πλέρωσαν. Κι εκείνος κάνοντας ευκή στο Δία πατέρα
αντρεία τα μαύρα σπλάχνα του ένιωσε και δύναμη γεμάτα.

Ευτύς φωνάζει του Αλκιμέδοντα, του γκαρδιακού του ακράνη:
«Τ᾽ άλογα τώρα πια, Αλκιμέδοντα, μην τα κρατάς μακριά μου᾽
θέλω στις πλάτες την ανάσα τους να νιώθω, τι καθόλου
δε θα κοπεί λογιάζω του Έχτορα, του γιου του Πρίαμου, η φόρα,
ως να σκοτώσει εμάς και στ᾽ άλογα ν᾽ ανέβει του Αχιλλέα
τα ωριότριχα, ξοπίσώ διώχνοντας τ᾽ Αργίτικα φουσάτα,
για και να πέσει ατός του ανάμεσα στους πρώτους σκοτωμένος.»
Αυτά είπε, και στους Αίαντες φώναξε και στο Μενέλαο τότε:
«Των Δαναών ρηγάρχες. Αίαντες και συ Μενέλαε, τώρα
αφήστε το νεκρό του Πάτροκλου στους άλλους αντρειωμένους,

να στέκουν και να διώχνουν γύρα του των Τρωών τ᾽ ασκέρια πίσω,
και μας τους ζωντανούς γλιτώστε μας απ᾽ τον ανήλεο Χάρο'
τι μες στη μάχη την πολύδακρη χιμίζουν κατά δώθε
ο Αινείας κι ο Έχτορας, ανάμεσα στους Τρώες οι πιο αντρειωμένοι.
Όμως στα χέρια των αθάνατων είναι όλα κρεμασμένα'
κι εγώ θα ρίξω᾽ τ᾽ αποδέλοιπα θα κυβερνήσει ο Δίας.»
Είπε, καί το μακρόισκιωτο έριξε κοντάρι του με φόρα,
και πέτυχε μπροστά του του Άρητου τ᾽ ολόκυκλο σκουτάρι"
κι αυτό στο χτύπημα δεν άντεξε᾽ μέσα ο χαλκός εδιάβη,
και σκίζοντας τη ζώνη εχώθηκε βαθιά στο κατωκοίλι.

Πώς ένας άντρας χεροδύναμος με κοφτερό πελέκι
ταύρο τρανό πίσω απ᾽ τα κέρατα χτυπάει, και κόβει του όλο
το νεύρο, και το ζω σωριάζεται στο χώμα, ομπρός πηδώντας'
όμοια κι αυτός πηδώντας κύλησε τ᾽ ανάσκελα, τι του 'χε,
τα σπλάχνα το κοντάρι σκίζοντας, θερίσει την ορμή του.
Κι ο Έχτορας ρίχνει του Αυτομέδοντα με αστραφτερό κοντάρι·
μα είδε απαντίκρυ αυτός το χάλκινο κοντάρι και ξεφεύγει'
τι έσκυψε ομπρός, και πίσω εχώθηκε στο χώμα το κοντάρι,
πέρα μακριά, κι η ουρά του απόμεινε σεινάμενη να τρέμει,
ωσόπου η ορμή του εκαταλάγιασε κι η δύναμη του εχάθη.

Και τότε τα σπαθιά τους θα 'βγαζαν να χτυπηθούν οι δυο τους,
οι Αίαντες αν δεν τους ξεχώριζαν, και μ᾽ όλη τους τη λύσσα·
τι αυτοί, όπως άκουσαν το σύντροφο, μέσα στο ασκέρι έτρεξαν
κι ως τους αντίκρισαν, φοβήθηκαν και κάναν πίσω πάλε
ο μένας Έχτορας κι ο θεόμορφος Χρομίος κι ο γιος του Αγγίση'

Ἄρητον δὲ κατ᾽ αὖθι λίπον δεδαϊγμένον ἦτορ
κείμενον· Αὐτομέδων δὲ θοῷ ἀτάλαντος Ἀρηϊ
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπέφνων.

ὣς εἰπὼν ἐς δίφρον ἐλὼν ἔναρα βροτόεντα
θῆκ᾽, ἂν δ᾽ αὐτὸς ἔβαινε πόδας καὶ χεῖρας ὕπερθεν
αἱματόεις ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
ἂψ δ᾽ ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη
ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη

οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεὺς
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ᾽ αὐτοῦ.
ἠΰτε πορφυρέην Ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν τέρας ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων

ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
ὣς ἡ πορφυρέῃ νεφέλῃ πυκάσασα ἑ αὐτὴν
δύσετ᾽ Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
πρῶτον δ᾽ Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα
ἴφθιμον Μενέλαον· ὀ γάρ ῥά οἱ ἐγγύθεν ἦεν·

εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
σοὶ μὲν δὴ Μενέλαε κατηφείη καὶ ὄνειδος
ἔσσεται εἴ κ᾽ Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.

τὴν δ᾽ αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Φοῖνιξ ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοί, βελέων δ᾽ ἀπερύκοι ἐρωήν·
τώ κεν ἔγωγ᾽ ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.

ἀλλ᾽ Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ᾽ ἀπολήγει
χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.
ὣς φάτο, γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
ὅττί ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκε,

καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰσχανάᾳ δακέειν, λαρὸν τέ οἱ αἷμ᾽ ἀνθρώπου·
τοίου μιν θάρσευς πλῆσε φρένας ἀμφὶ μελαίνας,
βῆ δ᾽ ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.

ἔσκε δ᾽ ἐνὶ Τρώεσσι Ποδῆς υἱὸς Ἠετίωνος
ἀφνειός τ᾽ ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος
ἀΐξαντα φόβον δέ, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

εκεί τον Άρητο παράτησαν με σπαραγμένα σπλάχνα
χάμω στη γη. Τότε ο Αυτομέδοντας σαν τον γοργό τον Άρη
τον γδύνει και του παίρνει τ᾽ άρματα και μ᾽ έπαρση φωνάζει:
«Ε, κάπως η καρδιά μου αλάφρωσε που ο Πάτροκλος σκοτώθη,
κι ας έριξα μαθές κι ας σκότωσα πολύ αχαμνότερο του!»

Τέτοια μιλούσε, και στο αμάξι του τα αιματωμένα κούρσα
βάζει, κι ατός του ανέβηκε έπειτα, χέρια ψηλά και πόδια
αίμα γιομάτος, λιόντας θα 'λεγες, που ταύρο έχει σπαράξει.
Και πάλε απλώθη απά στον Πάτροκλο βαρύς αγώνας, άγριος,
πολύδακρος᾽ τη μάνητα άναβε φτασμένη από τα ουράνια
ατή της η Αθηνά᾽ ο βροντόλαλος την είχε Δίας σταλμένα,
στους Δαναούς να δώσει δύναμη᾽ τι η γνώμη του είχε αλλάξει.
Πως το φλογάτο ουρανοδόξαρο πα στους θνητούς τανίζει
ο γιος του Κρόνου απ᾽ τα μεσούρανα, σημάδι για πολέμου
για και βαριού χειμώνα αβάσταγου, που των ξωμάχων κόβει

κάθε δουλειά, και τ᾽ αρνοκάτσικα στα χειμαδιά στριμώχνει'
σ᾽ έτοιο κι αυτή φλογάτο σύγνεφο τυλίχτηκε, κι εχύθη
μες στους Αργίτες, συδαυλίζοντας τον κάθε πολέμαρχο.
Και πρώτα τρέχει και συμπαίνοντας μιλάει στο γιο του Ατρέα,
τον πέρφανο Μενέλαο, που 'τυχε να βρίσκεται σιμά της,
του Φοίνικα το διώμα παίρνοντας καί την τρανή φωνή του:
«Μενέλαε, θα σε πνίξει ολόγυρα ντροπή και καταφρόνια,
αν τον πιστόν αφήσεις σύντροφο του αρχοντικού Αχιλλέα
να σύρουν τα σκυλιά τα γρήγορα κάτω απ᾽ των Τρωών το κάστρο.
Καρδιά λοιπόν, ομπρός, ξεσήκωσε και τους δικούς μας όλους!»

Τότε ο Μενέλαος ο βροντόφωνος γυρνάει κι απηλογιέται:
«Φοίνικα εσύ, καλέ μου γέροντα, πολύχρονε, αχ κουράγιο
να μου 'δινε η Αθηνά καί να 'διωχνε κάθε ριξιά απ᾽ ομπρός μου,
με την καρδιά μου θα παράστεκα να διαφεντέψω τότε
τον Πάτροκλο, πού τόσο μου 'καψε τα σπλάχνα ο χαλασμός του.
Μα ίδια φωτιά χιμίζει ο Έχτορας, κι αλάγιαστα σκοτώνει
με το χαλκό᾽ τι εκείνου εχάρισε τώρα τη νίκη ο Δίας.»
Είπε, κι η γλαυκομάτα εχάρηκε θεά Αθηνά βαθιά της,
που απ᾽ όλους τους θεούς ευκήθηκε σε κείνη πρώτη πρώτη'
και δύναμη στους ώμους του έβαλε, στα γόνατα του κάτω,

και σφήνωσε βαθιά στα στήθια του της μύγας το γινάτι,
που όσο τη διώχνεις, τόσο ρίχνεται με πόθο στο κορμί σου
να σ᾽ το δαγκάσει, τι γλυκόπιοτο γι᾽ αυτήν του ανθρώπου το αίμα'
μ᾽ έτοιο η θεά γινάτι έγιόμωσε τα μαύρα σωθικά του,
και στάθη πάνω από τον Πάτροκλο και το κοντάρι ρίχνει.
Κάποιος Ποδής στους Τρώες ανάμεσα, γιος του Ηετίωνα, ζούσε,
πλούσιος, ωραίος, κι απ᾽ όλους ο Έχτορας περίσσια τον τιμούσε
μες στο λαό του, τι συντράπεζος και γκαρδιακός του ακράνης'
και τώρα αυτόν, να φύγει ως έτρεχε, χτυπά ο Μενέλαος πάνω
στη ζώνη του, κι ως μες στα σπλάχνα του καρφώνει το χαλκό του.

δούπησεν δὲ πεσών· ἀτὰρ Ἀτρεΐδης Μενέλαος
νεκρὸν ὑπ᾽ ἐκ Τρώων ἔρυσεν μετὰ ἕθνος ἑταίρων.
Ἕκτορα δ᾽ ἐγγύθεν ἱστάμενος ὄτρυνεν Ἀπόλλων
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἀπάντων
ξείνων φίλτατος ἔσκεν Ἀβυδόθι οἰκία ναίων·

τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ τίς κέ σ᾽ ἔτ᾽ ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος γε
μαλθακὸς αἰχμητής· νῦν δ᾽ οἴχεται οἷος ἀείρας
νεκρὸν ὑπ᾽ ἐκ Τρώων, σὸν δ᾽ ἔκτανε πιστὸν
ἑταῖρον

ἐσθλὸν ἐνὶ προμάχοισι Ποδῆν υἱὸν Ἠετίωνος.
ὣς φάτο, τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
καὶ τότ᾽ ἄρα Κρονίδης ἔλετ᾽ αἰγίδα θυσσανόεσσαν
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν,

ἀστράψας δὲ μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δὲ τίναξε,
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ᾽ Ἀχαιούς.
πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο.
βλῆτο γὰρ ὦμον δουρὶ πρόσω τετραμμένος αἰεὶ
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις

αἰχμὴ Πουλυδάμαντος· ὃ γάρ ῥ᾽ ἔβαλε σχεδὸν
ἐλθών.
Λήϊτον αὖθ᾽ Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.

Ἕκτορα δ᾽ Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῷ δ᾽ ἐάγη δολιχὸν δόρυ, τοὶ δὲ βόησαν
Τρῶες· ὃ δ᾽ Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
δίφρῳ ἐφεσταότος· τοῦ μέν ῥ᾽ ἀπὸ τυτθὸν ἅμαρτεν·

αὐτὰρ ὃ Μηριόναο ὀπάονά θ᾽ ἡνίοχόν τε
Κοίρανον, ὅς ῥ᾽ ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ᾽ αὐτῷ·
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
ἦλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·

καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ,
αὐτὸς δ᾽ ὤλεσε θυμὸν ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο·
τὸν βάλ᾽ ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ᾽ ἄρ᾽
ὀδόντας
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
ἤριπε δ᾽ ἐξ ὀχέων, κατὰ δ᾽ ἡνία χεῦεν ἔραζε.

Πέφτει βροντώντας᾽ τότε σκύβοντας ο γιος του Ατρέα, τον σέρνει
όξω απ᾽ τους Τρώες, και το κουφάρι του τραβά μες στους δικούς
του.
Ευτύς ο Απόλλωνας σιμώνοντας τον Έχτορα γκαρδιώνει'
του Άσιου το γιο το Φαίνοπα έμοιαζε, στην Άβυδο που ζούσε
και του 'χε αγάπη εκείνος πιότερη μέσα στους φίλους του όλους.
Με τέτοια είδη ο θεός του εμίλησεν ο μακροσαϊτορίχτης:
«Πια απ᾽ τους Αργίτες άλλος, Έχτορα, και ποιος θα σε φοβόταν,
μπρος στο Μενέλαο τώρα που 'φυγες; Ποτέ του δεν εστάθη
τρανός πολέμαρχος, και να τόνε που φεύγει, αφού σας πήρε
μονάχος το κουφάρι! Εσκότωσε πιστό δικό σου ακράνη,

τον αντρειανό Ποδή, που εμάχουνταν στους μπροστομάχους μέσα.»
Είπε, κι αυτόν σα μαύρο σύγνεφο τον περιζώνει ο πόνος,
κι ευτύς περνάει μεσ᾽ απ᾽ τους πρόμαχους με αστραποβόλο κράνος.
Και τότε ο Δίας το βροντοσκούταρο το κροσσωτό φουχτώνει,
που φεγγοβόλαε, και με σύγνεφα την Ίδα αποσκεπάζει,
κι αστράφτοντας βροντάει με δύναμη, τραντάζοντας τη ακέρια,
οι Αργίτες να τσακίσουν θέλοντας, τη νίκη οι Τρώες να πάρουν.
Και πρώτος ο Πηνέλαος γύρισεν ο βοιωτός να φύγει'
τι ως ήταν μπρος στραμμένος πάντα του, λαβώθη με κοντάρι
στον ώμο ξώδερμα, και χάραξε το κόκαλο του ως πέρα

απ᾽ το χαλό του Πολυδάμαντα, που από κοντά είχε ρίξει.
Σιμάθε κι ο Έχτορας εχτύπησε στο χεραρμό το Λήτο,
το γιο του αντρόψυχου Αλεχτρύονα, και την ορμή του κόβει.
Φεύγει κοιτάζοντας τρογύρα του και πια δεν είχε ελπίδα
στο χέρι το κοντάρι σφίγγοντας τους Τρώες να πολεμήσει.
Καί τότε ο Ιδομενέας τον Έχτορα, που είχε χυθεί του Λήτου,
πλάι στο βυζί χτυπάει κατάστηθα, στο θώρακα του απάνω.
Μα το μακρύ στη δέση του έσπασε κοντάρι᾽ σέρνουν τότε
οι Τρώες φωνή᾽ κι αυτός κοντάρεψε του Ιδομενέα, που απάνω
στο αμάξι εστέκουνταν᾽ μα ξέσφαλε μια τρίχα το κοντάρι,

και στου Μηριόνη απά το σύντροφο κι αμαξολάτη πέφτει,
τον Κοίρανο, που απ᾽ την καλόχτιστη τον ακλουθούσε Λύχτο.
Πεζός πουρνό απ᾽ τα δρεπανόγυρτα καράβια του είχε φτάσει
ο Ιδομενέας, και τότε θα 'δινε στους Τρώες μεγάλη δόξα,
τα φτεροπόδαρα άτια ο Κοίρανος με βιάση αν δε χτυπούσε.
Εκείνον έτσι τον εγλίτωσε, τη μαύρη του 'διωξε ώρα,
όμως σκοτώθη αυτός απ᾽ του Έχτορα του αντροφονια το χέρι'
κάτω απ᾽ τ᾽ αφτί κι απ᾽ το σαγόνι του τον βρήκε, και τα δόντια
όξω πετά ο χαλός, και του 'κοψε καταμεσός τη γλώσσα'
κι ως έπεσε απ᾽ τ᾽ αμάξι, εκύλησαν στη γη τα χαλινάρια.

καὶ τά γε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσι
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
μάστιε νῦν εἶός κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γιγνώσκεις δὲ καὶ αὐτὸς ὅ τ' οὐκέτι κάρτος Ἀχαιῶν.
ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
νῆας ἔπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεύς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην.
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
ὦ πόποι ἤδη μέν κε καὶ ὃς μάλα νήπιός ἐστι
γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται ὅς τις ἀφήῃ
ἠ κακὸς ἠ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἡμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες,
οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλεΐδῃ, ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως.
ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα·
αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη·
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
σκέπτεο νῦν Μενέλαε διοτρεφὲς αἴ κεν ἴδηαι
ζωὸν ἔτ' Ἀντίλοχον μεγαθύμου Νέστορος υἱόν,
ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
εἰπεῖν ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
βῆ δ' ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἐλέσθαι
πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·
ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·

Τότε ο Μηριόνης με τα χέρια του τα μάζωξε απ' το χώμα,
σκύβοντας κάτω, κι έτσι μίλησε του Ιδομενέα και του 'πε:
«Για βάρα τ' άλογα, στα γρήγορα καράβια μας να φτάσεις·
κι ατός σου το νογας, χαθήκαμε πια τώρα εμείς οι Αργίτες!»
Είπε, κι εκείνος τα ωριοχήτικα βιτσίζει αλόγατά του,
στα βαθουλά να τρέξουν άρμενα, τι είχε κι αυτός τρομάξει.
Μα κι ο Μενέλαος το κατάλαβε κι ο Αίας ο ψυχωμένος,
πως έδινε τη νίκη αλάκερη στους Τρώες πια τώρα ο Δίας.
Κι ο μέγας Αίαντας πρωτομίλησεν, ο γιος του Τελαμώνα:
«Ωχού μου, τώρα πια θα το 'νιωθε κι ένα μωρό παιδάκι,
ο κύρης Δίας πως παραστέκεται βοηθός στους Τρώες ατός του'
τι πέφτουν οι ριξιές τους άσφαλτες, απ' όποιο ας φεύγουν χέρι,
γερό, αχαμνό· καλοδρομίζει τις όλες μαθές ο Δίας·
μα εμάς του ανέμου φεύγουν όλες τους και πέφτουνε στο χώμα.
Όμως την πιο καλή και μόνοι μας βουλή να βρούμε ελάτε,
το πως και το νεκρό θα σύρουμε, κι ατοί μας πίσω πάλε
χαρά γυρνώντας στους συντρόφους μας θα δώσουμε, που τώρα
με αγκούσα κατά μας κοιτάζουνε και λεν πως πια του Εχτόρου
του άντροφονια δε θα κρατήσουμε τη φόρα και τα χέρια
τ' ανίκητα, μον' πίσω στ' άρμενα τα μαύρα θα ριχτούμε.
Να' ταν κανείς δω πέρα σύντροφος, που στου Πηλέα να δράμει
το γιο, να του τα πει' μου εικάζεται, μητ' έχει μάθει ακόμα
το μαύρο μήνυμα, πως έχασε τον γκαρδιακό του ακράνη.
Μα τέτοιο Αργίτη μου 'ναι αβόλετο να ξεχωρίσω' τόσο
βαθιά μες στην αντάρα εβούλιαξαν μαζί κι άνθρωποι κι άτια.
Πατέρα Δία, μα εσύ για βόηθα μας απ' την πυκνήν αντάρα
των Αχαιών τους γιους, ξαστέρωσε, δώσε να ιδούν τα μάτια,
και μες στο φως πια τότε χάλα μας, αφού το θέλεις τόσο!»
Είπε, κι ο κύρης τον σπλαχνίστηκε, τόσο πικρά που εθρήνει,
και την αντάρα ευτύς διασκόρπισε και πήρε την καταχνιά,
κι έλαμψε ο γήλιος και φωτίστηκε τρογύρα η μάχη ακέρια.
Κι ο Αίας γυρνάει στο βροντερόφωνο Μενέλαο και του κάνει:
«Αρχοντικέ Μενέλαε, κοίταξε, κι αν δε σκοτώθη ακόμα
ο Αντίλοχος, ο γιος του αντρόκαρδου του Νέστορα, για βρες τον,
και στείλε τον να τρέξει γρήγορα στον αντρειανό Αχιλλέα,
να του μηνύσει πως εχάθηκεν ο πιο ακριβός του ακράνης.»
Είπε, κι αμέσως ο βροντόφωνος Μενέλαος τον ακούει'
κινάει και φεύγει, λιόντας θα 'λεγες, που απ' την αυλή της μάντρας,
αφού εκουράστη αναστατώνοντας και σκύλους καί τσοπάνους,
που όλη τη νύχτα ορθοί την πέρασαν, χωρίς να τον αφήσουν
το πιο παχύ ν' αρπάξει βόδι τους· κι εκείνος κρέας ζητώντας
να φάει, χιμάει, μα δίχως όφελος· πλήθος μαθές κοντάρια
πέφτουν απάνω του ξεφεύγοντας απ' αντρειωμένα χέρια,
πλήθος δαδιά που καιν και σκιάζεται, με όση κι αν έχει λύσσα'
και μόνο ως φέξει, παίρνει απόφαση και φεύγει πικραμένος'

ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
ᾔϊε πόλλ᾽ ἀέκων· περὶ γὰρ δίε μή μιν Ἀχαιοὶ
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν.
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ᾽ ἐπέτελλεν·
Αἴαντ᾽ Ἀργείων ἡγήτορε Μηριόνη τε

νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
πάντοσε παπταίνων ὥς τ᾽ αἰετός, ὅν ῥά τέ φασιν

ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ᾽ ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ
θάμνῳ ὑπ᾽ ἀμφικόμῳ κατακείμενος, ἀλλά τ᾽ ἐπ᾽ αὐτῷ
ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣς τότε σοὶ Μενέλαε διοτρεφὲς ὄσσε φαεινὼ

πάντοσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
τὸν δὲ μάλ᾽ αἶψ᾽ ἐνόησε μάχης ἐπ᾽ ἀριστερὰ πάσης
θαρσύνονθ᾽ ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι,
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·

Ἀντίλοχ᾽ εἰ δ᾽ ἄγε δεῦρο διοτρεφὲς ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μὲν σὲ καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ᾽ ὥριστος Ἀχαιῶν

Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ γ᾽ αἶψ᾽ Ἀχιλῆϊ θέων ἐπὶ νῆας Ἀχαιῶν
εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε᾽ ἔχει κορυθαίολος Ἕκτωρ.
ὣς ἔφατ᾽, Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας·

δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἀλλ᾽ οὐδ᾽ ὣς Μενελάου ἐφημοσύνης ἀμέλησε,
βῆ δὲ θέειν, τὰ δὲ τεύχε᾽ ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.

τὸν μὲν δάκρυ χέοντα πόδες φέρον ἐκ πολέμοιο
Πηλεΐδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
οὐδ᾽ ἄρα σοὶ Μενέλαε διοτρεφὲς ἤθελε θυμὸς
τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·

όμοια απ᾽ τον Πάτροκλο ο βροντόφωνος Μενέλαος στανικώς του
κινούσε για να φύγει, τι έτρεμε στα πόδια μην το βάλουν
οι Αργίτες, κι έτσι στους αντίμαχους για κουρσό τον αφήσουν.
Πολλές λοιπόν στους Αίντες έδινε και στο Μηριόνη διάτες:
« Μηριόνη κι Αίαντες, αγρικήστε με, των Αχαιών ρηγάρχες'

την καλοσύνη του έρμου Πάτροκλου τώρα ας κρατά ο καθένας
στο νου, τι αλήθεια γλυκομίλητος, όσο πού εζούσε, σε όλους
κάτεχε να 'ναι᾽ τώρα ο θάνατος κι η Μοίρα τον κρατούνε.»
Είπε ο ξανθός Μενέλαος κι έφυγε, και κόχευε τα μάτια
γύρα τρογύρα ολούθε ψάχνοντας, καθώς αϊτός, που λένε
πως έχει απ᾽ όλα τα πετούμενα πιο κοφτερό το μάτι'
που και ψηλάθε ο γοργοπόδαρος λαγός, βαθιά χωμένος
μες σε πυκνόφυλλα χαμόκλαδα, ποτέ δεν του ξεφεύγει;
μον᾽ στη στιγμή χιμάει κι αδράχνει τον και τη ζωή του παίρνει'
όμοια και σένα, αρχοντογέννητε Μενέλαε, τριγύριζαν

παντού τα δυο τα μάτια αστράφτοντας, να ίδεις στο πλήθιο ασκέρι
αν κάπου ζωντανός του Νέστορα βρίσκεται ο γιος ακόμα'
και γρήγορα τον είδε που 'στεκε ζερβιά μεριά απ᾽ τη μάχη,
και τους συντρόφους του όλους γκάρδιωνε, στη μάχη σπρώχοντάς
τους.
Κι ήρθε ο ξανθός Μενέλαος δίπλα του κι αυτά του λέει τα λόγια:
«Έλα, του Δία βλαστάρι, Αντίλοχε, το μαύρο το μαντάτο
τώρα ν᾽ ακούσεις᾽ αχ, τι θα 'δινα, ποτέ να μη είχε γίνει!
Θωρώντας γύρα θα κατάλαβες θαρρώ και μοναχός σου
πως τώρα πια ο θεός το χαλασμό των Αχαιών γυρεύει,
κι η νίκη είναι των Τρωών. Σκοτώθηκεν ο πιο τρανός Αργίτης,

ο Πάτροκλος, κι οι Αργίτες ένιωσαν καημό βαρύ που εχάθη!
Μον᾽ τρέχα εσύ γοργά στ᾽ Αργίτικα καράβια, του Αχιλλέα
να πεις να δράμει, μπας και στ᾽ άρμενα γλιτώσει το κουφάρι,
γυμνό᾽ τι τον ξαρμάτωσε ο Έχτορας ο λαμπροκρανοσείστης.»
Είπε, κι ο Αντίλοχος επάγωσε το λόγο αυτό ν᾽ ακούσει,
κι έτσι πολληώρα απόμεινε άλαλος, και του γιομώσαν δάκρυα
τα μάτια, κι η φωνή του επιάστηκεν η δυνατή᾽ μα κι έτσι
του γιου του Ατρέα δεν την ξαστόχησε την προσταγή, μον᾽ φεύγει,
και τ᾽ άρματά του τα παράτησε στον άψεγό του ακράνη
Λαόδοκο, που τα μονόνυχα κοντά του εγύριζε άτια.

Θρηνώντας τούτος απ᾽ τον πόλεμο κινούσε, στου Πηλέα
το γιο τον Αχιλλέα το μήνυμα το θλιβερό να φέρει.
Και συ, Μενέλαε, δεν το θέλησες, αρχοντικέ, να μείνεις
και να συντρέξεις στην ανάγκη τους τους συντρόφους, που αφήκε
ο Αντίλοχος κι απόμεινε έρημο των Πυλιωτών τ᾽ ασκέρι.

ἀλλ᾽ ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
αὐτὸς δ᾽ αὖτ᾽ ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει,
στῆ δὲ παρ᾽ Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα·
κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν
ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ μιν οἴω

νῦν ἰέναι μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἡμεῖς δ᾽ αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἡμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν.

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας·
πάντα κατ᾽ αἶσαν ἔειπες ἀγακλεὲς ὦ Μενέλαε·
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης ὑποδύντε μάλ᾽ ὦκα
νεκρὸν ἀείραντες φέρετ᾽ ἐκ πόνου· αὐτὰρ ὄπισθε
νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ

ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἵ τὸ πάρος περ
μίμνομεν ὀξὺν Ἄρηα παρ᾽ ἀλλήλοισι μένοντες.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
ὕψι μάλα μεγάλως· ἐπὶ δ᾽ ἴαχε λαὸς ὄπισθε
Τρωϊκός, ὡς εἴδοντο νέκυν αἴροντας Ἀχαιούς.

ἴθυσαν δὲ κύνεσσιν ἐοικότες, οἵ τ᾽ ἐπὶ κάπρῳ
βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων·
ἕως μὲν γάρ τε θέουσι διαρραῖσαι μεμαῶτες,
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐν τοῖσιν ἑλίξεται ἀλκὶ πεποιθώς,
ἄψ τ᾽ ἀνεχώρησαν διά τ᾽ ἔτρεσαν ἄλλυδις ἄλλος.

ὣς Τρῶες εἶος μὲν ὁμιλαδὸν αἰὲν ἔποντο
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
ἀλλ᾽ ὅτε δή ῥ᾽ Αἴαντε μεταστρεφθέντε κατ᾽ αὐτοὺς
σταίησαν, τῶν δὲ τράπετο χρώς, οὐδέ τις ἔτλη
πρόσσω ἀΐξας περὶ νεκροῦ δηριάασθαι.

ὣς οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
ἄγριος ἠΰτε πῦρ, τό τ᾽ ἐπεσσύμενον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
ἐν σέλαϊ μεγάλῳ· τὸ δ᾽ ἐπιβρέμει ἴς ἀνέμοιο.

ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν·
οἳ δ᾽ ὥς θ᾽ ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες
ἕλκωσ᾽ ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς

τείρεθ᾽ ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν·
ὣς οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπισθεν
Αἴαντ᾽ ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεις πεδίοιο διαπρύσιον τετυχηκώς,
ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα

Γκαρδιώνει τον αρχοντογέννητο μονάχα Θρασυμήδη.
κ᾽ αυτός στον αντρειωμένο Πάτροκλο κινάει να φτάσει πίσω,
κι εστάθη μπρος στους Αίαντες τρέχοντας και βιαστικά τους είπε:
« Κείνον τον έστειλα στα γρήγορα καράβια μας να τρέξει
στον Αχιλλέα το γοργοπόδαρο· μα τούτος για την ώρα

λέω δε θα 'ρθει, το θείο τον Έχτορα κι ας μάχεται περίσσια·
τι δεν μπορεί με δίχως άρματα τους Τρώες να πολεμήσει.
Όμως την πιο καλή και μόνοι μας βουλή να βρούμε ελάτε,
το πως και το νεκρό θα σύρουμε, κι ατοί μας απ᾽ των Τρωών
μακριά τη ζάλη θα γλιτώσουμε το Χάρο και τη Μοίρα.»
Και τότε ο μέγας Αίας του απάντησεν, ο γιος του Τελαμώνα:
«Καλός ο λόγος σου και φρόνιμος, Μενέλαε παινεμένε·
συ κι ο Μηριόνης κάτω γρήγορα χωθείτε απ᾽ το κουφάρι,
κι όξω απ᾽ τη μάχη κουβαλήστε το, ψηλά᾽ κι ωστόσο οι δυο μας
τους Τρώες ξοπίσω και τον Έχτορα το θείο θα πολεμούμε

με ίδια καρδιά όπως κι ίδιο τ᾽ όνομα᾽ τι ο ένας στον άλλο δίπλα
πάντα σταθήκαμε, τον τάραχο βαστώντας του πολέμου.»
Είπε, κι αυτοί απ᾽ το χώμα ασκώνοντας άρπαξαν το κουφάρι
ψηλά πολύ᾽ κι ευτύς ξοπίσω τους των Τρωών το πλήθιο ασκέρι
χουγιάξαν, το νεκρό ως αντίκρισαν οι Αργίτες να σηκώνουν
κι ομπρός χιμίξαν, σκύλοι θα 'λεγες που ρίχνουνται πηδώντας
πάνω σε κάπρο που λαβώθηκε, μπροστά απ᾽ τους κυνηγάρους,
και τρέχουν τρέχουν στη λαχτάρα τους να τον κατασπαράξουν
μα κάθε που γυρίσει νιώθοντας τρανή τη δύναμη του,
ευτύς πισωδρομώντας σκόρπισαν με τρόμο δώθε κείθε'

όμοια σωρός κι οι Τρώες αδιάκοπα τους παίρναν από πίσω
με τα σπαθιά και με τα δίκοπα κεντώντας τους κοντάρια'
μα κάθε που γυρνούσαν οι Αίαντες και στέκαν αντικρύ τους,
άλλαζαν χρώμα οι Τρώες, κι ουδ᾽ ένιωθε κανένας το κουράγιο
να πεταχτεί μπροστά και πόλεμο για το νεκρό ν᾽ ανοίξει.
Έτσι έφερναν αυτοί απ᾽ τον πόλεμο με κόπο το κουφάρι,
στα βαθουλά τραβώντας άρμενα᾽ κι ο πόλεμος ξεσπούσε
πάνω τους άγριος, ίδιος σύφλογο σε πολιτεία, που ξάφνου
ψηλά πετάγεται φουντώνοντας, σωριάζουνται τα σπίτια
με αναλαμπή τρανή, κι απάνω της σφυρίζει η ορμή του ανέμου·

όμοια και κείνους, όπως μάκραιναν, τους έπαιρνε από πίσω
αλάγιαστη η βουή απ᾽ τ᾽ αλόγατα κι από των Τρωών τ᾽ ασκέρι.
Μ᾽ αυτοί, ως μουλάρια που αρματώθηκαν με αλύγιστο κουράγιο
κι άπ᾽ τό βουνό δοκάρι ή γι᾽ άρμενο μαδέρι κατεβάζουν
σε μονοπάτι κακοτράχαλο, και κόβεται η καρδιά τους
απ᾽ τον ιδρώτα κι απ᾽ τον κάματο, καθώς τραβούν με βιάση·
όμοια κι αυτοί μοχτώντας σήκωναν στους ώμους το κουφάρι,
κι οι δυο κρατούσαν Αίαντες πίσω τους. Πως του νερού τη φόρα
κρατάει δασοπλαγιά που απλώνεται στον κάμπο πέρα ως πέρα,
κι ως και τρανά ποτάμια φράζοντας το δρόμο τους αλλάζει,

ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίον δὲ τίθησι
πλάζων· οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
ὡς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἳ δ᾽ ἅμ᾽ ἕποντο, δύω δ᾽ ἐν τοῖσι μάλιστα
Αἰνείας τ᾽ Ἀγχισιάδης καὶ φαίδιμος Ἕκτωρ.

τῶν δ᾽ ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν
οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν,
ὡς ἄρ᾽ ὑπ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.

πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ᾽ ἀμφί τε
τάφρον
φευγόντων Δαναῶν· πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή.

και ρίχνει τ᾽ άγρια, πολυσάλευτα νερά τους μες στον κάμπο,
κι ουδέ μπορούν, με φόρα ως χύνουνται, καθόλου να τη σπάσουν
όμοια κι οι δυο αντισκόβαν Αίαντες των Τρωών τη φόρα πάντα.
Μα τούτοι τρέχαν από πίσω τους, και δυο περίσσια απ᾽ όλους,
ο μέγας φουμισμένος Έχτορας κι ο γιος του Αγχίση Αινείας.
Κι αυτοί, καθώς ψαρόνια σύγνεφο πετούν για καλιακούδες,
κι όλα μαζί στρηνιάζουν βλέποντας από μακριά να φτάνει
κάποιο γεράκι, που το θάνατο στα μικροπούλια φέρνει"
όμοια κι οι Αργίτες μπρος στον Έχτορα και στον Αινεία σκορπούσαν
στρηνιάζοντας, και πια είχαν όλοι τους τον πόλεμο ξεχάσει.

Κι ως έφευγαν οι Αργίτες, άρματα πολλά πανώρια έπεσαν
τρογύρα στο χαντάκι· ο πόλεμος δεν εσκολνούσε ωστόσο.

-Σ- ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο,
Ἀντίλοχος δ᾽ Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
τὸν δ᾽ εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
τὰ φρονέοντ᾽ ἀνὰ θυμὸν ἃ δὴ τετελεσμένα ἦεν·

ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγώ, τί τ᾽ ἄρ᾽ αὖτε κάρη κομόωντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔειπε

Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς
σχέτλιος· ἦ τ᾽ ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ
ἄψ ἐπὶ νῆας ἴμεν, μηδ᾽ Ἕκτορι ἶφι μάχεσθαι.

εἶος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρά οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς
δάκρυα θερμὰ χέων, φάτο δ᾽ ἀγγελίην ἀλεγεινήν·
ὤ μοι Πηλέος υἱὲ δαΐφρονος ἦ μάλα λυγρῆς
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.

κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε᾽ ἔχει κορυθαίολος Ἕκτωρ.
ὣς φάτο, τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
ἀμφοτέρῃσι δὲ χερσὶν ἐλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς, χαρίεν δ᾽ ᾔσχυνε πρόσωπον·

νεκταρέῳ δὲ χιτῶνι μέλαιν᾽ ἀμφίζανε τέφρη.
αὐτὸς δ᾽ ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
δμῳαὶ δ᾽ ἃς Ἀχιλεὺς ληΐσσατο Πάτροκλός τε
θυμὸν ἀκηχέμεναι μεγάλ᾽ ἴαχον, ἐκ δὲ θύραζε

ἔδραμον ἀμφ᾽ Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
στήθεα πεπλήγοντο, λύθεν δ᾽ ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ᾽ ἐτέρωθεν ὀδύρετο δάκρυα λείβων
χεῖρας ἔχων Ἀχιλῆος· ὃ δ᾽ ἔστενε κυδάλιμον κῆρ·
δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήσειε σιδήρῳ.

σμερδαλέον δ᾽ ὤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
ἔνθ᾽ ἄρ᾽ ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε

Έτσι εκεί πέρα ετούτοι επάλευαν σα φλόγα λαμπαδούσα'
κι έφτασε ο Αντίλοχος μαντάτορας στον Αχιλλέα τρεχάτος,
και τόνε βρήκε στα ορθοκέρατα καράβια ομπρός να στέκει
και ν᾽ αναδεύει μες στα φρένα του τα που 'χαν γίνει κιόλα'
κι έτσι βαριόθυμος μουρμούριζε στην πέρφανη καρδιά του:
« Αλί μου εμένα, οι μακρομάλληδες τι τώρα πάλε Αργίτες
δειλιάζουν, κι απ᾽ τον κάμπο φεύγοντας δρομούν προς τα καράβια;
Όσα οι θεοί κακά μου εγράφανε μη βγουν αλήθεια τώρα,
ως κάποτε μου εξήγα η μάνα μου και μου 'πε, θα 'ρθει μέρα,

ζώντας μου ακόμα, ο πιο αντροδύναμος στους Μυρμιδόνες μέσα
που θα χαθεί απ᾽ τους Τρώες, αφήνοντας το φως του ήλιου για
πάντα.
Αχ, του Μενοίτιου ο γιος ο ατρόμητος σκοτώθηκε, το νιώθω!
Ο δόλιος! Κι όμως τον αρμήνεψα στα πλοία να γύρει, ως διώξει
την άγρια φλόγα, με τον Έχτορα να μην αντροπαλέψει.»
Κι ως τούτα ανάδευε στα φρένα του βαθιά και στην καρδιά του,
ήρθε κοντά του ο γιος του Νέστορα, του ξακουστού γερόντου,
και του 'πε, μαύρα δάκρυα χύνοντας, το θλιβερό μαντάτο:
«Ωχού μου, γιε του λιονταρόκαρδου Πηλέα, πικρό θ᾽ ακούσεις
μήνυμα τώρα εσύ! Τι θα 'δινα ποτέ να μη είχε γίνει!

Έπεσε ο Πάτροκλος, και γύρα του για το νεκρό χτυπιούνται,
γυμνό, τι ο κρανοσείστης Έχτορας επήρε τ᾽ άρματά του!»
Είπε, κι εκείνον τον περίζωσε σα μαύρο γνέφι ο πόνος·
και διπλοπάλαμα αθαλόσκονη φουχτώνοντας τη ρίχνει
πα στο κεφάλι, και την όψη του μολεύει την πανώρια'
κι η στάχτη απά στο μοσκομύριστο του κάθουνταν χιτώνα'
κι αυτός μακρύς φαρδύς ξαπλώθηκε και κοίτουνταν στη σκόνη,
και με τα χέρια του ανασκάλευε μαδώντας τα μαλλιά του.
Κι οι σκλάβες, που ο Αχιλλέας κι ο Πάτροκλος είχαν κουρσέψει,
έσυραν
τρανή φωνή, απ᾽ τον πόνο που 'νιωσαν, και δράμαν απ᾽ τις πόρτες

στον Αχιλλέα το γαύρο ολόγυρα, και χεροπάλαμα όλες
κρούγαν τα στήθη τους, και λύθηκαν της κάθε μιας τα γόνα.
θρηνούσε κι απ᾽ την άλλη ο Αντίλοχος, πνιγμένος μες στο κλάμα,
τον Αχιλλέα στα χέρια πιάνοντας—κι αυτός βαριά εβογγούσε—
τι έτρεμε μπας και με το σίδερο θερίσει το λαιμό του.
Κι έσκουξεν άγρια" ευτύς τον άκουσεν η σεβαστή του η μάνα,
που πλάι στο γέρο κύρη εκάθουνταν, στα βάθη του πελάγου,
κι αρχίνησε το θρήνο᾽ γύρα της μεμιάς εμαζωχτηκαν
όσες θεές νεράιδες έμεναν στου πελάγου τα βάθη·
η Κυμοθόη κι η Γλαύκη εκεί 'τανε, κι η Θάλεια κι η Νησαία

Νησαίη Σπειώ τε Θόη θ᾽ Ἁλίη τε βοῶπις
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἰαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυὴ
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα

Δωρὶς καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια
Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα·
ἔνθα δ᾽ ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάνασσα
Μαῖρα καὶ Ὠρείθυια ἐϋπλόκαμός τ᾽ Ἀμάθεια
ἄλλαι θ᾽ αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.

τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἳ δ᾽ ἅμα πᾶσαι
στήθεα πεπλήγοντο, Θέτις δ᾽ ἐξῆρχε γόοιο·
κλῦτε κασίγνηται Νηρηΐδες, ὄφρ᾽ ἐῦ πᾶσαι
εἴδετ᾽ ἀκούουσαι ὅσ᾽ ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυσαριστοτόκεια,

ἥ τ᾽ ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε
ἔξοχον ἡρώων· ὃ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὡς γουνῷ ἀλωῆς
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις

οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ᾽ εἶμ᾽, ὄφρα ἴδωμι φίλον τέκος, ἠδ᾽ ἐπακούσω
ὅττί μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.

ὣς ἄρα φωνήσασα λίπε σπέος· αἳ δὲ σὺν αὐτῇ
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
ῥήγνυτο· ταὶ δ᾽ ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ᾽ Ἀχιλῆα.

τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο,
καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
τέκνον τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται

ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ᾽ εὔχεο χεῖρας ἀνασχὼν
πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν
σεῦ ἐπιδευομένους, παθέειν τ᾽ ἀεκήλια ἔργα.
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·

κι η βοϊδομάτα Αλία κι η Φέρουσα κι η Θόη κι η Κυμοδόκη·
ήταν ακόμα κι η Λιμνώρεια κι η Αμφιθόη κι η Ακταίη
με τη Μελίτη και την Ίαιρα, την Αγαυή, τη Μαίρα,
και την Πρωτώ καί την Ιάνασσα, τη Σπειώ και την Πανόπη
και τη Δωτώ και την Καλλιάνειρα, την ξακουστή Γαλάτεια,
τη Δυναμένη, την Καλλιάνασσα καί τη Δωρίδα᾽ κι ήταν
κι η Νημερτή μαζί και η Ιάνειρα, μαζί τους κι η Αμφινόμη·
κι η Ωρείθεια κι η Κλυμένη κι η Άψευδη μες στη σπηλιά βρεθήκαν,
κι η Αμάθια ακόμα η καλοπλέξουδη κι η Δεξαμενή, κι άλλες,
όσες θεές νεράιδες έμεναν στου πελάγου τα βάθη.

Και γέμισε η σπηλιά η κρουστάλλινη, κι αυτές έδερναν όλες
τα στήθη τους· και πρώτη η Θέτιδα κινάει το μοιρολόγι:
« Νεράιδες αδερφές μου, ακούστε με, καλά να ξέρετε όλες
γρικώντας, πόσους κρύβω μέσα μου βαθιά καημούς και πόνους.
Αλί κι αλί σε με την άμοιρη πικρολεβεντομάνα!
Γέννησα γιο τρανό, αψεγάδιαστο, στους αντρειωμένους πρώτο,
κι ως τρυφερό κλωνάρι ανάδωσε᾽ κι εγώ, που ανάστησα τον
σα ροδαμό που ξεπετάχτηκε στου χωραφιού τον όχτο,
πάνω στα πλοία τα δρεπανόγυρτα στην Τροία τον έχω στείλει,
τους Τρώες να πολεμήσει. Αλίμονο, δε θα τον δω να γέρνει

στο πατρικό ξοπίσω σπίτι του, να τον καλωσορίσω!
Μα κι όσο ακόμα ζει και χαίρεται το φως του γήλιου, πάντα
τραβάει καημούς, κι ουδέ πηγαίνοντας μπορώ να τον συντράμω.
Κι όμως θα πάω να ιδώ το τέκνο μου, ποια συφορά ν᾽ ακούσω
το 'χει πλακώσει, από τον πόλεμο μακριά κι ας μένει τώρα.»
Είπε, και τη σπηλιά παράτησε, κι εκείνες δακρυσμένες
ομάδι της τραβούσαν κι άνοιγε της θάλασσας το κύμα
τρογύρα, ως πια στην Τροία που φτάσανε την παχιοχωματούσα'
κι αράδα στο γιαλό ξεπρόβαλαν, κει που ήταν τραβηγμένα
πυκνά των Μυρμιδόνων τ᾽ άρμενα, στον Αχιλλέα τρογύρα'

κι ως εβογγούσε κείνος, σίμωσεν η σεβαστή του η μάνα'
σέρνει φωνή μεγάλη, εφούχτωσε την κεφαλή του γιου της,
και μες στα κλάματα ανεμάρπαστα του συντυχαίνει λόγια:
« Τι κλαις, παιδί μου; Ποιος σου ετάραξε καημός τα σπλάχνα τώρα;
Για μίλα μου ανοιχτά, μην κρύβεσαι· σου τα 'χει ο Δίας τελέψει
τα όσα πιο πριν τον παρακάλεσες με σηκωμένα χέρια,
να στριμωχτούν οι Αργίτες σύψυχοι μπροστά απ᾽ των πλοίων τις
πρύμνες
και στενεμένοι απ᾽ την ανάγκη σου φριχτά κακά να πάθουν.»
Βαρυβογγώντας ο φτερόποδος απάντησε Αχιλλέας:
« Μάνα μου, αλήθεια ο ρήγας του Ολύμπου μου τα 'χει αυτά τελέψει'

ἀλλὰ τί μοι τῶν ἦδος ἐπεὶ φίλος ὤλεθ᾽ ἑταῖρος
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων
ἶσον ἐμῇ κεφαλῇ; τὸν ἀπώλεσα, τεύχεα δ᾽ Ἕκτωρ
δῃώσας ἀπέδυσε πελώρια θαῦμα ἰδέσθαι
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα

ἤματι τῷ ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ.
αἴθ᾽ ὄφελες σὺ μὲν αὖθι μετ᾽ ἀθανάτῃς ἁλίῃσι
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
νῦν δ᾽ ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴῃ
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις

οἴκαδε νοστήσαντ᾽, ἐπεὶ οὐδ᾽ ἐμὲ θυμὸς ἄνωγε
ζώειν οὐδ᾽ ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
Πατρόκλοιο δ᾽ ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.
τὸν δ᾽ αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα·

ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ᾽ ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ᾽ Ἕκτορα πότμος ἑτοῖμος.
τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὃ μὲν μάλα τηλόθι πάτρης

ἔφθιτ᾽, ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλῳ γενόμην φάος οὐδ᾽ ἑτάροισι
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ,
ἀλλ᾽ ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,

τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο
καὶ χόλος, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο

ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός·
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·
νῦν δ᾽ εἶμ᾽ ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω

Ἕκτορα· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
ὅς περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.

μα ποια η χαρά τους τώρα; Εχάθηκεν ο γκαρδιακός μου ακράνης,
ο Πάτροκλος, που εγώ απ᾽ τους συντρόφους περίσσια τον τιμούσα,
ωσάν τον ίδιο εμέ. Απ᾽ τον Έχτορα σκοτώθη, τα πανώρια
που πήρε γδύνοντας τον άρματα, τα γιγαντένια, θάμα
να τ᾽ αντικρίζεις, των αθάνατων το δώρο στον Πηλέα,
τη μέρα σε θνητού που σ᾽ έβαλαν ν᾽ ανέβεις το κλινάρι.
Να 'ταν εσύ με τίς αθάνατες του πέλαου να 'χες μείνει
κει κάτω, κι ο Πηλέας στο σπίτι του θνητό να μπάσει ταίρι!
Τώρα και συ για να 'χεις άμετρο καημό βαθιά, που ο γιος σου
θα σκοτωθεί, και πίσω σπίτι του, να τον καλωσορίσεις,

πια δε θα 'ρθει- τι δε θα το 'θελα να ζω, με τους ανθρώπους
στον κόσμο τούτο να πορεύομαι, με το κοντάρι πρώτο
αν δε χτυπήσω εγώ τον Έχτορα και τη ζωή του πάρω,
του Πάτροκλου, νεκρό που εκούρσεψε, να γδικιωθώ το γαίμα.»
Και τότε η Θέτιδα με κλάματα του απηλογήθη κι είπε:
« Γιε μου, με αυτά που τώρα μίλησες, οι μέρες σου είναι λίγες·
τι ευτύς ξοπίσω από τον Έχτορα σε περιμένει ο Χάρος.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος της λέει βαρυγκομώντας:
« Ευτύς να με 'βρει θέλω ο θάνατος, το φίλο να γλιτώσω
αφού δεν ήταν, σαν τον σκότωναν απ᾽ την πατρίδα εχάθη

κείνος μακριά, κι εγώ δε βρέθηκα σιμά να τον συντρέξω.
Μα τώρα, μια και στην πατρίδα μου πια δε διαγέρνω πίσω,
και μήτε γλίτωσα τον Πάτροκλο και μήτε τους συντρόφους
τους άλλους, που απ᾽ το θείο τον Έχτορα πολλοί στο χώμα έπεσαν,
μον᾽ φόρτωμα της γης ανώφελο πλάι στα καράβια οκνεύω,
εγώ που ξεπερνώ στον πόλεμο τους χαλκοθωρακάτους
Αργίτες, τι στη σύναξη έχουμε καλύτερους μου κι άλλους—
να 'τανε λέει η διχόνοια να 'λειπε κι από θεούς κι ανθρώπους
κι η μάνητα, συχνά που εκόρωσε και γνωστικούς ακόμα,
και πιο γλυκιά απ᾽ το μέλι μέσα μας το σταλαχτό ανεβαίνει,

σαν τον καπνό γοργά φουντώνοντας στα στήθη των ανθρώπων!
Έτσι με θύμωσε ο Αγαμέμνονας ο πρωταφέντης τώρα.
Μα ό,τι έγινε έγινε, ας τ᾽ αφήσουμε, κι ας μας βαραίνει ο πόνος,
κι εντός μας την καρδιά ας δαμάσουμε, σφιγμένοι απ᾽ την ανάγκη.
Τώρα θα πάω τον που μου σκότωσε το πιο ακριβό κεφάλι,
τον Έχτορα, να βρω· κι ο θάνατος καλώς να 'ρθει, την ώρα
που ο Δίας θα ορίσει κι οι άλλοι αθάνατοι θεοί να μ᾽ ανταμώσει.
Μήτε ο Ηρακλής ο τρανοδύναμος δεν ξέφυγε του Χάρου,
που ο Δίας αφέντης τον αγάπησε, του Κρόνου ο γιος, περίσσια'
κι όμως η Μοίρα κι η άγρια μάνητα τον δάμασαν της Ήρας.

ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ᾽ ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ᾽ ὀμορξαμένην ἁδινὸν στοναχῆσαι ἐφείην,
γνοῖεν δ᾽ ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι·
μὴ δέ μ᾽ ἔρυκε μάχης φιλέουσά περ· οὐδέ με πείσεις.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
ναὶ δὴ ταῦτά γε τέκνον ἐτήτυμον οὐ κακόν ἐστι
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον.
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται
χάλκεα μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος
πρίν γ᾽ ἐμὲ δεῦρ᾽ ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι·
ἠῶθεν γὰρ νεῦμαι ἅμ᾽ ἠελίῳ ἀνιόντι
τεύχεα καλὰ φέρουσα παρ᾽ Ἡφαίστοιο ἄνακτος.
ὣς ἄρα φωνήσασα πάλιν τράπεθ᾽ υἱὸς ἑοῖο,
καὶ στρεφθεῖσ᾽ ἀλίῃσι κασιγνήτῃσι μετηύδα·
ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον
ὀψόμεναί τε γέρονθ᾽ ἅλιον καὶ δώματα πατρός,
καί οἱ πάντ᾽ ἀγορεύσατ᾽· ἐγὼ δ᾽ ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ᾽ Ἥφαιστον κλυτοτέχνην, αἴ κ᾽ ἐθέλῃσιν
υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
ὣς ἔφαθ᾽, αἳ δ᾽ ὑπὸ κῦμα θαλάσσης αὐτίκ᾽ ἔδυσαν·
ἣ δ᾽ αὖτ᾽ Οὔλυμπον δὲ θεὰ Θέτις ἀργυρόπεζα
ἤϊεν ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε᾽ ἐνείκαι.
τὴν μὲν ἄρ᾽ Οὔλυμπον δὲ πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
θεσπεσίῳ ἀλαλητῷ ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
ἐκ βελέων ἐρύσαντο νέκυν θεράποντ᾽ Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάϊς φλογὶ εἴκελος ἀλκήν.
τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
τρὶς δὲ δύ᾽ Αἴαντες θοῦριν ἐπιειμένοι ἀλκὴν
νεκροῦ ἀπεστυφέλιξαν· ὃ δ᾽ ἔμπεδον ἀλκὶ πεποιθὼς
ἄλλοτ᾽ ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ᾽ αὖτε

Τα ίδια και μένα η Μοίρα αν μου 'γράψε, παρόμοια, σαν πεθάνω,
θα κοίτομαι᾽ μα τώρα θα 'θελα να δοξαστώ περίσσια,
να κάμω μερικές βαθύζωνες της Δαρδανίας γυναίκες
και της Τρωάδας, διπλοπάλαμα σφουγγίζοντας το κλάμα
απ᾽ τ᾽ άπαλά τους μάγουλα, πικρό να στήσουν μοιρολόγι'
και να το νιώσουν πως τον πόλεμο καιρό τον είχα αφήσει.
Όση λοιπόν κι αν είναι η αγάπη σου, μη με κρατάς· του κάκου!»
Και τότε η Θέτη, η χιοναστράγαλη θεά, του απηλογήθη:
« Σωστά, παιδί μου, τα που μίλησες· καλό 'ναι να γλιτώσεις
τους συντρόφους σου, που πια απόκαμαν, απ᾽ το χαμό το μαύρο.
Μα τ᾽ άρματά σου τα ώρια βρίσκουνται στων Τρωών τα χέρια τώρα,
τα χάλκινα, που άστραφταν ο Έχτορας ατός του ο κρανοσείστης
στους ώμους τα φοράει και πέτεται᾽ θαρρώ δε θα περάσει
πολύς καιρός που θα τα χαίρεται, τι είναι σιμά ο χαμός του.
Μα εσύ φυλάξου από τον πόλεμο, μη χτυπηθείς ακόμα,
ωσόπου να με ιδούν τα μάτια σου κοντά σου εδώ να φτάνω ·
τι αύριο θα γύρω, τα χαράματα, σύντας προβαίνει ο γήλιος,
απ᾽ τον τρανό τον Ήφαιστο αρμάτα πανώρια φέρνοντας σου.»
Έτσι μιλάει, και δίχως άργητα τραβιέται απ᾽ τον υγιό της,
μετά γυρνάει στις αδερφάδες της, τις θαλασσοκυράδες:
«Στον κόρφο τώρα εσείς το διάπλατο του πελάγου βουτήχτε,
δείτε το Γέροντα της θάλασσας στο γονικό παλάτι,
και πέστε ό,τι έγινε᾽ στον Όλυμπο το μέγα εγώ θ᾽ ανέβω,
στον Ήφαιστο, τον κοσμοξάκουστο τεχνίτη, μπας και θέλει
στραφταλιστά, περίλαμπρα άρματα να δώσει για το γιο μου.»
Είπε, κι αυτές στο κύμα εβούτηξαν της θάλασσας με βιάση'
κι η θεά Θέτη η χιοναστράγαλη στον Όλυμπο τραβούσε,
στον ακριβό το γιο της άρματα περίλαμπρα να φέρει.
Εκείνη ανέβαινε στον Όλυμπο, κι οι Αργίτες απ᾽ την άλλη
με άγριον αχό μπροστά στον Έχτορα τον αντροφόνο έφευγαν,
ως που πια τέλος στον Ελλήσποντο και στ᾽ άρμενά τους φτάσαν.
Κι ουδέ τον Πάτροκλο, το σύντροφο θα βγάζαν του Αχιλλέα,
απ᾽ τις ριξιές νεκρό τραβώντας τον, οι Αργίτες οι αντρειωμένοι·
τι πάλε από κοντά του ρίχτηκαν κι αμάξια και πεζούρα
κι ο γιος του Πρίαμου, ο μέγας Έχτορας, της αντριγιάς η φλόγα.
Τρεις ο Έχτορας φορές τον άρπαξε με λύσσα, απ᾽ τα ποδάρια
ξοπίσω να τον σύρει, κι έσκουζε στους Τρώες γκαρδιώνοντάς τους·
και τρεις οι δυο τους Αίαντες, άμετρη ζωσμένοι αντρεία, τον σπρώξαν
απ᾽ το νεκρό· μα εκείνος έχοντας τα θάρρη στην αντρεία του,
πότε χιμούσε μες στον τάραχο, πότε στεκόταν πάλε

στάσκε μέγα ἰάχων· ὀπίσω δ᾽ οὐ χάζετο πάμπαν.
ὡς δ᾽ ἀπὸ σώματος οὔ τι λέοντ᾽ αἴθωνα δύνανται
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,
ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.

καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
εἰ μὴ Πηλεΐωνι ποδήνεμος ὠκέα Ἶρις
ἄγγελος ἦλθε θέουσ᾽ ἀπ᾽ Ὀλύμπου θωρήσσεσθαι
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·

ὄρσεο Πηλεΐδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν· οἱ δ᾽ ἀλλήλους ὀλέκουσιν
οἱ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
οἱ δὲ ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν

Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἄνωγε
πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ᾽ ἁπαλῆς ἀπὸ
δειρῆς.
ἀλλ᾽ ἄνα μηδ᾽ ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἰκέσθω
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι·

σοὶ λώβη, αἴ κέν τι νέκυς ᾖσχυμμένος ἔλθῃ.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεὰ τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;
τὸν δ᾽ αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε Διὸς κυδρὴ παράκοιτις·

οὐδ᾽ οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
πῶς τὰρ ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε᾽ ἐκεῖνοι·
μήτηρ δ᾽ οὔ με φίλη πρίν γ᾽ εἴα θωρήσσεσθαι

πρίν γ᾽ αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ᾽ οἰσέμεν ἔντεα καλά.
ἄλλου δ᾽ οὔ τευ οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ γ᾽ ἔλπομ᾽ ἐνὶ πρώτοισιν ὁμιλεῖ

ἔγχεϊ δῃϊόων περὶ Πατρόκλοιο θανόντος.
τὸν δ᾽ αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε᾽ ἔχονται·
ἀλλ᾽ αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ᾽ ὑποδείσαντες ἀπόσχωνται πολέμοιο

σκούζοντας άγρια., μα δεν έκανε μήτε ένα βήμα πίσω.
Κι όπως φλογάτο λιόντα, που 'σφιξεν η πείνα, δεν μπορούνε
να διώξουνε βοσκοί ξωτάρηδες από βοδιού θρασίμι,
όμοια κι οι δυο τους Αίαντες οι άτρομοι το γιο του Πρίαμου τότε,
τον Έχτορα, μακριά δε δύνουνταν απ᾽ το νεκρό να διώξουν.
Και θα τον έσερνε κι αθάνατη θα 'παίρνε δόξα τότε,
αν στου Πηλέα το γιο απ᾽ τον Όλυμπο μαντάτορας της Ήρας
να πει κρυφά απ᾽ το Δία δεν έτρεχε κι απ᾽ τους θεούς τους άλλους
η γρήγορη άνεμόποδη Ίριδα, να τρέξει στ᾽ άρματά του.
Κι ως πλάι του εστάθη, με ανεμάρπαστα του συντυχαίνει λόγια:

«Γιε του Πηλέα, που απ᾽ όλους πιότερο σε τρέμει ο κόσμος, σήκω!
Τρέχα, διαφέντεψε τον Πάτροκλο, που τόσος έχει ανάψει
γι᾽ αυτόν μπρος στα καράβια πόλεμος κι ο ένας τον άλλο σφάζουν,
το κορμί τούτοι διαφεντεύοντας του σκοτωμένου γύρα,
κι οι άλλοι στην Τροία την ανεμόδαρτη να τον τραβήξουν μέσα,
οι Τρώες, χιμούν. Κι ο γαύρος Έχτορας πιο απ᾽ όλους να τον σύρει
το 'βαλε πείσμα, και στη λύσσα του λογιάζει το κεφάλι
να μπήξει στα παλούκια, κόβοντας τον απαλό λαιμό του.
Σήκω λοιπόν και πια μην κοίτεσαι, μην το δεχτεί η καρδιά σου
ξεφάντωμα να γίνει ο Πάτροκλος στης Τροίας τους σκύλους τώρα.

Ντροπή δικιά σου, αν θα κατέβαινε στον Άδη ατιμασμένος.»
Τότε γυρνώντας ο φτερόποδος, θείος Αχιλλέας της είπε:
«Ίρη θεά, μηνύτρα σ᾽ έστειλε σαν ποιος θεός σε μένα;»
Κι η γρήγορη, ανεμόποδη Ίριδα του απηλογήθη τότε:
«Ή "Ηρα με στέλνει, η πολυτίμητη του Δία γυναίκα, τώρα,
κι ούτε ο αψηλόθρονος κατέχει το του Κρόνου υγιός μήτε οι άλλοι
αθάνατοι, που ζουν στον Όλυμπο το χιονοσκεπασμένο.»
Κι είπε ο Αχιλλέας ο φτεροπόδαρος κι απηλογιά της δίνει:
« Και πώς να μπω στη μάχη; Τ᾽ άρματά μου τα κρατούν εκείνοι'
κι ουδέ κι η αγαπημένη μάνα μου ν᾽ αρματωθώ μ᾽ αφήκε,

ωσόπου να τη δουν τα μάτια μου κοντά μου εδώ να φτάνει'
τι μου 'ταξε απ᾽ τον Ήφαιστο άρματα πανώρια να μου φέρει.
Κι άλλον δεν ξέρω εδώ που να᾽ βαζα την ξακουστή του αρμάτα,
μονάχα το σκουτάρι του Αίαντα, του γιου του Τελαμώνα.
Όμως στους πρώτους λέω θα βρίσκεται τώρα κι αυτός, χαλνώντας
τρογύρα απ᾽ το νεκρό του Πάτροκλου πολλούς με το κοντάρι.»
Κι η γρήγορη, ανεμόποδη Ίριδα του απηλογήθη τότε:
«Πως σου κρατούν και μεις το ξέρουμε την ξακουσμένη αρμάτα'
μα κι έτσι ως είσαι, τρέξε, πρόβαλε στους Τρώες απ᾽ το χαντάκι'
ποιος ξέρει, ομπρός σου αν δεν εδείλιαζαν, τον πόλεμο ν᾽ αφήσουν

Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.
ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ᾽ Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ᾽ αἰγίδα θυσσανόεσσαν,
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ᾽ αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ᾽ ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ᾽ ἵκηται
τηλόθεν ἐκ νήσου, τὴν δῄϊοι ἀμφιμάχωνται,
οἵ τε πανημέριοι στυγερῷ κρίνονται Ἀρῇϊ
ἄστεος ἐκ σφετέρου· ἅμα δ᾽ ἠελίῳ καταδύντι
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ᾽ αὐγὴ
γίγνεται ἀΐσσουσα περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἄρεω ἀλκτῆρες ἵκωνται·
ὣς ἀπ᾽ Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ᾽ ἵκανε·
στῆ δ᾽ ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ᾽ ἐς Ἀχαιοὺς
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ᾽ ἐφετμήν.
ἔνθα στὰς ἤϋσ᾽, ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ᾽· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε
κυδοιμόν.
ὡς δ᾽ ὅτ᾽ ἀριζήλη φωνή, ὅτε τ᾽ ἴαχε σάλπιγξ
ἄστυ περιπλομένων δηΐων ὕπο θυμοραϊστέων,
ὣς τότ᾽ ἀριζήλη φωνὴ γένετ᾽ Αἰακίδαο.
οἳ δ᾽ ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
ἄψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
ἡνίοχοι δ᾽ ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλεΐωνος
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ᾽ ἴαχε δῖος Ἀχιλλεύς,
τρὶς δὲ κυκήθησαν Τρῶες κλειτοί τ᾽ ἐπίκουροι.
ἔνθα δὲ καὶ τότ᾽ ὄλοντο δυώδεκα φῶτες ἄριστοι
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως Πάτροκλον ὑπ᾽ ἐκ βελέων ἐρύσαντες
κάθεσαν ἐν λεχέεσσι· φίλοι δ᾽ ἀμφέσταν ἑταῖροι
μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ᾽ Ἀχιλλεὺς
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
κείμενον ἐν φέρτρῳ δεδαϊγμένον ὀξέϊ χαλκῷ,
τόν ῥ᾽ ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἐς πόλεμον, οὐδ᾽ αὖτις ἐδέξατο νοστήσαντα.
Ἠέλιον δ᾽ ἀκάμαντα βοῶπις πότνια Ἥρη

οι Τρώες, κι οι Αργίτες οι πολέμαρχοι μια στάλα ν᾽ ανασάνουν,
που απόστασαν καλή στον πόλεμο κι η λίγη ανάσα ακόμα.»
Αυτά είπε η γοργοπόδαρη Ίριδα, και φεύγει πίσω πάλε'
τότε ο Αχιλλέας ορθός πετάχτηκε᾽ στους στέριους του ώμους πάνω
ρίχνει η Αθηνά το βροντοσκούταρο το κροσσωτό, και γύρω
την κεφαλή η θεά η τρισεύγενη με νέφος στεφανώνει
ολόχρυσο, κι απάνω του άναβε φωτιά φλογολαμπούσα.
Πώς από κάστρο ξεπετάγεται καπνός ψηλά στα ουράνια
μακριάθε από νησί, που το 'ζωσαν οχτροί και το χτυπούνε,
κι αυτοί όλη μέρα στήνουν πόλεμο σε λυσσασμένο αγώνα
πάνω απ᾽ το κάστρο τους· μα ως έγειρε κι εχάθη ο γήλιος, τότε
φωτιές ανάβουν ασταμάτητα, κι η λάμψη ξεπετιέται '
κι ανηφοράει ψηλά, οι γειτόνοι τους για να τη δουν τρογύρα,.
μπορεί να 'ρθούν με τα καράβια τους να τους γλιτώσουν όμοια
κι η λάμψη απ᾽ του Αχιλλέα τινάζουνταν την κεφαλή στα αιθέρια'
και στο χαντάκι, απ᾽ το καστρότειχο πιο πέρα, ανέβη, αλάργα
απ'τους Αργίτες, τι της μάνας του σεβαστή την ορμήνια.
Κι ως εκεί πάνω εστάθη, εχούγιαξε, και χωριστά η Παλλάδα
σέρνει Αθηνά φωνή, κι ανείπωτο στους Τρώες ασκώνει τρόμο.
Πώς βροντερός ο αχός της σάλπιγγας γρικιέται, ως τη βαρούνε
ψηλά από κάστρο, οχτροί που το 'ζωσαν ψυχοκαταλυτάδες'
όμοια βουερός ο αχός γρικήθηκε κι απ᾽ του Αχιλλέα το στόμα.
Κι εκείνοι, ως του Αχιλλέα το σκούξιμο το βροντολάλο άκουσαν,
μέσα βαθιά τους όλοι ετρόμαξαν᾽ και τα ωριοχήτικα άτια
τη συφορά ψυχανεμίστηκαν και διαγυρνούν τ᾽ αμάξια.
Κι οι αμαξολάτες τους τα σάστισαν, την άγρια φλόγα ως είδαν
ψηλά από το κεφάλι αδάμαστη του αντρόκαρδου Αχιλλέα
ν᾽ ανάβει—κι η Αθηνά την άναβεν, η γλαυκομάτα κόρη.
Τρεις ο Αχιλλέας φορές εχούγιαξεν απ᾽ το χαντάκι απάνω,
και τρεις φορές οι Τρώες τα σάστισαν κι οι ξακουστοί σύμμαχοι'
κι ακόμα δώδεκα σκοτώθηκαν τρανοί αντρειωμένοι τότε
απ᾽ τα ίδια τους κοντάρια κι άλογα κι οι Αργίτες απ᾽ την άλλη
απ᾽ τις ριξιές μακριά τον Πάτροκλο με προθυμία τραβώντας
σε νεκροκρέβατο τον ξάπλωσαν. Τρογύρα οι σύντροφοι του
κλαίοντας τον ζώσαν᾽ κι ο φτερόποδος πίσω Αχιλλέας τραβούσε
κι έχυνε μαύρα δάκρυα, βλέποντας τον γκαρδιακό του ακράνη
σε νεκροκρέβατο να κοίτεται κονταροσπαραγμένος.
Τον είχε προβοδήσει που 'φευγε με αλόγατα κι αμάξια
στη μάχη, όμως ξανά δε γύρισε, να τον καλωσορίσει.
Κι η Ήρα την ώρα αυτή η βοϊδόματη τον αξεκούραστο Ήλιο

πέμψεν ἐπ᾽ Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·
ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.
Τρῶες δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης
χωρήσαντες ἔλυσαν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,

ἐς δ᾽ ἀγορὴν ἀγέροντο πάρος δόρποιο μέδεσθαι.
ὀρθῶν δ᾽ ἑσταότων ἀγορὴ γένετ᾽, οὐδέ τις ἔτλη
ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ᾽ Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ᾽ ἀλεγεινῆς.
τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ᾽ ἀγορεύειν

Πανθοΐδης· ὃ γὰρ οἷος ὄρα πρόσσω καὶ ὀπίσσω·
Ἕκτορι δ᾽ ἦεν ἑταῖρος, ἰῇ δ᾽ ἐν νυκτὶ γένοντο,
ἀλλ᾽ ὃ μὲν ἂρ μύθοισιν, ὃ δ᾽ ἔγχεϊ πολλὸν ἐνίκα·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
ἀμφὶ μάλα φράζεσθε φίλοι· κέλομαι γὰρ ἔγωγε

ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ᾽ ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων

ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ᾽ αἰνῶς δείδοικα ποδώκεα Πηλεΐωνα·
οἷος κείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,

ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ᾽ ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται·
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
ἀμβροσίη· εἰ δ᾽ ἄμμε κιχήσεται ἐνθάδ᾽ ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν

γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγῃ, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἴ γὰρ δή μοι ἀπ᾽ οὔατος ὧδε γένοιτο.
εἰ δ᾽ ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ
πύργοι

ὑψηλαί τε πύλαι σανίδες τ᾽ ἐπὶ τῇς ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρῶϊ δ᾽ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ᾽ ἂμ πύργους· τῷ δ᾽ ἄλγιον, αἴ κ᾽ ἐθέλῃσιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.

να γείρει στανικώς ξαπόστειλε στου Ωκεανού το ρέμα.
Κι έγειρε ο γήλιος και βασίλεψε᾽ κι οι παινεμένοι Αργίτες
σχολνούν τον καταλύτη πόλεμο και το σκληρό το απάλε.
Όμοια κι οι Τρώες απ᾽ την ανήμερη σφαγή κινούν και φεύγουν,
και κάτω από τ᾽ αμάξια εξέζεψαν τα γρήγορα άλογα τους,
κι ευτύς συνάχτηκαν για σύναξη, πριν να γνοιαστούν για δείπνο.
Ορθοί στη σύναξη όλοι εστέκουνταν, κι ουδέ κανείς τολμούσε
να κάτσει κάτω· έτρεμαν όλοι τους, τι είχε ο Αχιλλέας προβάλει,
κι ήταν καιρό πολύ απ᾽ τον πόλεμο τον άγριο τραβηγμένος.
Και πρώτος πήρε ο Πολυδάμαντας ο γνωστικός το λόγο,

του Πάνθου ο γιος, που και μελλούμενα και περασμένα εθώρα,
μονάχα αυτός, του Εχτόρου ο σύντροφος, της ίδιας νύχτας γέννα'
μα ετούτος στη βουλή εξεχώριζε, και στο κοντάρι εκείνος.
Και τώρα μίλησε καλόγνωμος αναμεσό τους κι είπε:
«Φίλοι, βαθιά καλολογιάστε το! Τι εγώ στο κάστρο τώρα
να πάμε λέω· μην περιμένουμε τη θείαν αυγή στον κάμπο,
πλάι στα καράβια᾽ και βρισκόμαστε μακριά από τα τειχιά μας'
τι όσο του ασύγκριτου Αγαμέμνονα βαστούσε αμάχη ετούτος,
πιο αλαφρωμένοι επολεμούσαμε με τους Αργίτες πάντα.
Κι εγώ χαιρόμουνα που πλάγιαζα μπρος στα γερτά καράβια,

τα δρεπανόγυρτα λογιάζοντας να πάρουμε άρμενα τους.
Μα τώρα του Πηλέα το γρήγορο το γιο φριχτά τρομάζω'
τι είναι η καρδιά εκείνου ανημέρωτη· στον κάμπο για να μείνει
δε θα θελήσει, εκεί που σμίγοντας και Τρώες μαζί κι Αργίτες
στη μέση με ίδια λύσσα αλάγιαστα χτυπούνε και χτυπιούνται'
θα πολεμήσει για τα ταίρια μας και για το κάστρο τώρα!
Πάμε στο κάστρο πίσω, ακούστε με, τι ό,τι θα πω θα γένει:
Τώρα είναι η νύχτα που σταμάτησε το γρήγορο Αχιλλέα,
η αθάνατη᾽ μ᾽ αν όμως σύναυγα με τ᾽ άρματά του εκείνος
μας αντικρίσει εδώ προβέλνοντας, πολλοί θα τον γνωρίσουν

καλά. Χαρά στον που ξεφεύγοντας να μπει θα καταφέρει
στην Τροία την άγια! Όμως τους πιότερους σκυλιά θα φαν κι αγιούπες
από τους Τρώες εμάς. Τέτοιο άκουσμα στ᾽ αφτιά μου να μη φτάσει!
Όμως τα λόγια μου αν ακούσουμε, κι ας θλίβεται η καρδιά μας,
θ᾽ αναθαρρέψουμε στη σύναξη τη νύχτα εμείς, και πάλε
το κάστρο οι πύργοι κι οι τετράψηλες θα διαφεντέψουν πόρτες
κι οι αρμοδεμένες, στεριές πάνω τους, μακριές σφιχτές σανίδες.
Και το πουρνό, τα ξημερώματα, συνάρματοι θα πάμε
και θα σταθούμε απά στους πύργους μας, κι αλί του απ᾽ τα καράβια
αν έρθει εδώ κι ανοίξει πόλεμο στο καστροτείχι γύρα!

ἂψ πάλιν εἶσ᾽ ἐπὶ νῆας, ἐπεί κ᾽ ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων·
εἴσω δ᾽ οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
οὐδέ ποτ᾽ ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος
Ἕκτωρ·

Πουλυδάμα σὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽
ἀγορεύεις,
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον·

νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
κτήματα περνάμεν᾽ ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ᾽ ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊς
ἀγκυλομήτεω
κῦδος ἀρέσθ᾽ ἐπὶ νηυσί, θαλάσσῃ τ᾽ ἔλσαι Ἀχαιούς,

νήπιε μηκέτι ταῦτα νοήματα φαῖν᾽ ἐνὶ δήμῳ·
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι,
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·

Τρώων δ᾽ ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινὰ βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς.
πρῶϊ δ᾽ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.

εἰ δ᾽ ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
ἄλγιον αἴ κ᾽ ἐθέλῃσι τῷ ἔσσεται· οὔ μιν ἔγωγε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ᾽ ἄντην
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος, ἦ κε φεροίμην.
ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.

ὣς Ἕκτωρ ἀγόρευ᾽, ἐπὶ δὲ Τρῶες κελάδησαν
νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς
Ἀθήνη.
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ᾽ ἄρ᾽ οὔ τις ὃς ἐσθλὴν φράζετο
βουλήν.
δόρπον ἔπειθ᾽ εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ

παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
τοῖσι δὲ Πηλεΐδης ἀδινοῦ ἐξῆρχε γόοιο
χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν
ἑταίρου
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠϋγένειος,
ᾧ ῥά θ᾽ ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ

Πίσω στα πλοία θα γύρει, τ᾽ άτια του τα ορθόλαιμα μονάχα
που θα κουράσει πηγαινόρχοντας κάτω απ᾽ το κάστρο ολούθε.
Μα μέσα να 'μπει, το κουράγιο του δε θα βαστήξει, κι ούτε
θα το πατήσει᾽ οι σκύλοι οι γρήγοροι πιο πρώτα θα τον φάνε.»
Και τότε ο κρανοσείστης Έχτορας ταυροκοιτώντας του 'πε'
«Όσα μας είπες, Πολυδάμαντα, καθόλου δε μ᾽ αρέσουν'
που λες γυρνώντας μες στο κάστρο μας να στριμωχτούμε πάλε.
Κλεισμένοι ακόμα δε χορτάσατε στους πύργους να 'στε μέσα;
Στα χρόνια τα παλιά πολύχρυσο, πολύχαλκο ακουγόταν
του Πρίαμου το καστρί περίγυρα στα στόματα του κόσμου'

μα τώρα πια απ᾽ τα σπίτια εχάθηκαν οι πλούσιοι θησαυροί μας'
πολλά πουλήθηκαν και πέρασαν στη Μαιονία την ώρια
και στη Φρυγία, τι η οργή μας έζωσε του Δία του τρισμεγάλου.
Τώρα, του Κρόνου ο γιος του πίβουλου που πλάι στα πλοία μου δίνει
δόξα να πάρω, και στη θάλασσα να σπρώξω τους Αργίτες.
μπρος στο λαό βουλές᾽ ανέμυαλε, μην ξεστομίζεις τέτοιες!
Μαζί σου Τρώας κανείς δεν έρχεται, τι δε θα τον αφήσω.
Μα τώρα ελάτε, ομπρός, το λόγο μου ν᾽ ακούσουμε όλοι θέλω:
Δειπνήστε τώρα μες στο στράτεμα, στο λόχο του ο καθένας,
κι ας μην ξεχνά κανείς τη βάρδια του, κι όλοι σας ξύπνιοι πάντα.

Κι αν Τρώας κανείς περίσσια γνοιάζεται τι θα γενεί το βιος του,
ας το χαρίσει στους ανθρώπους μας, να φαγωθεί απ᾽ τον κόσμο·
να το χαρούμε εμείς καλύτερα παρά κανείς Αργίτης.
Και το πουρνό, τα ξημερώματα, συνάρματοι θα πάμε
τον άγριον Άρη να σηκώσουμε μπρος στα βαθιά καράβια.
Κι αν ο Αχιλλέας μαθές ο αντρόψυχος απ᾽ τα καράβια ασκώθη,
αλί του, αν κάμει να 'ρθει! Αντίκρυ του δειλιώντας δε θα φύγω
απ᾽ τον κακόκραχτο τον πόλεμο, μον᾽ θα σταθώ μπροστά του,
και ποιος το ξέρει ποιος θα κέρδιζε, για αυτός για εγώ, τη νίκη·
τι ο Άρης σε χάρες είναι αμάθητος, κι όποιος χτυπάει χτυπά τον.»

Αυτά είπεν ο Έχτορας, και χούγιαξαν οι Τρώες συναγρικώντας,
οι ανέμυαλοι! Το νου τους σάλεψε τότε η Αθηνά η Παλλάδα,
που πήγαν κι άκουσαν τον Έχτορα, στραβή κι ας είχε γνώμη,
όμως κανείς τον Πολυδάμαντα, που γνωστικά εμιλούσε.
Δειπνούν μετά μέσα στο στράτεμα᾽ κι οι Αργίτες απ᾽ την άλλη
με βόγγους και φωνές τον Πάτροκλο θρηνούσαν όλη νύχτα.
Και πρώτος ο Αχιλλέας εκίνησε πικρό το μοιρολόγι,
τα χέρια τ᾽ αντροφόνα απλώνοντας στου συντρόφου του απάνω
τα στήθη, κι όλο πικροστέναζε, σα λιόντας μακροχήτης,
που σε ρουμάνι αφήκε μόνα τους τα λιονταρόπουλά του,

ὕλης ἐκ πυκινῆς· ὃ δέ τ᾽ ἄχνυται ὕστερος ἐλθών,
πολλὰ δέ τ᾽ ἄγκε᾽ ἐπῆλθε μετ᾽ ἀνέρος ἴχνι᾽ ἐρευνῶν
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ·
ὣς ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
ὤ πόποι ἦ ῥ᾽ ἄλιον ἔπος ἔκβαλον ἤματι κείνῳ

θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε λῆΐδος αἶσαν.
ἀλλ᾽ οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι

αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ᾽ ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ᾽ αὐτοῦ γαῖα καθέξει.
νῦν δ᾽ ἐπεὶ οὖν Πάτροκλε σεῦ ὕστερος εἶμ᾽ ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ πρίν γ᾽ Ἕκτορος ἐνθάδ᾽ ἐνεῖκαι

τεύχεα καὶ κεφαλὴν μεγαθύμου σοῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα σέθεν κταμένοιο χολωθείς.
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὖτως,
ἀμφὶ δὲ σὲ Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι

κλαύσονται νύκτάς τε καὶ ἤματα δάκρυ χέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ
πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων.
ὣς εἰπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα

Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
οἳ δὲ λοετροχόον τρίποδ᾽ ἵστασαν ἐν πυρὶ κηλέῳ,
ἐν δ᾽ ἄρ᾽ ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐλόντες.
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ᾽ ὕδωρ·
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,

καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ᾽ ἐλαίῳ,
ἐν δ᾽ ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ.
παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ᾽ Ἀχιλῆα

Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
Ζεὺς δ᾽ Ἥρην προσέειπε κασιγνήτην ἄλοχόν τε·
ἔπρηξας καὶ ἔπειτα βοῶπις πότνια Ἥρη
ἀνστήσασ᾽ Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆς ἐγένοντο κάρη κομόωντες Ἀχαιοί.

κι αλαφοκυνηγός του τ᾽ άρπαξε, κι αυτός μετά μανιάζει·
μες στα λαγκάδια τρέχει ψάχνοντας του κυνηγού τ᾽ αχνάρια,
κάπου αν τον βρεί μαθές, κι ανήμερη φουντώνει λύσσα εντός του'
όμοια κι αυτός βαριά στενάζοντας μιλάει στους Μυρμιδόνες:
«Ωχού μου, ξιπασμένο που 'βγαλα τη μέρα εκείνη λόγο,
που τον τρανό Μενοίτιο γκάρδιωνα, στο αρχοντικό μας μέσα,
τάχα την Τροία που ο γιος του θα 'παιρνε, και πίσω στην Οπούντα
με ταιριασμένο θα τον έφερνα λαχίδι από τα κούρσα.
Μα των θνητών ο Δίας δεν τέλεψε ποτέ τις γνώμες όλες"
τι είναι γραφτό ν᾽ αλικοβάψουμε την ίδια γη κι οι δυο μας,

στην Τροίαν έδώ᾽ κι εγώ δε μέλλεται στο σπίτι μας να γύρω,
να με δεχτεί ο Πηλέας χαρούμενος, ο γέρο αλογολάτης,
μήτε κι η μάνα η Θέτη᾽ ο τάφος μου με καρτερεί εδώ πέρα.
Όμως στη γης αφού είναι, Πάτροκλε, να μπω μετά από σένα,
δε θα σε θάψω εγώ πριν του Έχτορα πιο πρώτα εδώ να φέρω,
του αντρόκαρδου φονιά σου, τ᾽ άρματα μαζί με το κεφάλι·
κι ακόμα δώδεκα αρχοντόπουλα μπροστά από την πυρά σου
των Τρωών θα σφάξω, τι μου φρένιασε τα σπλάχνα ο σκοτωμός
σου.
Μπρος στα γερακομύτικα άρμενα θα κοίτεσαι έτσι ωστόσο,
και γύρα σου θα κλαιν βαθύζωνες της Δαρδανίας γυναίκες

και της Τρωάδας, ολομούσκευτες στα δάκρυα νύχτα μέρα,
αυτές που εμείς οι δυο παλεύοντας με το μακρύ κοντάρι
και την αντρεία μας τις κερδίσαμε, πλούσια πατώντας κάστρα.»
Είπε ο Αχιλλέας ο αρχοντογέννητος, και πρόσταξε να στήσουν
πα στη φωτιά μεγάλο τρίποδο λεβέτι οι σύντροφοι του,
γοργά να πλύνουν απ᾽ τον Πάτροκλο το ματωμένο λύθρο.
Κι αυτοί το λουτρολέβετο έστησαν στη λαμπαδούσα φλόγα,
νερό το γέμισαν, και κάτωθε πήραν δαυλιά κι άναψαν.
Κι η φλόγα την κοιλιά περίζωσε του λεβετιού, και πήρε
να χλιαίνει το νερό᾽ σαν έβρασε στο αστραφτερό μπακίρι,

τον λούσαν έπειτα, τον άλειψαν με μυρωμένο λάδι,
και με αλοιφή ως απάνω εννιάχρονη γέμισαν τις πληγές του'
μετά σε στρώμα τον εξάπλωσαν, ψιλό σεντόνι ρίχνουν,
κι ακέριο από κορφής τον σκέπασαν, και μια αντρομίδα απάνω'
κι ολονυχτίς θρηνούσαν έπειτα τον Πάτροκλο με βόγγους
οι Μυρμιδόνες, στο φτερόποδο τον Αχιλλέα τρογύρα.
Και τότε ο Δίας στην Ήρα εμίλησε, που 'χε αδερφή και ταίρι:
«Ήρα βοϊδόματη, τον πέτυχες και πάλε το σκοπό σου,
και το φτερόποδο ξεσήκωσες τον Αχιλλέα, σα να 'ταν
τους Αχαιούς τους μακρομάλληδες να 'χες γεννήσει ατή σου.»

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅς περ θνητός τ᾽ ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδε·
πῶς δὴ ἔγωγ᾽, ἥ φημι θεάων ἔμμεν ἀρίστη,

ἀμφότερον γενεῇ τε καὶ οὔνεκα σὴ παράκοιτις
κέκλημαι, σὺ δὲ πᾶσι μετ᾽ ἀθανάτοισιν ἀνάσσεις,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἡφαίστου δ᾽ ἵκανε δόμον Θέτις ἀργυρόπεζα

ἄφθιτον ἀστερόεντα μεταπρεπέ᾽ ἀθανάτοισι
χάλκεον, ὅν ῥ᾽ αὐτὸς ποιήσατο κυλλοποδίων.
τὸν δ᾽ εὗρ᾽ ἱδρώοντα ἑλισσόμενον περὶ φύσας
σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν
ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο,

χρύσεα δέ σφ᾽ ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν,
ὄφρά οἱ αὐτόματοι θεῖον δυσαίατ᾽ ἀγῶνα
ἠδ᾽ αὖτις πρὸς δῶμα νεοίατο θαῦμα ἰδέσθαι.
οἳ δ᾽ ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ᾽ οὔ πω
δαιδάλεα προσέκειτο· τά ῥ᾽ ἤρτυε, κόπτε δὲ δεσμούς.

ὄφρ᾽ ὅ γε ταῦτ᾽ ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι,
τόφρά οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
καλή, τὴν ὤπυιε περικλυτὸς ἀμφιγυήεις·
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·

τίπτε Θέτι τανύπεπλε ἱκάνεις ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
ἀλλ᾽ ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
ὣς ἄρα φωνήσασα πρόσω ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου

καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
κέκλετο δ᾽ Ἥφαιστον κλυτοτέχνην εἶπέ τε μῦθον·
Ἥφαιστε πρόμολ᾽ ὧδε· Θέτις νύ τι σεῖο χατίζει.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,

ἥ μ᾽ ἐσάωσ᾽ ὅτε μ᾽ ἄλγος ἀφίκετο τῆλε πεσόντα
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ᾽ ἐθέλησε
κρύψαι χωλὸν ἐόντα· τότ᾽ ἂν πάθον ἄλγεα θυμῷ,
εἰ μή μ᾽ Εὐρυνόμη τε Θέτις θ᾽ ὑπεδέξατο κόλπῳ
Εὐρυνόμη θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.

Και τότε η σεβαστή του απάντησε βοϊδόματη Ήρα κι είπε:
« Υγιέ του Κρόνου τρομερότατε, τι λόγια αυτά που κρένεις;
Μπορεί σε κάποιον κι ένας άνθρωπος να κάνει ό,τι ποθήσει,
που "ναι θνητός και μες στα φρένα του λειψοί 'ναι οι στοχασμοί του.
Και πώς εγώ, που απ᾽ τις αθάνατες η πιο τρανή λογιέμαι
και για τα δυο, και για τη φύτρα μου και που δικό σου ταίρι
με λένε, κι όλους τους αθάνατους εσύ τους αφεντεύεις,
να μην μπορώ στους Τρώες που εμίσησα το χαλασμό να φέρω;»
Έτσι μιλούσαν συνάλληλος τους εκείνοι οι δυο, κι ωστόσο
η Θέτη η χιοναστράγαλη έφτανε στο αρχοντικό του Ηφαίστου,

που απ᾽ όλων των θεών ξεχώριζε, στραφταλιστό, αναιώνιο,
κι όλο χαλκό, που ο Κουτσοπόδαρος το 'χε φτιαγμένο ατός του.
Να πηγαινόρχεται τον πέτυχε στα φυσερά ιδρωμένος
με βιάση, τι είκοσι μαστόρευε μονοφορας τριπόδια,
Στο στέριο γύρω αρχονταρίκι του να στέκουν τοίχο τοίχο.
Μαλαματένιες ρόδες άρμοζε στου καθενού τον πάτο,
μες στων θεών μοναχοσάλευτα τη σύναξη να μπαίνουν
και πίσω να γυρνούν στο σπίτι του—που να σαστίζει ο νους σου!
Στο τέλος της δουλειάς του εβρίσκουνταν᾽ τα πλουμιστά μονάχα.
τ᾽ αφτιά απόμεναν τούτα ετοίμαζε και τα καρφιά χτυπούσε.

Κι ως έτσι αυτά ο θεός μαστόρευε με τη σοφή του τέχνη,
έφτασε η Θέτη, η χιοναστράγαλη θεά, στο αρχοντικό του.
Πρώτη την είδε η Χάρη βγαίνοντας η στραφτομαντιλούσα,
η λιόγεννη του Κουτσοπόδαρου του ξακουστού γυναίκα᾽
σφίγγει το χέρι της, την έκραξε κι αυτά της λέει τα λόγια:
« Τί τάχα να σε φέρνει σπίτι μας, μακρομαντούσα Θέτη,
σεβάσμια κι ακριβή; Δεν έρχεσαι συχνά εδώ πέρα αλήθεια.
Μον᾽ έλα, ας μπούμε μέσα, ακλούθα μου, να σε φιλέψω που 'ρθες.»
Ως είπε αυτά η θεά η πανέμνοστη, τη συνεμπάζει μέσα,
σε ασημοκάρφωτο την έβαλε θρονί για να καθίσει,

πανώριο, ξομπλιαστό, με κάτωθε προσκάμνι για τα πόδια,
και κάλεσε τον Ήφαιστο έπειτα, τον ξακουστό τεχνίτη:
«Ήφαιστε, ως είσαι τώρα, πρόβαλε, κι η Θέτη σ᾽ έχει ανάγκη.»
Κι ο ξακουσμένος κουτσοπόδαρος θεός απηλογήθη:
« Θεά ακριβή και πολυσέβαστη στο σπίτι μου ήρθε αλήθεια'
τι αυτή απ᾽ τη συφορά με γλίτωσε, σαν έπεφτα ψηλάθε,
κι ήταν η μάνα μου η ξαδιάντροπη που ζήταε να με κρύψει,
τι ήμουν κουτσός· και λέω θα πάθαινα κακά μεγάλα τότε,
βαθιά αν δε μ᾽ έκλεινε στον κόρφο της η Θέτη, κι η Ευρυνόμη,
που ο Ωκεανός ο κυκλορέματος πατέρας της λογιέται.

τῇσι παρ᾽ εἰνάετες χάλκευον δαίδαλα πολλά,
πόρπας τε γναμπτάς θ᾽ ἕλικας κάλυκάς τε καὶ ὅρμους
ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
ᾔδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,

ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ᾽ ἐσάωσαν.
ἦ νῦν ἡμέτερον δόμον ἵκει· τὼ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμῳ ζῳάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλά,
ὄφρ᾽ ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλά τε πάντα.

καὶ ἀπ᾽ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύσας μέν ῥ᾽ ἀπάνευθε τίθει πυρός, ὅπλά τε πάντα
λάρνακ᾽ ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
σπόγγῳ δ᾽ ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ᾽ ἀπομόργνυ

αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα,
δῦ δὲ χιτῶν᾽, ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ᾽ ἀμφίπολοι ῥώοντο ἄνακτι
χρύσειαι ζωῇσι νεήνισιν εἰοικυῖαι.
τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ

καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
αἳ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὃ ἔρρων
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τίπτε Θέτι τανύπεπλε ἱκάνεις ἡμέτερον δῶ

αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὖδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
Ἥφαιστ᾽, ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ᾽ ἐν Ὀλύμπῳ,

τοσσάδ᾽ ἐνὶ φρεσὶν ἧσιν ἀνέσχετο κήδεα λυγρὰ
ὅσσ᾽ ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν;
ἐκ μέν μ᾽ ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ᾽ οὐκ ἐθέλουσα. ὃ μὲν δὴ γήραϊ λυγρῷ

κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν,
υἱὸν ἐπεί μοι δῶκε γενέσθαί τε τραφέμεν τε
ἔξοχον ἡρώων· ὃ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω

Χρόνους εννιά κοντά τους χάλκευα λογής λογής στολίδια'
θηλύκια και βραχιόλια εδούλευα, γιορντάνια, σκουλαρίκια,
μες στη βαθιά σπηλιά᾽ και γύρα της του Ωκεανού το ρέμα
με αφρούς βροντοκυλούσε απέραντο᾽ κι ουδέ κανένας άλλος
Θεός εδώ πως ήμουν κάτεχε για και θνητός, μονάχα
η Θέτη κι η Ευρυνόμη το 'ξεραν, που μ᾽ είχανε γλιτώσει.
Σωστό λοιπόν, σαν ήρθε σπίτι μου, για τη ζωή που μου 'χε
γλιτώσει τότε, την ωριόμαλλη να ξεπλερώσω Θέτη.
Εσύ να τη φιλέψεις κοίταξε τώρα ως ταιριάζει, ωσόπου
τα φυσερά και τ᾽ άλλα σύνεργα να βάλω εγώ στην άκρα.»

Είπε, κι απ᾽ του αμονιού το κούτσουρο σηκώθη ο γαύρος γίγας
κουτσαίνοντας, με ορμή τ᾽ αδύναμα κουνώντας αντικνήμια.
Τα φυσερά απ᾽ τη φλόγα ετράβηξε, με βιάση συμμαζεύει
τ᾽ άλλα του σύνεργα που εδούλευε μες σε αργυρή κασέλα,
και με σφουγγάρι ολούθε σκούπισε το πρόσωπο, τα χέρια,
το γερό σβέρκο και τα στήθη του τα μαλλιαρά᾽ και ντύθη
με το χιτώνα, κι άδραξε ύστερα χοντρό ραβδί και βγήκε
κουτσαίνοντας· και τρέχαν δίπλα του ν᾽ ανεβαστούν το ρήγα
χρυσές δυο βάγιες, απαράλλαχτες με ζωντανές κοπέλες·
ξυπνάδα και μιλιά και δύναμη, τα 'χουν κι αυτές, κι ακόμα

οι αθάνατοι θεοί τους έμαθαν πάσα γυναικεία τέχνη.
Και τώρα ανεβαστούσαν πρόθυμα το ρήγα τους, κι εκείνος
στη Θέτη πλάι με κόπο κάθεται πα σε θρονί άστροβόλο,
σφίγγει το χέρι της, την έκραξε κι αυτά της λέει τα λόγια: '
« Τι τάχα να σε φέρνει σπίτι μας, μακρομαντούσα Θέτη,
σεβάσμια κι ακριβή; Δεν έρχεσαι συχνά εδώ πέρα αλήθεια.
Τι έχεις στο νου σου πες, κι ολόκαρδα θα κάμω εγώ ό,τι θέλεις,
μονάχα να περνά απ᾽ το χέρι μου και να μπορεί να γένει.»
Και τότε η Θέτιδα με κλάματα του απηλογήθη κι είπε:
«Ήφαιστε, απ᾽ όσες ζουν στον Όλυμπο θεές καμιά τους είναι

που τόσες πίκρες να ποτίστηκε βαριές στα σωθικά της,
όσες σε μένα ο Δίας εμοίρασε, του Κρόνου ο γιος, απ᾽ όλες;
Απ᾽ τις νεράιδες όλες πάντρεψε μονάχα εμένα με άντρα
θνητό, με τον Πηλέα, και βάστηξα μ᾽ έναν θνητό να πέφτω
μαζί στο στρώμα, κι ας μην το 'θελα. Τώρα στο σπίτι εκείνος
μες σ᾽ έρμα κοίτεται γεράματα, κι εγώ έχω πίκρες άλλες:
Γέννησα υγιό μ᾽ αυτόν κι ανάθρεψα, στους αντρειωμένους πρώτο,
κι ως τρυφερό κλωνάρι ανάδωσε᾽ κι εγώ, που ανάστησα τον
σα ροδαμό που ξεπετάχτηκε σε χωραφιού τον όχτο,
πάνω στα πλοία τα δρεπανόγυρτα στην Τροία τον έχω στείλει,

Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
τὴν ἄψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.
ἤτοι ὸ τῆς ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ᾽ ὀνόμαζον.
ἔνθ᾽ αὐτὸς μὲν ἔπειτ᾽ ἠναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὸ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσε,
πέμπε δέ μιν πόλεμον δέ, πολὺν δ᾽ ἅμα λαὸν
ὄπασσε.
πᾶν δ᾽ ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν᾽ ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε.
τοὔνεκα νῦν τὰ σὰ γούναθ᾽ ἱκάνομαι, αἴ κ᾽
ἐθέλῃσθα
υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας ἐπισφυρίοις ἀραρυίας
καὶ θώρηχ᾽· ὸ γὰρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος
Τρωσὶ δαμείς· ὸ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
αἴ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι,
ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.
ὡς εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ᾽ ἐπὶ φύσας·
τὰς δ᾽ ἐς πῦρ ἔτρεψε κέλευσέ τε ἐργάζεσθαι.
φῦσαι δ᾽ ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ᾽ αὖτε,
ὅππως Ἥφαιστός τ᾽ ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ᾽ ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, γέντο δὲ χειρὶ
ῥαιστῆρα κρατερήν, ἑτέρῃφι δὲ γέντο πυράγρην.
ποίει δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε
πάντοσε δαιδάλλων, περὶ δ᾽ ἄντυγα βάλλε φαεινὴν

τους Τρώες να πολεμήσει. Αλίμονο, δε θα τον δω να γέρνει
στο πατρικό ξοπίσω σπίτι του, να τον καλωσορίσω!
Μα κι όσο ακόμα ζει και χαίρεται το φως του γήλιου, πάντα
τραβάει καημούς, κι ουδέ πηγαίνοντας μπορώ να τον συντράμω.
Την κόρη, οι Αργίτες που του διάλεξαν γι᾽ αρχοντομοίρι πρώτα,
μέσ᾽ απ᾽ τα χέρια του ο Αγαμέμνονας την πήρε πίσω ο γαύρος,
κι έλιωνε ο γιος μου από τον πόνο της· κι ωστόσο τους Αργίτες
οι Τρώες στις πρύμνες πάνω εστρίμωξαν, κι ουδέ και τους άφηναν
όξω να βγουν και τότε πρόσπεσαν στα πόδια του οι γερόντοι
απ᾽ τους Αργίτες, κι αξετίμητα του τάζαν πλήθια δώρα.

Κι αυτός απ᾽ το κακό δε δέχτηκε να τους γλιτώσει ατός του,
μα είπε στον Πάτροκλο και ζώστηκε την εδική του αρμάτα,
και τον ξαπόστειλε στον πόλεμο, κι άλλους πολλούς μαζί του.
Κι ολημερίς έστησαν πόλεμο στο Ζερβοπόρτι γύρα·
και μες στη μέρα εκείνη θα 'παιρναν το κάστρο, αν του Μενοίτιου
το γαύρο γιο, πολλούς που ερήμαξε, στους μπροστομάχους μέσα
δε σκότωνεν ο Φοίβος, δίνοντας στον Έχτορα τη νίκη.
Γι᾽ αυτό και φτάνω εδώ, στα γόνατα να σου προσπέσω. αν θέλεις
κράνος στο γιο μου το λιγόχρονο να δώσεις και σκουτάρι
κι ώριες κνημίδες, στους αστράγαλους σφιγμένες με θηλύκια,
και θώρακα᾽ ό δικός του εχάθηκεν απ᾽ τον πιστό του ακράνη,
που οι Τρώες σκότωσαν, κι έτσι κοίτεται στη γη φαρμακωμένος.»
Κι ο ξακουσμένος Κουτσοπόδαρος απηλογιά της δίνει:
« Κάνε κουράγιο και μη γνοιάζεσαι για τούτα στην καρδιά σου.
Να 'ταν να μπορούν απ᾽ το θάνατο μακριά τον οργισμένο
να τον γλιτώσω, σύντας η άσπλαχνη θα τον ζυγώνει Μοίρα,
όσο 'ναι αλήθεια αρμάτα ατίμητη πως θα 'χει τώρα, τέτοια,
που όσοι τη βλέπουν να σαστίζουνε στην οικουμένη πάσα.»
Ως είπε τούτα, παρατώντας τη στα φυσερά διαγέρνει'
στη φλόγα τα 'γυρε και πρόσταξε ν᾽ αρχίσουν να δουλεύουν.

Κι αυτά ήταν είκοσι, και κίνησαν μαζί, και στα καμίνια.
φυσούσαν, δυνατά ξεχύνοντας λογής λογής αγέρα,
πότε τον Ήφαιστο, σα βιάζουνταν, γοργά να παραστέκουν,
και πότε πάλε όπως τον βόλευε, να βγει η δουλειά ως την άκρα.
Ρίχνει μετά καλάι κι ατίμητο μες στη φωτιά χρυσάφι
κι ασήμι και χαλκό ακατάλυτο, και γρήγορα απιθώνει
το αμόνι το τρανό στο κούτσουρο, και πήρε στο 'να χέρι
τη δυνατή βαριά, και στο άλλο του χερώνει το διλάβι.
Και πρώτα δυνατό, θεόρατο βάζει μπροστά σκουτάρι
δουλεύοντας το ολούθε· στέριωσε τριπλό λαμπρό στεφάνι

τρίπλακα μαρμαρέην, ἐκ δ᾽ ἀργύρεον τελαμῶνα.
πέντε δ᾽ ἄρ᾽ αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
ἐν μὲν γαῖαν ἔτευξ᾽, ἐν δ᾽ οὐρανόν, ἐν δὲ θάλασσαν,
ἠέλιόν τ᾽ ἀκάμαντα σελήνην τε πλήθουσαν,

ἐν δὲ τὰ τείρεα πάντα, τά τ᾽ οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ᾽ Ὑάδας τε τό τε σθένος Ὠρίωνος
Ἄρκτόν θ᾽, ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ᾽ αὐτοῦ στρέφεται καί τ᾽ Ὠρίωνα δοκεύει,
οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
καλάς. ἐν τῇ μέν ῥα γάμοι τ᾽ ἔσαν εἰλαπίναι τε,
νύμφας δ᾽ ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ᾽ ὑμέναιος ὀρώρει·
κοῦροι δ᾽ ὀρχηστῆρες ἐδίνεον, ἐν δ᾽ ἄρα τοῖσιν

αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἳ δὲ γυναῖκες
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
λαοὶ δ᾽ εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
ὠρώρει, δύο δ᾽ ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποφθιμένου· ὃ μὲν εὔχετο πάντ᾽ ἀποδοῦναι

δήμῳ πιφαύσκων, ὃ δ᾽ ἀναίνετο μηδὲν ἐλέσθαι·
ἄμφω δ᾽ ἰέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ᾽ ἀμφοτέροισιν ἐπήπυον ἀμφὶς ἀρωγοί·
κήρυκες δ᾽ ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
εἵατ᾽ ἐπὶ ξεστοῖσι λίθοις ἱερῷ ἐνὶ κύκλῳ,

σκῆπτρα δὲ κηρύκων ἐν χέρσ᾽ ἔχον ἠεροφώνων·
τοῖσιν ἔπειτ᾽ ἤϊσσον, ἀμοιβηδὶς δὲ δίκαζον.
κεῖτο δ᾽ ἄρ᾽ ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα,
τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.
τὴν δ᾽ ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ ἥατο λαῶν

τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἤνδανε βουλή,
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργεν·
οἳ δ᾽ οὔ πω πείθοντο, λόχῳ δ᾽ ὑπεθωρήσσοντο.
τεῖχος μέν ῥ᾽ ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα

ῥύατ᾽ ἐφεσταότες, μετὰ δ᾽ ἀνέρες οὓς ἔχε γῆρας·
οἳ δ᾽ ἴσαν· ἦρχε δ᾽ ἄρά σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη
ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεὼ περ
ἀμφὶς ἀριζήλω· λαοὶ δ᾽ ὑπολίζονες ἦσαν.

λιόφωτο γύρα, και το κρέμασεν από λουρί ασημένιο.
Με πέντε φύλλα τότε το 'στρωσε, μετά στη ράχη απάνω
λογής λογής πλουμίδια εχάραξε με τη σοφή του τέχνη.
Βάζει τη γης, βάζει τη θάλασσα, βάζει τα ουράνια απάνω,
βάζει τον ήλιο τον ακούραστο, τ᾽ ολόγιομο φεγγάρι,
κι όλα τ᾽ αστέρια, ως στεφανώνουνε τον ουρανό τρογύρα'
το Αλετροπόδι, τα Βροχάστερα, την ώρια Πούλια βάζει
και το Χορό τον Εφταπάρθενο, που τόνε λεν κι Αμάξι,
κι αυτού γυρνάει παραμονεύοντας το Αλετροπόδι πάντα,
και μόνο αυτός λουτρό δε χαίρεται στον Ωκεανό ποτέ του.

Κι ακόμα παίρνει βάζει απάνω του δυο πολιτείες ανθρώπων,
πανέμορφες· στη μια ξεφάντωσες ιστόρησε και γάμους·
τις νύφες παίρναν απ᾽ τα σπίτια τους με φώτα, με λαμπάδες,
και τις περνούσαν με νυφιάτικα τραγούδια από τιίς ρούγες.
Και στρουφογύριζαν χορεύοντας οι νιοί, κι ανάμεσα τους
φιαμπόλια και κιθάρες άκουγες να παίζουν κι οι γυναίκες
στην πόρτα η καθεμιά τους έστεκε και θάμαζε το ψίκι.
Κι οι άντρες στη σύναξη εμαζώνουνταν, πλήθος μεγάλο, κι είχε
καβγάς ανάψει᾽ δυο τους μάλωναν για κάποιου σκοτωμένου
την ξαγορά᾽ κι ο πρώτος φώναζε κι όρκίζουνταν στους άλλους

πως έχει ξεπλερώσει, ο δεύτερος πως τίποτα δεν πήρε.
Και σε κριτή κι οι δυο τους γύρευαν να παν να βγάλει κρίση.
Κι ο κόσμος εμοιράστη κι έπαιρνε και των δυονώ το μέρος·
κι οι κράχτες να κρατήσουν πάλευαν τον κόσμο, κι οι γερόντοι
στα μαγλινά πεζούλια εκάθιζαν, στο άγιο το αλώνι μέσα'
κι από τους κράχτες τους βροντόλαλους ραβδιά στα χέρια έπαιρναν,
κι αυτά κρατώντας εσηκώνουνταν να κρίνουν ένας ένας.
Κι ήταν στη μέση εκεί δυο τάλαντα χρυσάφι απιθωμένο,
όποιος απ᾽ όλους φρονιμότερα μιλούσε να το πάρει.
Στην άλλη πόλη ωστόσο ολόγυρα κάθονταν δυο φουσάτα,

κι άστραφταν τ᾽ άρματά τους· δίγνωμη βουλή κρατούσε ετούτους:
να την κουρσέψουνε πατώντας τη, για και το βιος ακέριο
που 'χε το κάστρο τ᾽ ώριο μέσα του στα δυο να το μοιράσουν;
Μα εκείνοι αρνιούνταν, κι αρματώνουνταν κλεφτάτα για καρτέρι·
στα τείχη έστεκαν οι γυναίκες τους και τα μικρά παιδιά τους
κι οι άντρες που γερατιά τους πλάκωναν, ψηλά να το φυλάνε.
Κι οι επίλοιποι εκινούσαν κι άνοιγαν μπρος η Αθηνά Παλλάδα
κι ο Άρης το δρόμο τους, ολόχρυσοι και στα χρυσά ντυμένοι,
ψηλοί, πανώριοι μέσα στ᾽ άρματα, καί σα θεοί απ᾽ τους άλλους
μεμιάς ξεχώριζαν, τι ανάριμμα τόσο οι θνητοί δεν εϊχαν.

οἳ δ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι σφίσιν εἶκε λοχῆσαι
ἐν ποταμῷ, ὅθι τ᾽ ἀρδμὸς ἦεν πάντεσσι βοτοῖσιν,
ἔνθ᾽ ἄρα τοί γ᾽ ἴζοντ᾽ εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖσι δ᾽ ἔπειτ᾽ ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν
δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.

οἳ δὲ τάχα προγένοντο, δύω δ᾽ ἅμ᾽ ἕποντο νομῆες
τερπόμενοι σύριγξι· δόλον δ᾽ οὔ τι προνόησαν.
οἳ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ᾽ ἔπειτα
τάμνοντ᾽ ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
ἀργεννέων οἰῶν, κτεῖνον δ᾽ ἐπὶ μηλοβοτῆρας.

οἳ δ᾽ ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ᾽ ἐφ᾽ ἵππων
βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ᾽ ἵκοντο.
στησάμενοι δ᾽ ἐμάχοντο μάχην ποταμοῖο παρ᾽ ὄχθας,
βάλλον δ᾽ ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.

ἐν δ᾽ Ἔρις ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ᾽ ὀλοὴ Κήρ,
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
εἶμα δ᾽ ἔχ᾽ ἀμφ᾽ ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ᾽ ὥς τε ζωοὶ βροτοὶ ἠδ᾽ ἐμάχοντο,

νεκρούς τ᾽ ἀλλήλων ἕρυον κατατεθνηῶτας.
ἐν δ᾽ ἐτίθει νειὸν μαλακὴν πίειραν ἄρουραν
εὐρεῖαν τρίπολον· πολλοὶ δ᾽ ἀροτῆρες ἐν αὐτῇ
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἳ δ᾽ ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,

τοῖσι δ᾽ ἔπειτ᾽ ἐν χερσὶ δέπας μελιηδέος οἴνου
δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν᾽ ὄγμους,
ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
ἡ δὲ μελαίνετ᾽ ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει,
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.

ἐν δ᾽ ἐτίθει τέμενος βασιλῆϊον· ἔνθα δ᾽ ἔριθοι
ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.
δράγματα δ᾽ ἄλλα μετ᾽ ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
ἄλλα δ᾽ ἀμαλλοδετῆρες ἐν ἑλλεδανοῖσι δέοντο.
τρεῖς δ᾽ ἄρ᾽ ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε

παῖδες δραγμεύοντες ἐν ἀγκαλίδεσσι φέροντες
ἀσπερχὲς πάρεχον· βασιλεὺς δ᾽ ἐν τοῖσι σιωπῇ
σκῆπτρον ἔχων ἑστήκει ἐπ᾽ ὄγμου γηθόσυνος κῆρ.
κήρυκες δ᾽ ἀπάνευθεν ὑπὸ δρυῖ δαῖτα πένοντο,
βοῦν δ᾽ ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες

Κι ως έφτασαν εκεί που διάλεξαν να στήσουν το καρτέρι,
στον ποταμό, κει που όλα πήγαιναν τα ζωντανά να πιούνε,
πήραν κάθισαν, με τα λιόλαμπρα χαλκάρματα ζωσμένοι.
Χώρια απ᾽ τ᾽ ασκέρι δυο βιγλάτορες κάθονταν καρτερώντας
πότε τ᾽ αρνιά και τα στριφτόκερα θα ιδούν να φτάνουν βόδια.
Σε λίγο επρόβαλαν, και πίσω τους ακλούθουν δυο βοσκάροι,
κι όπως ο νους τους δεν κακόβαζε, λαλούσαν τη φλογέρα.
Κι εκείνοι, ως τα 'δαν μπρος τους, χίμιξαν. και γρήγορα ξεκόβουν
όλα τα βόδια και τ᾽ ασπρόμαλλα τ᾽ αρνιά, καθώς τραβούσαν
μαζί κοπαδιαστά, και, δίπλα τους και τους βοσκούς σκοτώνουν.

Κι οι άλλοι, γρικώντας το συντάραχο στα βόδια τους τρογύρα,
εκεί που εκάθουνταν στη σύναξη, μεμιάς πηδούν στ᾽ αμάξια,
τ᾽ άτια δρομώνουν τ᾽ ανεμόποδα και μονομιάς τους φτάνουν.
Κι ως πήραν θέση, άνοιξαν πόλεμο στου ποταμού τους όχτους,
ο ένας στον άλλο απάνω ρίχνοντας με χάλκινα κοντάρια.
Εκεί κι η Αμάχη, εκεί ο Συντάραχος, εκεί του Χάρου η Λάμια,
κι έπιανε πότε έναν αλάβωτο, πότε έναν λαβωμένο,
-που ζούσε ακόμα, πότε ξέσερνε κάποιο νεκρό απ᾽ το πόδι,
κι απ᾽ το αίμα των άντρων στους ώμους της άλικο ρούχο εφόρειε.
Κι όπως σάλευαν και χτυπιόντουσαν και τα κουφάρια έσερναν

ο ένας του άλλου των σκοτωμένων τους, σα ζωντανοί εφαντάζαν.
Κι έβαζε ακόμα απάνω νιόσκαφτο, παχύ, πλατύ χωράφι,
με αφράτο χώμα, τριπλογύριστο᾽ πολλοί ζευγάδες μέσα
φέρναν τρογύρα τα ζευγάρια τους κι όργωναν δώθε κείθε'
και κάθε που γύριζαν κι έφταναν στου χωραφιού την άκρα,
τους ζύγωνε ένας και τους έδινε κρασί γλυκό μια κούπα,
στο χέρι καθενός· και γύριζαν στους όργους πίσω εκείνοι,
και στου βαθιού να φτάσουν βιάζουνταν του χωραφιού την άκρα.
Κι η γης μαυρολογούσε πίσω τους και φάνταζε οργωμένη,
χρυσή κι ας ήταν τέτοια η τέχνη του μεγάλο θάμα αλήθεια!

Κι έβαζε ακόμα χτήμα απάνω του βασιλικό, κι αργάτες
θέριζαν, κοφτερά στα χέρια τους φουχτώνοντας δρεπάνι»·
άλλα χερόβολα σωριάζουνταν στο χώμα αράδα αράδα,
κι άλλα τα δέναν με ασταχόσκοινα γερά οι δεματιαστάδες'
κι ήτανε τρεις που τα δεμάτιαζαν, και πίσω τους αγόρια
τρέχαν, μάζευαν τα χερόβολα, στην αγκαλιά τα παίρναν,
και τα 'διναν πιο πίσω᾽ αμίλητος ο βασιλιάς στεκόταν
με το ραβδί του απάνω στ᾽ όργωμα, βαθιά του αναγαλλιώντας.
Κάπου πιο πέρα οι κράχτες σύνταζαν κάτω από δρυ το γιόμα·
βόδι τρανό είχαν σφάξει κι έψηναν με προθυμία, κι οι δούλες

δεῖπνον ἐρίθοισιν λεύκ᾽ ἄλφιτα πολλὰ πάλυνον.
ἐν δ᾽ ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν
καλὴν χρυσείην· μέλανες δ᾽ ἀνὰ βότρυες ἦσαν,
ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ᾽ ἕρκος ἔλασσε
κασσιτέρου· μία δ᾽ οἴη ἀταρπιτὸς ἦεν ἐπ᾽ αὐτήν,
τῇ νίσοντο φορῆες ὅτε τρυγόῳεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες
πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
τοῖσιν δ᾽ ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, λίνον δ᾽ ὑπὸ καλὸν ἄειδε
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ἀμαρτῇ
μολπῇ τ᾽ ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο.
ἐν δ᾽ ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε,
μυκηθμῷ δ᾽ ἀπὸ κόπρου ἐπεσσεύοντο νομὸν δὲ
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα.
χρύσειοι δὲ νομῆες ἅμ᾽ ἑστιχόωντο βόεσσι
τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
σμερδαλέω δὲ λέοντε δύ᾽ ἐν πρώτῃσι βόεσσι
ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς
ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ᾽ αἰζηοί.
τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες.
οἱ δ᾽ ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
ἱστάμενοι δὲ μάλ᾽ ἐγγὺς ὑλάκτεον ἔκ τ᾽ ἀλέοντο.
ἐν δὲ νομὸν ποίησε περικλυτὸς ἀμφιγυήεις
ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς.
ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,
τῷ ἴκελον οἷόν ποτ᾽ ἐνὶ Κνωσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὀρχεῦντ᾽ ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
τῶν δ᾽ αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
εἵατ᾽ ἐϋννήτους, ἦκα στίλβοντας ἐλαίῳ·
καί ῥ᾽ αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
οἱ δ᾽ ὁτὲ μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
ῥεῖα μάλ᾽, ὡς ὅτε τις τροχὸν ἅρμενον ἐν παλάμῃσιν
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
ἄλλοτε δ᾽ αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
πολλὸς δ᾽ ἱμερόεντα χορὸν περιίσταθ᾽ ὅμιλος
τερπόμενοι·

σωρό το αλεύρι το άσπρο εζύμωναν, να φαν οι θεριστάδες.
Κι έβαζε μέγα αμπέλι απάνω του σταφύλια φορτωμένο,
χρυσό, πανέμορφο, κι εκρέμουνταν τσαμπιά από κάτω μαύρα,
κι ως πέρα εστύλωναν τα κλήματα διχάλες ασημένιες.
Κι άνοιξε σμάλτινο ζερβόδεξα χαντάκι, και τρογύρα
από καλάι το φράχτη εσήκωσε᾽ κι ένα ως τ'αμπέλι μόνο
τραβούσε μονοπάτι, που 'παιρναν οι αργάτες που τρυγούσαν.
Και κουβαλούσαν το μελόγλυκο καρπό στους ώμους πάνω·
κοπέλες κι άγουροι χαρούμενοι μες σε πλεχτά κοφίνια'
κι αναμεσό τους την ψιλόφωνη κιθάρα κάποιο αγόρι
γλυκά βαρώντας όμορφα έψελνε του Λίνου το τραγούδι
με γάργαρη φωνή· κι οι επίλοιποι στη γη τα πόδια εκρούγαν
ξοπίσω του, πηδούσαν, φώναζαν και τραγουδούσαν όλοι.
Κοπάδι ακόμα από ορθοκέρατα γελάδια βάζει απάνω,
κι ήταν τα βόδια κι από μάλαμα κι από καλάι φτιαγμένα'
κι απ᾽ το μαντρί τους μουκανίζοντας για τη βοσκή βιάζονταν
στο βροντερό αποδίπλα ποταμό, στα λυγερά καλάμια.
Βοσκοί μαλαματένιοι τέσσεροι τραβούσαν με τα βόδια,
κι αντάμα εννιά σκυλιά γοργόποδα ξοπίσω τους ακλούθουν.
Ωστόσο δυο λιοντάρια ανήμερα στου κοπαδιού τον κάβο
ταύρο είχαν πιάσει μουκανιάρικο, κι ως τον έσερναν, πέρα
τα μουγκρητά του αχούσαν πίσω του βοσκοί και σκύλοι έτρεχαν
μα αυτά πρόλαβαν, και ξεσκίζοντας του ταύρου το τομάρι
το αίμα το μαύρο και τα σπλάχνα του ρουφούσαν, κι οι τσοπάνοι
του κάκου άγγρίζαν τα γοργόποδα σκυλιά να τους ριχτούνε᾽
τι αυτά μπροστά στους λιόντες δείλιαζαν, κι αντίς να τους
δαγκάσουν
χιμώντας, στέκαν δίπλα, εγαύγιζαν, και πίσω πάλε έφευγαν.
Κι έβαζε απάνω ο Κουτσοπόδαρος μεγάλο βοσκοτόπι,
κάτασπρα πρόβατα να βοσκούνε σε λαγκαδιά πανώρια,
κι ακόμα στάνες και ξερόμαντρες και σκεπαστές καλύβες.
Ξόμπλιαζε ακόμα ο κουτσοπόδαρος θεός και χοροστάσι,
όμοιο μ᾽ εκείνο που 'χε ο Δαίδαλος της ομορφομαλλούσας
της Αριάδνης στην απλόχωρη Κνωσό παλιά φτιαγμένο.
Άγουροι εκεί κι ακριβαγόραστες παρθένες είχαν στήσει
χορό, κι ο ένας του άλλου εκρατούσανε πα στον αρμό τα χέρια.
Λινό αγανό εφορούσαν όλες τους, καλόφαντους εκείνοι
χιτώνες, απαλά που εγυάλιζαν με λάδι ποτισμένοι.
Φορούσαν όλες ανθοστέφανα στην κεφαλή, κι εκείνοι
χρυσά μαχαίρια που ανακρέμουνταν από λουριά ασημένια.
Κι όοι τους πότε αντάμα εχόρευαν με πόδια μαθημένα,
τόσο αλαφριά, σαν όντας κάθεται και τον τροχό του βάζει
ο κανατάς μπροστά, κοιτάζοντας αν εύκολα γυρίζει,
και πότε πάλε αράδες έτρεχαν η μια στην άλλη αντίκρα.
Γύρω εστεκόταν και καμάρωνε τον όμορφο χορό τους
κόσμος πολύς· και πλάι τους κάθουνταν βαρώντας την κιθάρα

δοιὼ δὲ κυβιστητῆρε κατ᾽ αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
ἐν δ᾽ ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,

τεῦξ᾽ ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς,
τεῦξε δέ οἱ κόρυθα βριαρὴν κροτάφοις ἀραρυῖαν
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκε,
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ᾽ ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις,

μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας.
ἡ δ᾽ ἴρηξ ὡς ἆλτο κατ᾽ Οὐλύμπου νιφόεντος
τεύχεα μαρμαίροντα παρ᾽ Ἡφαίστοιο φέρουσα.

ο θείος τραγουδιστής· κι ως άνοιγε το στόμα του να ψάλει,
εκεί στη μέση τούμπες άρχιζαν να κάνουν δυο ακροβάτες.
Κι ακόμα βάζει το περίτρανο του Ωκεανού ποτάμι
στου σκουταριού του στέριου ολόγυρα το πιο ακρινό στεφάνι.
Και το σκουτάρι αφού μαστόρεψε το δυνατό, το μέγα,

του μαστορεύει και το θώρακα, πιο λαμπερό από φλόγα'
του μαστορεύει στα μελίγγια του που να ταιριάζει κράνος,
πανώριο, πλουμιστό, με απάνω του μαλαματένια φούντα'
κι από καλάι φτενό μαστόρεψε στερνά γι᾽ αυτόν κνημίδες.
Κι ο ξακουσμένος κουτσοπόδαρος σαν τέλεψε τεχνίτης,
τ᾽ άρματα επήρε καί τ᾽ απίθωσε μπρος στου Αχιλλέα τη μάνα.
Κι ως γερακίνα αυτή απ᾽ τον Όλυμπο πηδάει το χιονισμένο,
τ᾽ αστραφτερά απ᾽ τον Ήφαιστο άρματα στα χέρια της κρατώντας.

-Τ- Ἠὼς μὲν κροκόπεπλος ἀπ᾽ Ὠκεανοῖο ῥοάων
ὄρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
ἡ δ᾽ ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱὸν

κλαίοντα λιγέως· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
μύρονθ᾽· ἡ δ᾽ ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τέκνον ἐμὸν τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·

τύνη δ᾽ Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο
καλὰ μάλ᾽, οἷ᾽ οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν.
ὡς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε᾽ ἔθηκε
πρόσθεν Ἀχιλλῆος· τὰ δ᾽ ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ᾽ ἄρα πάντας ἔλε τρόμος, οὐδέ τις
ἔτλη

ἄντην εἰσιδέειν, ἀλλ᾽ ἔτρεσαν. αὐτὰρ Ἀχιλλεὺς
ὡς εἶδ᾽, ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν·
τέρπετο δ᾽ ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο δαίδαλα λεύσσων

αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
μῆτερ ἐμὴ τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ᾽ ἐπιεικὲς
ἔργ᾽ ἔμεν ἀθανάτων, μὴ δὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ᾽ αἰνῶς
δείδω μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν

μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν,
ἐκ δ᾽ αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπήῃ.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
τέκνον μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.

τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα
μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν·
ἢν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
αἰεὶ τῷ γ᾽ ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
ἀλλὰ σύ γ᾽ εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς

μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν
αἶψα μάλ᾽ ἐς πόλεμον θωρήσσεο, δύσεο δ᾽ ἀλκήν.
ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκε,
Πατρόκλῳ δ᾽ αὖτ᾽ ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.

Η Αυγή η κροκοψιαντούσα επρόβαινε μεσ᾽ απ᾽ το μέγα ρέμα
του Ωκεανού, το φως σε αθάνατους και σε θνητούς να φέρει·
κι έφτανε εκείνη στα πλεούμενα με του θεού τα δώρα.
Κι ήβρε πεσμένο απά στον Πάτροκλο τον ακριβό το γιο της
να κλαίει πικρά, και πλήθος σύντροφοι τρογύρα μαζεμένοι
θρηνούσαν κι η Θεά η τρισεύγενη πήγε, κοντά του έστάθη,
το χέρι του 'σφίξε, τον έκραξε κι αυτά του λέει τα λόγια:
« Παιδί μου, αυτόν ας τον αφήσουμε, κι ας καίγεται η καρδιά μας,
να κοίτεται, έτσι αφού το θέλησαν οι αθάνατοι να πέσει.

Μον᾽ έλα εσύ και δέξου τ᾽ άρματα τα ξακουστά του Ηφαίστου·
τόσο όμορφα κανείς δε φόρεσε θνητός ποτέ στους ώμους.»
Αυτά είπεν η θεά, και τ᾽ άρματα μπρος στου Αχιλλέα τα πόδια
πιθώνει χάμω, κι αντιβρόντηξεν η πλουμισμένη αρμάτα'
κι οι Μυρμιδόνες όλοι ετρόμαξαν, δε βάστηξε κανένας
να ρίξει τη ματιά του απάνω της, μον᾽ άρχισαν να τρέμουν.
Μόνο ο Αχιλλέας, ως τα 'δε, εχόλιασε περίσσια ακόμα, κι άγρια
κάτω απ᾽ τα βλέφαρα τα μάτια του ξαστράφταν, σαν τη φλόγα,
και του θεού τα δώρα εχαίρουνταν να τα κρατά στα χέρια.
Κι όταν πια χόρτασε κοιτάζοντας την πλουμισμένη αρμάτα,

ευτύς στη μάνα του ανεμάρπαστα γυρνώντας είπε λόγια:
« Μάνα, ο θεός αλήθεια τ᾽ άρματα μου τα 'χει δώσει, τέτοια
καθώς ταιριάζει ένας αθάνατος, κι όχι θνητός να φτιάξει.
Με αυτά θ᾽ αρματωθώ, μα σκιάζομαι περίσσια εγώ μη λάχει
ωστόσο οι μύγες και στον άτρομο γιο του Μενοίτιου μέσα
χωθούν, απ᾽ τις πληγές του μπαίνοντας τις χαλκοχτυπημένες,
σκουλήκια εντός γεννοσποριάζοντας, και του νεκρού χαλάσουν
την όψη—τι η ζωή του ετέλεψε—κι όλη σαπίσει η σάρκα.»
Καί τότε η Θέτη, η χιοναστράγαλη θεά, του απηλογήθη:
« Γιε μου, καθόλου να μη γνοιάζεσαι για τούτα στην καρδιά σου·

το παίρνω απάνω μου, τ᾽ ανήμερα κοπάδια να του διώξω,
τις μύγες, τους νεκρούς στον πόλεμο που τρώνε. Κάτεχε το,
άθαφτος κι ένα χρόνο αλάκερο να κοίτεται εδώ πέρα,
θα μείνει η σάρκα του ακατάλυτη, και πιο δροσάτη ακόμα.
Μον᾽ κράξε τώρα εσύ σε σύναξη τους αντρειανούς Αργίτες,
τον που 'χες πριν στον Αγαμέμνονα θυμό απαρνήσου ομπρός τους,
και την αντρεία ζωσμένος γρήγορα για πόλεμο αρματώσου.»
Είπε, και γέμισε τα στήθη του με ατρόμητο κουράγιο'
μετά κρασί φλογάτο, αθάνατο, και μόσκο στα ρουθούνια
του Πάτροκλου σταλάζει, απείραχτο να μείνει το κορμί του.

αὐτὰρ ὃ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς
σμερδαλέα ἰάχων, ὧρσεν δ᾽ ἥρωας Ἀχαιούς.
καί ῥ᾽ οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν σίτοιο δοτῆρες,

καὶ μὴν οἵ τότε γ᾽ εἰς ἀγορὴν ἴσαν, οὕνεκ᾽ Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ᾽ ἀλεγεινῆς.
τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε
Τυδεΐδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεὺς
ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·

κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
αὐτὰρ ὃ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,

τοῖσι δ᾽ ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρεΐδη ἦ ἄρ τι τόδ᾽ ἀμφοτέροισιν ἄρειον
ἔπλετο σοὶ καὶ ἐμοί, ὅ τε νῶΐ περ ἀχνυμένω κῆρ
θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης;
τὴν ὄφελ᾽ ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ

ἤματι τῷ ὅτ᾽ ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τώ κ᾽ οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσὶν ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι οἴω.

ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ᾽ ἄγε θᾶσσον
ὄτρυνον πόλεμον δὲ κάρη κομόωντας Ἀχαιούς,

ὄφρ᾽ ἔτι καὶ Τρώων πειρήσομαι ἀντίον ἐλθὼν
αἴ κ᾽ ἐθέλωσ᾽ ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν᾽ οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
δηΐου ἐκ πολέμοιο ὑπ᾽ ἔγχεος ἡμετέροιο.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ

μῆνιν ἀπειπόντος μεγαθύμου Πηλεΐωνος.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
αὐτόθεν ἐξ ἕδρης, οὐδ᾽ ἐν μέσσοισιν ἀναστάς·
ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
ἑσταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν

ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένῳ περ ἐόντι.
ἀνδρῶν δ᾽ ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι
ἢ εἴποι; βλάβεται δὲ λιγὺς περ ἐὼν ἀγορητής.
Πηλεΐδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
σύνθεσθ᾽ Ἀργεῖοι, μῦθόν τ᾽ εὖ γνῶτε ἕκαστος.

Τότε ο Αχιλλέας ο αρχοντογέννητος εβγήκε στο ακρογιάλι
σκούζοντας άγρια, και ξεσήκωσε τους αντρειανούς Αργίτες.
Κι όλοι που απόμεναν πρωτύτερα στο αρμενοστάσι μέσα,
κι οι τιμονιέροι που εκρατούσανε των καραβιών το 'διάκι,
κι οι τροφοδότες μέσα στ᾽ άρμενα που το ψωμί εμοιράζαν,
όλοι μαζί κινούν στη σύναξη, τι είχε ο Αχιλλέας προβάλει,
κι ήταν καιρό πολύ απ᾽ τον πόλεμο τον άγριο τραβηγμένος.
Μαζί ο Οδυσσέας ο αρχοντογέννητος κι ο ατρόμητος Διομήδης,
τρανοί πολέμαρχοι, κουτσαίνοντας πήγαιναν, κι ακουμπούσαν
πα σε ραβδιά, τι πόνους ένιωθαν ακόμα στις πληγές τους.

Κι ως φτάσαν, κάθισαν στη σύναξη μπροστά, στην πρώτη αράδα.
Στερνός επρόβαλε ο Αγαμέμνονας ο ρήγας, λαβωμένος
μαθές και τούτος· μες στον πόλεμο τον άγριο του Αντηνόρου
ο γιος ο Κόωνας, με το χάλκινο τον είχε βρει κοντάρι.
Κι ευτύς, ως όλοι πια εμαζώχτηκαν οι Δαναοί, εσηκώθη
αναμεσό τους ο φτερόποδος και μίλησε Αχιλλέας:
« Λες ήταν, γιε του Ατρέα, το που 'γινε το πιο καλό στους δυο μας,
σένα και μένα, σύντας πέσαμε σε καρδιοφάουσα αμάχη,
θυμό γεμάτοι, και μαλώσαμε για την κοπέλα εκείνη;
"Αχ, να 'ταν να την είχεν η Άρτεμη δοξέψει στα καράβια

τη μέρα εκείνη που την έπαιρνα, τη Λυρνησσά πατώντας!
Τόσοι Αχαιοί τη γη την άμετρη δε θα δάγκωναν έτσι
κάτω απ᾽ τα χέρια των αντίμαχων, όσο ο θυμός μου εκράτει.
Ο Έχτορας άλλο που δεν ήθελε, κι οι Τρώες! Ωστόσο χρόνια
οι Αργίτες το δικό μας μάλωμα θαρρώ θα το θυμούνται.
Μα ό,τι έγινε έγινε, ας τ᾽ αφήσουμε, κι ας μας βαραίνει ο πόνος,
κι εντός μας την καρδιά ας δαμάσουμε, σφιγμένοι απ᾽ την ανάγκη.
Τώρα απαρνιέμαι εγώ τη μάνητα, μηδέ και μου ταιριάζει
θυμό να θρέφω ακαταλάγιαστο. Μα εσύ στη μάχη σπρώξε
τους Αχαιούς τους μακρομάλληδες, δίχως καιρό να χάνεις·

κι εγώ στους Τρώες θ᾽ ανοίξω πόλεμο, να ιδώ αν το θένε ακόμα
τις νύχτες δίπλα στα καράβια μας να τις περνούν ωστόσο
στη γη θα γείρει λέω χαρούμενος- να ξαποστάσει εκείνος
που θα γλιτώσει απ᾽ το κοντάρι μου στην άγρια μέσα μάχη.»
Αυτά είπε, κι οι Αχαιοί το χάρηκαν οι καλαρματωμένοι,
που αφήκε το θυμό του ο αντρόκαρδος γιος του Πηλέα᾽ και τότε
ο πρωταφέντης Αγαμέμνονας μιλούσε καθισμένος,
χωρίς να σηκωθεί απ᾽ τη θέση του και να σταθεί στη μέση:
«Αργίτες αντρειωμένοι, φίλοι μου, πιστοί σύντροφοι του Άρη,
σωστό ν᾽ ακούτε αυτόν που ασκώνεται, να μην τον σταματάτε

στη μέση μπαίνοντας· αλλιώτικα κι ο πιο καλός σαστίζει.
Όταν πολλοί φωνές ασκώνετε, κανένας πώς ν᾽ ακούσει;
πώς ν᾽ ακουστεί; η φωνή του χάνεται, και δυνατά ας φωνάζει.
Τώρα θα πω κι εγώ τη γνώμη μου στον Αχιλλέα, κι ωστόσο
οι Αργίτες οι άλλοι εσείς ακούστε με, τα λόγια μου προσέχτε:

πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον
καί τέ με νεικείεσκον· ἐγὼ δ᾽ οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς,
οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
ἤματι τῷ ὅτ᾽ Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.

ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη· τῇ μέν θ᾽ ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ᾽ οὔδει
πίλναται, ἀλλ᾽ ἄρα ἥ γε κατ᾽ ἀνδρῶν κράατα βαίνει
βλάπτουσ᾽ ἀνθρώπους· κατὰ δ᾽ οὖν ἕτερόν γε
πέδησε.

καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ᾽ ἔμμεναι· ἀλλ᾽ ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃς ἀπάτησεν,
ἤματι τῷ ὅτ᾽ ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.

ἤτοι ὅ γ᾽ εὐχόμενος μετέφη πάντεσσι θεοῖσι·
κέκλυτέ μευ πάντές τε θεοὶ πᾶσαί τε θέαιναι,
ὅφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φόως δὲ μογοστόκος Εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,

τῶν ἀνδρῶν γενεῆς οἵ θ᾽ αἵματος ἐξ ἐμεῦ εἰσί.
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
ψευστήσεις, οὐδ᾽ αὖτε τέλος μύθῳ ἐπιθήσεις.
εἰ δ᾽ ἄγε νῦν μοι ὄμοσσον Ὀλύμπιε καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν

ὅς κεν ἐπ᾽ ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
τῶν ἀνδρῶν οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
ὣς ἔφατο· Ζεὺς δ᾽ οὔ τι δολοφροσύνην ἐνόησεν,
ἀλλ᾽ ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ᾽ ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,

καρπαλίμως δ᾽ ἵκετ᾽ Ἄργος Ἀχαιικόν, ἔνθ᾽ ἄρα ᾔδη
ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο.
ἣ δ᾽ ἐκύει φίλον υἱόν, ὃ δ᾽ ἕβδομος ἑστήκει μείς·
ἐκ δ᾽ ἄγαγε πρὸ φόως δὲ καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ᾽ ἀπέπαυσε τόκον, σχέθε δ᾽ Εἰλειθυίας.

αὐτὴ δ᾽ ἀγγελέουσα Δία Κρονίωνα προσηύδα·
Ζεῦ πάτερ ἀργικέραυνε ἔπος τί τοι ἐν φρεσὶ θήσω·
ἤδη ἀνὴρ γέγον᾽ ἐσθλὸς ὃς Ἀργείοισιν ἀνάξει
Εὐρυσθεὺς Σθενέλοιο πάϊς Περσηϊάδαο
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.

Οι Δαναοί μαζί μου τα 'βαζαν συχνά, και μου πετούσαν
το λόγο αυτό᾽ μα εγώ δεν έφταιξα στ᾽ αλήθεια· ο Δίας κι η Μοίρα
μονάχα κι η Ερινύα μας έμπλεξαν η νυχτοπαρωρίτρα'
τι αυτοί 'ναι που βαριά στη σύναξη μου θόλωσαν τα φρένα,
ατός μου του Αχιλλέα σαν άρπαξα το αρχοντομοίρι᾽ ωστόσο

τι να 'κανα; θεού το θέλημα που κυβερνάει τα πάντα!
Του Δία παιδί είναι η Τύφλα, αγέραστο, και κάθε νου τυφλώνει,
ανάθεμα τη᾽ κι έχει ανάλαφρα ποδάρια, τι στο χώμα
δεν τα πατάει, μον᾽ στα κεφάλια μας απάνω οδεύει πάντα,
και τους ανθρώπους βλάφτει μπλέκοντας από τους δυο τον έναν
τι και το Δία τον ίδιο κάποτε, που λεν πως στέκει απάνω
κι από θεούς κι ανθρώπους, τύφλωσεν᾽ η Ήρα μαθές και τούτον
τον εξεγέλασε πλανεύοντας, ας ήταν και γυναίκα.
Ηταν τη μέρα που τον άτρομο τον Ηρακλή μελλόταν
η Αλκμήνη στην αψηλοπύργωτη τη Θήβα να γεννήσει·

κι εκείνος ατών θεών τη σύναξη μιλούσε με καμάρι:
,,Όσοι θεοί που ζουν στον Όλυμπο κι όσες θεές, γρικήστε,
σαν τι η καρδιά στα στήθη μέσα μου με σπρώχνει να μιλήσω:
Κάποιον τρανό η Λεχούσα σήμερα θα βγάλει η πονοδότρα
στο φως, που σε όλους τους γειτόνους του θα βασιλέψει γύρα,
κι αυτός απ᾽ τη γενιά που απ᾽ το αίμα μου στη γη γονοκρατιέται."
Κι η Ήρα η σεβάσμια του αποκρίθηκε με πονηριά μεγάλη:
,,Να μας γελάσεις θες᾽ τα λόγια σου δε θα τα κάμεις πράξη!
Μον᾽ έλα τώρα κι όρκον άμωσε τρανό, του Ολύμπου ρήγα,
πως σε όλους γύρα τους γειτόνους του θα βασιλέψει εκείνος

που την ήμερα αυτή απ᾽ της μάνας του τα πόδια ομπρός θα πέσει,
απ᾽ τους θνητούς που από το γαίμα σου μαθές γονοκρατιούνται."
Έτσι είπε αυτή, κι ο Δίας το δόλο της δεν τον ψυχανεμίστη,
κι όρκο τρανόν αμώνει, που άσκημα μελλόταν να πλερώσει·
τι η Ήρα γοργά χιμάει, τ᾽ ακρόκορφα του Ολύμπου παρατώντας,
καο στο Άργος φτάνει ευτύς᾽ τι κάτεχε κει πέρα του Περσέα
ο γιος ο Σθένελος πως όριζε, κι είχε τρανή γυναίκα,
που 'τρεφε τότε μες στα σπλάχνα της εφτά μηνών αγόρι,
Κι όξω στο φως ευτύς της το 'βγαλε, κι ας του 'λειπαν δυο μήνες,
μα της Αλκμήνης εσταμάτησε τους πόνους και τη γέννα.

Ατή της έφερε το μήνυμα στο Δία, το γιο του Κρόνου:
,,Κάποιο μου λόγο, αστραποκέραυνε πατέρα Δία, θ᾽ ακούσεις·
γεννήθηκε ο τρανός που μέλλεται να ορίζει στους Αργίτες,
κι είναι ο Ευρυσθέας, ο γιος του Σθένελου και του Περσέα τ᾽ αγγόνι,
γενιά δικιά σου, και ταιριάζει του να ρηγαδέψει στο Άργος."

ὣς φάτο, τὸν δ᾽ ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν·
αὐτίκα δ᾽ εἶλ᾽ Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον
μή ποτ᾽ ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.

ὣς εἰπὼν ἔρριψεν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας· τάχα δ᾽ ἵκετο ἔργ᾽ ἀνθρώπων.
τὴν αἰεὶ στενάχεσχ᾽ ὅθ᾽ ἑὸν φίλον υἱὸν ὀρῷτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ᾽ Εὐρυσθῆος ἀέθλων.
ὣς καὶ ἐγών, ὅτε δ᾽ αὖτε μέγας κορυθαίολος Ἕκτωρ

Ἀργείους ὀλέκεσκεν ἐπὶ πρυμνῇσι νέεσσιν,
οὐ δυνάμην λελαθέσθ᾽ Ἄτης ᾗ πρῶτον ἀάσθην.
ἀλλ᾽ ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεύς,
ἄψ ἐθέλω ἀρέσαι, δόμεναί τ᾽ ἀπερείσι᾽ ἄποινα·
ἀλλ᾽ ὄρσευ πόλεμον δὲ καὶ ἄλλους ὄρνυθι λαούς.

δῶρα δ᾽ ἐγὼν ὅδε πάντα παρασχέμεν ὅσσά τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ᾽ ἐθέλεις, ἐπίμεινον ἐπειγόμενός περ Ἄρηος,
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
οἴσουσ᾽, ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω.

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
δῶρα μὲν αἵ κ᾽ ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικές,
ἤ τ᾽ ἐχέμεν παρὰ σοί· νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ᾽· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ᾽ ἐόντας

οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
ὥς κέ τις αὖτ᾽ Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

μὴ δ᾽ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ᾽ Ἀχιλλεῦ
νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτ᾽ ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν.

ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ περ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,

Είπε, κι αυτόν πικρός τον χτύπησε βαθιά στα φρένα πόνος,
κι ευτύς χιμάει κι απ᾽ τα ωριοπλέξουδα μαλλιά την Τύφλα αρπάζει,
βαρύ θυμό στα φρένα νιώθοντας, κι όρκο τρανόν αμώνει,
να μη γυρίσει πα στον Όλυμπο και στ᾽ αστεράτα ουράνια
ποτέ πια η Τύφλα, που τυφλώνει μας, θεούς κι ανθρώπους, όλους.

Αυτά είπε, και στριφογυρνώντας την απ᾽ τ᾽ αστεράτα ουράνια·
τη ρίχνει, κι έτσι εκείνη έβρέθηκε γοργά στη γης απάνω·
κι όλο μαζί της βαρυγκόμιζε θωρώντας τα τυράννια
που ο γιος του στού Ευρυσθέα τη δούλεψη τραβούσεν άπρεπά του.
Όμοια και μένα, τότε που άπαυτα στων καραβιών τις πρύμνες
ο μέγας κρανοσείστης Έχτορας χαλνούσε τους Αργίτες,
η Τύφλα πάντα με δυνάστευε, που πρωτοτύφλωσέ με.
Μ᾽ αφού τυφλώθηκα και με 'κανε το νου μου ο Δίας να χάσω,
να τα βολέψω θέλω, δίνοντας καί ξαγορά μεγάλη.
Μα βγές στη μάχη τώρα, κι άσκωσε μαζί και το άλλο ασκέρι,

κι εγώ είμαι έδώ᾽ τα δώρα που 'ταξε σαν ήρθε στο καλύβι
χτες ο Οδυσσέας ο αρχοντογέννητος, θα τα 'χεις δίχως άλλο.
Μ᾽ αν πάλε αλλιώς το θες, απάντεχε, κι ας λαχταράς απάλε᾽
τα δώρα ευτύς απ᾽ το καράβι μου θα φέρουν οι συντρόφοι,
να ιδείς τι σου χαρίζω, μέσα σου για να φραθείς περίσσια.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,
τα δώρα αν θέλεις τώρα δωσ᾽ τα μου, καθώς ταιριάζει κιόλα,
για κράτα τα και συ᾽ στο χέρι σου! Μα τώρα ομπρός, στη μάχη
το γρηγορότερο! Την ώρα μας μη χάνουμε εδώ πέρα

χασομερώντας· τι η πιο δύσκολη δουλειά μπροστά μας στέκει.
Τώρα ξανά μες στους μπροστόμαχους τον Αχιλλέα θα δείτε
των Τρωών τους λόχους με το χάλκινο κοντάρι ν᾽ αφανίζει.
Όμοια και σεις, το νου στον πόλεμο, και τον οχτρό χτυπάτε!»
Τότε ο Οδυσσέας ο πολυκάτεχος του απηλογήθη κι είπε:
«Παλικαριά, Αχιλλέα θεόμορφε, τρανή κι αν έχεις, όχι,
μη σπρώχνεις τους Αργίτες άφαγους στο κάστρο να χυθούνε,
και με τους Τρώες ν᾽ ανοίξουν πόλεμο᾽ τι η μάχη θα βαστάξει
πολύ, από τη στιγμή που σμίγοντας θα χτυπηθούν τ᾽ ασκέρια
και την καρδιά ο θεός με δύναμη και των δυονώ γεμίσει.

Μον᾽ τους Αργίτες τώρα πρόσταξε μπρος στα γοργά καράβια
να φαν, να πιουν αντρεία κι ανάκαρα δε δίνει τίποτα άλλο᾽
τι άπ᾽ την αυγή ως τα βασιλέματα δε δύνεται κανένας
στήθος με στήθος ν᾽ αγωνίζεται χωρίς να φάει καθόλου'
τι ακόμα κι αν λυσσούν τα φρένα του για πόλεμο, όμως νιώθει

ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψά τε καὶ λιμός, βλάβεται δέ τε γούνατ᾽ ἰόντι.
ὃς δέ κ᾽ ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα

πρὶν κάμνει πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ᾽ ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω ἐς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοὶ
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.

ὀμνυέτω δέ τοι ὅρκον ἐν Ἀργείοισιν ἀναστὰς
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι·
ἣ θέμις ἐστὶν ἄναξ ἥ τ᾽ ἀνδρῶν ἥ τε γυναικῶν·
καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω

πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
Ἀτρεΐδη σὺ δ᾽ ἔπειτα δικαιότερος καὶ ἐπ᾽ ἄλλῳ
ἔσσεαι. οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
ἄνδρ᾽ ἀπαρέσσασθαι ὅτε τις πρότερος χαλεπήνῃ.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·

χαίρω σεῦ Λαερτιάδη τὸν μῦθον ἀκούσας·
ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ᾽ ἐγὼν ἐθέλω ὁμόσαι, κέλεται δέ με θυμός,
οὐδ᾽ ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
μιμνέτω αὐτόθι τεῖος ἐπειγόμενός περ Ἄρηος·

μίμνετε δ᾽ ἄλλοι πάντες ἀολλέες, ὄφρά κε δῶρα
ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ᾽ αὐτῷ τόδ᾽ ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ᾽ Ἀχιλῆϊ

χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω ταμέειν Διί τ᾽ Ἠελίῳ τε.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον

ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ᾖσιν ἐνὶ στήθεσσιν ἐμοῖσι.
νῦν δ᾽ οἳ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,

όλο και πιο βαρύ το σώμα του, και τον δαμάζει η δίψα
μαζί κι η πείνα, και του λύνουνται τα γόνατα, ως οδεύει.
Μα ο που ψωμί χορτάσει τρώγοντας και πιει κρασί, και πιάσει
ολημερίς μετά τον πόλεμο με των οχτρών τ᾽ ασκέρια,
νιώθει αντριγιά τρανή στα στήθια του κι ακούραστα τα πόδια,

ως να 'ρθει η ώρα που απ᾽ τον πόλεμο θα γύρουν όλοι πίσω.
Πες τώρα να σκολάσει η σύναξη, να συνταχτεί το γιόμα,
κι ο πρωταφέντης Αγαμέμνονας τα δώρα ας φέρει ομπρός μας,
ως είμαστε όλοι εδώ στη μάζωξη, καλά για να τα ιδούνε
οι Δαναοί, και συ στα φρένα σου χαρά βαθιά να νιώσεις.
Κι ακόμα ορθός, αντίκρα σε όλους μας, ας ορκιστεί, ποτέ του
πως δεν ανέβηκε στην κλίνη της, δεν έσμιξε μαζί της,
καθώς το συνηθίζουμε όλοι μας, γυναίκες κι άντρες, ρήγα'
κι έτσι και συ πια τώρα γλύκανε την πίκρα στην καρδιά σου.
Μετά ας σου κάνει στο καλύβι του, να σε καλοκαρδίσει,

πλούσιο τραπέζι, όσα σου πρέπουνε μαθές, να τα 'χεις όλα.
Τώρα πια, γιε του Ατρέα, θα φέρνεσαι πιο δίκια στον καθένα.
Χαρά στο βασιλιά, που αν τα 'βαλε με κάποιον πρώτος, όμως
να φιλιωθεί μαζί του αργότερα γυρεύει μοναχός του!»
Κι ο πρωταφέντης Αγαμέμνονας του απηλογήθη τότε:
« Γιε του Λαέρτη, αλήθεια χαίρουμαι μ᾽ αυτά τα λόγια που 'πες'
τι όλα όπως ταίριαζε τα ιστόρησες και τα 'βαλες σε τάξη.
Τον όρκο παίρνω που μου γύρεψες, με σπρώχνει κι η καρδιά μου'
μπρος στους θεούς εγώ όρκο ψεύτικο δεν παίρνω᾽ όμως ας μείνει
λίγο ο Αχιλλέας εδώ, κι ας βιάζεται να βγει να πολεμήσει.

Όλοι μαζί και σεις για μείνετε, τα δώρα ως που να φτάσουν
απ᾽ το καλύβι μου και κάνουμε πιστούς αγάπης όρκους.
Το θέλημα μου και τη διάτα μου για άκου, Οδυσσέα, και κάμε:
Τους πιο αντρειανούς λεβέντες διάλεξε μες στους Αργίτες όλους,
τα δώρα απ᾽ το δικό μου τ᾽ άρμενο γοργά να κουβαλήσουν,
εψές στον Αχιλλέα που τάξαμε, μαζί και τις γυναίκες.
Μα κι ο Ταλθύβιος στα πλατύχωρα των Αχαιών λημέρια
κάπρο ας μου βρεί γοργά, να σφάξουμε στον Ήλιο και στο Δία.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
«Υγιέ του Ατρέα, τρανέ Αγαμέμνονα, ρηγάρχη τιμημένε,

μια άλλη φορά μπορείτε, αργότερα, για τούτα να γνοιαστείτε,
σαν τύχει αναπαή στον πόλεμο να κάνουμε μιαν ώρα
και δε θα βράζει τόσο η μάνητα μες στα δικά μου στήθια.
Μα τώρα που οι δικοί μας κοίτουνται στο χώμα, σπαραγμένοι
από τον Έκτορα, σαν του 'δωκεν ο Δίας τη νίκη—τώρα

ὑμεῖς δ᾽ ἐς βρωτὺν ὀτρύνετον· ἦ τ᾽ ἂν ἔγωγε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ᾽ ἠελίῳ καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τεισαίμεθα λώβην.
πρὶν δ᾽ οὔ πως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη

οὐ πόσις οὐδὲ βρῶσις ἑταίρου τεθνηῶτος
ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ
κεῖται ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ᾽ ἑταῖροι
μύρονται· τό μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος
ἀνδρῶν.

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις
Ὀδυσσεύς·
ὦ Ἀχιλεῦ Πηλῆος υἱὲ μέγα φέρτατ᾽ Ἀχαιῶν,
κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.

τώ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
ἄμητος δ᾽ ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

γαστέρι δ᾽ οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς·
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἥματα πάντα
πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι
νηλέα θυμὸν ἔχοντας ἐπ᾽ ἤματι δακρύσαντας·

ὅσσοι δ᾽ ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ᾽ ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ
ἐσσάμενοι χροΐ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω·

ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται ὅς κε λίπηται
νηυσὶν ἐπ᾽ Ἀργείων· ἀλλ᾽ ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.
ἦ καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε

καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον·
βὰν δ᾽ ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο.
αὐτίκ᾽ ἔπειθ᾽ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὓς οἱ ὑπέστη,
αἴθωνας δὲ λέβητας ἑείκοσι, δώδεκα δ᾽ ἵππους·

να στρώσουμε τραπέζι θέλετε; Καλύτερο θαρρώ 'ναι
να βγουν αφάγωτοι, αγιομάτιστοι να χτυπηθούν οι Αργίτες
τούτη την ώρα ευτύς· κι αργότεερα, στου ήλιου το γέρμα, δείπνο
πλούσιο ας γνοιαστούμε πια, σα θα 'χουμε ξοφλήσει τη ντροπή μας.
Όμως πιο πριν κρασί δε δύνεται κι ουδέ φαγί ο λαιμός μου

να κατεβάσει᾽ μένα ο σύντροφος σκοτώθη! Σπαραγμένος
με κοφτερό χαλκό μου κοίτεται μες στο καλύβι τώρα,
κατά την ξώπορτα κοιτάζοντας, και γύρα του οι σύντροφοι
θρηνούν. Γι᾽ αυτά λοιπόν δε γνοιάζομαι, που λέτε εσείς, καθόλου'
αίμα ζητώ, σφαγή και γόσματα φριχτά των πολεμάρχων!»
Τότε ο Οδυσσέας ο πολυκάτεχος του απηλογήθη κι είπε:
«Γιε του Πηλέα, που ο πιο λιοντόκαρδος στους Αχαιούς λογιέσαι,
έχεις αντρεία από μένα πιότερη, περνάς με στο κοντάρι
πολύ, μα λέω κι εγώ στη φρόνεψη πως σε νικώ περίσσια·
τι είμαι από σένα γεροντότερος και πιο πολλά κατέχω.

Υπομονή λοιπόν στα λόγια μου τώρα η καρδιά σου ας κάνει.
Γοργά μπουχτίζεις απ᾽ τον πόλεμο, που πλήθια απά στο χώμα
σκορπίζει γύρα το δρεπάνι του τα θερισμένα αστάχυα'
κι είναι η σοδειά σου κακορίζικη, τη ζυγαριά σαν κλίνει
ο Δίας, που κυβερνάει τον πόλεμο στης γης το ανθρωπολόγι.
Οι Αργίτες το νεκρό δε γίνεται με την κοιλιά να κλάψουν,
τι πλήθιοι απανωτοί σωριάζουνται στο χώμα κάθε μέρα'
πότε λοιπόν από τον κάματο κανείς να ξανασάνει:
Ωστόσο εμείς όποιον σκοτώνεται να θάβουμε ταιριάζει
με ανέσπλαχνη καρδιά, θρηνώντας τον τη μέρα εκείνη μόνο.

Κι όσοι γλιτώνουν απ᾽ τον πόλεμο τον άγριο, ας μην ξεχνούνε
να τρων, να πίνουν, να 'χουν δύναμη, με πιο μεγάλο πείσμα
δίχως ξανάσα τους αντίμαχους να πολεμούμε πάντα,
χαλκό φορώντας ακατάλυτο. Μα τώρα ομπρός, κανένας
να μη χασομερά, προσμένοντας να πάρει κι άλλη διάτα'
τι όποιος προσμένει κι άλλη διάτα μας βαριά θα το πλερώσει,
στα πλοία που θα βρεθεί τ᾽ Αργίτικα. Λοιπόν μαζί ας ριχτούμε
πάνω στους Τρώες τους αλογάρηδες, χτυπώντας τους με λύσσα.»
Είπε, και του αντρειωμένου Νέστορα τους γιους μαζί του παίρνει
και του Φυλέα το γιο το Μέγητα, το Θόα, το Λυκομήδη

το γιο του Κρέοντα, το Μελάνιππο και το Μηριόνη, κι όλοι
για το καλύβι του Αγαμέμνονα, του γιου του Ατρέα, τράβηξαν.
Κι ευτύς ο λόγος πράξη γίνηκε μονοστιγμίς, και πήραν
τα εφτά τριπόδια και τα δώδεκα φαριά που του 'χε τάξει,
μαζί και τ᾽ αντιδόβολα είκοσι λεβέτια απ᾽ το καλύβι'

ἐκ δ᾽ ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργα ἰδυίας
ἔπτ᾽, ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρῃον.
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα
ἦρχ᾽, ἅμα δ᾽ ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν, ἂν δ᾽ Ἀγαμέμνων

ἵστατο· Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρεΐδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
κάπρου ἀπὸ τρίχας ἀρξάμενος Διὶ χεῖρας ἀνασχὼν

εὔχετο· τοὶ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτόφιν εἵατο σιγῇ
Ἀργεῖοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
εὐξάμενος δ᾽ ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν ὕπατος καὶ ἄριστος
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ θ᾽ ὑπὸ γαῖαν

ἀνθρώπους τίνυνται, ὅτις κ᾽ ἐπίορκον ὀμόσσῃ,
μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ᾽ ἐπένεικα,
οὔτ᾽ εὐνῆς πρόφασιν κεχρημένος οὔτέ τευ ἄλλου.
ἀλλ᾽ ἔμεν᾽ ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
εἰ δέ τι τῶνδ᾽ ἐπίορκον ἐμοὶ θεοὶ ἄλγεα δοῖεν

πολλὰ μάλ᾽, ὅσσα διδοῦσιν ὅτίς σφ᾽ ἀλίτηται
ὀμόσσας.
ἦ καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ.
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
ῥῖψ᾽ ἐπιδινήσας βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς
ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·

Ζεῦ πάτερ ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα·
οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρεΐδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος· ἀλλά ποθι Ζεὺς
ἤθελ᾽ Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.

νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.
ὡς ἄρ᾽ ἐφώνησεν, λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
βὰν δ᾽ ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο.

καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας,
ἵππους δ᾽ εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηΐς δ᾽ ἄρ᾽ ἔπειτ᾽ ἰκέλη χρυσέῃ Ἀφροδίτῃ
ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
ἀμφ᾽ αὐτῷ χυμένη λίγ᾽ ἐκώκυε, χερσὶ δ᾽ ἄμυσσε

κι εφτά γυναίκες, που αψεγάδιαστες κάτεχαν τέχνες, βγάζουν,
και του Βρισέα τη ροδομάγουλη στερνά στερνά την κόρη.
Δέκα ο Οδυσσέας ζυγιάζει τάλαντα χρυσάφι, και διαγέρνει.
κι οι άλλοι αντρειωμένοι Αργίτες πίσω του τα δώρα εκουβαλούσαν.
Κι ως φτάσαν και στη μέση τά 'βαλαν της συντυχιας, ασκώθη

ο γιος του Ατρέα, και πλάι στο ρήγα του στεκόταν ο Ταλθύβιος,
που στη φωνή θεό σου θύμιζε, τον κάπρο ανακρατώντας.
Και τα μαχαίρι του ο Αγαμέμνονας πιάνει και σέρνει, πάντα
που δίπλα στου σπαθιού του εκρέμουνταν το μακρουλό θηκάρι᾽
κι έκανε αρχή απ᾽ του κάπρου κόβοντας τις τρίχες, και τα χέρια
μετά στο Δία σηκώνει᾽ αμίλητοι τρογύρα του εκαθόνταν
οι Αργίτες όλοι, όπως και ταίριαζε, το βασιλιά ν᾽ ακούσουν.
Κι ευκήθη τότε, τον απλόχωρο τον ουρανό θωρώντας:
« Μάρτυς μου ο Δίας, απ᾽ τούς αθανάτους ο πιο τρανός κι ο
κάλλιος·
τη Γη, τον Ήλιο κράζω μάρτυρες, τις Ερινύες ακόμα,

που τους νεκρούς γδικιούνται, αν κάποτε τον όρκο τους πάτησαν
στην κόρη του Βρισέα δεν άπλωσα ποτέ μου εγώ το χέρι,
μηδέ για να φραθώ την κλίνη της μηδέ για τίποτα άλλο,
μον᾽ άγγιαχτη μες στο καλύβι μου κρατήθη πάντα εκείνη.
Κι αν τίποτα απ᾽ αυτά τα ορκίστηκα ψεματινά, ας μου δώσουν
μύρια κακά οι θεοί, όσα δίνουνε μαθές στους ορκοπάτες.»
Είπε, και κόβει με το ανέσπλαχνο μαχαίρι το λαρύγγι
του κάπρου, κι ο Ταλθύβιος υστέρα μες στο αφρισμένο κύμα
στριφογυρνώντας τον επέταξε θροφή στα ψάρια. Ασκώθη
τότε ο Αχιλλέας στους πολεμόχαρους αντίκρυ Αργίτες κι είπε:

«Πατέρα Δία, δεν είναι ψέματα πως τους θνητούς τυφλώνεις
βαριά᾽ τι αλλιώτικα δε θ᾽ άναβεν ο γιος του Ατρέα ποτέ του
τόση μια μάνητα στα στήθια μου· την κόρη αθέλητα μου
με τόσο πείσμα δε θα μου 'παιρνε᾽ μα ο Δίας το δίχως άλλο
θα 'βαλε πόθο, Αργίτες άμετροι να κατεβούν στον Άδη.
Μα σύρτε τώρα, γιοματίσετε, να μπούμε πια στη μάχη.»
Έτσι τους μίλησε, και σκόλασε τη σύναξη με βιάση,
κι εκείνοι γρήγορα διασκόρπισαν καθένας στο άρμενο του.
Οι γαύροι Μυρμιδόνες γνοιάζουνταν ωστόσο για τα δώρα,
και στου Αχιλλέα του αρχοντογέννητου το πλοίο τα κουβαλούσαν

τ᾽ άλλα τα 'βαλαν στα καλύβια του, κάθισαν τις γυναίκες,
και τ᾽ άτια οι ξακουσμένοι σύντροφοι με το κοπάδι σμίγουν.
Κι η κόρη του Βρισέα, πανέμορφη σαν τη χρυσή Αφροδίτη,
με κοφτερό χαλκό τον Πάτροκλο σαν είδε σπαραγμένο,
πάνω του πέφτει ξεφωνίζοντας, και πήρε να ξεσκίζει

στήθεά τ᾽ ἠδ᾽ ἀπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
εἶπε δ᾽ ἄρα κλαίουσα γυνὴ ἐϊκυῖα θεῇσι·
Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι ὄρχαμε λαῶν
ἄψ ἀνιοῦσ᾽· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ,
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὁλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ᾽ ἔασκες, ὅτ᾽ ἄνδρ᾽ ἐμὸν ὠκὺς
Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ᾽ ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ᾽ ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
τώ σ᾽ ἄμοτον κλαίω τεθνηότα μείλιχον αἰεί.
ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες
Πάτροκλον πρόφασιν, σφῶν δ᾽ αὐτῶν κήδε᾽
ἑκάστη.
αὐτὸν δ᾽ ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὃ δ᾽ ἠρνεῖτο στεναχίζων·
λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ᾽ ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ᾽ ἄχος αἰνὸν ἱκάνει·
δύντα δ᾽ ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης.
ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
δοιὼ δ᾽ Ἀτρεΐδα μενέτην καὶ δῖος Ὀδυσσεὺς
Νέστωρ Ἰδομενεύς τε γέρων θ᾽ ἱππηλάτα Φοῖνιξ
τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ᾽ ἀδινῶς ἀνενείκατο φώνησέν τε·
ἦ ῥά νύ μοί ποτε καὶ σὺ δυσάμμορε φίλταθ᾽ ἑταίρων
αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ᾽ Ἀχαιοὶ
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος ἔνδον ἐόντων
σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ᾽ εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτεϊ τοιοῦδ᾽ υἷος· ὃ δ᾽ ἀλλοδαπῷ ἐνὶ δήμῳ

τον απαλό λαιμό, τα στήθη της και τ᾽ ώριο πρόσωπο της.
Κι έλεεν αυτά η γυναίκα, που 'μοιαζε με τις θεές, θρηνώντας:
« Πάτροκλε, τόσο που η τρισάμοιρη περίσσια σ᾽ αγαπούσα!
Αχ, ζωντανό σε αφήκα φεύγοντας απ᾽ το καλύβι ετούτο,
και τώρα που γυρίζω, ρήγα μου, σε βρίσκω σκοτωμένο!

Αχ, πώς πλακώνει αλήθεια πάνω μου το 'να κακό πα στ᾽ άλλο!
Τον άντρα, που ο πατέρας μου 'δωκε κι η σεβαστή μου η μάνα,
μπροστά στο κάστρο που διαφέντευε τον είδα σπαραγμένο
με κοφτερό χαλκό᾽ τ᾽ αδέρφια μου τα τρία, τ᾽ αγαπημένα,
που μια κοιλιά μας γέννα, ετράβηξαν κι αυτά μαζί στον Άδη.
Μα κι έτσι εσύ να κλαίω δε μ᾽ άφηνες, του θεϊκού του Μύνη
απ᾽ το γοργό Αχιλλέα σαν πάρθηκε το κάστρο, και σκοτώθη
το ταίρι μου, μον᾽ έλεες πάντα σου, θα μ᾽ έκανες γυναίκα
του θεϊκού Αχιλλέα, θα μ᾽ έφερνες στη Φθία με τα καράβια,
και θα γιορτάζαμε το γάμο μας στους Μυρμιδόνες μέσα.

Γι᾽ αυτό κι ο θρήνος μου είναι αστέρευτος, που 'σουν γλυκός κι εχάθης!»
Αυτά θρηνώντας του 'λεε, κι έκλαιγαν μαζί της κι οι γυναίκες,
τάχα τον Πάτροκλο, μα πίσω του τα πάθη τα δικά τους.
Κι εκείνον τότες οι πρωτόγεροι με παρακάλια έζωσαν,
κάτι να φάει, μ᾽ αυτός δεν ήθελε, μον᾽ έλεγε θρηνώντας:
« Αν θέτε να μ᾽ ακούστε, σύντροφοι, τη χάρη κάνετε μου'
να φράνω με ψωμί τα σπλάχνα μου μη μου ζητάτε ακόμα,
μηδέ και με κρασί, τι αβάσταχτο νογώ τον πόνο εντός μου.
Θα καρτερώ το λιοβασίλεμα, και θα βαστάξω κι έτσι.»
Αυτά τους είπε, και προβόδησε τους άλλους βασιλιάδες'

μείναν οι γιοι του Ατρέα κι ο Φοίνικας, ο γέρο αλογολάτης,
εκεί, κι ο Ιδομενέας κι ο Νέστορας κι ο γαύρος Οδυσσέας,
για να ξεδώσει από τον πόνο του᾽ μ᾽ απτός στο ματωμένο
στόμα του πόλεμου αν δεν έμπαινε, που να ξεδώσει ο νους του!
Κι ως τον θυμήθηκε, αναστέναζε βαθιά του κι είπε τότε:
«Και συ μαθές πιο πριν, βαριόμοιρε, που απ᾽ όλους πιο αγαπούσα,
μες στο καλύβι ατός σου νόστιμο μου το 'στρωνες το γιόμα
με προθυμία κι ασπούδα, ως βιάζουνταν οι Αργίτες κάθε τόσο
στους Τρώες τους αλογάδες πόλεμο πολύδακρο ν᾽ ασκώσουν.
Και τώρα εσύ μπροστά μου κοίτεσαι νεκρός, κι εμέ η καρδιά μου

ψωμί, κρασί, σταλιά δε γεύεται, κι ας έχω μέσα απ᾽ όλα,
άπ᾽ τον καημό σου᾽ τι χειρότερο δε γίνεται να πάθω
άλλο κακό, κι ακόμα αν μου 'λεγαν πώς πέθανε ο γονιός μου'
που τώρα εκεί στη Φθία τα μάτια του ποτάμι λέω θα τρέχουν,
τέτοιος τρανός γυιός που του 'λειψε᾽ κι εγώ σε τόπους ξένους

εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
ἠὲ τὸν ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱός,
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
οἷον ἐμὲ φθίσεσθαι ἀπ᾽ Ἄργεος ἱπποβότοιο

αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίην δὲ νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ᾽ ὀΐομαι ἢ κατὰ πάμπαν

τεθνάμεν, ἢ που τυτθὸν ἔτι ζώοντ᾽ ἀκάχησθαι
γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ᾽ ἀποφθιμένοιο πύθηται.
ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες,
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον·

μυρομένους δ᾽ ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
αἶψα δ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ᾽ Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων

ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὃ δ᾽ ἄκμηνος καὶ ἄπαστος.
ἀλλ᾽ ἴθι οἱ νέκτάρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
στάξον ἐνὶ στήθεσσ᾽, ἵνα μή μιν λιμὸς ἵκηται.
ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·

ἡ δ᾽ ἄρπῃ ἐϊκυῖα τανυπτέρυγι λιγυφώνῳ
οὐρανοῦ ἐκκατεπᾶλτο δι᾽ αἰθέρος. αὐτὰρ Ἀχαιοὶ
αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ᾽ Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
στάξ᾽, ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ᾽ ἵκοιτο·

αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
ᾤχετο, τοὶ δ᾽ ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡς δ᾽ ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται
ψυχραὶ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι

νηῶν ἐκφορέοντο καὶ ἀσπίδες ὀμφαλόεσσαι
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ᾽ οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὄρνυτο ποσσὶν
ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.

για τη φριχτήν Ελένη κάθουμαι και με τους Τρώες χτυπιέμαι.
Και για το γιο μου ακόμα αν μάθαινα, που αντρώνεται στη Σκύρο,
αν ίσως και μου ζει ο Νεοπτόλεμος ο θεοδιωματάρης᾽
τι πάντα πριν στα στήθη μέσα μου λογάριαζα πως μόνος
εγώ από το Άργος το αλογόθροφο μακριά θα σκοτωνόμουν,

στην Τροίαν εδώ, και συ θα γύριζες πίσω στη Φθία, το γιο μου
από τη Σκύρο μες στο γρήγορο, το μαύρο σου καράβι
να πάρεις, να τον πας στο σπίτι του, να του τα δείξεις όλα,
το βιος μου, το τρανό αψηλόροφο παλάτι και τους δούλους·
τι πια ο Πηλέας έχει, απεικάζουμαι, πεθάνει μια για πάντα,
για, κι αν ζωή μια στάλα του 'μεινε, τα βάσανα τον τρώνε
κι απ᾽ τα έρμα γέρατα κι απ᾽ το άπαφτο το καρδιοχτύπι, πότε
το μαύρο θα του παν το μήνυμα, να μάθει το χαμό μου.»
Αυτά θρηνώντας έλεε, κι έκλαιγαν μαζί του κι οι γερόντοι,
καθείς τα όσα άφησε θυμάμενος μακριά, στο αρχοντικό του.

Κι ο γιος του Κρόνου, ως είδε που 'κλαιγαν, εψυχοπόνεσέ τους,
και λόγια μίλησε ανεμάρπαστα στην Αθηνά γυρνώντας:
«Πια ολότελα απαρνήθης, κόρη μου, τον άξιο ετούτον άντρα!
Τον Αχιλλέα μαθές δε γνοιάζεσαι καθόλου στην καρδιά σου.
Μπρος στα καράβια τα όρθοκέρατα πώς κάθεται για ιδές τον,
τον ακριβό του ακράνη κλαίγοντας· να φάνε πήγαν οι άλλοι,
και μόνο εκείνος αγιομάτιστος κι αφάγωτος κρατιέται.
Μον᾽ τρέχα, στάλαξε του αθάνατο κρασί στα στήθια μέσα
και θεϊκιά θροφή πανέμνοστη, να μην τον κόψει η πείνα.»
Αυτά είπε, κι η Αθηνά, που το 'θελε κι από τα πριν, πετάχτη,

κι ως φαρδιοφτέρουγος, στριγγόφωνος αγιούπας απ᾽ τα ουράνια
χιμίζει τον αιθέρα σκίζοντας, κι ως μες στο ασκέρι οι Αργίτες
γοργά αρματώνουνταν, αθάνατο κρασί η θεά σταλάζει
και θεϊκιά θροφή πανέμνοστη μες στου Αχιλλέα τα στήθη, ·
τα γόνατα μαθές η ανήμερη να μην του κόψει πείνα·
και στου τρανού μετά πατέρα της το στέριο το παλάτι
γυρνάει. Κι ωστόσο αυτοί απ᾽ τα γρήγορα ξεχύνουνταν καράβια.
Ο Δίας πυκνό πώς ρίχνει κάποτε το χιόνι στούπες στούπες,
απ᾽ του βοριά του αιθερογέννητου το φύσημα σπρωγμένο·
όμοια πυκνά και τότε αστράφτοντας μέσα στον ήλιο κράνη

απ᾽ τα καράβια ξεπετάγουνταν κι αφαλωτές ασπίδες
και στεριογουβωμένοι θώρακες και φράξινα κοντάρια.
Ψηλά στα ουράνια η λάμψη απλώθηκε, κι η γης ακέρια γύρα
απ᾽ του χαλκού το φέγγος γέλασε᾽ και των αντρών τα πόδια
βροντούσαν. Κι ο Αχιλλέας στη μέση τους φορούσε τ᾽ άρματά του.
Τα δόντια του γρικούσες που 'τριζαν, κι ίδια φωτιά που ανάβει

τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὅσσε
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ
δῦν᾽ ἄχος ἄτλητον· ὃ δ᾽ ἄρα Τρωσὶν μενεαίνων
δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε

καλὰς ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
εἵλετο, τοῦ δ᾽ ἀπάνευθε σέλας γένετ᾽ ἠΰτε μήνης.

ὡς δ᾽ ὅτ᾽ ἄν ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ
καιομένοιο πυρός, τό τε καίεται ὑψόθ᾽ ὄρεσφι
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ᾽ οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἐπ᾽ ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
ὣς ἀπ᾽ Ἀχιλλῆος σάκεος σέλας αἰθέρ᾽ ἵκανε

καλοῦ δαιδαλέου· περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἡ δ᾽ ἀστὴρ ὣς ἀπέλαμπεν
ἵππουρις τρυφάλεια, περισσείοντο δ᾽ ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
πειρήθη δ᾽ ἔο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,

εἰ οἱ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ᾽ εὖτε πτερὰ γίγνετ᾽, ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ᾽ ἄρα σύριγγος πατρώϊον ἐσπάσατ᾽ ἔγχος
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ᾽ ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεύς·

Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς φόνον ἔμμεναι ἡρώεσσιν·
ἵππους δ᾽ Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν᾽ ἔσαν, ἐν δὲ χαλινοὺς
γαμφηλῇς ἔβαλον, κατὰ δ᾽ ἡνία τεῖναν ὀπίσσω

κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ᾽ ἵπποιιν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεὺς
τεύχεσι παμφαίνων ὥς τ᾽ ἠλέκτωρ Ὑπερίων,
σμερδαλέον δ᾽ ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·

Ξάνθέ τε καὶ Βαλίε τηλεκλυτὰ τέκνα Ποδάργης
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον ἐπεί χ᾽ ἕωμεν πολέμοιο,
μηδ᾽ ὡς Πάτροκλον λίπετ᾽ αὐτόθι τεθνηῶτα.
τὸν δ᾽ ἄρ᾽ ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος

τα δυο του μάτια άστραφταν, κι έπνιγεν ο πόνος την καρδιά του
αβάσταχτος· κι αυτός, μανιάζοντας στους Τρώες να πέσει απάνω,
τα θεία φορούσε δώρα, του Ηφαίστου που του 'χε φτιάσει η τέχνη.
Και πρώτα γύρα απ᾽ τ᾽ αντικνήμια του περνά κνημίδες ώριες,

που με θηλύκια στους αστράγαλους σφίγγονταν ασημένια·
δεύτερα πέρασε το θώρακα τρογύρα από το στήθος'
μετά το ασημοκαρφοπλούμιστο σπαθί περνά στους ώμους,
το χάλκινο, και το θεόρατο, βαρύ σκουτάρι αρπάζει,
που σαν του φεγγαριού αντιφέγγιζε ψηλά το λάμπισμά του.
Βαθιά απ᾽ το πέλαο πώς το αντίφεγγα θωρούν οι ναύτες ξάφνου
από φωτιά, σε στάνη απόμερη, που άναψαν οι τσοπάνοι,
πα στο βουνό, μα εκείνους άθελα τους σπρώχνουν όξω οι μπόρες,
στην ψαροθρόφα μέσα θάλασσα, μακριά από τους δικούς τους·
παρόμοια απ᾽ τ᾽ ώριο, μυριοξόμπλιαστο σκουτάρι του Αχιλλέα

ψηλά στα ουράνια η λάμψη ανέβαινε᾽ κι ασκώνοντας το κράνος
το στέριο, στο κεφάλι ολόγυρα το φόρεσε᾽ σαν άστρο
το φουντωμένο κράνος ξάστραφτε, και γύρα οι τρίχες σειούνταν·
χρυσές, για φούντα που 'χεν ο Ήφαιστος πυκνές στεριώσει απάνω.
Κι ως ο Αχιλλέας εζώστη τ᾽ άρματα, πήρε γοργά να τρέχει,
να ιδεί αν του πάνε, αν παίζουν μέσα τους τ᾽ αρχοντικά του μέλη·
κι αυτά ήταν λες φτερά και σήκωναν το βασιλιά απ᾽ αλάφρου.
Το γονικό βαρύ, ακατάλυτο, τρανό στερνά κοντάρι
παίρνει απ᾽ τη θήκη του᾽ δε δύνουνταν κανένας να το παίξει
Αργίτης άλλος μες στα χέρια του, μόνο ο Αχιλλέας μπορούσε—

το φράξινο κοντάρι, ο Χείρωνας που απ᾽ τις κορφές του Πηλίου
για να σκοτώνει ηρώους αντρόκαρδους στον κύρη του είχε δώσει.
Ο Άλκιμος τότε κι ο Αυτομέδοντας πιάνουν και ζεύουν τ᾽ άτια,
τα καλοκάμωτα φορώντας τους λουριά, κι απ᾽ τις μασέλες
περνούν τα χαλινάρια, κι έπειτα τραβούν τα γκέμια πίσω
στο στέριο αμάξι᾽ κι ο Αυτομέδοντας το αστραφτερό μαστίγι,
το ταιριαστό στο χέρι του, άρπαξε, και πήδηξε στ᾽ αμάξι
με βιάση· κι ο Αχιλλέας ανέβηκε ξοπίσω, αρματωμένος,
μες στ᾽ άρματά του στραφταλίζοντας, σαν ήλιος φωτοβόλος·
κι άγρια φωνάζοντας τ᾽ αλόγατα τα γονικά προστάζει:

«Βαλίε και Ξάνθε, κοσμοξάκουστα παιδιά της Φτεροπόδας,
τη φορά τούτη ο αλογολάτης σας το νου σας να γλιτώσει
στους Δαναούς ξανά, τον πόλεμο σα θα 'χουμε χορτάσει.
Μην τον αφήστε σαν τον Πάτροκλο στο κάμπο σκοτωμένο!»
Και κάτω απ᾽ το ζυγό ο φτερόποδος του απηλογήθη Ξάνθος,
σκύβοντας ξάφνου το κεφάλι του᾽ κι αλάκερή του η χάτη

Ξάνθος, ἄφαρ δ᾽ ἤμυσε καρήατι· πᾶσα δὲ χαίτη
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν·
αὐδήεντα δ᾽ ἔθηκε θεὰ λευκώλενος Ἥρη·
καὶ λίην σ᾽ ἔτι νῦν γε σαώσομεν ὄβριμ᾽ Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ Μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶες ἀπ᾽ ὤμοιιν Πατρόκλου τεύχε᾽ ἔλοντο·
ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητώ,
ἔκταν᾽ ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε.
νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥν περ ἐλαφροτάτην φάσ᾽ ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ξάνθε τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νυ τὸ οἶδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ᾽ ὀλέσθαι
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.
ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

πλάι στο ζυγό στο χώμα εσούρνονταν, ξεφεύγοντας τη ζεύλα'
τι ανθρώπινη λαλιά του εχάρισεν η κρουσταλλόχερη Ήρα:
« Θα σε γλιτώσουμε, μη γνοιάζεσαι, τρανέ Αχιλλέα, και πάλε·
όμως ζυγώνει η μαύρη μέρα σου᾽ κι ουδ᾽ είναι εμείς που φταίμε,
μονάχα η Μοίρα η τρανοδύναμη κι ένας θεός μεγάλος.
Δεν είναι από δικιά μας άργητα μηδέ κι οκνιά καθόλου,
που οι Τρώες άρπαξαν απ᾽ του Πάτροκλου τους ώμους τ᾽ άρματά σου'
της ωριοπλέξουδης τον σκότωσε Λητώς ο γιος, απ᾽ όλους
ο πιο τρανός θεός, και χάρισε στον Έχτορα τη νίκη.
Εμείς ακόμα και το Ζέφυρο νικάμε, απ᾽ τους ανέμους
που λεν πως είναι ο γρηγορότερος· μα εσένα η Μοίρα γράφει
από θνητό μαζί κι αθάνατο να σκοτωθείς στη μάχη.»
Ως είπε αυτά, η φωνή του εκόπηκε, την πήραν οι Ερινύες.
Τότε ο Αχιλλέας ο φτεροπόδαρος βαρυγκομώντας του 'πε:
«Τι, Ξάνθε, μου μηνάς το θάνατο; δε σου ταιριάζει εσένα!
Κι εγώ το ξέρω, είναι της μοίρας μου να σκοτωθώ εδώ πέρα,
μακριά απ᾽ τον κύρη και τη μάνα μου᾽ μα κι έτσι, αν δε χορτάσω
τους Τρώες στριμώχνοντας στον πόλεμο, τη μάχη δε σκολάζω!»
Είπε, και μες στους πρώτους σκούζοντας λαλεί τ᾽ αλόγατά του.

-Υ- ὡς οἳ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
ἀμφὶ σὲ Πηλέος υἱὲ μάχης ἀκόρητον Ἀχαιοί,
Τρῶες δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο·
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορὴν δὲ καλέσσαι

κρατὸς ἀπ᾽ Οὐλύμποιο πολυπτύχου· ἣ δ᾽ ἄρα πάντῃ
φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτέ τις οὖν ποταμῶν ἀπέην νόσφ᾽ Ὠκεανοῖο,
οὔτ᾽ ἄρα νυμφάων αἵ τ᾽ ἄλσεα καλὰ νέμονται
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.

ἐλθόντες δ᾽ ἐς δῶμα Διὸς νεφεληγερέταο
ξεστῇς αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
ὣς οἳ μὲν Διὸς ἔνδον ἀγηγέρατ᾽· οὐδ᾽ ἐνοσίχθων
νηκούστησε θεᾶς, ἀλλ᾽ ἐξ ἁλὸς ἦλθε μετ᾽ αὐτούς,

ἷζε δ᾽ ἄρ᾽ ἐν μέσσοισι, Διὸς δ᾽ ἐξείρετο βουλήν·
τίπτ᾽ αὖτ᾽ ἀργικέραυνε θεοὺς ἀγορὴν δὲ κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

ἔγνως ἐννοσίγαιε ἐμὴν ἐν στήθεσι βουλὴν
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ᾽ ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ᾽ ὁρόων φρένα τέρψομαι· οἳ δὲ δὴ ἄλλοι
ἔρχεσθ᾽ ὅφρ᾽ ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,

ἀμφοτέροισι δ᾽ ἀρήγεθ᾽ ὅπῃ νόος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἷος ἐπὶ Τρώεσσι μαχεῖται
οὐδὲ μίνυνθ᾽ ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τί μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ᾽ ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς

δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ.
ὣς ἔφατο Κρονίδης, πόλεμον δ᾽ ἀλίαστον ἔγειρε.
βὰν δ᾽ ἴμεναι πόλεμον δὲ θεοὶ δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ᾽ ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχος ἠδ᾽ ἐριούνης

Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ᾽ ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ᾽ αὐτῷ
Φοῖβος ἀκερσεκόμης ἠδ᾽ Ἄρτεμις ἰοχέαιρα

Έτσι οι Αχαιοί στα δρεπανόγυρτα καράβια ολόγυρα σου,
γιε του Πηλέα, για μάχη αχόρταγοι, με βιάση αρματώνονταν,
κι από την άλλη οι Τρώες αντίκρα τους, στο στήθωμα του κάμπου.
Κι απ᾽ την κορφή του πολυφάραγγου του Ολύμπου ο Δίας προστάζει
τη Θέμη, τους θεούς σε σύναξη να κράξει ευτύς᾽ κι εκείνη
τρέχει παντού, στου Δία προστάζοντας να δράμουν το παλάτι.
Κανένας ποταμός δεν έλειψε (μον᾽ ο Ωκεανός δεν ήρθε),
καμιά νεράιδα, απ᾽ όσες χαίρουνται τα δάση τα πανώρια,
των ποταμών τα κεφαλόβρυσα και τα χλωρά λιβάδια.

Στου Δία το αρχοντικό σαν έφτασαν του νεφελοστοιβάχτη,
στις γυαλιστές στοές θρονιάζουνταν, καλά μαστορεμένες
στο Δία πατέρα από τον Ήφαιστο με τη σοφή του τέχνη.
Έτσι λοιπόν στου Δία μαζώχτηκαν᾽ μηδέ κι ο Κοσμοσείστης
το λόγο της θεάς αψήφησε, μον᾽ απ᾽ το πέλαο βγαίνει,
και μέσα στους θεούς καθίζοντας ρωτάει το Δία να μάθει:
« Τι τους θεούς, Αστραποκέραυνε, σε σύναξη φωνάζεις;
Στο νου σου για τους Τρώες μην έβαλες και τους Αργίτες κάτι;
θαρρώ πως η σφαγή κι ο πόλεμος όπου και να 'ναι ανάβουν.»
Κι ο Δίας γυρνώντας του αποκρίθηκεν ο νεφελοστοιβάχτης:

«Το λογισμό μου τον κατάλαβες ποιος είναι, Κοσμοσείστη,
που είπα να 'ρθείτε έδώ᾽ τι γνοιάζουμαι που χάνουνται έτσι εκείνοι.
Ωστόσο εγώ σε κάποιο του Ολύμπου φαράγγι θα καθίσω,
βαθιά ν᾽ αναγαλλιάσω βλέποντας· σεις όμως οι άλλοι κάτω
κινάτε γρήγορα, και φτάνοντας στους Τρώες και στους Αργίτες
βοηθάτε καί τους δυο, καθένας σας σε όποια μεριά του αρέσει·
τι αν ο Αχιλλέας προβάλει μόνος του τους Τρώες να πολεμήσει,
μπρος στου Πηλέα το γιο το γρήγορο στιγμή δε θα κρατήσουν'
τι και πιο πριν, καθώς τον έβλεπαν, τους έπιανε τρεμούλα.
Μα τώρα που του εχάθη ο σύντροφος κι είναι γιομάτος λύσσα,

το κάστρο μην πατήσει σκιάζομαι, κι ανάντια στα γραμμένα.»
Αυτά είπε ο γιος του Κρόνου, κι άσκωσε φριχτή πολέμου λύσσα,
κι όλοι οι θεοί κινούν αντίγνωμοι στον πόλεμο να τρέξουν
η Ήρα κινάει στων πλοίων τη μάζωξη, μαζί τον Κοσμοσείστη,
την Αθηνά Παλλάδα παίρνοντας και τον Ερμή τον κλέφτη,
που μες στους άλλους εξεχώριζε στου νου τις τέχνες όλες.
Κι ο μέγας Ήφαιστος ακλούθα τους, όλο καρδιά καί πείσμα,
κουτσαίνοντας, γοργά τ᾽ αδύναμα κουνώντας αντικνήμια.
Στους Τρώες από την άλλη ετράβηξεν ο κρανοσείστης Άρης
κι η σαγιτεύτρα αντάμα του Άρτεμη κι ο μακρομάλλης Φοίβος,

Λητώ τε Ξάνθός τε φιλομειδής τ᾽ Ἀφροδίτη.
εἶος μέν ῥ᾽ ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τεῖος Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ᾽ Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ᾽ ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον

δειδιότας, ὅθ᾽ ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεσι λαμπόμενον βροτολοιγῷ ἶσον Ἄρηϊ.
αὐτὰρ ἐπεὶ μεθ᾽ ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ᾽ Ἔρις κρατερὴ λαοσσόος, αὖε δ᾽ Ἀθήνη
στᾶσ᾽ ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,

ἄλλοτ᾽ ἐπ᾽ ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει.
αὖε δ᾽ Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος
ὀξὺ κατ᾽ ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες

σύμβαλον, ἐν δ᾽ αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν·
δεινὸν δὲ βρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ νέρθε Ποσειδάων ἐτίναξε
γαῖαν ἀπειρεσίην ὀρέων τ᾽ αἰπεινὰ κάρηνα.
πάντες δ᾽ ἐσσείοντο πόδες πολυπίδακος Ἴδης

καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
ἔδεισεν δ᾽ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ᾽ ἐκ θρόνου ἅλτο καὶ ἴαχε, μή οἱ ὕπερθε
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη

σμερδαλέ᾽ εὐρώεντα, τά τε στυγέουσι θεοί περ·
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ᾽ Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα,
ἄντα δ᾽ Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·

Ἥρῃ δ᾽ ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα κασιγνήτη ἑκάτοιο·
Λητοῖ δ᾽ ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
ἄντα δ᾽ ἄρ᾽ Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

ὣς οἳ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὁμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ἑ θυμὸς ἀνώγει
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ᾽ ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων

ἀντία Πηλεΐωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ·
υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν·
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία Τρώων βουληφόρε ποῦ τοι ἀπειλαὶ
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων

κι ο Ξάνθος κι η Λητώ αποδίπλα τους, κι η γελαστή Αφροδίτη.
Όσον καιρό οι θεοί βρισκόντουσαν απ᾽ τους θνητούς αλάργα,
οι Αργίτες το 'χαν πάρει απάνω τους, τι είχε ο Αχιλλέας προβάλλει,
που ήταν καιρό πολύ απ᾽ τον πόλεμο τον άγριο τραβηγμένος.
Κι οι Τρώες ένιωθαν πάλι που 'τρεμαν τα γόνατα τους κάτω,
φόβο γεμάτοι, το φτερόποδο γιο του Πηλέα θωρώντας
να λάμπει μέσα στην αρμάτα του σαν καταλύτης Άρης.
Μα ως οι θεοί του Ολύμπου εσίμωσαν στα μαζωμένα ασκέρια,
η Αμάχη ασκώθη η πολεμόχαρη· και χούγιαζε η Παλλάδα,
ορθή πότε όξω απ᾽ το καστρότειχο, πλάι στο ανοιχτό χαντάκι,

και πότε στα βουερά τ᾽ ακρόγιαλα φωνάζοντας απάνω.
Αντίκρα κι ο Άρης άγρια χούγιαζε, σα μαύρη ανεμοζάλη,
στους Τρώες τη μια φορά φωνάζοντας απ᾽ την κορφή του κάστρου,
και πότε στο Ωριοβούνι τρέχοντας, πλάι στου Σιμόη τους όχτους.
Έτσι οι θεοί οι πολυμακάριστοι τους δυο στρατούς αγγρίζαν
να χτυπηθούν, βαρύ ξεσπάζοντας απάλε αναμεσό τους.
Όλο φοβέρα των αθάνατων και των θνητών ο κύρης
βροντάει ψηλάθε, και την άμετρη τη γης ο Ποσειδώνας
τραντάζει κάτω και τ᾽ απόγκρεμα τα κορφοβούνια ως πέρα'
της Ίδας σειούνταν της πολύπηγης όλες οι ρίζες κι όλες

οι ράχες, και τα πλοία τ᾽ Αργίτικα και το τρωικό το κάστρο.
Κι ο Άδης φοβήθη και πετάχτηκε με τρόμο απ᾽ το θρονί του,
ο ρήγας των νεκρών, χουγιάζοντας, τη γης ο Ποσειδώνας
ο κοσμοσείστης από πάνω του μην πάει στα δυο κι ανοίξει,
και σε θνητούς φανεί κι αθάνατους το αρχοντικό του ξάφνου,
που ως κι οι θεοί μαθές τ᾽ οχτρεύουνται, φριχτό κι αραχλιασμένο'
τόσος ο βρόντος, όπως χίμιξαν όλοι οι θεοί στη μάχη
να χτυπηθούν. Στο ρήγα εστέκουνταν τον Ποσειδώνα αγνάντια
τις φτερωτές σαγίτες σφίγγοντας ο Απόλλωνας ο Φοίβος·
στον Άρη αντίκρα η γαλανομάτη θεά Αθηνά· στην Ήρα

η Άρτεμη εστάθη η κυνηγάρισσα και χρυσοδοξαρούσα,
του μακροσαγιτάρη Απόλλωνα τρανή αδερφή σαϊτεύτρα'
αγνάντια στη Λητώ ο περίλαμπρος Ερμής, ο πρωτοκλέφτης'
στερνά στον Ήφαιστο κι ο τρίσβαθος ο ποταμός, ο μέγας,
που όλοι οι θνητοί τον κράζουν Σκάμαντρο, κι οι αθάνατοι όλοι
Ξάνθο.
Έτσι έστεκαν αντίκρυ αθάνατοι σε αθάνατους· κι ωστόσο
μες στο στρατό ο Αχιλλέας λαχτάριζε τον Έχτορα να σμίξει,
το γιο του Πρίαμου· τι με το αίμα του ποθούσε πάνω απ᾽ όλους
τον ακατάλυτο πολέμαρχο, τον Άρη, να χορτάσει.
Ωστόσο τον Αινεία ξεσήκωσεν ο Φοίβος να χιμίξει

στον Αχιλλέα γραμμή, και του 'βαλε τρανή αντριγιά στα στήθη·
στου γιου του Πρίαμου, του Λυκάονα, ταιριάζει τη φωνή του,
και τούτον μοιάζοντας ο Απόλλωνας, ο γιος του Δία, μιλούσε:
«Αινεία, των Τρωών δημογέροντα, τι έγιναν οι φοβέρες,
που μπρος συχνά στων Τρωών τους άρχοντες πα στο κρασί

Πηλεΐδεω Ἀχιλῆος ἐναντίβιον πολεμίξειν;
τὸν δ᾽ αὖτ᾽ Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ᾽ Ἀχιλῆος
στήσομαι, ἀλλ᾽ ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι,
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
εἰρύσαθ᾽, ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
ἦ κ᾽ ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ᾽ ἐκέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τὼ οὐκ ἔστ᾽ Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν ὃς λοιγὸν ἀμύνει.
καὶ δ᾽ ἄλλως τοῦ γ᾽ ἰθὺ βέλος πέτετ᾽, οὐδ᾽ ἀπολήγει
πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεός περ
ἶσον τείνειεν πολέμου τέλος, οὔ κε μάλα ῥέα
νικήσει᾽, οὐδ᾽ εἰ παγχάλκεος εὔχεται εἶναι.
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
ἥρως ἀλλ᾽ ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν·
ἣ μὲν γὰρ Διός ἐσθ᾽, ἣ δ᾽ ἐξ ἁλίοιο γέροντος.
ἀλλ᾽ ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆ.
ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
οὐδ᾽ ἔλαθ᾽ Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην
ἀντία Πηλεΐωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
ἣ δ᾽ ἄμυδις στήσασα θεοὺς μετὰ μῦθον ἔειπε·
φράζεσθον δὴ σφῶϊ Ποσείδαον καὶ Ἀθήνη
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ᾽ ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ
ἀντία Πηλεΐωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ᾽ ἄγεθ᾽, ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
αὐτόθεν, ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
παρστὰς δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
δευέσθω, ἵνα εἰδῇ ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἳ δ᾽ αὖτ᾽ ἀνεμώλιοι οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.

πετούσες,
με του Πηλέα το γιο πως θα 'βγαινες να πολεμήσεις τάχα;»
Κι ο Αινείας γυρνώντας τότε μίλησε κι απηλογιά του δίνει:
« Υγιέ του Πρίαμου, τι αρμηνεύεις με, ζητώντας άθελα μου
με του Πηλέα το γιο τον άφοβο να βγω να πολεμήσω;
Πρώτη φορά αντικρύ στο γρήγορο τον Αχιλλέα δε στέκω'
κι άλλοτε λέω με το κοντάρι του με πήρε του κυνηγού,
στην Ίδα πάνω, σύντας πλάκωσε τα βόδια μας ν᾽ αρπάξει,
κι η Λυρνησσό κι η Πήδασο έπεσαν στα χέρια του᾽ μα εμένα
μ᾽ έσωσε ο Δίας, ορμή καί γόνατα γοργά χαρίζοντας μου.
Τότε ο Αχιλλέας στη γη θα μ᾽ έστρωνεν αλήθεια κι η Παλλάδα·
τι αυτή τραβώντας μπρος τον γλίτωνε και του 'δινε κουράγιο
νεκρούς να ρίχνει, Τρώες και Λέλεγες, με το χαλκό κοντάρι.
Γι᾽ αυτό τον Αχιλλέα στον πόλεμο κανείς δεν αντικρίζει·
κάποιο θεό έχει τούτος δίπλα του και τον γλιτώνει πάντα.
Μα κι ό,τι εκείνος ρίξει χύνεται γραμμή, καί πριν τρυπήσει
κάποιου θνητού κορμί, τη φόρα του δεν κόβει. Αν όμως δίκια
εζύγιαζε ο θεός του πόλεμου την κρίση, δε νικούσε
εύκολα εμένα αυτός, ολόχαλκος κι ας πέτεται πως είναι.»
Κι απηλογήθη τότε ο Απόλλωνας, ο γιος του Δία, και του 'πε:
«Για κράξε τους θεούς, αντρόκαρδε, και συ τους αναιώνιους'
λεν η Αφροδίτη πως σε γέννησε, του γιου του Κρόνου η κόρη,
όμως αυτόν θεά μικρότερη᾽ τι είναι η δικιά σου η μάνα
του Δία παιδί, κι η άλλη του Γέροντα της θάλασσας λογιέται.
Ρίχνε λοιπόν τον ακατάλυτο χαλκό μπροστά σου, μήτε
να σε δειλιάζουν οι κατάρες του καθόλου κι οι φοβέρες.»
Αυτά είπε, και στου ρήγα εφύσηξε τα στήθη ορμή μεγάλη,
και μεσ᾽ απ᾽ τους προμάχους κίνησε με αστραποβόλο κράνος.
Το γιο του Αγχίση η χιονοβράχιονη τον είδεν Ήρα ωστόσο,
που στου Πηλέα το γιο ξεχύνουνταν περνώντας μες στ᾽ ασκέρια'
μαζώνει τους θεούς τρογύρα της κι αυτά τους λέει τα λόγια:
«Τώρα βαθιά καλολογιάστε το στο νου σας, Ποσειδώνα
και συ Αθηνά, τα που αντικρίζετε σαν πως θα ξετελέψουν.
Να, ιδέστε τον Αινεία που κίνησε με αστραποβόλο κράνος,
σπρωγμένος απ᾽ το Φοίβο, πόλεμο ν᾽ ανοίξει του Αχιλλέα.
Μα ελατέ, εμείς ας τον γυρίσουμε γοργά τα μπρος οπίσω,
για κι από μας κανένας έπειτα στον Αχιλλέα να δράμει,
να του χαρίσει νίκη ασύγκριτη, κουράγιο να του δώσει,
να ιδεί των πιο τρανών αθάνατων πως έχει την αγάπη,
κι οι άλλοι πως είναι ανεμοδούληδες, που αποξαρχής παλεύουν
απ᾽ τη σφαγή κι από τον πόλεμο τους Τρώες πώς θα γλιτώσουν

πάντες δ᾽ Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἅσσά οἱ αἶσα
γιγνομένῳ ἐπένησε λίνῳ ὅτε μιν τέκε μήτηρ.
εἰ δ᾽ Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆς

δείσετ᾽ ἔπειθ᾽, ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἥρη μὴ χαλέπαινε παρ᾽ ἐκ νόον· οὐδέ τί σε χρή.
οὐκ ἂν ἔγωγ᾽ ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι

ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·
ἀλλ᾽ ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιήν, πόλεμος δ᾽ ἄνδρεσσι
μελήσει.
εἰ δέ κ᾽ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ᾽ ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,

αὐτίκ᾽ ἔπειτα καὶ ἄμμι παρ᾽ αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ᾽ ὦκα διακρινθέντας οἴω
ἂψ ἴμεν Οὔλυμπον δὲ θεῶν μεθ᾽ ὁμήγυριν ἄλλων
ἡμετέρῃς ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας.
ὣς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης

τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο
ὑψηλόν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
ὁππότε μιν σεύαιτο ἀπ᾽ ἠϊόνος πεδίον δέ.
ἔνθα Ποσειδάων κατ᾽ ἄρ᾽ ἔζετο καὶ θεοὶ ἄλλοι,

ἀμφὶ δ᾽ ἄρ᾽ ἄρρηκτον νεφέλην ὤμοισιν ἔσαντο·
οἳ δ᾽ ἑτέρωσε καθῖζον ἐπ᾽ ὀφρύσι Καλλικολώνης
ἀμφὶ σὲ ἴϊε Φοῖβε καὶ Ἄρηα πτολίπορθον.
ὣς οἳ μέν ῥ᾽ ἑκάτερθε καθήατο μητιόωντες
βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο

ὄκνεον ἀμφότεροι, Ζεὺς δ᾽ ἤμενος ὕψι κέλευε.
τῶν δ᾽ ἅπαν ἐπλήσθη πεδίον καὶ λάμπετο χαλκῷ
ἀνδρῶν ἠδ᾽ ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
ὀρνυμένων ἅμυδις. δύο δ᾽ ἀνέρες ἔξοχ᾽ ἄριστοι
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι

Αἰνείας τ᾽ Ἀγχισιάδης καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει
νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλεΐδης δ᾽ ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὡς

τι όλοι μας είμαστε απ᾽ τον Όλυμπο κατεβασμένοι τώρα
στη μάχη αυτή να μπούμε, τίποτα μέσα στους Τρώες μην πάθει,
για σήμερα᾽ μετά του μέλλουνται τα που 'χει η Μοίρα κλώσει,
σύντας γεννιόταν, κι η μητέρα του τον έφερνε στον κόσμο.
Όμως θεού φωνή αν δε φώτιζε γι᾽ αυτά τον Αχιλλέα,

θα φοβηθεί, σα δει να του 'ρχεται κάποιος θεός αγνάντια
στον πόλεμο᾽ βαρύ ειν᾽ οι αθάνατοι στο φως να βγουν μπροστά
σου.»
Κι ο Ποσειδώνας αποκρίθηκεν ο κοσμοσείστης τότε:
«Ήρα, φωτιά μην παίρνεις άδικα, δε σου ταιριάζει εσένα!
Με τους θεούς εγώ δε θα 'θελα να χτυπηθούμε αλήθεια
κάνοντας πρώτοι αρχή· γιατί είμαστε πολύ τρανότεροί τους.
Ωστόσο εμείς ας πάμε ανάμερα, σε κάποια βίγλα απάνω
ψηλά να κάτσουμε᾽ τον πόλεμο θα τον γνοιαστούν τ᾽ ασκέρια.
Αν όμως ο Άρης για κι ο Απόλλωνας τη μάχη ανοίξουν πρώτοι,
για αν αμποδάν και δεν αφήνουνε τον Αχιλλέα να ρίχνει,

τότε και μεις μεμιάς θ᾽ ασκώσουμε φριχτό πολέμου απάλε.
Γρήγορα λέω πώς θα τελέψουμε, κι εκείνοι φεύγοντας μας
θα γύρουν πίσω για τον Όλυμπο με τους θεούς τους άλλους,
απ᾽ τα δικά μας χέρια, θέλοντας και μη, δυναστεμένοι.»
Είπε ο θεός ο γαλαζόχαιτος, και μπήκε ομπρός, και πήγαν
στο τείχος του Ηρακλή, που ανάχωμα το στέριωνε μπρος πίσω,
ψηλό, που οι Τρώες του φτιάξαν κάποτε κι η θεά Αθηνά Παλλάδα,
για να γλιτώνει από της θάλασσας το τέρας, σα χιμούσε
απ᾽ το ακρογιάλι κυνηγώντας τον ψηλά στον κάμπο μέσα.
Κει πάνω ο Ποσειδώνας κάθισε κι οι άλλοι θεοί μαζί του,

και με πυκνό τρογύρα σύγνεφο τους ώμους τους σκέπασαν.
Κι οι άλλοι θεοί απαντίκρα εκάθιζαν, στου Ωριοβουνιού το φρύδι,
γύρω από σένα, Φοίβε Απόλλωνα, και τον πολέμαρχο Άρη.
Έτσι εκαθόνταν κείνοι ξέχωρα και δούλευεν ο νους τους,
δείλιαζαν όμως το βαρύπονο τον πόλεμο ν᾽ ανοίξουν
κι οι δυο μεριές, κι ας τους το πρόσταζεν ο Δίας ψηλά θρονιώντας.
Γιόμισε ωστόσο ακέριος κι άστραφτε μες στο χαλκόν ο κάμπος
από άντρες κι άτια, κι απ᾽ τα πόδια τους, όλοι μαζί ως όδευαν,
έτρεμε η γη. Και δυο πολέμαρχοι, της αντριγιάς ο αθέρας,
μπροστά απ᾽ τα δυο τ᾽ ασκέρια, πόλεμο ν᾽ ανοίξουν λαχταρώντας,

ζύγωσαν, ο Αχιλλέας ο αντρόκαρδος κι ο Αινείας, ο γιος του Αγχίση.
Πρώτος ο Αινείας του στέριου κράνους του τη φούντα
αγριοκουνώντας
σιμώνει όλο φοβέρα, κι έσφιγγε τ᾽ ολόβαρο σκουτάρι
μπροστά στο στήθος, και το χάλκινο κοντάρι του κουνούσε.

σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν
ἀγρόμενοι πᾶς δῆμος· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ᾽ ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
δουρὶ βάλῃ ἐάλη τε χανών, περί τ᾽ ἀφρὸς ὀδόντας
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,

οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
μαστίεται, ἐὲ δ᾽ αὐτὸν ἐποτρύνει μαχέσασθαι,
γλαυκιόων δ᾽ ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
ὣς Ἀχιλῆ᾽ ὄτρυνε μένος καὶ θυμὸς ἀγήνωρ

ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Αἰνεία τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν
ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει

ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισι
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ᾽ ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἰσὶν γάρ οἱ παῖδες, ὃ δ᾽ ἔμπεδος οὐδ᾽ ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων

καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ᾽ ἔολπα τὸ ῥέξειν.
ἤδη μέν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
ἦ οὐ μέμνῃ ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα
σεῦα κατ᾽ Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι

καρπαλίμως; τότε δ᾽ οὔ τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ᾽ ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
λῃϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.

ἀλλ᾽ οὐ νῦν ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἴστασ᾽ ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
τὸν δ᾽ αὖτ᾽ Αἰνείας ἀπαμείβετο φώνησέν τε·

Πηλεΐδη μὴ δὴ ἐπέεσσί με νηπύτιον ὡς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ᾽ αἴσυλα μυθήσασθαι.
ἴδμεν δ᾽ ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας
πρόκλυτ᾽ ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·

Κι αντίκρα του ο Αχιλλέας πετάχτηκεν, αρπαχτικό λιοντάρι
θαρρείς, που να σκοτώσουν θέλησαν, και μαζεύτηκαν κόσμος
γύρα πολύς· κι αυτό ακατάδεχτο λέει στην αρχή να φύγει'
μ᾽ άν κάποιος απ᾽ τους νιους απάνω του τους αντρειωμένους ρίξει,
μαζώνεται όλο ξεχασκίζοντας, τα δόντια του γιομίζουν
αφρούς, κι η δυνατή του αντρειώνεται καρδιά στα στήθια μέσα,

και τα πλευρά και τα λαγγόνια του χτυπάει ζερβά δεξιά του
με την ουρά, και παίρνει μόνο του κουράγιο να παλέψει'
άγριες φωτιές πετούν τα μάτια του, και χύνεται για κάποιον
να ρίξει, για στο ανθρωπομάζωμα μπροστά κι αυτό να πέσει'
όμοια σπρωγμένος απ᾽ την πέρφανη ψυχή κι ορμή του εχύθη
τότε ο Αχιλλέας, με τον αντρόκαρδο να 'ρθει στα χέρια Αινεία.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
πρώτος του μίλησε ο φτερόποδος θείος Αχιλλέας και του 'πε:
« Αινεία, τι τόσο από το ασκέρι σας ξαλάργαρες κι εστάθης;
Μπας κι η καρδιά σου τώρα σ᾽ έσπρωξε να χτυπηθείς μαζί μου,

μέσα στους Τρώες τους αλογάρηδες λογιώντας ν᾽ αφεντέψεις,
την εξουσία του Πρίαμου παίρνοντας; Μα κι αν με ρίξεις κάτω,
ο Πρίαμος λέω το βασιλίκι του δεν παραδίνει εσένα᾽
ξέρει τι κάνει, δεν είναι άμυαλος, κι έχει παιδιά δικά του.
Μήπως μετόχι οι Τρώες σου εχώρισαν, πιο πλούσιο απ᾽ όλα τ᾽ άλλα,
να το 'χεις να το χαίρεσαι, όμορφο, με αμπέλια, με χωράφια,
αν ίσως με σκοτώσεις; Δύσκολο θαρρώ να το πετύχεις!
Κι άλλοτε λέω με το κοντάρι μου σε πήρα του κυνηγού'
για δε θυμάσαι που σε πέτυχα μονάχο, κι απ᾽ την Ίδα
σε πήρα σβάρνα κάτω, κι άφησες τα βόδια σου δρομώντας

γοργά, κι ως έφευγες, δε γύριζες ματιά να ρίξεις πίσω;
Στη Λυρνησσό από κει μου ξέφυγες· μα εγώ ξοπίσω σου ήρθα,
κι ως η Αθηνά μου παραστέκουνταν κι ο Δίας, το κάστρο επήρα
και τις γυναίκες σκλάβες έσυρα, πια λεύτερην ήμερα
να μη χαρούν μα εσένα εγλίτωσεν ο Δίας κι οι αθάνατοι οι άλλοι.
Μα τώρα λέω δε σε γλιτώνουνε, καθώς το λογαριάζεις.
Άκουσε ωστόσο και τη γνώμη μου: μέσα στο κάστρο πίσω
γυρνώντας τρέχα, και μη στέκεσαι μπροστά μου, πριν σου τύχει
κακό κανένα· τι κι ο ανέμυαλος σαν πάθει βάζει γνώση.»
Κι ο Αινείας γυρνώντας τότε μίλησε κι απηλογιά του δίνει:

« Γιε του Πηλέα, γυρεύεις άδικα, μωρό παιδί σα να 'μουν,
να με τρομάξεις με τη γλώσσα σου᾽ καλά κι εγώ κατέχω
και λόγια αγγιχτικά απ᾽ το στόμα μου να βγάλω και φοβέρες.
Ο ένας του άλλου το σόι κατέχει το και τους γονιούς του ξέρει,
παλιά απ᾽ τον κόσμο λόγια ακούγοντας· τι μήτε τους δικούς μου

ὄψει δ᾽ οὔτ᾽ ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ᾽ ἄρ᾽ ἐγὼ σούς.
φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς δ᾽ ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ᾽ Ἀφροδίτη·

τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημ᾽ ἐπέεσσί γε νηπυτίοισιν
ὧδε διακρινθέντε μάχης ἐξαπονέεσθαι.
εἰ δ᾽ ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ᾽ ἐῢ εἰδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι·

Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ
ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων,
ἀλλ᾽ ἔθ᾽ ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ᾽ υἱὸν Ἐριχθόνιον βασιλῆα,

ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἔλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
ἵππῳ δ᾽ εἰσάμενος παρελέξατο κυανοχαίτῃ·

αἳ δ᾽ ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
αἳ δ᾽ ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ᾽ ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·
ἀλλ᾽ ὅτε δὴ σκιρτῷεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.

Τρῶα δ᾽ Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ᾽ αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο
Ἶλός τ᾽ Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν

κάλλεος εἵνεκα οἷο ἵν᾽ ἀθανάτοισι μετείη.
Ἶλος δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Λαομέδοντα·
Λαομέδων δ᾽ ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπόν τε Κλυτίον θ᾽ Ἱκετάονά τ᾽ ὄζον Ἄρηος·
Ἀσσάρακος δὲ Κάπυν, ὃ δ᾽ ἄρ᾽ Ἀγχίσην τέκε παῖδα·

αὐτὰρ ἔμ᾽ Ἀγχίσης, Πρίαμος δ᾽ ἔτεχ᾽ Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ζεὺς δ᾽ ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε
ὅππως κεν ἐθέλῃσιν· ὃ γὰρ κάρτιστος ἁπάντων.
ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὡς

είδες εσύ, μηδέ που αντίκρισα κι εγώ τους εδικούς σου.
Πατέρα εσύ τον αψεγάδιαστο Πηλέα πως έχεις, μάνα
τη Θέτιδα, την ωριοπλέξουδη θαλασσοκόρη, λένε·
κι εγώ του Αγχίση του τρανόκαρδου πως είμαι γιος λογιέμαι,
κι έχω την Αφροδίτη μάνα μου᾽ κι ένα απ᾽ τα δυο ζευγάρια

τον ακριβό το γιο τους σήμερα θα κλάψουν δίχως άλλο.᾽
Όχι! Με λόγια λέω παιδιάστικα μονάχα εμείς καθόλου
δε θα χωρίσουμε, να φύγουμε ξανά απ᾽ τη μάχη πίσω.
Μ᾽ αν να τα μάθεις τώρα θα 'θελες κι αυτά, για να κατέχεις
ποια 'ναι η γενιά μου, όσοι την ξέρουνε πολλοί θαρρώ λογιούνται.
Ο Δίας το Δάρδανο ο αστραπόχαρος γεννά, που κεφαλάρι
εστάθη της γενιάς μας, κι έχτισε τη Δαρδανία΄ τι ακόμα
στον κάμπο η πόλη η Τροία δε βρίσκουνταν με το άγιο ψυχομέτρι,
μόνο στης Ίδας της πολύπηγης τα πλάγια εζούσαν τότε.
Και πάλε ο Δάρδανος εγέννησε το βασιλιά Έριχθόνιο,

που απ᾽ τους ανθρώπους όλους στάθηκεν ο πιο τρανός στα πλούτη·
δικές του τρείς χιλιάδες έβοσκαν φοράδες στο λιβάδι,
και καμάρωναν τα νιογέννητα τρογύρα τους πουλάρια.
Κι ως ο Βοριάς τις είδε που 'βοσκαν, του ξάναψεν ο πόθος,
και γίνηκε άτι γαλαζόχαιτο καί σμίγει ευτύς μαζί τους'
κι αυτές γκαστρώθηκαν και δώδεκα του γέννησαν πουλάρια'
κι αυτά ως χοροπηδούσαν παίζοντας στην πλούσια γης απάνω,
πα στις κορφές τα στάχυα ετρέχανε, χωρίς να τα λυγίζουν
κι ως εσκιρτούσαν πα στης θάλασσας την απλωμένη ράχη,
έτρεχαν στο ψαρί το πέλαγο, ψηλά όπου σπάει το κύμα.

Γιος του Έριχθόνιου ο Τρώας ακούστηκε, μέσα στους Τρώες
ρηγάρχης,
κι ο Τρώας τρείς πάλε υγιούς ασύγκριτους έγέννησε, τον Ίλο
και τον Ασσάρακο, τον έμνοστο στερνά το Γανυμήδη,
που για τα κάλλη του ξεχώριζε μες στους ανθρώπους όλους᾽
κι ως ήταν όμορφος, τον άρπαξαν ψηλά οι θεοί στα ουράνια
για κεραστή του Δία, να βρίσκεται στους αθανάτους μέσα.
Το Λαομέδοντα τον άψεγο γέννησε ο Ίλος πάλε,
κι ο Λαομέδοντας εγέννησε τον Τιθωνό, το Λάμπο,
τον Ικετάονα τον πολέμαρχο, τον Πρίαμο, τον Κλυτίο᾽
κι ο Ασσάρακος τον Κάπη εγέννησε, κι εκείνος τον Αγχίση'

και πάλε εγώ του Αγχίση, κι ο Έχτορας του Πρίαμου γιος λογιέται.
Τέτοια η γενιά μου εμένα πέτομαι πως είναι, τέτοια η φύτρα.
Μα των θνητών η αντρεία, απ᾽ το θέλημα του Δία, τη μια τρανεύει,
την άλλη σβήνει, τι είναι απ᾽ όλους μας ο πιο τρανός εκείνος.
Μα τώρα συμπρός, ας μη στεκόμαστε μες στη σφαγή την άγρια᾽

ἑσταότ᾽ ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ᾽, οὐδ᾽ ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ᾽ ἐστὶ βροτῶν, πολέες δ᾽ ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

ὁπποῖόν κ᾽ εἴπῃσθα ἔπος, τοῖόν κ᾽ ἐπακούσαις.
ἀλλὰ τί ἢ ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον ὥς τε γυναῖκας,
αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικεῦσ᾽ ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι

πόλλ᾽ ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
ἀλκῆς δ᾽ οὔ μ᾽ ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα
πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ᾽ ἄγε θᾶσσον
γευσόμεθ᾽ ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν.
ἦ ῥα καὶ ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος

σμερδαλέῳ· μέγα δ᾽ ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ.
Πηλεΐδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
ῥέα διελεύσεσθαι μεγαλήτορος Αἰνείαο
νήπιος, οὐδ᾽ ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν

ὡς οὐ ῥηϊδίη᾽ ἐστὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ᾽ ὑποείκειν.
οὐδὲ τότ᾽ Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἳ δ᾽ ἄρ᾽ ἔτι τρεῖς

ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων,
τὰς δύο χαλκείας, δύο δ᾽ ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ᾽ ἔσχετο μείλινον ἔγχος.
δεύτερος αὖτ᾽ Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Αἰνείαο κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην

ἄντυγ᾽ ὕπο πρώτην, ᾗ λεπτότατος θέε χαλκός,
λεπτοτάτη δ᾽ ἐπέην ῥινὸς βοός· ἦ δὲ διὰ πρὸ
Πηλιὰς ᾔξεν μελίη, λάκε δ᾽ ἀσπὶς ὑπ᾽ αὐτῆς.
Αἰνείας δ᾽ ἐάλη καὶ ἀπὸ ἕθεν ἀσπίδ᾽ ἀνέσχε
δείσας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτου ἐνὶ γαίῃ

ἔστη ἰεμένη, διὰ δ᾽ ἀμφοτέρους ἔλε κύκλους
ἀσπίδος ἀμφιβρότης· ὃ δ᾽ ἀλευάμενος δόρυ μακρὸν
ἔστη, κὰδ δ᾽ ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,
ταρβήσας ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεὺς
ἐμμεμαὼς ἐπόρουσεν ἐρυσσάμενος ξίφος ὀξὺ

μικρά παιδιά θαρρώ δεν είμαστε, για να μιλούμε τέτοια·
τι λόγια αγγιχτικά κατέχουμε κι εσύ κι εγώ να πούμε,
ένα σωρό, που ουδ᾽ εκατόκουπο θα τ᾽ άσκωνε καράβι.
Του ανθρώπου η γλώσσα είναι γοργόστροφη, περίσσιες οι κουβέντες,
λογής λογής, κι ο κάμπος διάπλατος για να θερίζεις λόγια·

κι ο κάθε λόγος έχει αντίλογο, κι ό,τι θα πεις θ᾽ ακούσεις.
Μα ποια ειν᾽ η ανάγκη εμείς να στήσουμε καβγά και ξεσυνέρια,
ο ένας τον άλλο αντίκρα βρίζοντας, παρόμοια με γυναίκες,
που καρδιοφάουσα αμάχη ξάναψε, κι ως έχουνε φρενιάσει,
καταμεσός του δρόμου πιάνουνται, και ρίχνει η μια στην άλλη
λόγια πολλά, σωστά και ψεύτικα, σαν που ο θυμός τις σπρώχνει;
Την άγρια ορμή μου πια δε γίνεται με λόγια να κρατήσεις,
πριν χτυπηθούμε εμείς με τ᾽ άρματα᾽ την αντριγιά μας έλα
ο ένας του άλλου να δοκιμάσουμε με τα χαλκά κοντάρια!»
Είπε, και το γερό κοντάρι του στο αδρό σκουτάρι ρίχνει,

το φοβερό· κι αυτό αντιβρόντηξε στου κονταριού τη μύτη.
Τότε ο Αχιλλέας αλάργα επρόβαλε με το βαρύ του χέρι
το αδρό σκουτάρι, τι εφοβήθηκε μην το περάσει του άγριου
του Αινεία το μακρογίσκιωτο εύκολα κοντάρι πέρα ως πέρα,
ο ανέμυαλος! καί δεν το λόγιασε, δεν πέρασε απ᾽ το νου του
πως των θεών μαθές δε γίνεται τα ξακουσμένα δώρα
να τα δαμάσουν καταλυώντας τα θνητών ανθρώπων χέρια.
Κι ουδέ του Αινεία το στέριο επέρασε κοντάρι τότε αντίκρα'
το δώρο του θεού, το μάλαμα, του αντίσκοψε τη φόρα'
μόνο τις δυο τις στρώσες πέρασε και μέναν τρεις ακόμα'

τι ο Κουτσοπόδης είχε απάνω του καρφώσει στρώσες πέντε,
δυο μέσα από καλάι, δυο χάλκινες και μια μαλαματένια
αναμεσός᾽ εκεί εσταμάτησε το φράξινο κοντάρι.
Δεύτερος τότε το μακρόισκιωτο ρίχνει ο Αχιλλέας κοντάρι,
και χτύπησε το ολούθε ισόκυκλο του Αίνεία σκουτάρι, απάνω
στο ακρόχειλο, ο χαλκός κει που 'τρεχε κατάφτενος, ντυμένος
μέσα βοδιού τομάρι ολόφτενο᾽ και το κοντάρι εχύθη
μπροστά το φράξινο, και βρόντηξε στο χτύπο το σκουτάρι.
Κι ο Αινείας φοβήθηκε και ζάρωσε, και το σκουτάρι ασκώνει
μακριά του᾽ και ψηλά απ᾽ τη ράχη του πετώντας το κοντάρι

τους δυο τους γύρους πρώτα ετρύπησε του σκουταριού, κι εχώθη
μετά στη γή᾽ κι αυτός ξεφεύγοντας τ᾽ ολόμακρο κοντάρι
στάθη, και πίκρα εχύθη ατέλειωτη στα μάτια του, τι εσκιάχτη
που εμπήχτη το κοντάρι δίπλα του. Τότε ο Αχιλλέας λυσσώντας
το κοφτερό σπαθί του ετράβηξε κι απάνω του χιμίζει
με άγριες φωνές· κι ο Αινείας θεόρατη φουχτώνει ευτύς κοτρόνα,

σμερδαλέα ἰάχων· ὃ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ᾽ ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ᾽· ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος.
ἔνθά κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ
ἢ κόρυθ᾽ ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,

τὸν δέ κε Πηλεΐδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
αὐτίκα δ᾽ ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
ὤ πόποι ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλεΐωνι δαμεὶς Ἄϊδος δὲ κάτεισι

πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τί ἢ νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει
μάψ ἕνεκ᾽ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ᾽ αἰεὶ
δῶρα θεοῖσι δίδωσι τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;

ἀλλ᾽ ἄγεθ᾽ ἡμεῖς πέρ μιν ὑπὲκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἐστ᾽ ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων

οἳ ἔθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἔχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·

ἐννοσίγαι᾽, αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν ἤ κέν μιν ἐρύσσεαι ἦ κεν ἐάσῃς
Πηλεΐδῃ Ἀχιλῆϊ δαμήμεναι, ἐσθλὸν ἐόντα.
ἤτοι μὲν γὰρ νῶϊ πολέας ὠμόσσαμεν ὅρκους
πᾶσι μετ᾽ ἀθανάτοισιν ἐγὼ καὶ Παλλὰς Ἀθήνη

μή ποτ᾽ ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
μηδ᾽ ὁπότ᾽ ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
καιομένη, καίωσι δ᾽ ἀρήϊοι υἱες Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ᾽ ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,

ἷξε δ᾽ ὅθ᾽ Αἰνείας ἠδ᾽ ὃ κλυτὸς ἦεν Ἀχιλλεύς.
αὐτίκα τῷ μὲν ἔπειτα κατ᾽ ὀφθαλμῶν χέεν ἀχλὺν
Πηλεΐδῃ Ἀχιλῆϊ· ὃ δὲ μελίην εὔχαλκον
ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,

που δυο μαζί δε θα την άσκωναν απ᾽ όσους ζούνε ανθρώπους'
τώρα στη γή᾽ μα εκείνος εύκολα την έπαιζε και μόνος.
Κι όπως χιμούσε, θα τον έβρισκε τότες ο Αινείας στο κράνος
για στο σκουτάρι, που του απόδιωχνε το μαύρο Χάρο πάντα,

κι εκείνον ο Αχιλλέας θα σκότωνε με το σπαθί σιμάθε,
του Ποσειδώνα αν δεν τους έπαιρνε το μάτι απά στην ώρα᾽
κι ευτύς γυρνώντας στους αθάνατους τέτοια μιλάει και κρένει:
« Ωχού μου, τον Αινεία τον άτρομο πως τον λυπάμαι τώρα,
που απ᾽ του Αχιλλέα τα χέρια γρήγορα θα κατεβεί στον Άδη!
Του σαγιτάρη Φοίβου Απόλλωνα τον γέλασαν τα λόγια,
τον άμυαλο! Μα εκείνος σίγουρα το Χάρο δεν του διώχνει.
Μ᾽ αυτός γιατί να βασανίζεται για ξένες έγνοιες τώρα,
που είναι άφταιγος, και καλοπρόσδεχτα περίσσια δώρα πάντα
χαρίζει στους θεούς, που χαίρουνται ψηλά τα ουράνια πλάτη;

Ομπρός λοιπόν, ας τον γλιτώσουμε κι εμείς από το Χάρο.
Αν ο Αχιλλέας εδώ τον σκότωνε, θα θύμωνε, φοβούμαι,
του Κρόνου ο γιος᾽ τι είναι απ᾽ τη Μοίρα του γραμμένο να ξεφύγει,
για να μη σβήσει ολότελα άκληρο κι ασήμαδο το γένος
του Δάρδανου, που ο γιος αγάπησε του Κρόνου απάνω απ᾽ όλα
τ᾽ άλλα παιδιά του, όσα γεννήθηκαν από θνητές γυναίκες·
τι τη γενιά του Πρίαμου μίσησε πια τώρα ο γιος του Κρόνου·
εδώ κι ομπρός ο Αινείας ο ατρόμητος στους Τρώες θα βασιλέψει,
και τα παιδιά του και τ᾽ αγγόνια του κι όλη σειρά η γενιά του.»
Και τότε η σεβαστή του απάντησε βοϊδόματη Ήρα κι είπε:

«Μονάχος, Κοσμοσείστη, απόφαση για τον Αινεία θα πάρεις·
θα τον γλιτώσεις παραστέκοντας, για απ᾽ του Αχιλλέα τα χέρια
θ᾽ αφήσεις τώρα να 'βρει θάνατο, με όσην αντρεία κι αν έχει;
τι εμάς τις δυο μαθές οι αθάνατοι, την Αθηνά κι εμένα,
έχουν ακούσει που ορκιζόμαστε πολλές φορές μπροστά τους,
να μη γλιτώσουμε απ᾽ το θάνατο κανένα Τρώα ποτέ μας,
μηδέ όταν καίει την Τροίαν αδάμαστη φωτιά, κι απ᾽ άκρη ως άκρη
θα καίγεται, απ᾽ τους πολεμόχαρους Αργίτες αναμμένη.»
Κι ο Ποσειδώνας μόλις άκουσε τα λόγια αυτά, ξεκόβει,
κι ανοίγει δρόμο μες στον πόλεμο, στων κονταριών τους χτύπους'

κι ως έφτασε στο μέρος που 'στεκαν ο γαύρος Αχιλλέας
κι ο Αινείας, αντάρα ευτύς εσκόρπισε μπρος στου Αχιλλέα τα μάτια,
και το κοντάρι του το φράξινο, το χαλκαρματωμένο,
απ᾽ το σκουτάρι του λιοντόκαρδου του Αινεία τραβάει και βγάζει'
κι αφού μπρος στου Αχιλλέα το απίθωσε τα πόδια, τον Αινεία

Αἰνείαν δ᾽ ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ᾽ ἀείρας.
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
ἷξε δ᾽ ἐπ᾽ ἐσχατιὴν πολυάϊκος πολέμοιο,
ἔνθά τε Καύκωνες πόλεμον μέτα θωρήσσοντο.

τῷ δὲ μάλ᾽ ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, τίς σ᾽ ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἄμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;

ἀλλ᾽ ἀναχωρῆσαι ὅτε κεν συμβλήσεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ᾽ Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ᾽ ἄλλος Ἀχαιῶν ἐξεναρίξει.

ὣς εἰπὼν λίπεν αὐτόθ᾽, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δ᾽ ἔπειτ᾽ Ἀχιλῆος ἀπ᾽ ὀφθαλμῶν σκέδασ᾽ ἀχλὺν
θεσπεσίην· ὃ δ᾽ ἔπειτα μέγ᾽ ἔξιδεν ὀφθαλμοῖσιν,
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι·

ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω, τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐρρέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι

ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ᾽ ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ·
μηκέτι νῦν Τρώων ἑκὰς ἔστατε δῖοι Ἀχαιοί,

ἀλλ᾽ ἄγ᾽ ἀνὴρ ἄντ᾽ ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι
τοσσούσδ᾽ ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
οὐδέ κ᾽ Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ᾽ Ἀθήνη
τοσσῆσδ᾽ ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·

ἀλλ᾽ ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μ᾽ ἔτι φημὶ μεθησέμεν οὐδ᾽ ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν᾽ οἴω
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ.
ὣς φάτ᾽ ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ

ψηλά απ᾽ τη γης ασκώνει γρήγορα και σφεντονίζει πίσω.
Από πολλές σειρές πολέμαρχους, πολλές σειρές αμάξια
πήδηξε πάνω ο Αινείας, πετάμενος απ᾽ του θεού το χέρι,
και στης σφαγής της άγριας βρέθηκε την άκρην άκρη πίσω,
κει που αρματώνουνταν οι Καύκωνες για να ριχτούν στη μάχη.

Κι ο Κοσμοσείστης τότε δίπλα του σιμώνοντας εστάθη,
τον έκραξε και με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Σαν ποιος θεός, Αινεία, σε τύφλωσε κι έτσι σε σπρώχνει τώρα
με του Πηλέα το γιο τον άφοβο να χτυπηθείς αγνάντια,
που είναι από σένα και πιο αντρόκαρδος και στους θεούς πιο φίλος;
Γύρνα τα πίσω ωστόσο, αγνάντια σου μόλις προβάλει εκείνος,
στον Άδη μη βρεθείς, η Μοίρα σου κι ας μην το γράφει ακόμα.
Μα σύντας πια τον έβρει ο θάνατος τον Αχιλλέα και λείψει,
πολέμα τότε μες στους πρόμαχους, κανένα μη φοβάσαι·
τι άλλος Αργίτης λέω δε δύνεται να σε σκοτώσει εσένα.»

Κι ως όλα τούτα του ξεδιάλυνε μιλώντας, τον αφήνει,
και την καταχνιά ευτύς διασκόρπισε μπρος στου Αχιλλέα τα μάτια,
τη φοβερή· κι αυτός τα μάτια του σαστίζοντας ανοίγει.
Βαρυγκομώντας τότε μίλησε στην πέρφανη καρδιά του:
« Ωχού, τι θάμα αυτό κι αντίθαμα τα μάτια μου που βλέπουν!
Να το κοντάρι μου κατάχαμα, κι ουδέ θωρώ τον άντρα,
που 'ριξα πάνω του, γυρεύοντας στη γη να τον ξαπλώσω.
Και τον Αινεία λοιπόν οι αθάνατοι θεοί τον αγαπούσαν,
κι όμως θαρρούσα εγώ πως άδικα μου παινευόταν έτσι.
Μα καταγκρέμου ας πάει! Πια ανάκαρα δε θα 'χει λέω ποτέ του

να μ᾽ ανταμώσει, μια και ξέφυγε χαρούμενος του Χάρου.
Μα τώρα ομπρός, τους πολεμόχαρους Αργίτες να γκαρδιώσω,
κι ευτύς μετά θ᾽ ανοίξω πόλεμο στους άλλους Τρώες αγνάντια.»
Είπε, και σ᾽ έναν έναν φώναζε μες στις γραμμές πηδώντας:
« Αλάργα πια απ᾽ τους Τρώες μη στέκεστε, τρανοί μου Αργίτες, τώρα!
Ομπρός, τραβάτε! Ανοίχτε πόλεμο μαζί τους, άντρας με άντρα,
γεμάτοι ορμή· τι μου είναι δύσκολο, με όσην αντρεία κι αν έχω,
να κυνηγήσω τόσους τρέχοντας και να παλέψω με όλους'
τι μήτε κι ο Άρης, που 'ναι αθάνατος, μήτε η Αθηνά θα μπορούν
να πολεμούν ολούθε τρέχοντας, τόσο που απλώνει η μάχη.

Όμως και πάλε, όσο έχω δύναμη στα χέρια και στα πόδια,
για να βαστήξω, εγώ τον πόλεμο δε θα τον παρατήσω·
μιαν άκρη ως άλλη τις αράδες τους θα τρέξω, κι όποιον φτάσω
από τους Τρώες με το κοντάρι μου δε θα χαρεί καθόλου!»
Έτσι τους γκάρδιωνε, μα κι ο Έκτορας στους Τρώες κουράγιο δίνει

κέκλεθ᾽ ὁμοκλήσας, φάτο δ᾽ ἴμεναι ἄντ᾽ Ἀχιλῆος·
Τρῶες ὑπέρθυμοι μὴ δείδιτε Πηλεΐωνα.
καί κεν ἐγὼ ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην,
ἔγχεϊ δ᾽ ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ᾽ Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,

ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
τοῦ δ᾽ ἐγὼ ἀντίος εἶμι καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ᾽ αἴθωνι σιδήρῳ.
ὣς φάτ᾽ ἐποτρύνων, οἳ δ᾽ ἀντίοι ἔγχε᾽ ἄειραν
Τρῶες· τῶν δ᾽ ἄμυδις μίχθη μένος, ὦρτο δ᾽ ἀϋτή.

καὶ τότ᾽ ἄρ᾽ Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
Ἕκτορ μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ᾽ ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ.
ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν

ταρβήσας, ὅτ᾽ ἄκουσε θεοῦ ὅπα φωνήσαντος.
ἐν δ᾽ Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἰμένος ἀλκὴν
σμερδαλέα ἰάχων, πρῶτον δ᾽ ἕλεν Ἰφιτίωνα
ἐσθλὸν Ὀτρυντεΐδην πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηΐς Ὀτρυντῆϊ πτολιπόρθῳ

Τμώλῳ ὕπο νιφόεντι Ὕδης ἐν πίονι δήμῳ·
τὸν δ᾽ ἰθὺς μεμαῶτα βάλ᾽ ἔγχεϊ δῖος Ἀχιλλεὺς
μέσσην κὰκ κεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη,
δούπησεν δὲ πεσών, ὃ δ᾽ ἐπεύξατο δῖος Ἀχιλλεύς·
κεῖσαι Ὀτρυντεΐδη πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν·

ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ᾽ ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν
Ὕλλῳ ἐπ᾽ ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι.
ὣς ἔφατ᾽ εὐχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψε.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο

πρώτῃ ἐν ὑσμίνῃ· ὃ δ᾽ ἐπ᾽ αὐτῷ Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχης Ἀντήνορος υἱὸν
νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου.
οὐδ᾽ ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι᾽ αὐτῆς
αἰχμὴ ἰεμένη ῥῆξ᾽ ὀστέον, ἐγκέφαλος δὲ

ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ᾽ ἔπειτα καθ᾽ ἵππων ἀΐξαντα
πρόσθεν ἔθεν φεύγοντα μετάφρενον οὔτασε δουρί.
αὐτὰρ ὃ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα

και να ριχτούν τους φώναζε άφοβα στον αντρειανό Αχιλλέα:
« Μπρος στου Πηλέα το γιο μη σκιάζεστε, τρανοί μου Τρώες, καθόλου'
κι εγώ με λόγια και με αθάνατους μπορούσα να τα βάλω,
μα όχι και με άρματα, γιατί είμαστε πολύ αχαμνότεροι τους.
Μήτε ο Αχιλλέας να κάμει δύνεται τα λόγια του όλα πράξη'

κι αν κάμει το 'να, όμως στο δεύτερο λέω θα κοπεί στη μέση.
Μπροστά του εγώ θα βγω, τα χέρια του με τη φωτιά κι αν μοιάζουν,
τα χέρια με φωτιά, κι η λύσσα του με σίδερο που αστράφτει.»
Έτσι τους γκάρδιωνε, και σήκωσαν εκείνοι τα κοντάρια
να χτυπηθούν, κι η ορμή τους έσμιξε, κι αλαλαγμός ασκώθη.
Και τότε φώναξε στον Έχτορα ζυγώνοντας ο Φοίβος:
« Μη βγεις να πολεμήσεις, Έχτορα, τον Αχιλλέα καθόλου,
μον᾽ μέσα στους πολλούς καρτέρα τον, εκεί που βράζει η μάχη,
μπας καί σου ρίξει για σιμώνοντας με το σπαθί σε κρούσει.»
Αυτά είπε, κι ο Έχτορας εχώθηκε ξανά στο ασκέρι μέσα

σκιαγμένος, του θεού που εφώναζε σαν άκουσε το λάλο.
Τότε ο Αχιλλέας στους Τρώες εχύθηκε, περίσσια αντρεία ζωσμένος,
φριχτά μουγκρίζοντας, κι ολόπρωτο τον Ιφιτίωνα ρίχνει,
γιο του Οτρυντέα τρανό, που αφέντευε σε πλήθιο ασκέρι απάνω'
τον είχε του Οτρυντέα του αντρόκαρδου γεννήσει μια νεράιδα
στην πλούσιαν Ύδα, στα ριζώματα του χιονισμένου Τμώλου.
Τότε ο Αχιλλέας, ως κείνος χίμιζε, τον πέτυχε στη μέση
της κεφαλής με το κοντάρι του, κι αυτή στα δυο εχωρίστη.
Πέφτει με βρόντο, κι ο αρχοντόγεννος καυκήθηκε Αχιλλέας:
« Γιε του Οτρυντέα, που ο κόσμος σ᾽ έτρεμε, στη γη ξαπλώνεις τώρα!

Εδώ μαθές σε βρήκε ο θάνατος, κι ας σέρνεις απ᾽ τη λίμνη
τη Γύγαια, γονικό όπου εχαίρουσουν βασιλομοίρι, πάνω
στου Ύλλου τους όχτους του πολύψαρου και του Έρμου του αφρισμένου.»
Έτσι καυκιόταν του Ιφιτίωνα τα μάτια ωστόσο η νύχτα
σκεπάζει· και τ᾽ Αργίτικα άλογα τον ξέσκιζαν στις πρώτες
γραμμές της μάχης με τις ρόδες τους. Κι εκείνος στο μελίγγι
το Δημολέοντα, γιο του Αντήνορα, τρανό κονταρομάχο,
χτυπά, σουβλίζοντας το κράνος του το χαλκομαγουλάτο'
κι ούτε και βάστηξε το χάλκινο το κράνος, μόνο η μύτη
πέρασε η χάλκινη και σύντριψε το κόκαλο, και λιώμα

γένηκαν τα μυαλά, κι ως χίμιζε, στο χώμα τον ξαπλώνει.
Μετά τον Ιπποδάμα, ως πήδηξε στη γης από τ᾽ αμάξι
κι αντίκρα, του έφευγε, κοντάρεψε καταμεσός στην πλάτη·
κι εκείνος ξεψυχώντας μούγκρισε, καθώς μουγκρίζει ταύρος,
σύντας τον παν τραβώντας άγουροι στον άρχο της Ελίκης,
κι ως τον τραβούν εκείνοι, χαίρεται βαθιά του ο Κοσμοσείστης·

κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς ἐνοσίχθων·
ὣς ἄρα τόν γ᾽ ἐρυγόντα λίπ᾽ ὀστέα θυμὸς ἀγήνωρ·
αὐτὰρ ὃ βῆ σὺν δουρὶ μετ᾽ ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ᾽ οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,

καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα
δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων
θῦνε διὰ προμάχων, εἶος φίλον ὤλεσε θυμόν.
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς
νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες

χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ·
ἀντικρὺ δὲ διέσχε παρ᾽ ὀμφαλὸν ἔγχεος αἰχμή,
γνὺξ δ᾽ ἔριπ᾽ οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψε
κυανέη, προτὶ οἷ δ᾽ ἔλαβ᾽ ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ᾽ ὡς ἐνόησε κασίγνητον Πολύδωρον

ἔντερα χερσὶν ἔχοντα λιαζόμενον ποτὶ γαίη
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς· οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη
δηρὸν ἑκὰς στρωφᾶσθ᾽, ἀλλ᾽ ἀντίος ἦλθ᾽ Ἀχιλῆϊ
ὀξὺ δόρυ κραδάων φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
ὡς εἶδ᾽, ὡς ἀνεπᾶλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·

ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ᾽ ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ᾽ ἂν ἔτι δὴν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.
ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
ἆσσον ἴθ᾽ ὥς κεν θᾶσσον ὀλέθρου πείραθ᾽ ἵκηαι.

τὸν δ᾽ οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ·
Πηλεΐδη μὴ δή μοι ἐπέεσσί με νηπύτιον ὡς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ᾽ αἴσυλα μυθήσασθαι.
οἶδα δ᾽ ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.

ἀλλ᾽ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ᾽ Ἀθήνη
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο

ἦκα μάλα ψύξασα· τὸ δ᾽ ἆψ ἵκεθ᾽ Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεὺς
ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μενεαίνων,
σμερδαλέα ἰάχων· τὸν δ᾽ ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ᾽ ὥς τε θεός, ἐκάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ.

με τέτοιο μούγκρισμα παράτησε τα κόκαλα η ψυχή του.
Τότε ο Αχιλλέας με το κοντάρι του χιμάει στον αντρειωμένο
το γιο του Πρίαμου, τον Πολύδωρο, που ο κύρης του στη μάχη
δεν άφηνε να βγει, τι ολόκαρδη, στερνό παιδί του ως ήταν,

του 'χεν αγάπη, και στο τρέξιμο τους έβαζε όλους κάτω.
Και τώρα, για να δείξει ο ανέμυαλος το πόσο σβέλτος ήταν,
μέσα χιμούσε από τους πρόμαχους, ως που τον βρήκε ο Χάρος'
τι το κοντάρι του ανεμόποδου τον πέτυχε Αχιλλέα
πίσω στη μέση, πλάι του ως διάβαινε, κει που χρυσά θηλύκια
τη ζώνη σφίγγουν και σταυρώνοντας ο θώρακας διπλώνει.
Πέρα μεριά ο χαλός επρόβαλε στον αφαλό του δίπλα,
και πέφτει βόγγοντας στα γόνατα, και τον σκεπάζει γνέφος
θολό, κι ως εσωριάστη, πάνω του κρατούσε τ᾽ άντερά του.
Κι ως είδε τότε ο μέγας Έχτορας στο χώμα σωριασμένο

τον αδερφό του τον Πολύδωρο με τ᾽ άντερα στα χέρια,
σκοτάδι έχύθηκε στα μάτια του, και πια να μένει αλάργα
δε βάστηξε άλλο᾽ απάνω εχύθηκε στον Αχιλλέα, κουνώντας,
παρόμοιος φλόγα, το κοντάρι του το μυτερό᾽ μα εκείνος
τινάχτη απάνω, ως τον αντίκρισε, και με χαρά φωνάζει:
« Ζυγώνει αυτός που απ᾽ όλους πιότερο τα σπλάχνα μου 'χει κάψει,
αυτός τον ακριβό μου σύντροφο που εσκότωσε᾽ μα τώρα
ο ένας του άλλου πια δε θα κρύβεται στα διάβατα της μάχης.»
Είπε, και φώναξε στον Έχτορα ταυροκοιτάζοντάς τον:
«Για σίμωσε, μιαν ώρα αρχύτερα το Χάρο ν᾽ ανταμώσεις!»

Και τότε ο κρανοσείστης Έχτορας του κάνει δίχως φόβο:
« Γιε του Πηλέα, γυρεύεις άδικα, μωρό παιδί σα να 'μουν,
να με τρομάξεις με τη γλώσσα σου᾽ καλά κι εγώ κατέχω
και λόγια αγγιχτικά απ᾽ το στόμα μου να βγάλω και φοβέρες.
Τρανός πως είσαι, κι αχαμνότερος εγώ πολύ, το ξέρω"
όμως στα χέρια των αθάνατων είναι όλα κρεμασμένα'
μπορεί, κι αν είμαι εγώ αχαμνότερος, να σε σκοτώσω᾽ κόβει
κι εμένα η μύτη στο κοντάρι μου, να σε πετύχω μόνο!»
Είπε, και ρίχνει το κοντάρι του με ορμή, μα κείνο πίσω
φυσώντας η Αθηνά το απόδιωξεν απ᾽ τον τρανό Αχιλλέα

με ανάλαφρη πνοή᾽ στον Έχτορα ξαναγυρίζει εκείνο
και πέφτει αυτού, μπροστά στα πόδια του᾽ τότε ο Αχιλλέας
λυσσώντας
χιμίζει απάνω του, γυρεύοντας να πάρει τη ζωή του,
με άγριες φωνές᾽ όμως τον Έχτορα τρέχει κι αρπάζει ο Φοίβος
εύκολα, ωσάν θεός, κι απάνω του πυκνή σκορπίζει αντάρα

τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
ἔγχεϊ χαλκείῳ, τρὶς δ᾽ ἠέρα τύψε βαθεῖαν.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ᾽ ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον· ἦ τέ τοι ἄγχι

ἦλθε κακόν· νῦν αὖτέ σ᾽ ἐρύσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ᾽ ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω.

ὣς εἰπὼν Δρύοπ᾽ οὖτα κατ᾽ αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν· ὃ δὲ τὸν μὲν ἔασε,
Δημοῦχον δὲ Φιλητορίδην ἠῧν τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε. τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν·

αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον υἷε Βίαντος
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ᾽ Ἀλαστορίδην, ὃ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ πώς εὐ πεφίδοιτο λαβὼν καὶ ζωὸν ἀφείη

μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας,
νήπιος, οὐδὲ τὸ ᾔδη ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ᾽ ἀγανόφρων,
ἀλλὰ μάλ᾽ ἐμμεμαώς· ὃ μὲν ἥπτετο χείρεσι γούνων
ἱέμενος λίσσεσθ᾽, ὃ δὲ φασγάνῳ οὖτα καθ᾽ ἧπαρ·

ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ᾽ αὐτοῦ
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσε κάλυψε
θυμοῦ δευόμενον· ὃ δὲ Μούλιον οὖτα παραστὰς
δουρὶ κατ᾽ οὖς· εἶθαρ δὲ δι᾽ οὔατος ἦλθ᾽ ἑτέροιο
αἰχμὴ χαλκείη· ὃ δ᾽ Ἀγήνορος υἱὸν Ἔχεκλον

μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι,
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ᾽ ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ᾽ ἔπειθ᾽, ἵνα τε ξυνέχουσι τένοντες
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν

Τρεις φορές χύθηκε ο φτερόποδος με το χαλκό κοντάρι
θείος Αχιλλέας, καί τρεις εχτύπησε τη σύμπυκνην αντάρα'
μα σύντας χίμιξε και τέταρτην, ίδια θεός, φοβέρα,
φριχτή πετάει, και με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Του Χάρου, σκύλε, πάλι εξέφυγες! Μια τρίχα κι εχανόσουν!

Ξανά σε γλίτωσεν ο Απόλλωνας ο Φοίβος, που ως στους χτύπους
των κονταριών κινάς, ταξίματα περίσσια θα του κάνεις.
Θα σε ξεκάμω εγώ κι αργότερα, να σε πετύχω μόνο,
κάποιος και μένα απ᾽ τους αθάνατους μαθές αν παραστέκει.
Τώρα η σειρά των άλλων πάνω τους θα πέσω, κι όποιον έβρω!»
Είπε, και ρίχνει το κοντάρι του στο Δρύοπα, και τον βρίσκει
στο σβέρκο απάνω᾽ μπρος στα πόδια του σωριάστη αυτός, μα εκείνος
τον παρατάει, και του Φιλήτορα το γιο, τον αντρειωμένο
Δημούχο, κάρφωσε στο γόνατο᾽ κι ως του 'κοψε τη φόρα,
του δίνει μια με το θεόρατο σπαθί και τον σκοτώνει.

Μετά χιμάει κι από το αμάξι τους μαζί στο χώμα ρίχνει
το Λαογόνο και το Δάρδανο, τους γιους του Βία, τον έναν
με το κοντάρι, και, σιμώνοντας, με το σπαθί τον άλλον.
Όμως τον Τρώα, το γιο του Αλάστορα τι ήρθε σιμά του εκείνος
κι από τα γόνατα τον έπιασε, μην τη ζωή από σπλάχνος
του χάριζε κι ουδέ τον σκότωνε, της ελικιάς του ως ήταν
ο ανέμυαλος! και δε στοχάζουνταν το νου πως δεν του αλλάζει.
Δεν είχε ομπρός του έναν καλόγνωμο κι ουδέ ψυχοπονιάρη᾽
είχε θεριό μονάχο᾽ ως του 'σφιγγε τα γόνα μες στα χέρια
παρακαλώντας, κείνος του 'μπηξε στο σκώτι το σπαθί του,

κι όξω το σκώτι εχύθη᾽ ολόμαυρο το γαίμα πλημμυρίζει
τον κόρφο του, και νύχτα εσκέπασε πυκνή τα δυο του μάτια,
ως του 'φευγε η ζωή. Σιμώνοντας τότε ο Αχιλλέας το Μούλιο
στο αφτί με το κοντάρι του 'δωσε, κι απ᾽ το άλλο αφτί του έβγηκε
ο χάλκινος χαλός. Του Αγήνορα μετά το γιο βαρίσκει,
τον Έχεκλο, με τ᾽ ωριομανικο σπαθί μες στο κεφάλι.
Κι απ᾽ το αίμα το σπαθί του επύρωσε, κι εκείνου τα δυο μάτια
σφάλιξε η Μοίρα η τρανοδύναμη κι ο κόκκινος ο Χάρος.
Μετά στο Δευκαλίωνα εχίμιξε, κι όπου τα νεύρα σμίγουν
του αγκώνα, ως πέρα το βραχιόνι του με το χαλκό κοντάρι

ἀιχμῇ χαλκείῃ· ὃ δέ μιν μένε χεῖρα βαρυνθεὶς
πρόσθ᾽ ὁρόων θάνατον· ὃ δὲ φασγάνῳ αὐχένα θείνας
τῆλ᾽ αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ᾽, ὃ δ᾽ ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰέναι μετ᾽ ἀμύμονα Πείρεω υἱὸν
῾Ρίγμον, ὃς ἐκ Θρῄκης ἐριβώλακος εἰληλούθει·
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ᾽ ἐν νηδύϊ χαλκός,
ἤριπε δ᾽ ἐξ ὀχέων· ὃ δ᾽ Ἀρηΐθοον θεράποντα
ἂψ ἵππους στρέψαντα μετάφρενον ὀξέϊ δουρὶ
νύξ᾽, ἀπὸ δ᾽ ἄρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
ὡς δ᾽ ἀναμαιμάει βαθέ᾽ ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
ὡς ὅ γε πάντῃ θοῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος
κτεινομένους ἐφέπων· ῥέε δ᾽ αἵματι γαῖα μέλαινα.
ὡς δ᾽ ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφά τε λέπτ᾽ ἐγένοντο βοῶν ὑπὸ πόσσ᾽ ἐριμύκων,
ὣς ὑπ᾽ Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἵ περὶ δίφρον,
ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων· ὃ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

τρυπάει᾽ κι ως βάρυνε το χέρι του κι απόμεινε θωρώντας
το Χάρο ομπρός του, εκείνος του 'δωκε με το σπαθί στο σβέρκο᾽
και πέρα η κεφαλή του σύγκρανη πετάχτη, κι ο μυαλός του
απ᾽ τα σφοντύλια ξεπετάχτηκε, κι αυτός στη γη εξαπλώθη.
Κι εκείνος πάλε στον αντρόκαρδο χιμίζει Ρίγμο απάνω,
το γιο του Πείρη, απ᾽ τη χοντρόβωλη τη Θράκη που 'χεν έρθει᾽
κατάκορμα.τον βρήκε, κι έμπηξε το χάλκινο κοντάρι
μες στην κοιλιά του, κι απ᾽ τ᾽ αμάξι του σωριάστη᾽ πάλι εκείνος
το σύντροφο του Αρήθοο, τ᾽ άλογα που εγύρναε, κονταρεύει
στην πλάτη και πετά απ᾽ τ᾽ αμάξι του, και τ᾽ άλογα σκιάχτηκαν.
Πώς η φωτιά μανιάζει σύφλογη μες στα βαθιά φαράγγια
κάποιου βουνού ξερού, και καίγεται το σύμπυκνο ρουμάνι,
κι ολούθε η ανεμική, φυσώντας τη, κλωθογυρνάει τη φλόγα'
παρόμοια κι ο Αχιλλέας συνάρματος, ίδια θεός, εχίμα,
πατώντας τα κουφάρια, κι έπλεχεν η μαύρη γης στο γαίμα.
Πώς ζεύει ο αλωνιστής τους ταύρους του τους φαρδιοκουτελάτους,
άσπρο κριθάρι για να τρίψουνε στο πατημένο αλώνι,
κι έγινε ευτύς απ᾽ των βαριόμουγκρων βοδιών τα πόδια λιώμα'
όμοια και τ᾽ άτια τα μονόνυχα του αντρόκαρδου Αχιλλέα
σκουτάρια και νεκρούς ανάκατα πατούσαν, κι από κάτω
το αξόνι ακέριο αιματοβάφουνταν και του αμαξιού του οι γύροι
από τις στάλες που ξεπέταγαν τα νύχια των αλόγων
κι οι ρόδες έξω᾽ όμως αδιάκοπα κι άλλη ο Αχιλλέας διψούσε
δόξα τρανή, κι ο λύθρος μόλευε τ᾽ ανίκητα του χέρια.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Φ-

-Φ- ἀλλ᾽ ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίον δὲ δίωκε
πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο

ἅμματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
τῇ ῥ᾽ οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ᾽ Ἥρη
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δὲ
ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην,
ἐν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ αἰπὰ ῥέεθρα,

ὄχθαι δ᾽ ἀμφὶ περὶ μεγάλ᾽ ἴαχον· οἱ δ᾽ ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι περὶ δίνας.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμὸν δέ· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ᾽ ὕδωρ·

ὡς ὑπ᾽ Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ᾽ ὄχθῃ
κεκλιμένον μυρίκῃσιν, ὁ δ᾽ ἔσθορε δαίμονι ἶσος
φάσγανον οἷον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα,

τύπτε δ᾽ ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ᾽ ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ᾽ αἵματι ὕδωρ.
ὡς δ᾽ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσιν·

ὡς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
πτῶσσον ὑπὸ κρημνούς. ὁ δ᾽ ἐπεὶ κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠΰτε νεβρούς,

δῆσε δ᾽ ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι,
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
δῶκε δ᾽ ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
αὐτὰρ ὁ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
ἔνθ᾽ υἷι Πριάμοιο συνήντετο Δαρδανίδαο

ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ᾽ αὐτὸς
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα
ἐννύχιος προμολών· ὁ δ᾽ ἐρινεὸν ὀξέϊ χαλκῷ
τάμνε νέους ὄρπηκας, ἵν᾽ ἅρματος ἄντυγες εἶεν·
τῷ δ᾽ ἄρ᾽ ἀνώϊστον κακὸν ἦλυθε δῖος Ἀχιλλεύς.

Μα σύντας φτάσαν στου ωριορέματου του ποταμού το διάβα,
στου Σκάμαντρου του πολυστρόβιλου, που είχεν ο Δίας γεννήσει,
στα δυο τους κόβει, κι άλλους έριχνε στον κάμπο, κυνηγώντας
κατά το κάστρο, εκεί που τρέμοντας οι Αργίτες χτες ακόμα
τρέχαν να φύγουν μπρος στον Έχτορα τον άψεγο που ελύσσα'
εκεί τρεχάτοι τώρα εχύνουνταν᾽ κι η Ήρα αντισκόβοντάς τους
πυκνή καταχνιά ομπρός τους άπλωνε᾽ κι οι άλλοι μισοί τους πάλε
στο ασημοστρόβιλο στριμώχνουνταν βαθιόρεμο ποτάμι.
Κει μέσα ρίχτηκαν με πάταχο, και βούιξε το άγριο ρέμα,

κι αντιλάλησαν οι όχτοι ολόγυρα· κι εκείνοι εκολυμπούσαν
στα στρουφιχτά νερά, γυρίζοντας με βόγγους δώθε κείθε.
Πώς στο ποτάμι οι ακρίδες χύνουνται, τις φλόγες να γλιτώσουν
απ᾽ τη φωτιά που ξάφνου εφούντωσε κι αδάμαστη πετιέται
κορώνοντας, κι αυτές σωριάζουνται πα στα νερά σκιαγμένες'
όμοια σωρός στου βαθιοστρόβιλου του Ξάνθου τ᾽ άγριο ρέμα
άντρες κι αλόγατα στοιβάζουνταν μπρος στου Αχιλλέα τη λύσσα.
Αφήκε τότε ο αρχοντογέννητος στον όχτο εκεί γερμένο
πα στ᾽ αρμυρίκια το κοντάρι του, κι ίδια θεός εχύθη
μονάχα με σπαθί, λογιάζοντας φριχτές δουλειές να κάνει.

Δεξιά ζερβά εχτυπούσε, κι έσκουζαν εκείνοι, ως το σπαθί του
έπεφτε απάνω τους, κι εβάφουνταν στο γαίμα το ποτάμι.
Πώς τ᾽ άλλα ψάρια, σύντας δέλφινας τρανός τα κυνηγήσει,
σε κόρφο τρέχουν καλολίμανο και στις γωνιές σμαριάζουν
ολότρομα᾽ τι τρώει αχόρταγος όσα βρεθούν μπροστά του'
όμοια κι οι Τρώες μες στου άγριου Σκάμαντρου το ρέμα
στριμώχνονταν,
κάτω απ᾽ τους όχτους. Κι ως απόκαμε σκοτώνοντας εκείνος,
απ᾽ όσους ζούσαν δώδεκα άγουρους διαλέγει στο ποτάμι,
για να τους σφάξει γι᾽ αντιπλέρωμα του Πάτροκλου που εχάθη·
και σαστισμένους ως λαφόπουλα τους τράβηξε στον όχτο,

και πίσω με λουριά τα χέρια τους καλοκομμένα δένει,
του ατοί τους γύρα στους καλόπλεχτους φορούσαν θώρακες τους.
Τους δίνει να τους παν οι σύντροφοι στα βαθουλά καράβια,
κι αυτός ξανά στους Τρώες εχίμιξε, το φόνο λαχταρώντας.
Και ξάφνου εκεί μπροστά του ξέκρινε να φεύγει απ᾽ το ποτάμι
το γιο του Πρίαμου το Λυκάονα, που λίγο πριν τον είχε
απ᾽ το περβόλι του πατέρα του μεβιάς ατός του πιάσει,
βγαίνοντας νύχτα᾽ κι όπως έκοβε με κοφτερό πελέκι
αγριοσυκιας κλωνάρια νιόβγαλτα, να κάνει του αμαξιού του
τους γύρους, συφορά ανεπάτεχη μπρος του ο Αχιλλέας πετάχτη.

καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσε
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε·
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο πολλὰ δ᾽ ἔδωκεν
Ἴμβριος Ἠετίων, πέμψεν δ᾽ ἐς δῖαν Ἀρίσβην·
ἔνθεν ὑπεκπροφυγὼν πατρώϊον ἵκετο δῶμα.

ἔνδεκα δ᾽ ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
πέμψειν εἰς Ἀΐδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
τὸν δ᾽ ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς

γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ᾽ ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ᾽ ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
φεύγοντ᾽ ἐκ ποταμοῦ, κάματος δ᾽ ὑπὸ γούνατ᾽ ἐδάμνα·
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι·

ἦ μάλα δὴ Τρῶες μεγαλήτορες οὕς περ ἔπεφνον
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ᾽ ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.

ἀλλ᾽ ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω
ἢ ἄρ᾽ ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει.
ὣς ὅρμαινε μένων· ὃ δέ οἱ σχεδὸν ἦλθε τεθηπὼς

γούνων ἅψασθαι μεμαώς, περὶ δ᾽ ἤθελε θυμῷ
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤτοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς
οὐτάμεναι μεμαώς, ὃ δ᾽ ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτου ἐνὶ γαίῃ

ἔστη ἰεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ᾽ ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον οὐδὲ μεθίει·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
γουνοῦμαι σ᾽ Ἀχιλεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον·

ἀντί τοί εἰμ᾽ ἱκέταο διοτρεφὲς αἰδοίοιο·
πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτὴν
ἤματι τῷ ὅτε μ᾽ εἶλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
καί μ᾽ ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.

Τότε στη Λήμνο την καλόχτιστη με τ᾽ άρμενα τον πήγε,
και τον πουλάει στον Εύνηο, που᾽ δωσε κι αγόρασε τον κείθε
βρήκε ένα φίλο και τον γλίτωσε με ξαγορά μεγάλη,
τον Ητίωνα, που τον έστειλε μετά στην άγια Αρίσβη·
μα ξέφυγε κρυφά, κι ως έφτασε στο πατρικό του σπίτι,
έντεκα μέρες πια ξεφάντωνε με τους συντρόφους γύρα,
που ήρθε απ᾽ τη Λήμνο᾽ όμως στις δώδεκα να που ο θεός και πάλε
στα χέρια του Αχιλλέα τον έριξε, κι αυτός στον Άδη κάτω
ήρθε η στιγμή που θα τον έστελνε, κι ας ήταν στανικώς του.
Κι ως ο Αχιλλέας ο φτεροπόδαρος γυμνό, με δίχως κράνος,

δίχως σκουτάρι τον αντίκρισε, δίχως κοντάρι ακόμα,
τι τα 'χε ρίξει χάμω, ως έφευγε στον ποταμό, κι ο ιδρώτας
βαριά τον έπνιγε, κι ο κάματος του λύγιζε τα γόνα,
θύμωσε τότε καί στην πέρφανη γυρνάει και λέει καρδιά του:
«Ωχού, τι θάμα αυτό κι αντίθαμα τα μάτια μου που βλέπουν!
Το δίχως άλλο οι Τρώες οι αντρόκαρδοι, που 'χω σκοτώσει ως τώρα,
θ᾽ αναστηθούν, ξανά απ᾽ τον άραχλο να βγουν τον Κάτω Κόσμο,
αφού ήρθε πίσω αυτός που επούλησα στη Λήμνο, και του Χάρου
ξέφυγε, βλέπω· κι ουδέ η θάλασσα με το αφρισμένο κύμα
τον κράτησε, πολλών που αντίσκοψε το δρόμο αθέλητα τους.

Μα να γευτεί και το κοντάρι μου ταιριάζει τώρα αλήθεια,
να ίδώ, να ξέρω μες στα φρένα μου, θα᾽ ρθει κι από κει κάτω,
για η ζωοδότρα γης στα σπλάχνα της μαθές θα τον κρατήσει,
που και τον πιο αντρειωμένο μέσα της κρατά και δεν αφήνει;»
Τέτοια λογιάζοντας τον πρόσμενε, κι εκείνος σαστισμένος
τα γόνα του να πιάσει εσίμωσε, ποθώντας πάνω απ᾽ όλα
το μαύρο να ξεφύγει θάνατο καί την παντέρμη Μοίρα.
Κι ως ο Αχιλλέας ο γαύρος άσκωνε τ᾽ ολόμακρο κοντάρι
να τον χτυπήσει, εκείνος έτρεξε κι αρπάει τα γόνατα του
σκυφτός· κι απάνω από τη ράχη του περνώντας το κοντάρι

στη γη εκαρφώθη, κι ας λαχτάριζε με σάρκα να χορτάσει.
Κι αυτός με το 'να χέρι του 'πιασε παρακλητά τα γόνα,
με τ᾽ άλλο το κοντάρι του άρπαξε και δεν το παρατούσε,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Σπλαχνίσου με, Αχιλλέα, σεβάσου με, στα γόνατα σου πέφτω·
σέβας μου πρέπει, αρχοντογέννητε, τι ικέτης σου λογιούμαι᾽
από το χέρι σου πρωτόφαγα ψωμί τη μέρα εκείνη
που ήρθες και μ᾽ άρπαξες απ᾽ τ᾽ όμορφο περβόλι μας, κι αλάργα
κι απ᾽ το γονιό κι απ᾽ τους συντρόφους μου με πούλησες στη Λήμνο
την άγια πέρα, κι είχες διάφορο βόδια εκατό από μένα'

νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῇς ἐν χερσὶν ἔθηκε
μοῖρ᾽ ὀλοή· μέλλω που ἀπεχθέσθαι Διὶ πατρί,
ὅς με σοὶ αὖτις δῶκε· μινυνθάδιον δέ με μήτηρ

γείνατο Λαοθόη θυγάτηρ Ἄλταο γέροντος
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ᾽ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ᾽ ἄμφω δειροτομήσεις,

ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
νῦν δὲ δὴ ἐνθάδ᾽ ἐμοὶ κακὸν ἔσσεται· οὐ γὰρ ὀΐω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ᾽ ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·

μή με κτεῖν᾽, ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.
ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσε·
νήπιε μή μοι ἄποινα πιφαύσκεο μηδ᾽ ἀγόρευε·

πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ
τόφρά τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ᾽ ἐπέρασσα·
νῦν δ᾽ οὐκ ἔσθ᾽ ὅς τις θάνατον φύγῃ ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι

καὶ πάντων Τρώων, περὶ δ᾽ αὖ Πριάμοιό γε παίδων.
ἀλλὰ φίλος θάνε καὶ σύ· τί ἦ ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράᾳς οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ᾽ εἴμ᾽ ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·

ἀλλ᾽ ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή·
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ
ὁππότε τις καὶ ἐμεῖο Ἄρῃ ἐκ θυμὸν ἕληται
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.
ὣς φάτο, τοῦ δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·

ἔγχος μέν ῥ᾽ ἀφέηκεν, ὃ δ᾽ ἕζετο χεῖρε πετάσσας
ἀμφοτέρας· Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
τύψε κατὰ κληῖδα παρ᾽ αὐχένα, πᾶν δέ οἱ εἴσω
δῦ ξίφος ἄμφηκες· ὃ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ
κεῖτο ταθείς, ἐκ δ᾽ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.

κι έπειτα γλίτωσα πλερώνοντας τρίδιπλα τόσα, κι είναι
δώδεκα μέρες μόνο σήμερα που 'χω στην Τροία διαγύρει᾽
πολλά έχω πάθει, κι όμως μ᾽ έριξε στα χέρια σου και πάλε
η μαύρη Μοίρα· θα μ᾽ οχτρεύεται το δίχως άλλο ο Δίας,
για δεύτερη φορά που μ᾽ έκανε δικό σου᾽ η Λαοθόη
με γέννα, η μάνα μου, λιγόχρονο, του γέροντα Άλτη η κόρη,
του Άλτη που κυβερνάει τους Λέλεγες, τους άξιους πολεμάρχους,
στο Σατνιόεντα πλάι, την Πήδασο την αψηλή βαστώντας.
Την κόρη του είχε ο Πρίαμος ταίρι του, μα είχε και πλήθος άλλες.
Δυο γιοι της είμαστε, απ᾽ το χέρι σου κι οι δυο μας θα σφαγούμε'

στους πεζολάτες μέσα σκότωσες πρώτη γραμμή τον έναν,
το θείο Πολύδωρο, χτυπώντας τον με σουβλερό κοντάρι.
Καί τώρα εδώ κι εμένα θάνατος θα βρει, τι δεν τ᾽ ολπίζω
μέσα απ᾽ τα χέρια σου, όπου μ᾽ έριξεν η Μοίρα, να γλιτώσω.
Κάτι άλλο τώρα εγώ θα σου 'λεγα, και συ στο νου σου βαλ᾽ το:
Μη με σκοτώνεις! Με τον Έχτορα δε βγήκα εγώ άπ᾽ την ίδια
κοιλιά, που τον τρανό, καλόκαρδο, σου 'χει σκοτώσει ακράνη.»
Έτσι του Πρίαμου ο γιος ο ασύγκριτος στον Αχιλλέα μιλούσε
παρακαλώντας, μα ανελέημονη φωνή γρικά στ᾽ αφτιά του:
« Για ξαγορές μην κρένεις, άμυαλε! Δε θέλω ούτε ν᾽ ακούσω!

Άλλες φορές, παλιά, του Πάτροκλου πριν φτάσει η μαύρη μέρα,
κι εγώ το λόγιαζα καλύτερο τους Τρώες να μη σκοτώνω'
κι αλήθεια είναι πολλοί που σκλάβωσα και πούλησα στα ξένα.
Μα τώρα πια κανείς το θάνατο δε θα ξεφύγει, απ᾽ όσους
ρίξει ο θεός μπροστά απ᾽ το κάστρο σας μες στα δικά μου χέρια'
κανένας απ᾽ τους Τρώες, μα πιότερο του Πρίαμου γιος κανένας'
όμως και συ, καλέ μου, πέθανε! τι δέρνεσαι του κάκου;
Πέθανε τώρα λέω κι ο Πάτροκλος, περίσσια πιο αντρειωμένος.
Κι εγώ δε βλέπεις πόσο είμαι όμορφος και πόση αντρεία με ζώνει;
Έχω πατέρα ρήγα, αθάνατη μ᾽ έχει γεννήσει μάνα·

κι όμως και μένα θα 'βρει ο θάνατος κι η ασβολωμένη Μοίρα!
θα φτάσει κάποια αυγή για σούρουπο για μεσημέρι, σύντας
και τη δικιά μου μες στον πόλεμο ζωή θα πάρει κάποιος
για με κοντάρι για απ᾽ την κόρδα του χτυπώντας με σαγίτα.»
Αυτά είπε, κι εκείνου τα γόνατα λύθηκαν κι η καρδιά του,
και το κοντάρι ευτύς παράτησε, κι απλώνοντας τα χέρια
καθίζει᾽ κι ο Αχιλλέας γυμνώνοντας το κοφτερό σπαθί του
στο κλειδοκόκαλο τον χτύπησε, στο σβέρκο πλάι, κι εχώθη
το δίκοπο σπαθί όλο μέσα του᾽ κι αυτός στη γη ξαπλώθη
τα πίστομα, και το αίμα του 'τρεχε μουσκεύοντας το χώμα.

τὸν δ᾽ Ἀχιλεὺς ποταμὸν δὲ λαβὼν ποδὸς ἧκε φέρεσθαι,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ᾽ ἀγόρευεν·
ἐνταυθοῖ νῦν κεῖσο μετ᾽ ἰχθύσιν, οἵ σ᾽ ὠτειλὴν
αἶμ᾽ ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος

οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον·
θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ᾽ ὑπαΐξει
ἰχθύς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ᾽ εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ᾽ ὄπιθεν κεραΐζων.

οὐδ᾽ ὑμῖν ποταμός περ ἐϋρροος ἀργυροδίνης
ἀρκέσει, ᾧ δὴ δηθὰ πολέας ἱερεύετε ταύρους,
ζωοὺς δ᾽ ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες
τίσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,

οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε νόσφιν ἐμεῖο.
ὣς ἄρ᾽ ἔφη, ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον,
ὅρμηνεν δ᾽ ἀνὰ θυμὸν ὅπως παύσειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέος υἱὸς ἔχων δολιχόσκιον ἔγχος

Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων
υἱέϊ Πηλεγόνος· τὸν δ᾽ Ἀξιὸς εὐρυρέεθρος
γείνατο καὶ Περίβοια Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῇ γάρ ῥα μίγη ποταμὸς βαθυδίνης.
τῷ ῥ᾽ Ἀχιλεὺς ἐπόρουσεν, ὃ δ᾽ ἀντίος ἐκ ποταμοῖο

ἔστη ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ᾽ ἐλέαιρεν.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·

τίς πόθεν εἰς ἀνδρῶν ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.
τὸν δ᾽ αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
Πηλεΐδη μεγάθυμε τί ἢ γενεὴν ἐρεείνεις;
εἶμ᾽ ἐκ Παιονίης ἐριβώλου τηλόθ᾽ ἐούσης

Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἦδε δέ μοι νῦν
ἠὼς ἑνδεκάτη ὅτε Ἴλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ᾽ ἐμέ φασι

Τότε ο Αχιλλέας απ᾽ το ποδάρι του τον πιάνει και τον ρίχνει
στον ποταμό, λόγια ανεμάρπαστα με καυκησιά πετώντας:
« Καθου αυτού μέσα και συντρόφευε τα ψάρια, που θα γλείψουν
το γαίμα της πληγής σου ανέσπλαχνα! Κι ουδέ θα σε ξαπλώσει
σε στρώμα να σε κλάψει η μάνα σου᾽ του Σκάμαντρου το ρέμα
το στρουφιχτό βαθιά στης θάλασσας τον κόρφο θα σε σύρει.
Και κάποιο ψάρι, εκεί που η θάλασσα ψηλά σγουραίνει σκούρα,
να φάει θ᾽ ανέβει του Λυκάονά πηδώντας το άσπρο ξίγκι.
όλοι ας χαθείτε, ωσόπου πάρουμε της άγιας Τροίας το κάστρο,
φεύγοντας σεις μπροστά, και πίσω σας εγώ αφανίζοντας σας!

Κι ουδέ μπορεί κι ο ασημοστρόβιλος ο ποταμός καθόλου
να σας συντράμει, κι ας του σφάζετε παλιάθε πλήθιους ταύρους,
και ζωντανά ας του ρίχνετε άλογα στα στρουφιχτά νερά του
Μα κι έτσι δε γλιτώνει ουτ᾽ ένας σας, ως να πλερώσετε όλοι
βαριά του Πάτροκλου το θάνατο, των Αχαιών το θρήνο,
που ως είχα λείψει εγώ, σκοτώσατε μπρος στα γοργά καράβια.» ᾽
Αυτά είπε, κι ο θυμός πλημμύρισε πιο δυνατός τα στήθη
του ποταμού, κι ο νους του εδούλευε πώς του Αχιλλέα να κόψει
τη φόρα τώρα, και το θάνατο πώς απ᾽ τους Τρώες να διώξει.
Κι ωστόσο εκείνος, το μακρόισκιωτο κοντάρι του κρατώντας,

του Αστεροπαίου χιμίζει, θέλοντας να πάρει τη ζωή του,
του γιου του Πηλεγόνα, που έκαμε στο φαρδιορεματάρη
βαθύν Άξιο η Περίβοια᾽ τι έσμιξεν ο ποταμός μαζί της,
κι αυτή του Ακεσσαμένου ακούγονταν η πιο μεγάλη κόρη.
Σ᾽ αυτόν χιμάει᾽ κι εκείνος βγαίνοντας απ᾽ το ποτάμι εστάθη
κρατώντας δυο κοντάρια· ο Σκάμαντρος του γκάρδιωνε τα φρένα,
θυμό γεμάτος για των άγουρων το χαλασμό, θωρώντας
τον Αχιλλέα να σφάζει αλύπητα μες στα νερά του ολούθε.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
πρώτος του μίλησε ο φτερόποδος, θείος Αχιλλέας και του 'πε:

« Ποιος είσαι εσύ και πούθε, αντίκρα μου που ξεθαρρεύτης να
'ρθεις;
Μονάχα τα παιδιά των άμοιρων τη λύσσα μου αντικρίζουν!»
Του απηλογήθη κι ο τρισεύγενος υγιός του Πηλεγόνα:
« Γιε του Πηλέά, γιατί, τρανόκαρδε, ρωτάς για τη γενιά μου;
Απ᾽ την απόμακρη, παχιόβωλη την Παιονία κρατιέμαι,
κι έντεκα μέρες έχω που 'φτασα στης Τροίας το κάστρο τώρα,
τους Παίονες κυβερνώντας, που 'φερα, τους μακροκονταράτους.
Απ᾽ τον Αξιό τον πλατιορέματο κρατάει η γενιά μου εμένα,
απ᾽ τον Αξιό, που τα ομορφότερα νερά στη γης σκορπίζει'
και γιος του ο Πηλεγόνας κράζουνταν ο ξακουστός, δικός μου

γείνασθαι· νῦν αὖτε μαχώμεθα φαίδιμ᾽ Ἀχιλλεῦ.
ὣς φάτ᾽ ἀπειλήσας, ὃ δ᾽ ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὃ δ᾽ ἁμαρτῇ δούρασιν ἀμφὶς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν.
καί ῥ᾽ ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ

ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο·
τῷ δ᾽ ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς
δεξιτερῆς, σύτο δ᾽ αἷμα κελαινεφές· ἡ δ᾽ ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεστήρικτο λιλαιομένη χροὸς ἆσαι.
δεύτερος αὖτ᾽ Ἀχιλεὺς μελίην ἰθυπτίωνα

Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων.
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρτεν, ὃ δ᾽ ὑψηλὴν βάλεν ὄχθην,
μεσσοπαγὲς δ᾽ ἄρ᾽ ἔθηκε κατ᾽ ὄχθης μείλινον ἔγχος.
Πηλεΐδης δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἆλτ᾽ ἐπί οἱ μεμαώς· ὃ δ᾽ ἄρα μελίην Ἀχιλῆος

οὐ δύνατ᾽ ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ.
τρὶς μέν μιν πελέμιξεν ἐρύσσασθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον ἤθελε θυμῷ
ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα.

γαστέρα γάρ μιν τύψε παρ᾽ ὀμφαλόν, ἐκ δ᾽ ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
ἀσθμαίνοντ᾽· Ἀχιλεὺς δ᾽ ἄρ᾽ ἐνὶ στήθεσσιν ὀρούσας
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
κεῖσ᾽ οὕτως· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος

παισὶν ἐριζέμεναι ποταμοῖό περ ἐκγεγαῶτι.
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
τίκτέ μ᾽ ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι
Πηλεὺς Αἰακίδης· ὃ δ᾽ ἄρ᾽ Αἰακὸς ἐκ Διὸς ἦεν.

τὼ κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ᾽ οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,

οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
δεινήν τε βροντήν, ὅτ᾽ ἀπ᾽ οὐρανόθεν σμαραγήσῃ.

γονιός. Μα πια, Αχιλλέα τρανόδοξε, καιρός να χτυπηθούμε!»
Τέτοια μιλούσε φοβερίζοντας· τότε ο Αχιλλέας ασκώνει
το πηλιορίτικο το φράξο του, μα δυο μαζί κοντάρια
ο Αστεροπαίος ο γαύρος άσκωσε, ζερβόδεξος ως ήταν
με το 'να βρίσκει το σκουτάρι του, μα δεν το τρύπησε, όχι'
το δώρο του θεού, το μάλαμα, του αντίσκοψε τη φόρα'
και το άλλο ξώφαρσα του χάραξε το δεξιό χέρι, κι αίμα
πετάχτη μαύρο᾽ κι από πάνω του περνώντας το κοντάρι
στο χώμα εχώθη, κι ας λαχτάριζε με σάρκα να χορτάσει.
Δεύτερος έριξε το αλάθευτο κοντάρι του ο Αχιλλέας,

του Αστεροπαίου χιμώντας, θέλοντας να πάρει τη ζωή του.
Μα δεν τον χτύπησε, μον᾽ πέτυχε του ποταμού τον όχτο,
κι εχώθηκε ως τη μέση τρέμοντας το φράξινο κοντάρι.
Το κοφτερό σπαθί ανασέρνοντας πλάι στο μερί του εχύθη
του Αστεροπαίου᾽ κι αυτός επάλευε το φράξο του Αχιλλέα
με το βαρύ να σύρει χέρι του—του κάκου!—από τον όχτο'
και τρεις φορές το ταρακούνησε λυσσώντας, να το βγάλει,
και τρεις φορές του εκόπη η δύναμη· στην τέταρτη, ως ζητούσε
να σπάσει του Αχιλλέα, λυγώντας το, το φράξινο κοντάρι,
με το σπαθί του εκείνος ζύγωσε και τη ζωή του επήρε.

Κι ως στην κοιλιά, κοντά στο αφάλι του, τον χτύπησε, χύθηκαν
τα σπλάχνα του στη γη, και σκέπασε τα μάτια του σκοτάδι,
ως ξεψυχούσε. απά στο στήθος του τότε ο Αχιλλέας πηδώντας
του παίρνει τ᾽ άρματα, και μ᾽ έπαρση τέτοια μιλάει και κρένει:
«Ξάπλωσε τώρα αυτού! Για φύτρα σου τον ποταμό κι αν έχεις,
με τους υγιούς του Δία του ανίκητου ποιος σου 'πε να τα βάζεις;
Τον ποταμό, είπες, έχεις πρόγονο το φαρδιορεματάρη,
μα εγώ γενιά πως είμαι πέτομαι του Δία του τρισμεγάλου.
Πατέρας μου ο Πηλέας, που αρίφνητους ορίζει Μυρμιδόνες,
γιος του Αιακού, και τούτος κράζουνταν του Δία βλαστάρι· κι όσο

λογιέται ο Δίας απ᾽ τους τρεχούμενους τους ποταμούς πιο πάνω,
μπροστά στων ποταμών κι η φύτρα του τόσο πιο απάνω στέκει.
Ο ποταμός που τρέχει δίπλα σου τρανός δεν είναι; Κι όμως
χέρι δε δίνει. Ποιος θα τα 'βαζε με τον υγιό του Κρόνου;
Μήτε ο Αχελώος ο ρήγας δύνεται να παραβγεί μαζί του,
μήτε ο Ωκεανός ο τρανοδύναμος, ο βαθιορεματάρης,
όθε αναβρύζει κάθε θάλασσα, κάθε ποτάμι, κάθε
πηγή και κάθε κεφαλόβρυσο, κάθε βαθύ πηγάδι'
κι αυτός το αστροπελέκι σκιάζεται του Δία του τρισμεγάλου
και της τρανής βροντής το μούγκρισμα, που ακούγεται ουρανόθε.»

ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος,
τὸν δὲ κατ᾽ αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ᾽ ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·

αὐτὰρ ὃ βῆ ῥ᾽ ἰέναι μετὰ Παίονας ἱπποκορυστάς,
οἵ ῥ᾽ ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ᾽ ὕπο Πηλεΐδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ᾽ ἔλε Θερσίλοχόν τε Μύδωνά τε Ἀστύπυλόν τε

Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ᾽ Ὀφελέστην·
καί νύ κ᾽ ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεύς,
εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης
ἀνέρι εἰσάμενος, βαθέης δ᾽ ἐκ φθέγξατο δίνης·
ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ᾽ αἴσυλα ῥέζεις

ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ᾽ ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν

στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀϊδήλως.
ἀλλ᾽ ἄγε δὴ καὶ ἔασον· ἄγη μ᾽ ἔχει ὄρχαμε λαῶν.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ἔσται ταῦτα Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
Τρῶας δ᾽ οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,

πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἦ κεν ἐγὼ τόν.
ὣς εἰπὼν Τρώεσσιν ἐπέσσυτο δαίμονι ἶσος·
καὶ τότ᾽ Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
ὦ πόποι ἀργυρότοξε Διὸς τέκος οὐ σύ γε βουλὰς

εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ᾽ ἐπέτελλε
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ᾽ ἐρίβωλον ἄρουραν.
ἦ καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ
κρημνοῦ ἀπαΐξας· ὃ δ᾽ ἐπέσσυτο οἴδματι θύων,

πάντα δ᾽ ὄρινε ῥέεθρα κυκώμενος, ὥσε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ᾽ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν᾽ Ἀχιλλεύς
τοὺς ἔκβαλλε θύραζε μεμυκὼς ἠΰτε ταῦρος
χέρσον δέ· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.

Είπε, και τράβηξε το χάλκινο κοντάρι του απ᾽ τον όχτο,
κι αυτόν κει πέρα τον παράτησε, σαν πήρε τη ζωή του,
απ᾽ το βαθύ νερό να βρέχεται, στον άμμο ξαπλωμένος.
Χέλια και ψάρια τον κυκλόφερναν ολούθε, και πάλευαν
το ξίγκι στα νεφρά του ολόγυρα δαγκώνοντας να φάνε.
Κι εκείνος χύθη στους αντρόκαρδους τους Παίονες πάνω τότε,
καθώς αυτοί να φύγουν πάλευαν πλάι στο αφριστό ποτάμι,
τον πιο αντρειωμένο τους ως ξέκριναν στην άγρια μάχη μέσα
απ᾽ του Αχιλλέα τα χέρια τ᾽ άσπλαχνα και το σπαθί να πέφτει.
Σκότωσε τότε το θερσίλοχο, το Μύδωνα, το Μνήσο,

τον Οφελέστη, τον Αστύπυλο, το Θράσιο και τον Αίνιο.
Μα κι άλλους Παίονες ο γοργόποδος θα σκότωνε Αχιλλέας,
απ᾽ τις στροβίλες του αν δεν πρόβαινε να κράξει θυμωμένος
ο ποταμός ο βαθιοστρόβιλος, ίδια θνητός στο διώμα:
« Περνάς εσύ, Αχιλλέα, στη δύναμη, περνάς και στην αγριάδα
κάθε άλλον άνθρωπο, τι οι αθάνατοι σε παραστέκουν πάντα.
Τους Τρώες ο γιος του Κρόνου αν σου 'δωκε να τους χαλάσεις όλους,
στον κάμπο καν μακριά μου δίωξε τους και σκότωνε όσους θέλεις'
τι με κουφάρια το πανέμορφο μου ξεχειλίζει ρέμα,
κι ουδέ μπορώ στην άγια θάλασσα να χύσω τα νερά μου᾽

με φράζουν οι νεκροί᾽ μα ανήμερος εσύ σκοτώνεις πάντα.
Σταμάτα πια, τρανέ πολέμαρχε, και τα 'χω πια σαστίσει!»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
« Όλα θα γίνουν τούτα, Σκάμαντρε θεϊκέ, καθώς ορίζεις·
όμως τους Τρώες τους καυκησιάρηδες να σφάζω δε θα πάψω,
πριν τους στριμώξω μες στο κάστρο τους, κι ακόμα χτυπηθούμε
στήθος με στήθος με τον Έχτορα, κι όποιονε πάρει ο Χάρος!»
Αυτά είπε, και στους Τρώες αλύπητος, ίδια θεός, χιμίζει'
κι ο ποταμός ο βαθιοστρόβιλος του Φοίβου τότε κράζει:
« Του Δία βλαστάρι, Ασημοδόξαρε, που την αρμήνια, αλί μου,

του γιου του Κρόνου δε συνάκουσες! Πόσες φορές σου το 'πε
να διαφεντέψεις παραστέκοντας τους Τρώες, ώσόπου να 'ρθει
το δειλινό, τη γης ισκιώνοντας την παχιοχωματούσα.»
Αυτά είπε, κι ο Αχιλλέας ο αντρόκαρδος στον ποταμό απ᾽ τον όχτο
μέσα πηδά᾽ κι αυτός του εχίμιξε με λύσσα, τα νερά του
απ᾽ άκρη ως άκρη αναταράζοντας, και τους νεκρούς αμπώθει,
που 'χε ο Αχιλλέας σκοτώσει, κι άμετροι στοιβάζουνταν στο ρέμα'
όξω τους έβγαζε στους όχτους του, μουγκρίζοντας σαν ταύρος,
κι αυτούς που ζούσαν, στα πανέμορφα τους γλίτωνε νερά του,
μες στις μεγάλες του και τρίσβαθες στροβίλες κρύβοντας τους.

δεινὸν δ᾽ ἀμφ᾽ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὦθει δ᾽ ἐν σάκεϊ πίπτων ῥόος· οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι· ὃ δὲ πτελέην ἕλε χερσὶν
εὐφυέα μεγάλην· ἣ δ᾽ ἐκ ῥιζῶν ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα

ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτὸν
εἴσω πᾶσ᾽ ἐριποῦσ᾽· ὃ δ᾽ ἄρ᾽ ἐκ δίνης ἀνορούσας
ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι
δείσας· οὐδέ τ᾽ ἔληγε θεὸς μέγας, ὦρτο δ᾽ ἐπ᾽ αὐτῷ
ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο

δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλεΐδης δ᾽ ἀπόρουσεν ὅσον τ᾽ ἐπὶ δουρὸς ἐρωή,
αἰετοῦ οἴματ᾽ ἔχων μέλανος τοῦ θηρητῆρος,
ὅς θ᾽ ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·
τῷ ἐϊκὼς ἤϊξεν, ἐπὶ στήθεσσι δὲ χαλκὸς

σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
φεῦγ᾽, ὃ δ᾽ ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἄμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·

τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλεῦνται· τὸ δέ τ᾽ ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.

ὁσσάκι δ᾽ ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
στῆναι ἐναντίβιον καὶ γνώμεναι εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
πλάζ᾽ ὤμους καθύπερθεν· ὃ δ᾽ ὑψόσε ποσσὶν ἐπήδα

θυμῷ ἀνιάζων· ποταμὸς δ᾽ ὑπὸ γούνατ᾽ ἐδάμνα
λάβρος ὕπαιθα ῥέων, κονίην δ᾽ ὑπέρεπτε ποδοῖιν.
Πηλεΐδης δ᾽ ὤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.

ἄλλος δ᾽ οὔ τις μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ᾽ ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ᾽ ὄφελ᾽ Ἕκτωρ κτεῖναι ὃς ἐνθάδε γ᾽ ἔτραφ᾽ ἄριστος·

Φριχτό το κύμα, πολυτάραχο, τον Αχιλλέα κυκλώνει,
και στο σκουτάρι απάνω πέφτοντας τον σπρώχνει, κι ουδέ βρίσκαν
τα πόδια του αντιστύλι κάτωθε. Μια λυγερή φουχτώνει
τρανή φτελιά, μα αυτή ξεκόρμισε και με τις ρίζες πέφτει,
τον όχτον όλο συνεπαίρνοντας· και τα νερά στάθηκαν
απ᾽ τα πυκνά κλαριά της, κι έγινε γιοφύρι, ως έπεσε όλη
στον ποταμό· κι αυτός τινάχτηκε μεμιάς απ᾽ τη στροβίλα,
και με γοργά ποδάρια εκίνησε στον κάμπο τρομαγμένος
να τρέχει᾽ μα ο θεός απάνω του ξανά ο τρανός χιμίζει
κορφομελανιασμένος, θέλοντας τη φόρα του Αχιλλέα

του θείου να κόψει, και το θάνατο να διώξει από τους Τρώες.
Κι αυτός πετάχτη πέρα τρέχοντας, όσο του μακρού φτάνει
μια κονταριά, κι η ορμή του θύμιζε το μαύρο, κυνηγάρη
αϊτό, το πιο τρανό και γρήγορο πουλί μες σε όλα τ᾽ άλλα᾽
όμοια εχιμούσε, και στα στήθη του πάνω ο χαλκός βροντούσε
τρομαχτικά, κι εκείνος έτρεχε ζητώντας να ξεφύγει᾽
μα ο Σκάμαντρος ξοπίσω του έρχουνταν με άγριον αχό κυλώντας.
Πώς νεροκράτης, που ξεκόβοντας πηγή μαυρονερούσα
να τρέξουν τα νερά της άφησε σε δέντρα, σε περβόλια,
με το τσαπί στα χέρια, αδειάζοντας τα χώματα απ᾽ τ᾽ αυλάκι'

και τρέχει εκείνο συνεπαίρνοντας μπροστά του τα χαλίκια,
και κελαρύζει, ως τον κατήφορο κυλάει γοργά, κι αφήνει
το νεροκράτη ακόμα πίσω του, που όλο του ανοίγει δρόμο'
όμοια, γοργός κι ας ήταν, πρόφταινε τον Αχιλλέα το κύμα
του πόταμου, τι ένας αθάνατος έναν θνητό νικά τον.
Και κάθε που 'λεγε ο φτερόποδος, θείος Αχιλλέας να στρέψει,
κι ενάντια να σταθεί στο ρέμα του, να ιδεί αν τον κυνηγούνε
οι αθάνατοι όλοι, που το διάπλατο τον ουρανό αφεντεύουν,
του ποταμού του ουρανογέννητου το γιγαντένιο κύμα
ως το λαιμό ψηλά του ανέβαινε· πηδούσε τρομαγμένος

αυτός, κι ο ποταμός του λύγιζε τα γόνατα, ως εκύλα
με ορμή από κάτω, κι απ᾽ τα πόδια του το χώμα αποτραβούσε.
Τότε ο Αχιλλέας βογγώντας φώναξε, τον ουρανό κοιτώντας:
« Πατέρα Δία, θεός δε βρίσκεται κανείς να με γλιτώσει
απ᾽ το ποτάμι εδώ, τον άμοιρο; Στερνά ό,τι πάθω ας πάθω!
Μ᾽ απ᾽ τους θεούς που ζουν στον Όλυμπο δε φταίει κανένας τόσο,
μονάχα η μάνα μου, με ψέματα που με πλανούσε, τάχα
κάτω απ᾽ των Τρωών τα τείχη θα 'πεφτα των θωρακοζωσμένων
απ᾽ τις γοργόφτερες του Απόλλωνα σαγίτες χτυπημένος.
Να 'πεφτα καν από τον Έχτορα, στους Τρώες τον πιο
αντρειωμένο!

τώ κ᾽ ἀγαθὸς μὲν ἔπεφν᾽, ἀγαθὸν δέ κεν ἐξενάριξε·
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι
ἐρχθέντ᾽ ἐν μεγάλῳ ποταμῷ ὡς παῖδα συφορβόν,
ὅν ῥά τ᾽ ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα.
ὣς φάτο, τῷ δὲ μάλ᾽ ὦκα Ποσειδάων καὶ Ἀθήνη

στήτην ἐγγὺς ἰόντε, δέμας δ᾽ ἄνδρεσσιν ἐΐκτην,
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ᾽ ἐπέεσσι.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Πηλεΐδη μήτ᾽ ἄρ τι λίην τρέε μήτέ τι τάρβει·
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν

Ζηνὸς ἐπαινήσαντος ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν,
ἀλλ᾽ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ᾽ αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πολέμοιο

πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκόν, ὅς κε φύγῃσι· σὺ δ᾽ Ἕκτορι θυμὸν ἀπούρας
ἄψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
τὼ μὲν ἄρ᾽ ὣς εἰπόντε μετ᾽ ἀθανάτους ἀπεβήτην·
αὐτὰρ ὃ βῆ, μέγα γάρ ῥα θεῶν ὄτρυνεν ἐφετμή,

ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ᾽ ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαὶ κταμένων αἰζηῶν
πλῶον καὶ νέκυες· τοῦ δ᾽ ὑψόσε γούνατ᾽ ἐπήδα
πρὸς ῥόον ἀΐσσοντος ἀν᾽ ἰθύν, οὐδέ μιν ἴσχεν
εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ᾽ Ἀθήνη.

οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὂν μένος, ἀλλ᾽ ἔτι μᾶλλον
χώετο Πηλεΐωνι, κόρυσσε δὲ κῦμα ῥόοιο
ὑψόσ᾽ ἀειρόμενος, Σιμόεντι δὲ κέκλετ᾽ ἀΰσας·
φίλε κασίγνητε σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος

ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
ἀλλ᾽ ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ᾽ ὀρόθυνον ἐναύλους,
ἴστη δὲ μέγα κῦμα, πολὺν δ᾽ ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα

ὃς δὴ νῦν κρατέει, μέμονεν δ᾽ ὅ γε ἶσα θεοῖσι.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν οὔτέ τι εἶδος
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης
κείσεθ᾽ ὑπ᾽ ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύσω ψαμάθοισιν ἅλις χέραδος περιχεύας

μυρίον, οὐδέ οἱ ὀστέ᾽ ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχόης, ὅτε μιν θάπτωσιν Ἀχαιοί.
καὶ ἐπῶρτ᾽ Ἀχιλῆϊ κυκώμενος ὑψόσε θύων

Τρανός καν έτσι ο που θα σκότωνε, τρανός κι ο σκοτωμένος.
Μα τώρα είναι γραφτό μου θάνατο φριχτό να βρω, ζωσμένος
από τρανό ποτάμι, ως άπλερο χοιροβοσκούδι, που άγρια
κατεβασιά το μεσοχείμωνο το πνίγει μες στο ρέμα!»
Έτσι μιλούσε· δίχως άργητα τρέχει η Αθηνά κοντά του,
μαζί κι ο Ποσειδώνας, παίρνοντας θνητού κι οι δυο το θώρι᾽
το χέρι του 'σφιξαν στα χέρια τους και του 'δωσαν κουράγιο.
Κι ο Ποσειδώνας πρώτος μίλησε και του 'πε ο κοσμοσείστης:
« Γιε του Πηλέα, μην τόσο σκιάζεσαι και μη σε παίρνει ο φόβος·
τι τώρα δυο σου παραστέκουμε τρανοί θεοί, η Παλλάδα

κι εγώ μαζί της, με το θέλημα του Δία του τρισμεγάλου.
Από ποτάμι δε σου το 'γραψεν η Μοίρα να πεθάνεις·
θα γαληνέψει τώρα γρήγορα, και θα το ιδείς κι ατός σου.
Μ᾽ άκουσε τώρα την αρμήνια μας τη γνωστικιά, αν σ᾽ αρέσει:
Μην πάψουν να χτυπούν τα χέρια σου στην άγρια μέσα μάχη,
πριν να κλειστούν στο πολυδόξαστο το κάστρο όσοι γλιτώσουν
από τους Τρώες· μα εσύ τον Έχτορα νεκρό σα ρίξεις κάτω,
γύρνα στα πλοία ξανά᾽ σου δίνουμε τρανή να πάρεις δόξα.»
Είπαν, και φεύγουν στους αθάνατους να παν κοντά τους άλλους'
κι εκείνος, απ᾽ τα θεία τα λόγια τους κουράγιο πλημμυρώντας

χιμάει στον κάμπο, που ξεχείλιζε νερό τρογύρα ολούθε.
Κι απ᾽ τους νεκρούς που έπεσαν άρματα πολλά πανώρια επλέχαν,
πολλά κουφάρια· μα τα γόνατα κείνου ψηλά επηδούσαν,
γραμμή στο ρέμα ενάντια ως χίμιζε, κι ουδέ που τον κρατούσε
πια ο ποταμός, τι πλήθια η δύναμη που του 'βαζε η Παλλάδα.
Όμως κι ο Σκάμαντρος τη λύσσα του δεν έκοβε᾽ ο θυμός του
όλο και πλήθαινε᾽ κι ανάσκωνε ψηλά τα κύματα του
θεριεύοντας, και στο Σιμόεντα σέρνει φωνή και κράζει:
«Έλα, αδερφέ, μαζί να κόψουμε του αντρός αυτού τη λύσσα!
τι έτσι πού οι Τρώες δε θα κρατήσουνε πια μες στη μάχη τώρα,

θα πάρει αυτός του Πρίαμου γρήγορα το ξακουσμένο κάστρο.
Μον᾽ έλα, βόηθα δίχως άργητα· τα ξεροπόταμά σου
ξεσήκωσε όλα, και το ρέμα σου νερό ξεχείλισε το
απ᾽ τις πηγές, και κύμα στύλωσε τρανό, κι αχό απ᾽ τα ξύλα
κι απ᾽ τα λιθάρια πλήθιον άσκωσε, να κόψουμε το δρόμο
στον άγριον άντρα αυτόν που λύσσαξε κι ίδια θεός χιμίζει.
Μήτε τα κάλλη, μήτε η δύναμη μηδέ και τα πανώρια
θαρρώ θα τον γλιτώσουν άρματα, που κάτω απ᾽ τα νερά μου
λέω θα βρεθούν βαθιά να κοίτουνται, χωμένα μες στη λάσπη.
Και θα τυλίξω μες στον άμμο μου τον ίδιο αυτόν, χαλίκια

πάνω του αρίφνητα στοιβάζοντας, κι ουδέ τα κόκαλα του
θα βρουν οι Αργίτες να μαζέψουνε᾽ τόση από πάνω λάσπη
θα ρίξω. Αυτού και το μνημούρι του θα γένει᾽ απ᾽ άλλο χώμα
δε θά'χει ανάγκη πια, τον τάφο του σα θα γνοιαστούν οι Αργίτες!»
Είπε, και φούσκωσε χιμίζοντας στον Αχιλλέα με λύσσα,

μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεσσι.
πορφύρεον δ᾽ ἄρα κῦμα διιπετέος ποταμοῖο
ἵστατ᾽ ἀειρόμενον, κατὰ δ᾽ ᾖρεε Πηλεΐωνα·
Ἥρη δὲ μέγ᾽ ἄϋσε περιδείσασ᾽ Ἀχιλῆϊ
μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης,

αὐτίκα δ᾽ Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
ὄρσεο κυλλοπόδιον ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι·
ἀλλ᾽ ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν.
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο

εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι
φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ᾽ ὄχθας
δένδρεα καῖ᾽, ἐν δ᾽ αὐτὸν ἴει πυρί· μὴ δέ σε πάμπαν
μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·

μὴ δὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ᾽ ὁπότ᾽ ἂν δὴ
φθέγξομ᾽ ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.
ὣς ἔφαθ᾽, Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ᾽ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν᾽
Ἀχιλλεύς·

πᾶν δ᾽ ἐξηράνθη πεδίον, σχέτο δ᾽ ἀγλαὸν ὕδωρ.
ὡς δ᾽ ὅτ᾽ ὀπωρινὸς Βορέης νεοαρδέ᾽ ἀλωὴν
αἶψ᾽ ἀγξηράνῃ· χαίρει δέ μιν ὅς τις ἐθείρῃ·
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ᾽ ἄρα νεκροὺς
κῆεν· ὃ δ᾽ ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν.

καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι,
καίετο δὲ λωτός τε ἰδὲ θρύον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
τείροντ᾽ ἐγχέλυές τε καὶ ἰχθύες οἳ κατὰ δίνας,
οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα

πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
καίετο δ᾽ ἴς ποταμοῖο ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
Ἥφαιστ᾽, οὔ τις σοί γε θεῶν δύνατ᾽ ἀντιφερίζειν,
οὐδ᾽ ἂν ἐγὼ σοί γ᾽ ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ᾽ ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς

ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;
φῆ πυρὶ καιόμενος, ἀνὰ δ᾽ ἔφλυε καλὰ ῥέεθρα.
ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ
κνίσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,

και χοχλακούσε ξεχειλίζοντας αφρούς, νεκρούς και γαίμα.
Στυλώθη ορθό του ουρανογέννητου του ποταμού το κύμα
μπρος στου Πηλέα το γιο, κατάμαυρο, να τον ξαπλώσει χάμω'
κι η Ήρα τρανή φωνή άπ᾽ το φόβο της έσυρε τότε, ο μέγας
τρίσβαθος Σκάμαντρος πως θα 'πνιγε τον Αχιλλέα θαρρώντας'

και στον υγιό της λέει τον Ήφαιστο γυρνώντας τέτοια λόγια:
« Για σήκω, γιε μου Κουτσοπόδαρε, κι ήρθε η σειρά σου τώρα'
τι ο γοργοστρόβιλος ο Σκάμαντρος δικός σου οχτρός λογιέται.
Μα βόηθα, μην αργείς, απάνω του ξέχυσε άκρατη φλόγα!
Το Νότο εγώ τον άσπροσύγνεφο, το Ζέφυρο θα βάλω
να ξεσηκώσουν απ᾽ τη θάλασσα φριχτήν ανεμοζάλη,
που το άγριο να φουντώσει σύφλογο, τους Τρώες και τ᾽ άρματα τους
να κάψει πέρα ως πέρα. Κόρωσε καί συ τα δέντρα γύρα
στους όχτους, καί τον ίδιο τύλιξε τον Ξάνθο μες στις φλόγες᾽
μηδέ οι φοβέρες για τα πλάνα του να σε αντισκόψουν λόγια.

Μη σταματάς, μον᾽ καίγε αδιάκοπα" μονάχα σα γρικήξεις
να σου φωνάζω, την αδάμαστη φωτιά σου σβήσε τότε.»
Αυτά είπε, κι ο Ήφαιστος ετοίμασε φωτιά θεριακωμένη'
πρώτα η φωτιά στον κάμπο εφούντωσε, κι οι Τρώες καίγονταν όλοι,
που 'χε ο Αχιλλέας σκοτώσει κι άμετροι σωριάζουνταν κει πέρα.
Κι όλος ο κάμπος γύρα εστέγνωξε, και τα νερά εστάθηκαν.
Πως ο Βοριάς χινοπωριάτικα νιοπότιστο περβόλι
ξεραίνει ευτύς, κι ο που το γνοιάζεται χαρά νογάει μεγάλη'
όμοια κι ο κάμπος όλος στέγνωξε, και καίουνταν τα κουφάρια.
Μετά στον ποταμό τη φλόγα του γυρνάει τη λαμπαδούσα'

στους όχτους οι φτελιές εκόρωσαν κι οι ιτιές και τ᾽ αρμυρίκια,
κόρωσαν και τα βούρλα, η κύπερη και το τριφύλλι γύρα,
στου πόταμου πυκνά που εφύτρωναν τη ρεματιά την ώρια.
Τυραννισμένα, από τα τρίσβαθα νερά του δώθε κείθε
χέλια καί ψάρια ξεπετάγουνταν μες στο πανώριο ρέμα,
απ'του πολυτεχνίτη του Ήφαίστου πλαντώντας την ανάσα.
Και τότε ο ποταμός που εκαίγουνταν γυρνώντας του φωνάζει:
«Ήφαιστε, ποιος αποδυνάζεται να μετρηθεί μαζί σου
θεός; Μήτε κι εγώ τη φλόγα σου βαστώ να πολεμήσω.
Δεν πάει να διώξει από το κάστρο τους τούτη ο Αχιλλέας την ώρα

τους Τρώες! Σταμάτα! Εγώ απ᾽ τη βόηθηση και τις μαλιές τι βγάζω;»
Αυτά είπε, ως καίγουνταν, και τα όμορφα νερά του εχοχλακούσαν.
Πως λιώνει σε λεβέτι, που 'στησαν πα σε φωτιά μεγάλη,
χοίρος θρεφτός, κι από το πάχος του πετάγουνται φουσκάλες

ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ᾽ ὕδωρ·
οὐδ᾽ ἔθελε προρέειν, ἀλλ᾽ ἴσχετο· τεῖρε δ᾽ ἀϋτμὴ
Ἡφαίστοιο βίηφι πολύφρονος. αὐτὰρ ὅ γ᾽ Ἥρην
πολλὰ λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἥρη τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν

ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι
ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
ἀλλ᾽ ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι εἰ σὺ κελεύεις,
παυέσθω δὲ καὶ οὗτος· ἐγὼ δ᾽ ἐπὶ καὶ τόδ᾽ ὀμοῦμαι,
μή ποτ᾽ ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,

μὴ δ᾽ ὁπότ᾽ ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
καιομένη, καίωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ᾽ ἄρ᾽ Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
Ἥφαιστε σχέο τέκνον ἀγακλεές· οὐ γὰρ ἔοικεν

ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν.
ὣς ἔφαθ᾽, Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ,
ἄψορρον δ᾽ ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἳ μὲν ἔπειτα
παυσάσθην, Ἥρη γὰρ ἐρύκακε χωομένη περ·

ἐν δ᾽ ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
σὺν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ εὐρεῖα
χθών,
ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός. ἄϊε δὲ Ζεὺς
ἥμενος Οὐλύμπῳ· ἐγέλασσε δέ οἱ φίλον ἦτορ

γηθοσύνῃ, ὅθ᾽ ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ᾽ οἵ γ᾽ οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
τίπτ᾽ αὖτ᾽ ὦ κυνάμυια θεοὺς ἔριδι ξυνελαύνεις

θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνῃ ὅτε Τυδεΐδην Διομήδε᾽ ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
τώ σ᾽ αὖ νῦν ὀΐω ἀποτισέμεν ὅσσα ἔοργας.

ὣς εἰπὼν οὔτησε κατ᾽ αἰγίδα θυσσανόεσσαν
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.
ἣ δ᾽ ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ μέλανα τρηχύν τε μέγαν τε,

ολούθε, ως ψήνεται, και κούτσουρα ξερά από κάτω ανάβουν'
όμοια καιγόταν τ᾽ ώριο ρέμα του και τα νερά του έβραζαν.
Πια δεν κυλούσε ομπρός, σταμάτησε᾽ τι η ανάσα τον πλαντούσε
φριχτά του πολυκάτεχου Ηφαίστου᾽ θερμά την Ήρα τότε
παρακαλώντας ανεμάρπαστα της συντυχαίνει λόγια:
«Ήρα, γιατί ζητάει το ρέμα μου να βασανίζει ο γιος σου,

κι όχι τους άλλους; Τι κι αν έφταιξα; δεν έχω φταίξει τόσο,
όσο οι θεοί μαθές οι επίλοιποι, στους Τρώες πού δίνουν χέρι.
Την παύω τώρα εγώ την πλημμύρα, τη διάτα σου γρικώντας·
όμως κι αυτός να πάψει πρόσταξε, κι όρκο τρανό σου αμώνω
κανένα Τρώα ποτέ απ᾽ το θάνατο να μη γλιτώσω, μήτε
κι όταν θα καίει την Τροίαν αδάμαστη φωτιά, κι απ᾽ άκρη ως άκρη
θα καίγεται, απ᾽ τους πολεμόχαρους Αργίτες αναμμένη.»
Το λόγο τούτο ευτύς ως άκουσεν η κρουσταλλόχερη Ήρα,
γυρνώντας φώναξε στον Ήφαιστο, τον ακριβό το γιο της:
« Ήφαιστε, γιε μου κοσμοξάκουστε, σταμάτα᾽ δεν ταιριάζει

για χάρη των θνητών αθάνατο θεό να βασανίζεις.»
Είπε, κι αυτός αμέσως έσβησε τη δυνατή φωτιά του,
και τότε τα νερά πισώστρεψαν μες στο πανώριο ρέμα.
Εκείνοι οι δυο, του Ξάνθου ως κόπηκεν η φόρα, εσταματησάν
η Ήρα μαθές τους ανακράτησε, κι ας ήταν θυμωμένη'
μα στους θεούς τους άλλους άναψε μεγάλη αμάχη τότε,
βαριά, κι αντίγνωμη τους τάραζε βουλή στα φρένα μέσα'
κι ήρθαν στα χέρια με άγριο πάταχο᾽ βόγγηξε η γης ακέρια,
κι ο μέγας ουρανός εβρόντηξε᾽ κι ο Δίας ακούγοντας τους
ψηλά απ᾽ τον Όλυμπο που εκάθουνταν γελούσε απ᾽ τη χαρά του,

θωρώντας τους θεούς που εχίμιζαν, για να πιαστούν στα χέρια.
Πολληώρα να πιαστούν δεν πέρασε᾽ μπροστά ο σκουταροκρούστης
ο Άρης κινάει, και πρώτος χύθηκε στην Αθηνά, κρατώντας
το χάλκινο κοντάρι, κι άσκημα της συντυχαίνει λόγια:
«Τι πάλε τους θεούς, σκυλόμυγα, να χτυπηθούν ξαγγρίζεις
με τόση αποκοτιά, απ᾽ την άγρια σου τη λύσσα κεντημένη;
Για δε θυμάσαι που ξεσήκωσες τον αντρειανό Διομήδη .
να με λαβώσει, κι η ίδια αρπάζοντας το αστραφτερό κοντάρι
το 'σπρωξες πάνω μου και ξέσκισες την όμορφη μου σάρκα;
Μα ήρθε η στιγμή που τα όσα μου 'καμες θαρρώ θα
ξεπλερώσεις!»

Είπε, κι απά στο βροντοσκούταρο το τρομερό της ρίχνει,
αυτό που μήτε το αστροπέλεκο το διαπερνάει του Δία.
Εκεί τη βρήκε ο αιματοστάλαχτος με το κοντάρι του Άρης.
Κι αυτή, πισωδρομώντας, άρπαξε με το βαρύ της χέρι
μια πέτρα από τη γη, θεόρατη κι ανκαθωτή και μαύρη

τόν ῥ᾽ ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
τῷ βάλε θοῦρον Ἄρηα κατ᾽ αὐχένα, λῦσε δὲ γυῖα.
ἑπτὰ δ᾽ ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας,
τεύχεά τ᾽ ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·

νηπύτι᾽ οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων
εὔχομ᾽ ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις.
οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται οὕνεκ᾽ Ἀχαιοὺς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις.

ὣς ἄρα φωνήσασα πάλιν τρέπεν ὄσσε φαεινώ·
τὸν δ᾽ ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα στενάχοντα· μόγις δ᾽ ἐσαγείρετο θυμόν.
τὴν δ᾽ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·

ὢ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη
καὶ δ᾽ αὖθ᾽ ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
ὣς φάτ᾽, Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ,
καί ῥ᾽ ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ

ἤλασε· τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ᾽ ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
ἡ δ᾽ ἄρ᾽ ἐπευχομένη ἔπεα πτερόεντ᾽ ἀγόρευε·
τοιοῦτοι νῦν πάντες ὅσοι Τρώεσσιν ἀρωγοὶ
εἶεν, ὅτ᾽ Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,

ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρῃ ἐπίκουρος ἐμῷ μένει ἀντιόωσα·
τώ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο
Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον.
ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.

αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων·
Φοῖβε τί ἢ δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον αἴ κ᾽ ἀμαχητὶ
ἴομεν Οὐλυμπον δὲ Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῇφι νεώτερος· οὐ γὰρ ἔμοιγε

καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι᾽ ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
μέμνηαι ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
μοῦνοι νῶϊ θεῶν, ὅτ᾽ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν

που σύνορο οι παλιοί την είχανε στα χτήματα τους στήσει.
Μ᾽ αυτήν τον χτύπησε κατάσβερκα και του 'λυσε τα γόνα.
Κι έπιασε ο γαύρος Άρης πέφτοντας στρέμματα εφτά, και σκόνη
γιομίζει στα μαλλιά, και βρόντηξαν τρογύρα τ᾽ άρματά του.
Γελώντας η Αθηνά του φώναξε κι όλο καμάρι του 'πε:

«Άμυαλε εσύ, που δεν κατάλαβες ακόμα πόσο εγώ είμαι
πιο δυνατή σου, μόνο γύρεψες να μετρηθείς μαζί μου!
Έτσι πλερώνεις τ᾽ αναθέματα της μάνας σου, που τώρα
χολιάει μαζί σου και σ᾽ οχτρεύεται, τι αφήκες τους Αργίτες,
καί χέρι για να δώσεις έτρεξες στους Τρώες τους φαντασμένους.»
Ως μίλησε έτσι, την ολάστραφτη γυρίζει αλλού ματιά της'
κι εκείνον η Αφροδίτη η πάγκαλη τον πήρε από το χέρι,
βαριά που βόγγιζε και πάσκιζε μεβιας να πάρει ανάσα.
Κι η Ήρα ως τους είδε, η κρουσταλλόχερη θεά, γυρνάει με βιάση
στην Αθηνά και με ανεμάρπαστα της συντυχαίνει λόγια:

«Ωχού μου, θυγατέρα αδάμαστη του Βροντοσκουταράτου!
Για κοίτα πάλε τη σκυλόμυγα, που το φονιά τον Άρη
όξω τον βγάνει από τον πόλεμο" μον᾽ τρέξε πίσωθέ της!»
Αυτά είπε, κι η Αθηνά της χύθηκε, χαρά βαθιά νογώντας,
και φτάνοντας τη πα στο στήθος της με το βαρύ της χέρι
χτυπά την, κι εκείνης τα γόνατα λύθηκαν κι η καρδιά της.
Αντάμα εκείνοι οι δυο τους κοίτουνταν στη γη την πολυθρόφα,
κι όλο καμάρι αυτή ανεμάρπαστα πετά από πάνω λόγια:
« Μακάρι τέτοιοι να 'ταν όλοι τους, όσοι τους Τρώες βοηθάνε,
κάθε φορά τους χαλκοθώρακους που πολεμούν Αργίτες—

τόσο αντρειωμένοι, τόσο ανάθαρροι, καθώς την Αφροδίτη,
που ήρθε στον Άρη παραστάτισσα, τη λύσσα μου αψηφώντας!
Αν ήταν έτσι, εμείς στον πόλεμο θα 'χαμε βάλει τέλος
τώρα καιρό, τ᾽ ομορφοτείχιστο της Τροίας πατώντας κάστρο.»
Αυτά είπε, κι η Ήρα, η κρουσταλλόχερη θεά, χαμογελούσε.
Τότε γυρνώντας στον Απόλλωνα φωνάζει ο Κοσμοσείστης:
«Αλάργα, Φοίβε,· εμείς τι στέκουμε; κι ουδέ ταιριάζει αλήθεια,
μια κι οι άλλοι άρχισαν. Απολέμιστοι θα 'ταν ντροπή να πάμε
στον Όλυμπο, στο χαλκοκάτωφλο του Δία παλάτι, πίσω.
Μον᾽ κάμε αρχή, τι εσύ 'σαι νιότερος᾽ δε μου ταιριάζει εμένα,

που 'μαι στα χρόνια μεγαλύτερος και πιο πολλά κατέχω.
Τον έχασες το νου σου, ανέμυαλε! Δε βάζεις στο μυαλό σου
τις πλήθιες συφορές που επάθαμε στης Τροίας το κάστρο οι δυο μας,
εμείς μονάχα απ᾽ τους αθάνατους, σαν ήρθαμε σταλμένοι

μισθῷ ἔπι ῥητῷ· ὃ δὲ σημαίνων ἐπέτελλεν.
ἦτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν᾽ ἄρρηκτος πόλις εἴη·
Φοῖβε σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.

ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ᾽ ἀπέπεμπε.
σὺν μὲν ὅ γ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·

στεῦτο δ᾽ ὅ γ᾽ ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ.
νῶϊ δὲ ἄψορροι κίομεν κεκοτηότι θυμῷ
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ᾽ ἡμέων
πειρᾷ ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται

πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι
τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
ἐννοσίγαι᾽ οὐκ ἄν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἵ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε

ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυώμεσθα μάχης· οἱ δ᾽ αὐτοὶ δηριαάσθων.
ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ᾽· αἴδετο γάρ ῥα
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.

τὸν δὲ κασιγνήτη μάλα νείκεσε πότνια θηρῶν
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
φεύγεις δὴ ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας·
νηπύτιε τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;

μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
ὣς φάτο, τὴν δ᾽ οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις

νείκεσεν ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι·
πῶς δὲ σὺ νῦν μέμονας κύον ἀδεὲς ἀντί᾽ ἐμεῖο
στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
τοξοφόρῳ περ ἐούσῃ, ἐπεὶ σὲ λέοντα γυναιξὶ
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ᾽ ἐθέλῃσθα.

από το Δία και ρογιαστήκαμε για μια χρονιά στον άγριο
το Λαομέδοντα, που αφέντης μας εγίνη κι όριζε μας.
Και τότε εγώ καστρότειχο έχτισα στων Τρωών την πόλη γύρα,
πλατύ, γερό πολύ, το κάστρο τους απάτητο να μένει!
Φοίβε, και συ τα στριφτοζάλικα βουκόλευές του βόδια
μες στις πλαγιές της πολυφάραγγης και δασωμένης Ίδας.

Μα σύντας οι εποχές ολόχαρες την ώρα έφεραν τέλος
της πλερωμής, ο Λαομέδοντας αλάκερη τη ρόγα
μας κράτησε, και μας απόδιωξε με άγριες φοβέρες πίσω'
πως θα μας δέσει χεροπόδαρα φοβέριζε, και πέρα
πως θα μας έστελνε στ᾽ απόμακρα νησιά να μας πουλήσει,
κι ακόμα των δυονώ μας θα 'κοβε τ᾽ αφτιά με το μαχαίρι.
Κι εμείς του γυρισμού τραβούσαμε το δρόμο θυμωμένοι
για το μιστό που δε μας πλέρωσε, κι ας μας τον είχε τάξει.
Και τώρα εσύ βοηθάς το γένος του κι ουδέ μαζί μας στέκεις,
να ιδούμε πώς θα ξεκληρίσουμε τους Τρώες τους φαντασμένους

πέρα για πέρα, με τα τέκνα τους και τ᾽ ακριβά τους ταίρια.»
Κι ο μακροδόξαρος Απόλλωνας του απηλογήθη τότε:
« Αλήθεια, Κοσμοσείστη, θα 'λεγες πως τα 'χω πια χαμένα,
αν σου κινούσα τώρα πόλεμο για των θνητών τη χάρη,
των άμοιρων, που μια τρανεύουνε σαν των δέντρων τα φύλλα,
όλο ζωή και φλόγα, τρώγοντας απ᾽ τον καρπό της γης τους,
και μια πεθαίνουν κι αφανίζουνται. Μα εμείς γοργά απ᾽ τη μάχη
χέρι ας τραβήξουμε᾽ μονάχοι τους αυτοί ας χτυπιούνται τώρα.»
Αυτά είπε, και γυρνώντας έφυγε᾽ τι να πιαστεί στα χέρια
να χτυπηθεί με του πατέρα του τον αδερφό ντρεπόταν.

Τότες η Αρτέμιδα, η ξωτάρισσα και των θεριών η αφέντρα,
στον αδερφό της λέει μαλώνοντας με αγκιδωμένα λόγια:
«Φεύγεις αλήθεια, Μακροδόξαρε, κι όλη τη νίκη αφήνεις
στον Ποσειδώνα τώρα, κι άδικα του δίνεις να καυκιέται.
Τι το κρατάς λοιπόν, ανέμυαλε, του κάκου το δοξάρι;
Πια στο παλάτι του πατέρα μας να μη σε ξανακούσω
να μου καυκιέσαι στους αθάνατους μπροστά θεούς, πως τάχα
να χτυπηθείς βαστάς στον πόλεμο και με τον Ποσειδώνα.»
Αυτά είπε, ωστόσο ο μακροδόξαρος δεν αποκρίθη Φοίβος.
Θυμό γεμάτη η πολυσέβαστη του Δία γυναίκα τότε

γυρνάει στη Σαϊτορίχτρα με άσκημα μαλώνοντας τη λόγια:
« Πώς ξεθαρρεύτης, σκύλα αδιάντροπη, κι αντίκρα μου ήρθες τώρα
ν᾽ ασκώσεις κεφαλή; Σα δύσκολο μαζί μου να τα βάλεις,
κι ας είσαι με δοξάρι· λιόντισσα για τις θνητές μονάχα

ἤτοι βέλτερόν ἐστι κατ᾽ οὔρεα θῆρας ἐναίρειν
ἀγροτέρας τ᾽ ἐλάφους ἠ κρείσσοσιν ἶφι μάχεσθαι.
εἰ δ᾽ ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ᾽ ἐῢ εἰδῇς
ὅσσον φερτέρη εἶμ᾽, ὅτι μοι μένος ἀντιφερίζεις.
ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε

σκαιῇ, δεξιτερῇ δ᾽ ἄρ᾽ ἀπ᾽ ὤμων αἴνυτο τόξα,
αὐτοῖσιν δ᾽ ἄρ᾽ ἔθεινε παρ᾽ οὔατα μειδιόωσα
ἐντροπαλιζομένην· ταχέες δ᾽ ἔκπιπτον ὀϊστοί.
δακρυόεσσα δ᾽ ὑπαιθα θεὰ φύγεν ὥς τε πέλεια,
ἥ ῥά θ᾽ ὑπ᾽ ἴρηκος κοίλην εἰσέπτατο πέτρην

χηραμόν· οὐδ᾽ ἄρα τῇ γε ἀλώμεναι αἴσιμον ἦεν·
ὣς ἣ δακρυόεσσα φύγεν, λίπε δ᾽ αὐτόθι τόξα.
Λητὼ δὲ προσέειπε διάκτορος ἀργεϊφόντης·
Λητοῒ ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον δὲ
πληκτίζεσθ᾽ ἀλόχοισι Διὸς νεφεληγερέταο·

ἀλλὰ μάλα πρόφρασσα μετ᾽ ἀθανάτοισι θεοῖσιν
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῇφι βίηφιν.
ὣς ἄρ᾽ ἔφη, Λητὼ δὲ συναίνυτο καμπύλα τόξα
πεπτεῶτ᾽ ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.
ἣ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·

ἣ δ᾽ ἄρ᾽ Ὄλυμπον ἵκανε Διὸς ποτὶ χαλκοβατὲς δῶ,
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
εἶλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσας·
τίς νύ σε τοιάδ᾽ ἔρεξε φίλον τέκος Οὐρανιώνων

μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;
τὸν δ᾽ αὖτε προσέειπεν ἐϋστέφανος κελαδεινή·
σή μ᾽ ἄλοχος στυφέλιξε πάτερ λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·

αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἳ δ᾽ ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιόωντες·

κὰδ δ᾽ ἵζον παρὰ πατρὶ κελαινεφεῖ· αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ᾽ ὄλεκεν καὶ μώνυχας ἵππους.
ὡς δ᾽ ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἵκηται
ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε,
πᾶσι δ᾽ ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε᾽ ἐφῆκεν,

λέω σ᾽ έχει κάμει ο Δίας, και σου 'δωκε να ρίχνεις όποια θέλεις.
Πιο κέρδος θα 'χες λέω να σκότωνες αγρίμια στα ρουμάνια
κι άγρια ζαρκάδια, αντί να μάχεσαι με πιο τρανούς σου τώρα.
Μ᾽ αν θες να δοκιμάσεις πόλεμο, να μάθεις πόσο εγώ είμαι
τρανότερη, που αποδυνάστηκες να μετρηθείς μαζί μου...»
Αυτά είπε, και τα δυο της άρπαξε τα χέρια στο ζερβί της,

με το άλλο επήρε από τους ώμους της σαγίτες και δοξάρι,
κι όπως εκείνη εστριφογύριζε, στ᾽ αφτιά με τούτα αρχίζει
γελώντας να τη δέρνει᾽ κι έπεφταν κάτω οι γοργές σαγίτες.
Με θρήνους ξέφυγε απ᾽ τα χέρια της, σαν άγριο περιστέρι,
που σε βαθιά του βράχου χώνεται σκισμάδα, ως το γεράκι
το κυνηγάει, μα δεν του μέλλεται στα νύχια του να πέσει᾽
όμοια κι αυτή θρηνώντας έφυγε, κι αφήκε αυτού τα τόξα᾽
και της Λητώς ο αποκρισάτορας Αργοφονιάς φωνάζει:
« Λητώ, με σένα εγώ δε μάχομαι᾽ τι με του Δία τα ταίρια
του νεφελοστοιβάχτη δύσκολο να χτυπηθεί κανένας.

Μον᾽ τράβα τώρα στους αθάνατους, να καυκηθείς μπροστά τους
με τα σωστά σου, πώς με νίκησες παλεύοντας μαζί μου!»
Αυτά είπε, κι η Λητώ συμμάζεψε το γυριστό δοξάρι
και τις σαγίτες που σκορπίστηκαν στη στροβιλούσα σκόνη.
Κι ως τ᾽ άρματα άσκωσε της κόρης της, φεύγει γοργά. Κι εκείνη
στον Όλυμπο, στο χαλκοκάτωφλο του Δία παλάτι φτάνει,
και κλαίγοντας στου κύρη εκάθισε τα γόνατα, και γύρα
το αθάνατο μαντί της έτρεμε. Κι ο Δίας στην αγκαλιά του
μέσα την πήρε και τη ρώτησε γλυκά χαμογελώντας:
« Παιδί μου, ποιος απ᾽ τους αθάνατους σου τα 'χει κάνει ετούτα,

άδικα, λες κακό πως έκανες σε όλο μπροστά τον κόσμο;»
Και του αποκρίθη η Κυνηγάρισσα κι ομορφοστεφανούσα:
« Αχ, η γυναίκα σου με χτύπησεν, η κρουσταλλόχερη Ήρα,
αυτή που σπέρνει στους αθάνατους μαλώματα κι αμάχες!»
Τέτοια μιλούσαν συναλλήλως τους εκείνοι οι δυο κι έλεγαν
κι ο Απόλλωνας ο Φοίβος χώθηκε στην Τροία την άγια μέσα,
τι είχε την έγνοια, το καλόχτιστο της πόλης καστροτείχι
κι ενάντια στο γραφτό μην πάρουνε τη μέρα εκείνη οι Αργίτες.
Κι οι επίλοιποι θεοί στον Όλυμπο γυρνούσαν οι αναιώνιοι,
άλλοι περίσσια καμαρώνοντας, κι άλλοι θυμό γεμάτοι'

κι ήρθαν στο Δία το μαυροσύγνεφο και κάτσαν πλάι. Κι ωστόσο
τα χέρια του Αχιλλέα κι αλόγατα και Τρώες σώριαζαν χάμω.
Πως ο καπνός ψηλά πετάγεται στα ουράνια, σύντας βάζουν
φωτιά οι θεοί σε κάστρο κι άναψε, τι θύμωσαν μαζί του,
κι όλους σε μόχτο πλήθιο βάζουνε, πολλούς σε πίκρες μαύρες·

ὣς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε᾽ ἔθηκεν.
ἑστήκει δ᾽ ὃ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
ἐς δ᾽ ἐνόησ᾽ Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ᾽ αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
γίγνεθ᾽· ὃ δ᾽ οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε

ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
πεπταμένας ἐν χερσὶ πύλας ἔχετ᾽ εἰς ὅ κε λαοὶ
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
ἐγγὺς ὅδε κλονέων· νῦν οἵῳ λοίγι᾽ ἔσεσθαι.
αὐτὰρ ἐπεί κ᾽ ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,

αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δείδια γὰρ μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας·
αἳ δὲ πετασθεῖσαι τεῦξαν φάος· αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε Τρώων ἵνα λοιγὸν ἀλάλκοι.

οἳ δ᾽ ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο
δίψῃ καρχαλέοι κεκονιμένοι ἐκ πεδίοιο
φεῦγον· ὃ δὲ σφεδανὸν ἔφεπ᾽ ἔγχεϊ, λύσσα δέ οἱ κῆρ
αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,

εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε
φῶτ᾽ Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
ἔστη, ὅπως θανάτοιο βαρείας χεῖρας ἀλάλκοι
φηγῷ κεκλιμένος· κεκάλυπτο δ᾽ ἄρ᾽ ἠέρι πολλῇ.

αὐτὰρ ὅ γ᾽ ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,

αἰρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ᾽ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδῃ Ἀχιλῆϊ, ποσὶν δ᾽ ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ᾽ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·

ἐσπέριος δ᾽ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο
ἱδρῶ ἀποψυχθεὶς προτὶ Ἴλιον ἀπονεοίμην·
ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ᾽ ἀπαειρόμενον πόλιος πεδίον δὲ νοήσῃ
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.

παρόμοια κι ο Αχιλλέας εστοίβαζε στους Τρώες καημούς και πίκρες.
Κι ο γέρο Πρίαμος στο θεόχτιστο ψηλά ως στεκόταν πύργο,
τον Αχιλλέα το σαραντάπηχο θωράει᾽ κυνηγημένοι
μπροστά του οι Τρώες έφευγαν γρήγορα—και ποιος να τους γλιτώσει;
Ευτύς από τον πύργο σκούζοντας κατέβη, και φωνάζει

στους θυροκράτες τους αντρόκαρδους, πλάι στο τειχί που έστεκαν:
«Τις πόρτες ανοιχτές κρατάτε τις στα χέρια, για να μπούνε
τ᾽ ασκέρια μες στο κάστρο, ως φεύγουνε᾽ τι να τος ο Αχιλλέας
που φτάνει κυνηγώντας· σίμωσε θαρρώ η στερνή μας ώρα!
Μα σαν τρυπώσουν πια στο κάστρο μας και πάρουν λίγη ανάσα,
σφαλίχτε πάλι τα θυρόφυλλα τα σφιχταρμοδεμένα'
μες στο τειχί μας ο κατάρατος μπας και πηδήξει τρέμω!»
Είπε, κι άνοιξαν τις καστρόπορτες και τράβηξαν τους σύρτες,
κι είδανε φως οι Τρώες, ως άνοιξαν. Ο Απόλλωνας ωστόσο
χύθηκε αντίκρα, από το θάνατο τους Τρώες για να γλιτώσει.

Τούτοι απ᾽ τον κάμπο, με κατάξερο λαιμό, κουρνιαχτισμένοι,
προς το καστρί και το αψηλόχτιστο τειχί γραμμή ετραβούσαν᾽
μ᾽ αυτός με το κοντάρι εχύνουνταν ξοπίσω τους, καί λύσσα
μες στην καρδιά τρανή τον έπνιγε, και λαχταρούσε δόξα.
Οι Αργίτες τότε το αψηλόπορτο της Τροίας θα παίρναν κάστρο,
αν τον Αγήνορα δεν έλεγεν ο Απόλλωνας ο Φοίβος,
τον αντρειωμένο γιο, τον άψεγο, του Αντήνορα, να σπρώξει,
κουράγιο στην καρδιά του βάζοντας· καί στάθη στο πλευρό του,
τη Μοίρα τη βαριά από πάνω του να διώξει του θανάτου,
γερμένος πα στο δρύ᾽ και σύμπυκνη τον έζωνεν αντάρα.

Κι αυτός τον Αχιλλέα ξεκρίνοντας τον καστροκαταλύτη
στάθη, και χίλιες έγνοιες έδερναν το νου του, ως καρτερούσε.
Βόγγηξε τότε και στην πέρφανη γυρνάει καί λέει ψυχή του:
«Ωχού μου, αν μπρος στον αντροδύναμο τον Αχιλλέα γυρέψω
να φύγω τώρα, κει που οι επίλοιποι σκορπούν αλαλιασμένοι,
με φτάνει κι έτσι, και ξαρμάτωτο θα με ξαπλώσει χάμω.
Αν πάλε αυτούς εδώ τους άφηνα να φεύγουν δώθε κείθε
μπρος στου Πηλέα το γιο, και τρέχοντας μακριά απ᾽ το κάστρο, πέρα
κατά της Τροίας τον κάμπο αλάργευα, να φτάσω ως τα φαράγγια
της Ίδας, να χωθώ σε σύλλογγο βαθύ, και σα βραδιάσει

να πέσω να λουστώ στα ρέματα του ποταμού, να βγάλω
τον ίδρο απ᾽ το κορμί μου, κι έπειτα στην Τροία διαγύρω πίσω.
Όμως γιατί η καρδιά μου κάθεται και τ᾽ αναδεύει ετούτα;
Μπας και με ιδεί, ως το κάστρο αφήνοντας δρομώ κατά τον κάμπο,
και με τα γοήγορα ποδάρια του με φτάσει κυνηγώντας·

οὐκέτ᾽ ἔπειτ᾽ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ᾽ ἀνθρώπων.
εἰ δέ κέ οἱ προπάροιθε πόλεος κατεναντίον ἔλθω·
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,
ἐν δὲ ἴα ψυχή, θνητὸν δέ ἕ φασ᾽ ἄνθρωποι

ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὁρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
ἠΰτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ

ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλῃσιν,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ᾽ ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ δῖος Ἀγήνωρ

οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ᾽ Ἀχιλῆος.
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἀσπίδα μὲν πρόσθ᾽ ἔσχετο πάντοσ᾽
ἐΐσην,
ἐγχείῃ δ᾽ αὐτοῖο τιτύσκετο, καὶ μέγ᾽ ἀΰτει·
ἦ δή που μάλ᾽ ἔολπας ἐνὶ φρεσὶ φαίδιμ᾽ Ἀχιλλεῦ
ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων

νηπύτι᾽· ἦ τ᾽ ἔτι πολλὰ τετεύξεται ἄλγε᾽ ἐπ᾽ αὐτῇ.
ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν,
οἵ καὶ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεσθα· σὺ δ᾽ ἐνθάδε πότμον ἐφέψεις
ὧδ᾽ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.

ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε,
καί ῥ᾽ ἔβαλε κνήμην ὑπὸ γούνατος οὐδ᾽ ἀφάμαρτεν.
ἀμφὶ δέ οἱ κνημὶς νεοτεύκτου κασσιτέροιο
σμερδαλέον κονάβησε· πάλιν δ᾽ ἀπὸ χαλκὸς ὄρουσε
βλημένου, οὐδ᾽ ἐπέρησε, θεοῦ δ᾽ ἠρύκακε δῶρα.

Πηλεΐδης δ᾽ ὁρμήσατ᾽ Ἀγήνορος ἀντιθέοιο
δεύτερος· οὐδ᾽ ἔτ᾽ ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ,
ἡσύχιον δ᾽ ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
αὐτὰρ ὃ Πηλεΐωνα δόλῳ ἀποέργαθε λαοῦ·

αὐτῷ γὰρ ἐκάεργος Ἀγήνορι πάντα ἐοικὼς
ἔστη πρόσθε ποδῶν, ὃ δ᾽ ἐπέσσυτο ποσσὶ διώκειν·
εἶος ὃ τὸν πεδίοιο διώκετο πυροφόροιο
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον
τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ᾽ ἄρ᾽ ἔθελγεν
Ἀπόλλων

και τότε σίγουρα απ᾽ το θάνατο κι απ᾽ του χαμού τη μοίρα
πια δε γλιτώνω᾽ τι στη δύναμη το ταίρι του δεν έχει.
Αν πάλε ομπρός στο κάστρο αντίκρα του τραβήξω—τι και τούτος
έχει κορμί, που θα λαβώνεται με σουβλερό κοντάρι,
και μια ψυχή κι αυτός στα στήθια του᾽ θνητός κι αυτός λογαται'

μόνο που τώρα ο Δίας βουλήθηκε τιμή να του χαρίσει.»
Είπε, και ζάρωσε προσμένοντας τον Αχιλλέα, κι εντός του
η ατρόμητη καρδιά για πόλεμο και για σφαγή εχτυπούσε.
Πώς μέσα από λογγάρι η λιόπαρδη προβαίνει φουντωμένο
σε κυνηγό μπροστά, και μέσα της μηδέ τρομάρα νιώθει
μηδέ φευγιού λαχτάρα, ακούγοντας το σλίχτισμα των σκύλων
τι κι αν από κοντά προφταίνοντας της ρίξει για απ᾽ αλάργα
και την τρυπήσει το κοντάρι του, και πάλε αυτή δε χάνει
την αντριγιά, πριν πέσει απάνω του για πριν να ξεψυχήσει,
όμοια ο αρχοντόγεννος Αγήνορας, του Αντήνορα το σπέρμα,

στον Αχιλλέα μπροστά δεν έλεγε να φύγει, πριν του ρίξει.
Κι ασκώνοντας το ολούθε ισόκυκλο σκουτάρι ομπρός του τότε
με το κοντάρι τον σημάδεψε και δυνατά φωνάζει:
« Περίτρανε Αχιλλέα, το πίστεψες θαρρώ στ᾽ αλήθεια τώρα
πως σήμερα των Τρωών των πέρφανων το κάστρο θα πατήσεις.
Ανέμυαλε! έχει ακόμα γύρα του πολύ ν᾽ ασκώσει θρήνο!
Τα παλικάρια λέω δεν του 'λειψαν, περίσσια κι αντρειωμένα,
που τους γονιούς μας διαφεντεύοντας, τα ταίρια και τους γιους μας
στης Τροίας το κάστρο ομπρός στεκόμαστε᾽ μα εσύ δω πέρα τώρα
θα σκοτωθείς, κι ας είσαι ανήμερος και μέγας πολέμαρχος!»

Αυτά είπε, κι απ᾽ το χέρι του έφυγε το σουβλερό κοντάρι
και στο καλάμι τον επέτυχε, στο γόνατο πιο κάτω·
και γύρα του η κνημίδα εβρόντηξε φριχτά, φτιαγμένη ως ήταν
καινούργια από καλάι᾽ καί πήδηξε πίσω ο χαλκός χτυπώντας,
τι του θεού τα δώρα αμπόδισαν, και δεν την τρύπησε, όχι.
Τότε ο Αχιλλέας πα στον Αγήνορα τον αντρειωμένο εχύθη
δεύτερος· όμως δεν τον άφησε να πάρει δόξα ο Φοίβος,
μον᾽ του τον άρπαξε· με σύμπυκνη τον σκέπασε καταχνιά,
κι ανάνιωστα έξω από τον πόλεμο τον έβγαλε να φύγει,
καί του Πηλέα το γιο ξεμάκρυνε με δόλο από τ᾽ ασκέρια'

τι ο Μακρορίχτης, σε όλα μοιάζοντας του Αγήνορα, κοντά του
πήγε κι εστάθη. Ευτύς του χύθηκεν εκείνος κυνηγώντας,
και πίσω του να τρέχει αρχίνησε μες στο σπαρμένο κάμπο,
στον ποταμό, το βαθιοστρόβιλο το Σκάμαντρο αποδίπλα.
Κι ο Φοίβος όλο και του ξέφευγε, λίγο πιο μπρος, με δόλο
πλανώντας τον, να λέει τον έφτασε κάθε στιγμή, ως δρομούσε,

ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι·
τόφρ᾽ ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ᾽ ἔμπλητο ἀλέντων.
οὐδ᾽ ἄρα τοί γ᾽ ἔτλαν πόλιος καὶ τείχεος ἐκτὸς
μεῖναι ἔτ᾽ ἀλλήλους, καὶ γνώμεναι ὅς τε πεφεύγοι
ὅς τ᾽ ἔθαν᾽ ἐν πολέμῳ· ἀλλ᾽ ἐσσυμένως ἐσέχυντο
ἐς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦνα σαώσαι.

Σωρός ωστόσο οι Τρώες οι επίλοιποι στο κάστρο απ᾽ τη φευγάλα
χαρούμενοι έφταναν, και γιόμωσε το κάστρο στοιβαγμένους.
Κι ούτε βαστούσαν στο καστρότειχο να περιμένουν όξω
ο ένας τον άλλο, ποιος εγλίτωσε να μάθουν, ποιος εχάθη
στον πόλεμο· μονάχα εχύνουνταν με βιάση μες στο κάστρο
όσους εγλίτωναν τα γόνατα και τα γοργά τους πόδια.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Χ-

-Χ- ὣς οἳ μὲν κατὰ ἄστυ πεφυζότες ἠΰτε νεβροὶ
ἱδρῷ ἀπεψύχοντο πίον τ᾽ ἀκέοντό τε δίψαν
κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
τείχεος ἆσσον ἴσαν σάκε᾽ ὤμοισι κλίναντες.

Ἕκτορα δ᾽ αὐτοῦ μεῖναι ὁλοὴ μοῖρα πέδησεν
Ἰλίου προπάροιθε πυλάων τε Σκαιάων.
αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
τίπτέ με Πηλέος υἱὲ ποσὶν ταχέεσσι διώκεις
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με

ἔγνως ὡς θεός εἰμι, σὺ δ᾽ ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος, οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἅλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·

ἔβλαψάς μ᾽ ἑκάεργε θεῶν ὀλοώτατε πάντων
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ᾽ ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ᾽ ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δὲ σάωσας
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ᾽ ἔδεισας ὀπίσσω.

σ᾽ ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.
ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
σευάμενος ὥς θ᾽ ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο·
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα.

τὸν δ᾽ ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι
παμφαίνονθ᾽ ὥς τ᾽ ἀστέρ᾽ ἐπεσσύμενον πεδίοιο,
ὅς ῥά τ᾽ ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαὶ
φαίνονται πολλοῖσι μετ᾽ ἀστράσι νυκτὸς ἀμολγῷ,
ὅν τε κύν᾽ Ὠρίωνος ἐπίκλησιν καλέουσι.

λαμπρότατος μὲν ὅ γ᾽ ἐστί, κακὸν δέ τε σῆμα
τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
ᾤμωξεν δ᾽ ὁ γέρων, κεφαλὴν δ᾽ ὅ γε κόψατο χερσὶν
ὑψόσ᾽ ἀνασχόμενος, μέγα δ᾽ οἰμώξας ἐγεγώνει

λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων
ἑστήκει ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι·
τὸν δ᾽ ὁ γέρων ἐλεεινὰ προσηύδα χεῖρας ὀρεγνύς·
Ἕκτορ μή μοι μίμνε φίλον τέκος ἀνέρα τοῦτον
οἷος ἄνευθ᾽ ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς

Έτσι φευγάτοι αυτοί ως λαφόπουλα στο κάστρο μέσα τώρα
τον ίδρο τους στέγνωναν, κι έπιναν νερό να ξεδιψάσουν,
στα ώρια μπροστήθια απάνω γέρνοντας. Κι οι Δαναοί
ακουμπώντας
στους ώμους τα σκουτάρια εζύγωναν κοντά στο καστροτείχι.
Όμως τον Έχτορα τον κάρφωσε το μαύρο ριζικό του
να μείνει εκεί, στην Τροία κατάμπροστα, στο Ζερβοπόρτι δίπλα.
Και στου Πηλέα το γιο γυρίζοντας φωνάζει τότε ο Φοίβος:
«Γιε του Πηλέα, γιατί με γρήγορα με κυνηγάς ποδάρια,
θνητός εσύ θεόν αθάνατο; Δεν το 'νιωσες ακόμα

πως είμαι εγώ θεός, μον᾽ άπαυτα ξοπίσω μου φρενιάζεις;
Τους Τρώες να πολεμάς δε γνοιάζεσαι, που ως τώρα κυνηγούσες
και πια τρυπώξαν μες στο κάστρο τους, μον᾽ ξεστρατίζεις δώθε;
Να με σκοτώσεις δεν το δύνεσαι, τι εγώ θνητός δεν είμαι!»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του κάνει μανιασμένος:
« Μ᾽ έχεις πλανέψει, Μακροδόξαρε, στην κακοσύνη ο πρώτος
απ᾽ τους θεούς, που εσύ με αλάργεψες απ᾽ το τειχί, τι ειδάλλως
κι άλλοι πολλοί τη γη θα δάγκωναν, μέσα στην Τροία πριν
φτάσουν.
Δόξα τρανή να χάσω μ᾽ έκανες και γλίτωσες κι εκείνους,
εύκολα δα, τι δε φοβήθηκες το γδικιωμό μου πίσω.

Φτάνει μονάχα να 'χα δύναμη, και θα σε γδικιωνόμουν!»
Είπε, κι ευτύς με γαύραν έπαρση γυρνάει κατά το κάστρο,
ορμή γιομάτος, όμοιος με άλογο πού στους αγώνες τρέχει,
και σέρνει ακούραστο το αμάξι του, τον κάμπο δρασκελώντας·
όμοια γοργά κι εκείνου εδούλευαν και γόνατα καί πόδια.
Κι όπως στον κάμπο μέσα εχίμιζε, το μάτι πρώτα απ᾽ όλους
του γέρο Πρίαμου τον αντίκρισε, να λάμπει σαν το αστέρι,
που αργά το καλοκαίρι ασκώνεται, και στην καρδιά της νύχτας
μέσα απ᾽ τα πλήθια τ᾽ άστρα η λάμψη του περίσσια ξεχωρίζει'
το λένε και Σκυλί του Ωρίωνα, και πάνω απ᾽ όλα τ᾽ άλλα

λαμποκοπάει ψηλά, μα είναι άσκημο σημάδι, ως ξεπροβάλει,
τι φέρνει αλήθεια στους κακόμοιρους θνητούς περίσσιες θέρμες·
όμοια ο χαλκός κι εκείνου, ως έτρεχε, λαμπύριζε στα στήθη.
Σε θρήνο τότε ο γέρος ξέσπασε, κι ασκώνοντας τα χέρια
την κεφαλή χτυπούσε κι έσκουζε, το γιο παρακαλώντας
με κλάματα᾽ μα εκείνος στέκοντας ορθός μπροστά απ᾽ τις πόρτες
με του Πηλέα το γιο λαχτάριζε να χτυπηθεί μονάχα.
Απλώνοντας τα χέρια ο γέροντας σπαραχτικά του κράζει:
«Στον άντρα αντίκρα ετούτον, Έχτορα, μη στέκεις, καλογιέ μου,
μακριά απ᾽ τους άλλους ολομόναχος, και γοργοθανατίσεις

Πηλεΐωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι
σχέτλιος· αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
ὅς μ᾽ υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε

κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε Λυκάονα καὶ Πολύδωρον
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο κρείουσα γυναικῶν.
ἀλλ᾽ εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦ τ᾽ ἂν ἔπειτα

χαλκοῦ τε χρυσοῦ τ᾽ ἀπολυσόμεθ᾽, ἔστι γὰρ ἔνδον·
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
εἰ δ᾽ ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν,
ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι τοὶ τεκόμεσθα·
λαοῖσιν δ᾽ ἄλλοισι μινυνθαδιώτερον ἄλγος

ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς Ἀχιλῆϊ δαμασθείς.
ἀλλ᾽ εἰσέρχεο τεῖχος ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳάς, μὴ δὲ μέγα κῦδος ὀρέξῃς
Πηλεΐδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
πρὸς δ᾽ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέησον

δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴσῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ᾽ ἐπιδόντα
υἱάς τ᾽ ὀλλυμένους ἐλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δῃϊοτῆτι,

λκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν.
αὐτὸν δ᾽ ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας θυραωρούς,

οἵ κ᾽ ἐμὸν αἷμα πιόντες ἀλύσσοντες περὶ θυμῷ
κείσοντ᾽ ἐν προθύροισι. νέῳ δέ τε πάντ᾽ ἐπέοικεν
ἄρηϊ κταμένῳ δεδαϊγμένῳ ὀξέϊ χαλκῷ
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ ὄπτι φανήῃ·
ἀλλ᾽ ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον

αἰδῶ τ᾽ αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἰκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.
ἦ ῥ᾽ ὃ γέρων, πολιὰς δ᾽ ἄρ᾽ ἀνὰ τρίχας ἕλκετο χερσὶ
τίλλων ἐκ κεφαλῆς· οὐδ᾽ Ἕκτορι θυμὸν ἔπειθε.
μήτηρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα

απ᾽ του Πηλέα το γιο, τι δύναμη περίσσια απ᾽ όλους έχει,
ο σκύλος! Τόση αγάπη οι αθάνατοι να του 'χαν όση νιώθω
γι᾽ αυτόν εγώ, θα τον εξέσκιζαν γοργά σκυλιά κι αγιούπες
στο χώμα ξαπλωτό, ν᾽ αλάφρωνε και μένα η πίκρα η τόση·
που πλήθιους γιους αρχοντογέννητους μου 'χει παρμένα ως τώρα
σκοτώνοντας τους για πουλώντας τους σε μακρινά ακρογιάλια.
Κι ακόμα τώρα τον Πολύδωρο και το Λυκάονα ψάχνω
και δεν τους βρίσκω, εδώ που κλείστηκαν οι Τρώες στο κάστρο
μέσα,
η Λαοθόη που μου τους γέννησεν, αρχόντισσα απ᾽ τις πρώτες.
Μ᾽ αν ζουν ακόμα μες στ᾽ Αργίτικα λημέρια, με χρυσάφι

και με χαλκό θα τους λυτρώναμε, τι είναι πολύ το βιος μας᾽
προίκα τρανή στην κόρη του έδωκε κι ο ξακουσμένος Άλτης.
Μ᾽ αν σκοτώθηκαν πια και βρίσκουνται στον Κάτω Κόσμο τώρα,
καημός σε μας που τους γεννήσαμε, τη μάνα του κι εμένα,
όμως ο κόσμος ο αποδέλοιπος δε θα πονέσει τόσο,
φτάνει μονάχα εσύ να γλίτωνες απ᾽ του Αχιλλέα τα χέρια.
Μον᾽ έμπα, γιε μου, μες στο κάστρο μας καί γλίτωσε μας όλους,
τους Τρώες μαζί και τις γυναίκες τους᾽ στον Αχιλλέα μη δώσεις
δόξα τρανή, και συ πεθαίνοντας ταξιδευτείς στον Άδη.
Εμένα καν τον κακορίζικο που ακόμα ζω σπλαχνίσου,

που μέσα στα βαθιά γεράματα του Κρόνου ο γιος μου γράφει
άραχλα τέλη, πλήθια ο δύστυχος σα δω κακά πιο πρώτα,
τους γιους να μου σκοτώνουν, σκλάβες τους τις κόρες να μου
σέρνουν
και να κουρσεύουν το παλάτι μου᾽ να σφεντονίζουν κάτω
στο χώμα τα παιδιά τ᾽ ανήλικα μες στη σφαγή την άγρια,
και να τραβούν μεβιάς τις νύφες μου με τ᾽ άνομά τους χέρια.
Στερνό και μένα μπρος στην ξώπορτα θα με τραβολογήσουν,
ώμο για να με φαν, οι σκύλοι μου, σύντας με κρούσει κάποιος
με το σπαθί για το κοντάρι του, και τη ζωή μου πάρει—
αυτοί που τάιζα στο τραπέζι μου, να μου φυλάν τις πόρτες·

κι αφού ρουφήξουν πια το γαίμα μου με φρενιασμένα σπλάχνα,
θα ξαπλωθούν μπροστά στην ξώπορτα. Στο νιο ταιριάζουν όλα,
που ο κοφτερός χαλκός τον σπάραξε μες στη σφαγή και πέφτει,
κι ό,τι κι αν δείξει, είναι όλα του όμορφα, κι ας είναι σκοτωμένος.
Μα ενού γερόντου που σκοτώθηκεν οι σκύλοι σαν ντροπιάζουν
την άσπρη κεφαλή του, τ᾽ άσπρα του τα γένια, τ᾽ αχαμνά του,
χειρότερο κακό δε βρίσκεται για τους θνητούς τους έρμους!»
Έτσι μιλούσε τότε ο γέροντας, τα κάτασπρα μαλλιά του
συρομαδώντας, όμως του Έχτορα δεν άλλαζε τη γνώμη.
Κι αντίκρα εδέρνουνταν η μάνα του, πνιγμένη μες στο θρήνο,

κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε·
καί μιν δάκρυ χέουσ᾽ ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ τέκνον ἐμὸν τάδε τ᾽ αἴδεο καί μ᾽ ἐλέησον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον·
τῶν μνῆσαι φίλε τέκνον ἄμυνε δὲ δήϊον ἄνδρα

τείχεος ἐντὸς ἐών, μὴ δὲ πρόμος ἵστασο τούτῳ
σχέτλιος· εἴ περ γάρ σε κατακτάνῃ, οὔ σ᾽ ἔτ᾽ ἔγωγε
κλαύσομαι ἐν λεχέεσσι φίλον θάλος, ὃν τέκον αὐτή,
οὐδ᾽ ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.
ὣ

ὡς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱὸν
πολλὰ λισσομένω· οὐδ᾽ Ἕκτορι θυμὸν ἔπειθον,
ἀλλ᾽ ὅ γε μίμν᾽ Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι
βεβρωκὼς κακὰ φάρμακ᾽, ἔδυ δέ τέ μιν χόλος αἰνός,

σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ·
ὡς Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει
πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ᾽ ἐρείσας·
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω,

Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
ὅς μ᾽ ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ᾽ ὕπο τήνδ᾽ ὀλοὴν ὅτε τ᾽ ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην· ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν.
νῦν δ᾽ ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,

αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο·
Ἕκτωρ ἦφι βίηφι πιθήσας ὤλεσε λαόν.
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ᾽ ἂν πολὺ κέρδιον εἴη
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,

κεν αὐτῷ ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήματθ᾽ ἅμ᾽ αὐτῇ,

πάντα μάλ᾽ ὅσσά τ᾽ Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ᾽, ἥ τ᾽ ἔπλετο νείκεος ἀρχή,
δωσέμεν Ἀτρεΐδῃσιν ἄγειν, ἅμα δ᾽ ἀμφὶς Ἀχαιοῖς
ἄλλ᾽ ἀποδάσσεσθαι ὅσα τε πτόλις ἥδε κέκευθε·
Τρωσὶν δ᾽ αὖ μετόπισθε γερούσιον ὅρκον ἔλωμαι

κι ανοίγοντας τον κόρφο εσήκωσε το στήθος της με τ᾽ άλλο,
και μες στα κλάματα ανεμάρπαστα του συντυχαίνει λόγια:
«Εχτορα γιε μου, αυτά σεβάσου τα, σπλαχνίσου εμέ την ίδια!
Κάποτε αν βύζαξες τα στήθη μου και ξέχασες τον πόνο,
βαλ᾽ τα στο νου σου τούτα, αγόρι μου, και τον οχτρό πολέμα
μεσ᾽ απ᾽ το κάστρο μας· μη στέκεσαι στήθος με στήθος μπρος του.
Δίχως καρδιά είσαι! τι αν σε σκότωνεν αυτός, στο στρώμα απάνω
δε θα μπορούσα εγώ που σ᾽ έκανα να σε θρηνήσω, μήτε
η ακριβαγόραστη γυναίκα σου, βλαστάρι μου᾽ μακριά μας
στ᾽ Αργίτικα καράβια οι γρήγοροι θα σε σπαράξουν σκύλοι!»

Αυτά κι οι δυο με θρήνους φώναζαν, τον ακριβό το γιο τους
παρακαλώντας, όμως του Έχτορα δεν άλλαζαν τη γνώμη,
μον᾽ πρόσμενε το σαραντάπηχο τον Αχιλλέα που ερχόταν -
Πώς φίδι του βουνού στην τρύπα του παραμονεύει κάποιον,
φαρμακερά βοτάνια ως γεύτηκε, κι όλο χολή φρενιάζει,
κι άγριες ματιές πετάει, στην τρύπα του κουλουριαστό τρογύρα'
με ίδια αγριεμένη λύσσα κι ο Έχτορας το αστραφτερό σκουτάρι
σε μια γωνιά του πύργου εστύλωσε, χωρίς να κάμει πίσω.
Βόγγηξε τότε και στην πέρφανη γυρνάει και λέει ψυχή του:
« Αλί μου! τώρα εγώ αν διαβαίνοντας τις πόρτες μπω στο κάστρο,

πρώτος—το ξέρω—ο Πολυδάμαντας θα βγει να με ντροπιάσει,
που μου 'δινε βουλή, στο κάστρο μας τους Τρώες να φέρω μέσα,
ψες βράδυ, που ο Αχιλλέας ασκώθηκε για την κακιά μας μοίρα.
Μα δεν τον άκουσα, και θα 'μασταν πολύ πιο κερδεμένοι.
Τώρα που τόσο ασκέρι εχάλασα με φταίξιμο δικό μου,
μπροστά στους Τρώες αλήθεια ντρέπουμαι και στις
μακρομαντούσες
Τρωαδίτισσες, κανένας κάποτε μην πει αχαμνότερος μου:
,,Ο Έχτορας χάλασε το ασκέρι μας με την ξεθαρρεσιά του."
Αυτά θα πρϋν. Πολύ καλύτερο για μένα θα 'ταν τότε
για να σκοτώσω, ομπρός του βγαίνοντας, τον Αχιλλέα, πριν γύρω,

για και να πέσω από τα χέρια του, σαν άντρας, μπρος στο κάστρο.
Αν πάλε το σκουτάρι απίθωνα το αφαλωτό στο χώμα
και το βαρύ μου κράνος, κι έγερνα στο τείχος το κοντάρι,
κι ατός μου επήγαινα τον άψεγο τον Αχιλλέα να σμίξω,
και την Ελένη πίσω του 'ταζα κι όλο το βιος μαζί της,
που μες στα βαθουλά καράβια του φόρτωσε ο Πάρης τότε
κι έφερε εδώ στην Τροία —της έχτρας μας η αρχή που εστάθη η
πρώτη—
πίσω στους γιους του Ατρέα να τα 'δινα᾽ κι ακόμα εμείς κι οι Αργίτες
τους θησαυρούς να μοιραζόμαστε που κλεί το κάστρο εντός του,
κι όρκο τους Τρώες να πάρουν έβαζα με τους πρωτογερόντους,

μή τι κατακρύψειν, ἀλλ᾽ ἄνδιχα πάντα δάσασθαι
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·
ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὃ δέ μ᾽ οὐκ ἐλεήσει
οὐδέ τί μ᾽ αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα

αὖτως ὥς τε γυναῖκα, ἐπεί κ᾽ ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ᾽ ἀπὸ πέτρης
τῷ ὀαριζέμεναι, ἅ τε παρθένος ἠΐθεός τε
παρθένος ἠΐθεός τ᾽ ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ᾽ ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα·

εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
ὡς ὅρμαινε μένων, ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεὺς
ἶσος Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
ἢ

πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ᾽, ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη
αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς·
Πηλεΐδης δ᾽ ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς.
ἠΰτε κίρκος ὄρεσφιν ἐλαφρότατος πετεηνῶν

ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν,
ἣ δέ θ᾽ ὕπαιθα φοβεῖται, ὃ δ᾽ ἐγγύθεν ὀξὺ λεληκὼς
ταρφέ᾽ ἐπαΐσσει, ἐλέειν τέ ἑ θυμὸς ἀνώγει·
ὡς ἄρ᾽ ὅ γ᾽ ἐμμεμαὼς ἰθὺς πέτετο, τρέσε δ᾽ Ἕκτωρ
τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ᾽ ἐνώμα.

οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὑπ᾽ ἐκ κατ᾽ ἀμαξιτὸν ἐσσεύοντο,
κρουνὼ δ᾽ ἵκανον καλλιρρόω· ἔνθα δὲ πηγαὶ
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
ἣ μὲν γάρ θ᾽ ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς

γίγνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο·
ἣ δ᾽ ἑτέρη θέρεϊ προρέει ἐϊκυῖα χαλάζῃ,
ἢ χιόνι ψυχρῇ ἢ ἐξ ὕδατος κρυστάλλῳ.
ἔνθα δ᾽ ἐπ᾽ αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα

πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες
τὸ πρὶν ἐπ᾽ εἰρήνης πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
τῇ ῥα παραδραμέτην φεύγων ὃ δ᾽ ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ᾽ ἀμείνων
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην

να μοιραστούν στα δυο και τίποτα μαθές να μην τους κρύψουν
απ᾽ όσα πλούτη τ᾽ ώριο κάστρο μας φυλάγει εντός του ακόμα.
Όμως γιατί η καρδιά μου κάθεται καί τ᾽ αναδεύει ετούτα;
Εγώ μην πάω παρακαλώντας τον, κι αυτός σπλαχνιά δε νιώσει
κι ουδέ με σεβαστεί, ξαρμάτωτο μονάχα με ξεκάνει
σα μια γυναίκα, όπως θα βρίσκομαι, με δίχως τ᾽ άρματά μου.
Καιρός δεν είναι πια να στήσουμε γλυκοκουβεντολόγι,
λόγια του ανέμου, ως ένας άγουρος που σμίξει με κοπέλα,
ως μια κοπέλα κι ένας άγουρος που γλυκοκουβεντιάζουν.
Κάλλιο θαρρώ μιαν ώρα αρχύτερα να πιάσουμε το απάλε,

σε ποιόν να ιδούμε ο αφέντης του Ολύμπου τη νίκη θα χαρίσει.»
Τέτοια λογιάζοντας τον πρόσμενε, κι ήρθε ο Αχιλλέας σιμά του
ο κρανοσείστης, πολεμόχαρος θαρρείς πως ήταν Άρης,
το πηλιορίτικο το φράξο του το τρομερό κουνώντας
στον ώμο το δεξιό; κι ο μπρούντζος του στραφτάλιζε τρογύρα
σαν τη φωτιά που λαμπαδιάζεται για ως ήλιος που προβέλνει.
Τον είδεν ο Έχτορας και τρόμαξε, δε βάστηξε να μείνει,
κι αφήνοντας τις πόρτες πίσω του πήρε γοργά να τρέχει.
Τότε ο Αχιλλέας χιμάει ξοπίσω του με φτερωμένα πόδια,
καθώς γεράκι, απ᾽ τα πετούμενα το πιο γοργό, που πέφτει

σε περιστέρα πάνω ολότρεμη πα στα βουνά με φόρα,
κι ως φεύγει αυτή μπροστά, στρηνιάζοντας την παίρνει του κυνηγού,
χιμώντας κάθε τόσο πίσω της, στα νύχια του ως να πέσει·
όμοια κι αυτός λυσσώντας χύνουνταν στον Εχτορα, κι εκείνος
κάτω απ᾽ των Τρωών το τείχος έφευγε με γρήγορα ποδάρια.
Τη βίγλα και την ανεμόδαρτην αγριοσυκιά πέρασαν,
κι όξω απ᾽ τα τείχη πέρα ερίχτηκαν στη δημοσιά και τρέχαν.
Να κι οι ανεβάλλουσες οι γάργαρες, απ᾽ όπου ξεπετιούνται᾽
του γοργοστρόβιλου του Σκάμαντρου τα δυο τα κεφαλάρια'
σύχλιο νερό αναβρύζει το 'να τους, κι αχνούς ολόγυρα του

πετά από μέσα του, λες κι άναψε φωτιά καπνούς γιομάτη·
το άλλο αναβρύζει συγκαλόκαιρα νερά σαν το χαλάζι,
για σαν τον πάγο που κρουστάλλιασε, για σαν το κρύο το χιόνι.
Ηταν εκεί και γούρνες δίπλα τους για πλυσταριά, μεγάλες,
πανώριες, πέτρινες, όπου 'φερναν τα λιόκαλα σκουτιά τους
των Τρωών τα ταίρια κι οι πεντάμορφες κοπέλες τους και πλέναν,
στα χρόνια της ειρήνης, άλλοτε, πριν οι Αχαιοί προβάλουν.
Κείθε πέρασαν, ο ένας φεύγοντας, και κυνηγώντας ο άλλος,
(τρανός ο που 'φευγε, τρανότερος ξοπίσω ο κυνηγάρης)
τρεχάτοι᾽ για σφαχτό δεν πάλευαν και για βοδιού τομάρι,

ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ᾽ ὅτ᾽ ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον
ἢ τρίπος ἠὲ γυνὴ ἀνδρὸς κατατεθνηῶτος·

ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην
καρπαλίμοισι πόδεσσι· θεοὶ δ᾽ ἐς πάντες ὁρῶντο·
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ὤ πόποι ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ᾽ ὀλοφύρεται ἦτορ

Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί᾽ ἔκηεν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ᾽ αὖτε
ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ᾽ ἄγετε φράζεσθε θεοὶ καὶ μητιάασθε

ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Πηλεΐδῃ Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα.
τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ὦ πάτερ ἀργικέραυνε κελαινεφὲς οἷον ἔειπες·
ἄνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἴσῃ

ἄψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
θάρσει Τριτογένεια φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·

ἔρξον ὅπῃ δή τοι νόος ἔπλετο, μὴ δ᾽ ἔτ᾽ ἐρώει.
ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ᾽ ἀσπερχὲς κλονέων ἔφεπ᾽ ὠκὺς Ἀχιλλεύς.
ὡς δ᾽ ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται

ὄρσας ἐξ εὐνῆς διά τ᾽ ἄγκεα καὶ διὰ βήσσας·
τὸν δ᾽ εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά τ᾽ ἀνιχνεύων θέει ἔμπεδον ὄφρά κεν εὕρῃ·
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλεΐωνα.
ὁσσάκι δ᾽ ὁρμήσειε πυλάων Δαρδανιάων

ἀντίον ἀΐξασθαι ἐϋδμήτους ὑπὸ πύργους,
εἴ πως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ᾽ αἰεί.
ὡς δ᾽ ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·

που παίρνουν όσοι παραβγαίνοντας κερδίζουν στους αγώνες·
για τη ζωή εδρομούσαν του Έχτορα του αλογατάρη τώρα!
Πώς στους αγώνες, σύντας πέθανε κάποιος τρανός, με βιάση
τ᾽ άτια δρομίζουν τα μονόνυχα τρογύρα απ᾽ τα σημάδια,
να πάρει όποιος νικήσει δώρο του για σκλάβα για τριπόδι᾽
όμοια κι εκείνοι τρεις γυρόφεραν φορές το καστροτείχι
του Πρίαμου τρέχοντας. Κι οι αθάνατοι τους αγνάντευαν όλοι.
Πρώτος μιλούσε των αθάνατων και των θνητών ο κύρης:
«Ωχού μου, αλήθεια πολυαγάπητο θνητό στο τείχος γύρα
θωρώ να κυνηγούν, και μέσα μου τον κλαίει πικρά η καρδιά μου,

τον Έχτορα, που τόσα μου 'καψε μεριά βοδιών ως τώρα
στ᾽ ακρόβουνα της πολυφάραγγης της Ίδας, πότε πάλε
ψηλά στο κάστρο. Τώρα ιδέστε τον τον κυνηγάει με πόδι
γοργό ο Αχιλλέας στην πόλη ολόγυρα του Πρίαμου, να τον φτάσει.
Ομπρός λοιπόν, θεοί, ζυγιάστε το, καλολογιάσετέ το'
θα τον γλιτώσουμε απ᾽ το θάνατο, για απ᾽ του Αχιλλέα τα χέρια
να πέσει πια θα τον αφήσουμε, με όση αντριγιά κι αν έχει;»
Τότε η Αθηνά, η θεά η γλαυκόματη, του απηλογήθη κι είπε:
« Τί λες, πατέρα αστραποκέραυνε, μαυροσυγνεφιασμένε;
Έναν θνητό που η Μοίρα θάνατο του 'χει από χρόνια γράψει

πώς θες ξανά απ᾽ τον πολυστέναχτο να τον γλιτώσεις Χάρο;
Κάμε ό,τι θες, μα κι όλοι οι αθάνατοι δεν έχουμε ίδια γνώμη.»
Κι ο Δίας γυρνώντας της απάντησεν ο νεφελοστοιβάχτης:
« Παιδί μου Τριτογένεια, θάρρεψε, κι αλήθεια δε μιλούσα
με την καρδιά μου᾽ θέλω πάντα μου καλός μαζί σου να 'μαι.
Ό,τι γυρεύει ο νους σου κάμε το και μη χασομερίζεις.»
Αυτά είπε, κι η Αθηνά, που το 'θελε κι από τα πριν, πετάχτη
και τις κορφές του Ολύμπου αφήνοντας με βιάση εχύθη κάτω.
Κι ωστόσο εχίμιζε στον Έχτορα πίσω ο Αχιλλέας τρεχάτος
δίχως ξανάσα. Πώς λαφόπουλο ξοπίσω παίρνει σκύλος,

που απ᾽ τη μονιά του το ξετόπωσε, μες σε πλαγιές και λόγγους·
κι αν μια στιγμή θαρρεί πως ξέφυγε τρυπώνοντας στα θάμνα,
μ᾽ αυτός δε σταματάει το λάχνισμα και το τρεχιό, ως να το᾽ βρει'
όμοια τον Έχτορα απ᾽ τα μάτια του δεν άφηνε ο Αχιλλέας.
Κάθε που αυτός για τις καστρόπορτες του Δάρδανου εκινούσε
τρέχοντας, κάτω απ᾽ τους καλόχτιστους για να βρεθεί τους
πύργους,
μπας κι οι δικοί του τον διαφέντευαν ψηλά με τις σαγίτες,
όλο και πρόφταινε καί του 'μπαινε μπροστά, στον κάμπο πίσω
γυρνώντας τον, κι ατός του εβρίσκουνταν μεριά του κάστρου
πάντα.
Πώς μέσα στ᾽ όνειρο δε δύνεσαι να πιάσεις τον που φεύγει,

οὔτ᾽ ἄρ᾽ ὃ τὸν δύναται ὑποφεύγειν οὔθ᾽ ὃ διώκειν·
ὣς ὃ τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ᾽ ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἦντετ᾽ Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;

λαοῖσιν δ᾽ ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
οὐδ᾽ ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τις κῦδος ἄροιτο βαλών, ὃ δὲ δεύτερος ἔλθοι.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,

ἐν δ᾽ ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ᾽ Ἕκτορος ἱπποδάμοιο,
ἔλκε δὲ μέσσα λαβών· ῥέπε δ᾽ Ἕκτορος αἴσιμον
ἦμαρ,
ᾤχετο δ᾽ εἰς Ἄϊδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλεΐωνα δ᾽ ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,

ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
νῦν δὴ νῶι ἔολπα Διΐ φίλε φαίδιμ᾽ Ἀχιλλεῦ
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας
Ἕκτορα δῃώσαντε μάχης ἄατόν περ ἐόντα.
οὔ οἱ νῦν ἔτι γ᾽ ἔστι πεφυγμένον ἄμμε γενέσθαι,

οὐδ᾽ εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ᾽ ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.
ὣς φάτ᾽ Ἀθηναίη, ὃ δ᾽ ἐπείθετο, χαῖρε δὲ θυμῷ,

στῆ δ᾽ ἄρ᾽ ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
ἣ δ᾽ ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ᾽ Ἕκτορα δῖον
Δηϊφόβῳ ἐΐκυῖα δέμας καὶ ἀτειρέα φωνήν·
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
ἠθεῖ᾽ ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς

ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
ἀλλ᾽ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.
τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Δηΐφοβ᾽ ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
γνωτῶν οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·

νῦν δ᾽ ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς ἔτλης ἐμεῦ εἵνεκ᾽, ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
τείχεος ἐξελθεῖν, ἄλλοι δ᾽ ἔντοσθε μένουσι.
τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ἠθεῖ᾽ ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ

και μήτε να τον πιάσεις δύνεσαι, μήτε κι αυτός να φύγει'
όμοια κι εκείνος δεν τον έφτανε, και δεν εξέφευγε ο άλλος.
Και τώρα πώς ο μέγας Έχτορας θα γλίτωνε του Χάρου.
αν για στερνή φορά κι ολόστερνη σιμά του δεν ερχόταν
ο Απόλλωνας, ορμή και γόνατα γοργά να του χαρίσει'
Κουνώντας το κεφάλι του έγνεφε στους άλλους ο Αχιλλέας,
πικρές σαγίτες πα στον Έχτορα κανένας να μη ρίξει,
μην άλλος δοξαστεί χτυπώντας τον, κι εκείνος δεν προφτάσει.
Μα σύντας φτάσαν πια και τέταρτη φορά στις βρυσομάνες,
τη ζυγαριά του την ολόχρυση τέντωσε ο Δίας πατέρας'

κι έβαζε κλήρους δυο δεξόζερβα του ανήλεου του θανάτου,
στη μια του αλογατάρη του Έχτορα, και του Αχιλλέα στην άλλη·
κι από τη μέση ως την εσήκωσε, το ριζικό του Εχτόρου
γέρνει στον Άδη. Ευτύς τον αφησε κι ο Απόλλωνας ο Φοίβος.
Τότε η Αθηνά, η θεά η γλαυκόματη, τον Αχιλλέα σιμώνει,
κι ως πλάι του εστάθη, με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Τώρα, Αχιλλέα τρανέ, αρχοντόγεννε, λογιάζω πώς οι δυο μας
δόξα περίτρανη θα πάρουμε στ᾽ Αργίτικα καράβια
σκοτώνοντας μαζί τον Έχτορα, κι ας μη χορταίνει απάλε.
Μεσ᾽ απ᾽ τα χέρια μας δε γίνεται καθόλου να γλιτώσει,

περίσσια κι αν πασκίσει ο Απόλλωνας ο μακροσαγιτάρης,
στου Δία μπροστά του βροντοσκούταρου κι αν κυλιστεί τα πόδια.
Μον᾽ έλα, στάσου εσύ κι ανάσανε, κι εγώ θα τρέξω τώρα
τη γνώμη να του αλλάξω, αντίκρα σου να βγει να πολεμήσει.»
Είπε η Αθηνά, κι αυτός την άκουσε και χάρηκε η καρδιά του,
κι εστάθη απά στο χαλκομύτικο κοντάρι του ακουμπώντας.
Κι εκείνη αφήνοντας τον έτρεξε στον Έχτορα το γαύρο,
του Δήφοβου το διώμα παίρνοντας και την τρανή φωνή του·
κι ως πλάι του εστάθη, με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Σε ζόρισε ο Αχιλλέας ο γρήγορος πολύ, αδερφέ μου, τώρα

γύρω απ᾽ το κάστρο κυνηγώντας σε με φτερωμένα πόδια·
μα εδώ ας σταθούμε κι ας ανοίξουμε τον πόλεμο μαζί του.»
Κι ο μέγας κρανοσείστης Έχτορας απηλογιά της δίνει:
« Και πρώτα αγάπη εσένα, Δήφοβε, σου 'χα περίσσια απ᾽ όλους
τους αδερφούς, που ο Πρίαμος γέννησε κι η Εκάβη· ωστόσο τώρα
μες στην καρδιά μου ακόμα πιότερο να σ᾽ έχω λογαριάζω,
που για χατίρι μου αποκότησες, σαν είδες πού βρισκόμουν,
έξω να βγεις, την ώρα που όλοι τους απόμειναν στο κάστρο.»
Τότε η Αθηνά, η θεά η γλαυκόματη, του απηλογήθη κι είπε:
« Καλέ μου, αλήθεια κι ο πατέρας μας κι η μάνα η σεβαστή μας

λίσσονθ᾽ ἑξείης γουνούμενοι, ἀμφὶ δ᾽ ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ᾽ ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
νῦν δ᾽ ἰθὺς μεμαῶτε μαχώμεθα, μὴ δέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἴδομεν εἴ κεν Ἀχιλλεὺς
νῶϊ κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι γλαφυράς, ἦ κεν σῷ δουρὶ δαμήῃ.
ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ᾽ Ἀθήνη·
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε μέγας κορυθαίολος
Ἕκτωρ·
οὔ σ᾽ ἔτι Πηλέος υἱὲ φοβήσομαι, ὡς τὸ πάρος περ
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ᾽ ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν ἤ κεν ἁλοίην.
ἀλλ᾽ ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ᾽ ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ᾽ ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε᾽ Ἀχιλλεῦ
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
Ἕκτορ μή μοι ἄλαστε συνημοσύνας ἀγόρευε·
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
ὡς οὐκ ἔστ᾽ ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκια ἔσσονται, πρίν γ᾽ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ᾽ ἔσθ᾽ ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῷ δαμάᾳ· νῦν δ᾽ ἀθρόα πάντ᾽ ἀποτίσεις
κήδε᾽ ἐμῶν ἑτάρων οὓς ἔκτανες ἔγχεϊ θύων.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
ἕζετο γὰρ προϊδών, τὸ δ᾽ ὑπέρπτατο χάλκεον ἔγχος,
ἐν γαίῃ δ᾽ ἐπάγη· ἀνὰ δ᾽ ἥρπασε Παλλὰς Ἀθήνη,
ἄψ δ᾽ Ἀχιλῆϊ δίδου, λάθε δ᾽ Ἕκτορα ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλεΐωνα·
ἤμβροτες, οὐδ᾽ ἄρα πώ τι θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ

στα γόνατα μου έπεσαν κλαίγοντας, κι οι σύντροφοι τρογύρα,
να μείνω μέσα εκεί, τι ανείπωτος τους έχει αδράξει τρόμος'
μα μέσα μου η καρδιά εσπαράζουνταν από καημό περίσσιο.
Ας μπούμε τώρα στο αντροπάλεμα με ορμή, και τα κοντάρια
μη λυπηθούμε, για να μάθουμε, τάχα ο Αχιλλέας τους δυο μας
θα μας σκοτώσει, στα καράβια του τα ματωμένα κούρσα
να φέρει, για κι απ᾽ το κοντάρι σου θα πέσει πρώτα εκείνος;»
Αυτά είπεν η Αθηνά, και κίνησε μπροστά πλανεύοντας τον.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
ο μέγας κρανοσείστης Έχτορας του μίλησε έτσι πρώτος:
« Γιε του Πηλέα, πια δε σε σκιάζομαι σαν πρίν, που επήρα δρόμο
στο κάστρο τρεις φορές ολόγυρα του Πρίαμου, κι ως χυνόσουν,
να σε αντικρίσω δεν το βάστηξα᾽ τώρα η καρδιά με σπρώχνει
να χτυπηθούμε πια κατάστηθα, κι όποιονε πάρει ο Χάρος!
Μον᾽ έλα, τους θεούς να κράξουμε, τι άλλους δεν έχει αλήθεια
κάλλιους μαρτύρους και βλεπάτορες στις σύβασές μας τούτες:
τι το κορμί σου εγώ σκληρόψυχα δε θα ντροπιάσω, αν ίσως
μου δώσει τώρα ο Δίας τη δύναμη και τη ζωή σου πάρω'
τα ξακουστά σα γδύσω τ᾽ άρματα, θα δώσω το κορμί σου
στους Αχαιούς για να το θάψουνε᾽ το ίδιο και συ να κάνεις.»
Κι είπε ο Αχιλλέας ο γοργοπόδαρος ταυροκοιτάζοντάς τον:
«Έχτορα σκύλε, τα συβάσματα καταμεριά παράτα!
Όπως ποτέ λιοντάρια κι άνθρωποι πιστούς δε δένουν όρκους,
κι ουδέ κι αρνιά και λύκοι σμίγουνε ποτέ τους να μονιάσουν,
μονάχα μίσος ακατάλυτο δουλεύει αναμεσό τους,
παρόμοια εγώ και συ δε γίνεται να 'χουμε αγάπη, μήτε
όρκους να κάνουμε, πριν ένας μας πέσει στη γη, τον Άρη
για να χορτάσει με το γαίμα του, τον άγριο πολέμαρχο.
Βάλε λοιπόν την πάσα τέχνη σου στο νου, καιρός να δείξεις
κονταρομάχος και πολέμαρχος πως είσαι ψυχωμένος.
Δεν έχεις γλιτωμό! Το θάνατο σου ετοίμασε η Παλλάδα
την ώρα αυτή με το κοντάρι μου᾽ κι όλες μαζί τις πίκρες
θα μου πλερώσεις για τους συντρόφους που σκότωσες
λυσσώντας.»
Είπε, και το μακρόισκιωτο έριξε κοντάρι του με φόρα·
μα το 'δε αντίκρα ο μέγας Έχτορας και τη ριξιά ξεφεύγει,
τι έσκυψε, ως το 'δε· κι από πάνω του πετώντας το κοντάρι
το χάλκινο στο χώμα εμπήχτηκε᾽ τότε η Αθηνά το αρπάζει
κρυφά απ᾽ τον Έχτορα και το 'δωκε ξανά στον Αχιλλέα.
Κι ο μέγας Έχτορας στον άψεγο γιο του Πηλέα φωνάζει:
« θεόμοιαστε Αχιλλέα, ξαστόχησες, κι ουδέ το θάνατο μου

ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον, ἦ τοι ἔφης γε·
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρά σ᾽ ὑποδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ᾽ ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον

εἴ τοι ἔδωκε θεός· νῦν αὖτ᾽ ἐμὸν ἔγχος ἄλευαι
χάλκεον· ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο.
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,

καὶ βάλε Πηλεΐδαο μέσον σάκος οὐδ᾽ ἀφάμαρτε·
τῆλε δ᾽ ἀπεπλάγχθη σάκεος δόρυ· χώσατο δ᾽ Ἕκτωρ
ὅττί ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
στῆ δὲ κατηφήσας, οὐδ᾽ ἄλλ᾽ ἔχε μείλινον ἔγχος.
Δηΐφοβον δ᾽ ἐκάλει λευκάσπιδα μακρὸν ἀΰσας·

ᾔτεέ μιν δόρυ μακρόν· ὃ δ᾽ οὔ τί οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ᾽ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
ὤ πόποι ἦ μάλα δή με θεοὶ θάνατον δὲ κάλεσσαν·
Δηΐφοβον γὰρ ἔγωγ᾽ ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ᾽ ὃ μὲν ἐν τείχει, ἐμὲ δ᾽ ἐξαπάτησεν Ἀθήνη.

νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδ᾽ ἔτ᾽ ἄνευθεν,
οὐδ᾽ ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἱῒ ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,

ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ,
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε στιβαρόν τε,
οἴμησεν δὲ ἀλεὶς ὥς τ᾽ αἰετὸς ὑψιπετήεις,
ὅς τ᾽ εἶσιν πεδίον δὲ διὰ νεφέων ἐρεβεννῶν

ἁρπάξων ἢ ἄρν᾽ ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
ὁρμήθη δ᾽ Ἀχιλεύς, μένεος δ᾽ ἐμπλήσατο θυμὸν
ἀγρίου, πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε
καλὸν δαιδάλεον, κόρυθι δ᾽ ἐπένευε φαεινῇ

τετραφάλῳ· καλαὶ δὲ περισσείοντο ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἴει λόφον ἀμφὶ θαμειάς.
οἷος δ᾽ ἀστὴρ εἶσι μετ᾽ ἀστράσι νυκτὸς ἀμολγῷ
ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ,
ὣς αἰχμῆς ἀπέλαμπ᾽ εὐήκεος, ἣν ἄρ᾽ Ἀχιλλεὺς

από το Δία στ᾽ αλήθεια κάτεχες, καθώς καυκιόσουν τώρα·
πολυλογάς μονάχα εφάνηκες και κομπωτής στα λόγια,
για να ξεχάσω από το φόβο μου κι ορμή κι αντρεία μπροστά σου.
Δε θα μου μπήξεις το κοντάρι σου στο μεσοπλάτι, ως φεύγω,
μόνο μπροστά, καθώς θα χύνουμαι, στο στήθος, αν τη χάρη
σου κάμει ένας θεός· μα γλίτωσε πιο πριν απ᾽ το δικό μου
χαλκό κοντάρι— που να χώνευε στη σάρκα σου όλο μέσα !
Έτσι αλαφρότερο τον πόλεμο κι οι Τρώες θα νιώθαν όλοι,
αν πέθαινες, τι εσύ τους στάθηκες η πιο βαριά κατάρα.»
Είπε, και το μακροίσκιωτο έριξε κοντάρι του με φόρα,

και του Αχιλλέα στη μέση αλάθευτα βαρίσκει το σκουτάρι,
μα το κοντάρι πέρα επήδηξε. Θυμός τον συνεπηρε,
που η γρήγορη ριξιά του ξέφυγε του κάκου από τα χέρια·
και με καρδιά σφιγμένη εστάθηκε, κι ουδ᾽ είχε άλλο κοντάρι.
Δριμιά φωνή του Δήφοβου έσυρε του στραφτοσκουταράτου,
για να του δώσει το κοντάρι του, μ᾽ αυτός σιμά δεν ήταν.
Κι ο Έχτορας τότε πια κατάλαβε βαθιά του και φωνάζει:
«Αχ, σίγουρα οι θεοί στο θάνατο μ᾽ έχουν καλέσει τώρα!
Τον αντρειωμένο εθάρρουν Δήφοβο πως έχω πλάι μου, κι είναι
στο κάστρο αυτός, και μένα, αλίμονο, μ᾽ έχει η Αθηνά πλανέψει.

Πια τώρα ο μαύρος Χάρος μ᾽ έζωσε κι ουδέ μακριά μου στέκει·
δεν του γλιτώνω᾽ τέτοια απόφαση θα 'χουν παλιά παρμένα
ο Δίας κι ο γιος του ο μακροδόξαρος, αυτοί που πριν με αγάπη
με παράστεκαν τώρα η μαύρη μου με συντυχαίνει Μοίρα.
Όμως να μη χαθώ απολέμιστα κι αδόξαστα, πριν κάμω
έργο τρανό, που κι οι μελλούμενες γενιές να το θυμούνται!»
Ως είπε τούτα, ξεθηκάρωσε το κοφτερό σπαθί του,
που απ᾽ το πλευρό του δίπλα εκρέμουνταν, το δυνατό, το μέγα,
κι εχύθη ομπρός σκυφτά, αιθερόλαμνος ίδιος αϊτός, που ξάφνου
ψηλάθε από τα μαύρα σύγνεφα χιμάει στον κάμπο κάτω,

για κάποιο αρνί ν᾽ αρπάξει αδύναμο για και λαγό δειλιαρη᾽
παρόμοια εχύθη σειώντας ο Έχτορας το κοφτερό σπαθί του.
Χιμίζει κι ο Αχιλλέας· τα σπλάχνα του θυμός τα πλημμυρούσε
ανήμερος, κι ομπρός στο στήθος του το πλουμιστό, πανώριο
βάζει σκουτάρι᾽ πάνω εσάλευε το αστραφτερό του κράνος,
το τετρακέρατο, κι ολόγυρα κυμάτιζαν οι τρίχες
χρυσές, για φούντα που 'χεν ο Ήφαιστος πυκνές στεριώσει απάνω.
Πώς ξεπροβαίνει στ᾽ άστρα ανάμεσα μες στην καρδιά της νύχτας
ο Αποσπερίτης, τ᾽ ομορφότερο ψηλά στα ουράνια αστέρι'
παρόμοια ο κοφτερός στραφτάλιζε χαλκός, που στο δεξιό του

πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ
εἰσορόων χρόα καλόν, ὅπῃ εἴξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχεα
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
φαίνετο δ᾽ ᾗ κληῖδες ἀπ᾽ ὤμων αὐχέν᾽ ἔχουσι

λαυκανίην, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
τῇ ῥ᾽ ἐπὶ οἱ μεμαῶτ᾽ ἔλασ᾽ ἔγχεϊ δῖος Ἀχιλλεύς,
ἀντικρὺ δ᾽ ἀπαλοῖο δι᾽ αὐχένος ἤλυθ᾽ ἀκωκή·
οὐδ᾽ ἄρ᾽ ἀπ᾽ ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
ὄφρά τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.

ἤριπε δ᾽ ἐν κονίῃς· ὃ δ᾽ ἐπεύξατο δῖος Ἀχιλλεύς·
Ἕκτορ ἀτάρ που ἔφης Πατροκλῆ᾽ ἐξεναρίζων
σῶς ἔσσεσθ᾽, ἐμὲ δ᾽ οὐδὲν ὀπίζεο νόσφιν ἐόντα
νήπιε· τοῖο δ᾽ ἄνευθεν ἀοσσητὴρ μέγ᾽ ἀμείνων
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,

ὅς τοι γούνατ᾽ ἔλυσα· σὲ μὲν κύνες ἠδ᾽ οἰωνοὶ
ἑλκήσουσ᾽ ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί.
τὸν δ᾽ ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
λίσσομ᾽ ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,

ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ οἴκαδ᾽ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·

μή με κύον γούνων γουνάζεο μὴ δὲ τοκήων·
αἴ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνήη
ὤμ᾽ ἀποταμνόμενον κρέα ἔδμεναι, οἷα ἔοργας,
ὡς οὐκ ἔσθ᾽ ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
οὐδ᾽ εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ᾽ ἄποινα

στήσωσ᾽ ἐνθάδ᾽ ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ᾽ εἴ κέν σ᾽ αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ᾽ ὧς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.

τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
ἦ σ᾽ εὖ γιγνώσκων προτιόσσομαι, οὐδ᾽ ἄρ᾽ ἔμελλον
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι
ἤματι τῷ ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων

κουνούσεν ο Αχιλλέας, το θάνατο του Εχτόρου μελετώντας,
και τ᾽ όμορφο κορμί του κοίταζε που κάλλιο να χτυπήσει.
Το άλλο κορμί του ακέριο τ᾽ άρματα τα χάλκινα σκέπαζαν,
τα ώρια, που κούρσεψε, τον Πάτροκλο τον αντρειανό χτυπώντας·
κι άνοιγε μόνο απά στην κλείδωση, λαιμό που δένει κι ώμους,
πλάι στο λαρύγγι, εκεί που ο θάνατος μονοστιγμής πλακώνει.
Κι όπως χιμούσε, ο αρχοντογέννητος εκεί Αχιλλέας του ρίχνει,
κι απαντικρύ ο χαλός ξεπρόβαλε στον τρυφερό λαιμό του"
μα το λαρύγγι απ᾽ το χαλκόβαρο δεν κόπηκε κοντάρι,
για να μπορεί να δώσει απόκριση, σα θα του εμίλα εκείνος.

Στη γης σωριάστη, κι ο αρχοντόγεννος καυκήθηκε Αχιλλέας:
« Έχτορα, αλήθεια, σαν ξαρμάτωνες τον Πάτροκλο, θαρρούσες
θα γλίτωνες, και μένα που 'λειπα δε λόγιασες καθόλου,
ανέμυαλε᾽ Πολύ πιο αντρόκαρδος εγώ είχα μείνει πίσω
στα βαθουλά καράβια, αργότερα ξεπλερωμή να πάρω,
και σου 'λυσα τα γόνα. Ανέσπλαχνα σκυλιά κι αγιούπες σένα
θα σύρουν, κι οι Αχαιοί τον Πάτροκλο θα θάψουν τιμημένα.»
Και τότε ο κρανοσείστης Έχτορας μιλά του ξεπνεμένος:
« Έτσι ζωή, γονιούς να χαίρεσαι και νιάτα, σε ξορκίζω,
αχ, μη με αφήσεις σκύλοι Αργίτικοι στα πλοία να με σπαράξουν

μονάχα εσύ χαλκό και μάλαμα για ξαγορά μου δέξου,
που θα σου δώσουν πλήθια ο κύρης μου κι η σεβαστή μου η μάνα'
και πίσω το κορμί μου γύρισε στο σπίτι μου, να βάλουν
οι Τρώες μαζί με τις γυναίκες τους φωτιά και να με κάψουν.»
Κι είπε ο Αχιλλέας ο γοργοπόδαρος ταυροκοιτάζοντάς τον:
« Μη με ξορκίζεις για στα νιάτα μου, για στους γονιούς μου, σκύλε!
τι όσο με σπρώχνει εμένα η λύσσα μου κι η μάνητα μου, ατός μου,
να κόψω, ωμές να φάω τις σάρκες σου, γι᾽ αυτά που μου 'χεις
κάνει,
τόσο είναι αλήθεια απ᾽ το κεφάλι σου πως δε θα διώξει ουτ᾽ ένας
τους σκύλους, κι αν ακόμα μου 'φερναν εδώ την ξαγορά σου

δέκα φορές πιο πλήθια κι είκοσι, καί να μου τάζαν κι άλλα'
κι ουδέ κι αν μου 'λεε ν᾽ αντιζύγιαζεν ο Πρίαμος το κορμί σου
με μάλαμα, και πάλε η μάνα σου που σ᾽ έχει γεννημένα
δε θα σε βάλει απά στο στρώμα σου να σε μοιρολογήσει,
μονάχα εσένα οι σκύλοι αλάκερο κι οι αγιούπες θα σε φάνε!»
Κι ο μέγας Έχτορας πεθαίνοντας απηλογιά του δίνει:
« Και μόνο που σε βλέπω το 'νιωσα, κι ουδ᾽ ήταν να σου αλλάξω
τη γνώμη, τι καρδιά από σίδερο στα στήθια μέσα κλείνεις.
Μ᾽ απ᾽ αφορμή δικιά μου πρόσεξε μην οι θεοί θυμώσουν
τη μέρα που και σένα, αντρόκαρδος κι ας είσαι, θα χαλάσουν

ἐσθλὸν ἐόντ᾽ ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.
ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε,
ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει
ὃν πότμον γοόωσα λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·

τέθναθι· κἦρα δ᾽ ἐγὼ τότε δέξομαι ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.
ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος,
καὶ τό γ᾽ ἄνευθεν ἔθηχ᾽, ὃ δ᾽ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα
αἱματόεντ᾽· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,

οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος· οὐδ᾽ ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ.

ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς.
τὸν δ᾽ ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ᾽ ἀγόρευεν·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
ἐπεὶ δὴ τόνδ᾽ ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,

ὃς κακὰ πόλλ᾽ ἔρρεξεν ὅσ᾽ οὐ σύμπαντες οἱ ἄλλοι,
εἰ δ᾽ ἄγετ᾽ ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
ὄφρά κ᾽ ἔτι γνῶμεν Τρώων νόον ὅν τιν᾽ ἔχουσιν,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ᾽ ἐόντος.

ἀλλὰ τί ἢ μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
Πάτροκλος· τοῦ δ᾽ οὐκ ἐπιλήσομαι, ὄφρ᾽ ἂν ἔγωγε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ᾽ ὀρώρῃ·
εἰ δὲ θανόντων περ καταλήθοντ᾽ εἰν Ἄϊδαο

αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ᾽ ἑταίρου.
νῦν δ᾽ ἄγ᾽ ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ᾽ ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο.

ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ᾽ ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ᾽ ἔδησε, κάρη δ᾽ ἔλκεσθαι ἔασεν·
ἐς δίφρον δ᾽ ἀναβὰς ἀνά τε κλυτὰ τεύχε᾽ ἀείρας

μάστιξέν ῥ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην.
τοῦ δ᾽ ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται
κυάνεαι πίτναντο, κάρη δ᾽ ἅπαν ἐν κονίῃσι
κεῖτο πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.

στο Ζερβοπόρτι ομπρός ο Αλέξαντρος κι ο Απόλλωνας ο Φοίβος.»
Ως είπε τούτα, ευτύς ο θάνατος του σκέπασε τα μάτια,
κι απ᾽ το κορμί η ψυχή του επέταξε να κατεβεί στον Άδη,
θρηνολογώντας για τη μοίρα της, που άφηκε αντρεία και νιότη.
Τότε ο Αχιλλέας ο αρχοντογέννητος, νεκρός κι ας ήταν, του 'πε:
«Πέθανε εσύ, και μένα ο θάνατος καλώς να 'ρθεί, την ώρα
που ο Δίας θα ορίσει κι οι άλλοι αθάνατοι θεοί να μ᾽ ανταμώσει.»
Είπε, κι απ᾽ το κουφάρι ετράβηξε το χάλκινο κοντάρι,
κι ως δίπλα εκεί τ᾽ αφήκε, τ᾽ άρματά του γδύνει από τους ώμους,
αίμα γιομάτα᾽ κι οι άλλοι ολόγυρα μαζώχτηκαν Αργίτες

και θωρούν του Έχτορα θαμάζοντας το ανάριμμα, το διώμα,
κι ουτ᾽ ένας το κορμί του εζύγωσε χωρίς να το λαβώσει.
Κι έτσι μιλούσαν ο καθένας τους στο διπλανό γυρνώντας:
« Για ιδές που αγγίζουμε τον Έχτορα και δεν αγριεύει τώρα,
σαν τότε που μας άναβε άσπλαχνα τη φλόγα στ᾽ άρμενα μας!»
Έτσι ο καθείς μιλώντας του 'δινε και μια χτυπιά αποδίπλα.
Κι ως ο Αχιλλέας ο φτεροπόδαρος τον έγδυσε, πετιέται,
και στους Αργίτες με ανεμάρπαστα μιλάει και κρένει λόγια:
« Φίλοι μου εσείς, Αργίτες άρχοντες καί πρωτοκεφαλάδες,
μια κι οι θεοί μ᾽ αξιώσαν κι έριξα τον άντρα ετούτον, που όσα

κακά δεν κάμαν οι άλλοι σύψυχοι μας τα 'χει κάμει ετούτος,
ομπρός, ας πέσουμε συνάρματοι στο κάστρο πάνω ολούθε'
κι έτσι να ιδούμε, οι Τρώες στα στήθη τους σαν τι βουλή κρατούνε:
τώρα που αυτός εδώ σκοτώθηκε, θ᾽ αφήσουν το καστρί τους
για και να μείνουν λεν, κι ας έχασαν τον Έχτορα για πάντα;
Όμως γιατί η καρδιά μου κάθεται και τ᾽ αναδεύει ετούτα;
Άκλαφτος, άθαφτος, κοιτάμενος στα πλοία νεκρός προσμένει
ο Πάτροκλος, που εγώ δε γίνεται να τον ξεχάσω, ωσόπου
στους ζωντανούς λογιέμαι ανάμεσα και με βαστούν τα γόνα.
Μα και στον Άδη αν όσοι βρίσκουνται ξεχνούν τους πεθαμένους,

εγώ κι εκεί θα συλλογίζομαι τον γκαρδιακό μου ακράνη.
Μα τώρα ομπρός, Αργίτες! Ψέλνοντας της νίκης το τραγούδι
στα βαθουλά καράβια ας γύρουμε, κι ας σύρουμε και τούτον:
Τρανή είναι η δόξα μας, τον Έχτορα σκοτώσαμε το γαύρο,
που οι Τρώες στο κάστρο του προσεύκουνταν, θεός θαρρείς πως
ήταν!»
Αυτά είπε, και δουλειές αταίριαστες του Εχτόρου κάνει τότε:
των δυο ποδιών του πίσω ετρύπησε τα νεύρα, από τις φτέρνες
ως τ᾽ αστραγάλια, και τους πέρασε λουριά βοδιού από μέσα,
και τα 'δεσε στο αμάξι, αφήνοντας να σούρνει η κεφαλή του.
Κι απά στο αμάξι ανέβη᾽ τ᾽ άρματα τα ξακουστά φορτώνει,

και δίνει ευτύς βιτσιά στ᾽ αλόγατα, που πρόθυμα πέταξαν.
Κι ως σούρνονταν, η σκόνη εφούντωνε᾽ τα μαύρα τα μαλλιά του
σκόρπιζαν γύρα᾽ το κεφάλι του στον κουρνιαχτό εβουλούσε,
που τόσες χάρες πριν το στόλιζαν, και τώρα ο Δίας αφήκε
οχτροί να το ντροπιάσουν άπρεπα στο γονικό του χώμα.

ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε, κώκυσεν δὲ μάλα μέγα παῖδ᾽ ἐσιδοῦσα·
ᾤμωξεν δ᾽ ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ᾽ εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.

τῷ δὲ μάλιστ᾽ ἄρ᾽ ἔην ἐναλίγκιον ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρης.
λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δ᾽ ἐλλιτάνευε κυλινδόμενος κατὰ κόπρον,

ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
σχέσθε φίλοι, καί μ᾽ οἷον ἐάσατε κηδόμενοί περ
ἐξελθόντα πόληος ἰκέσθ᾽ ἐπὶ νῆας Ἀχαιῶν.
λίσσωμ᾽ ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
ἤν πως ἡλικίην αἰδέσσεται ἠδ᾽ ἐλεήσῃ

γῆρας· καὶ δέ νυ τῷ γε πατὴρ τοιόσδε τέτυκται
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ᾽ ἐμοὶ περὶ πάντων ἄλγε᾽ ἔθηκε.
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ

ὡς ἑνός, οὗ μ᾽ ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσι·
τώ κε κορεσσάμεθα κλαιόντέ τε μυρομένω τε
μήτηρ θ᾽, ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ᾽ ἐγὼ αὐτός.
ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο πολῖται·

Τρῳῇσιν δ᾽ Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
τέκνον ἐγὼ δειλή· τί νυ βείομαι αἰνὰ παθοῦσα
σεῦ ἀποτεθνηῶτος; ὅ μοι νύκτάς τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ᾽ ὄνειαρ
Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε θεὸν ὡς

δειδέχατ᾽· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἔησθα
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ὣς ἔφατο κλαίουσ᾽, ἄλοχος δ᾽ οὔ πώ τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
ἤγγειλ᾽ ὅττί ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων,

ἀλλ᾽ ἥ γ᾽ ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ᾽ ἔπασσε.
κέκλετο δ᾽ ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι

Έτσι στη σκόνη το κεφάλι του σουρνόταν όλο᾽ ωστόσο
συρομαδιόταν η μητέρα του, κι ως είδε τον υγιό της,
τη στραφτερή της μπόλια επέταξε και τις σκληριές αρχίζει.
Σε θρηνολόι ξεσπάει κι ο κύρης του σπαραχτικό, και γύρα
μες στο καστρί οι γυναίκες σκλήριζαν, θρηνολογούσαν οι άντρες.

Κι έμοιαζε ο θρήνος τους σα να 'πιασε φωτιά και καταλυούσε
όλη την Τροία την αψηλόχτιστη, κορφή του κάστρου ως κάτω.
Μεβιάς αμπόδιζε το γέροντα το φρενιασμένο ο κόσμος,
ως λαχταρούσε απ᾽ την καστρόπορτα του Δάρδανου όξω να 'βγει.
Τα παρακάλια σε όλους άρχισε κυλούμενος στη λάσπη,
κι όλους τους έκραζε με τ᾽ όνομα, γυρνώντας σ᾽ έναν έναν:
« Μη με κρατάτε, φίλοι, αφήστε με, κι ας με πονάει η καρδιά σας,
να βγω απ᾽ το κάστρο μόνος, στ᾽ άρμενα τ᾽ Αργίτικα να φτάσω,
και να προσπέσω στον ανήμερο, στον άγριο ετούτον άντρα·
μπορεί και να ντραπεί τα χρόνια μου, μπορεί τα γερατιά μου

να συμπονέσει᾽ τι είναι γέροντας κι ο κύρης ο δικός του,
που τον γεννούσε και τον έθρεφε, βαρύ κακό να γένει
στους Τρώες, μα εμένα απ᾽ όλους πότισε τα πιο πικρά φαρμάκια'
τι τόσους γιους τρανούς μου εσκότωσε πα στον ανθό της νιότης.
Για όλους αυτούς βαριά κι αν πόνεσα, μα δε χτυπιέμαι τόσο,
ως για τον έναν, που η λαχτάρα του στον Άδη θα με σύρει,
τον Έχτορα! Αχ, ας ήταν να 'σβηνε μες στα δικά μου χέρια!
Καν τότε οι δυο μας θα χορταίναμε και βογγητό και θρήνο,
ατός μου εγώ κι η που τον γέννησε βαριόμοιρή του μάνα.»
Αυτά θρηνώντας έλεε, κι έκλαιγε κι ο κόσμος όλος γύρα.

Κι η Εκάβη στις γυναίκες άρχισε πικρό το μοιρολόγι:
« Παιδί μου, τι να ζω η τρισάμοιρη, τέτοιο κακό που με 'βρε
με το χαμό σου τώρα; Κι ήσουνα για μένα το καμάρι
μέρα και νύχτα μες στο κάστρο μας, και σ᾽ όλους μας η σκέπη,
σ᾽ όλους τους Τρώες και στις γυναίκες τους, που ίδια θεό σε βλέπαν
τι ήσουν αλήθεια εσύ η περφάνια τους η πιο τρανή, όσο ζούσες.
Να που όμως τώρα ο μαύρος θάνατος κι η Μοίρα σε κρατούνε»
Αυτά θρηνώντας έλεε᾽ τίποτα δεν είχε ακούσει ωστόσο
το ταίρι του Έχτορα μαντάτορας κανείς δεν είχε τρέξει
να της μηνύσει, όξω απ᾽ το κάστρο τους πως έμεινε ο καλός της.

Στον αργαλειό εκαθόταν κι υφαίνε μες στο αψηλό της σπίτι
σκουτί διπλόφαρδο, ολοπόρφυρο, μυριοξομπλιάζοντάς το᾽
κι είχε προστάξει τις ωριόμαλλες μέσα στο σπίτι βάγιες
τρανό να στήσουν για τον Έχτορα πα στη φωτιά λεβέτι,
να βρει νυρνώντας απ᾽ τον πόλεμο ζεστό λουτρό να κάνει.

νηπίη, οὐδ᾽ ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν
χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ᾽ ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
τῆς δ᾽ ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
ἡ δ᾽ αὖτις δμῳῇσιν ἐϋπλοκάμοισι μετηύδα·

δεῦτε δύω μοι ἕπεσθον, ἴδωμ᾽ ὅτιν᾽ ἔργα τέτυκται.
αἰδοίης ἐκυρῆς ὀπὸς ἔκλυον, ἐν δ᾽ ἐμοὶ αὐτῇ
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
αἴ γὰρ ἀπ᾽ οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ᾽ αἰνῶς

δείδω μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς
μοῦνον ἀποτμήξας πόλιος πεδίον δὲ δίηται,
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς
ἥ μιν ἔχεσκ᾽, ἐπεὶ οὔ ποτ᾽ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.

ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι ἴση
παλλομένη κραδίην· ἅμα δ᾽ ἀμφίπολοι κίον αὐτῇ
αὐτὰρ ἐπεὶ πύργόν τε καὶ ἀνδρῶν ἵξεν ὅμιλον
ἔστη παπτήνασ᾽ ἐπὶ τείχεϊ, τὸν δὲ νόησεν
ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι

ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
ἤριπε δ᾽ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
τῆλε δ᾽ ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην

κρήδεμνόν θ᾽, ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη
ἤματι τῷ ὅτε μιν κορυθαίολος ἠγάγεθ᾽ Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,
αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.

ἡ δ᾽ ἐπεὶ οὖν ἔμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη
ἀμβλήδην γοόωσα μετὰ Τρῳῇσιν ἔειπεν·
Ἕκτορ ἐγὼ δύστηνος· ἰῇ ἄρα γεινόμεθ᾽ αἴσῃ
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ

ἐν δόμῳ Ἠετίωνος, ὅ μ᾽ ἔτρεφε τυτθὸν ἐοῦσαν
δύσμορος αἰνόμορον· ὡς μὴ ὄφελλε τεκέσθαι.
νῦν δὲ σὺ μὲν Ἄϊδαο δόμους ὑπὸ κεύθεσι γαίης
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροισι· πάϊς δ᾽ ἔτι νήπιος αὖτως,

Και που να το 'ξερε η τρισάμοιρη, μακριά από τα λουτρά του
πολύ πως η Αθηνά τον έριξε με του Αχιλλέα τα χέρια!
Ξάφνου οι σκληριές στ᾽ αφτιά της έφτασαν κι οι θρήνοι από τον πύργο'
χέρια και πόδια της παράλυσαν, της ξέφυγε η σαγίτα,
κι ευτύς μιλάει στις καλοπλέξουδες τις βάγιες της γυρνώντας;

«Ομπρός, ελάτε δυο ξοπίσω μου, να μάθω τι έχει γίνει᾽
φωνές της πεθεράς μου αγρίκησα, και στο δικό μου στήθος
χτυπά η καρδιά, ως το στόμα φτάνοντας, μου πάγωσαν τα γόνα.
Κάποιο κακό του Πρίαμου σίγουρα τους γιους πλακώνει τώρα.
Τέτοιο ποτέ μη φτάσει μήνυμα στ᾽ αφτιά μου εμένα, κι όμως
τρέμω φριχτά, τον άτρομο Έχτορα μπας κι ο Αχιλλέας στον κάμπο,
ξεκόβοντας τον απ το κάρο μας, τον στρώσει ομπρός μονάχο
και μια για πάντα την ανέσπλαχνη παλικαριά του κόψει,
που έκλεινε εντός του᾽ τι δεν έμενε ποτέ μες στο άλλο ασκέρι,
μον᾽ μπρος τραβούσε, και δεν άφηνε κανείς να τον περάσει.»

Αυτά είπε, κι απ᾽ το σπίτι βγαίνοντας ίδια μαινάδα εχύθη
βαριά καρδιοχτυπώντας, κι έτρεχαν ξοπίσω της οι βάγιες.
Κι ως στων αντρών τη μάζωξη έφτασε στον πύργο απάνω, εστάθη,
κοιτάζει πάνω απ᾽ το καστρότειχο στον κάμπο, και τον βλέπει
μπροστά στο κάστρο που τον έσουρναν και τ᾽ άλογα με βιάση
στων Αχαιών τον σούρναν άσπλαχνα τα βαθουλά καράβια.
Νύχτα ολοσκότεινη τα μάτια της μεμιάς αποσκεπάζει,
και πίσω πέφτοντας σωριάστηκε και λίγωσε η καρδιά της.
Της φεύγει πέρα η κεφαλόδεση σκορπώντας δώθε κείθε,
η σκέπη, τα πλεχτά αναδέματα και το στεφάνι γύρα

κι η μπόλια, δώρο που της δόθηκεν απ᾽ τη χρυσή Αφροδίτη
τη μέρα που την πηρεν ο Έχτορας ο κρανοσείστης ταίρι,
στον Ήετίωνα μύρια δίνοντας γι᾽ αντίμεμά της δώρα.
Κι οι συννυφάδες κι οι αντραδέρφες της την τριγύρισαν όλες
αναβαστώντας τη, ως σπαρτάριζε να ξεψυχήσει ομπρός τους:
Κι αυτή, ως συνέφερε και γύρισε ξανά στα συγκαλά της,
μες στις Τρωάδες πήρε κι έλεγε με βογγητά και θρήνους:
«Έχτορα, η δόλια εγώ! Μας γέννησε μια μοίρα λέω τους δυο μας,
σένα στην Τροία, στο αρχοντοπάλατο του Πρίαμου του κυρού σου,
στη Θήβα εμένα, στα ριζώματα της δασωμένης Πλακός,

μες στο παλάτι του πατέρα μου, που χαϊδανάστησέ με,
ο αρίζικος τη μαυρορίζικη, που κάλλιο μη γεννιόμουν!
Και τώρα εσύ στης γης τα τρίσβαθα κινάς, στον Άδη κάτω,
και μένα χήρα μες στο σπίτι μας με τον πικρό καημό σου
να ζω με αφήνεις᾽ κι είναι ανήλικο, μικρό παιδάκι ο γιος μας,

ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ
ἔσσεαι Ἕκτορ ὄνειαρ ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἦν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε᾽ ὀπίσσω
ἔσσοντ᾽· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.

ἦμαρ δ᾽ ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
πάντα δ᾽ ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί,
δευόμενος δέ τ᾽ ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ᾽ ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε·

χείλεα μέν τ᾽ ἐδίην᾽, ὑπερῴην δ᾽ οὐκ ἐδίηνε.
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε
χερσὶν πεπλήγων καὶ ὀνειδείοισιν ἐνίσσων·
ἔρρ᾽ οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.
δακρυόεις δέ τ᾽ ἄνεισι πάϊς ἐς μητέρα χήρην

Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
μυελὸν οἷον ἔδεσκε καὶ οἰῶν πίονα δημόν·
αὐτὰρ ὅθ᾽ ὕπνος ἔλοι, παύσαιτό τε νηπιαχεύων,
εὕδεσκ᾽ ἐν λέκτροισιν ἐν ἀγκαλίδεσσι τιθήνης
εὐνῇ ἔνι μαλακῇ θαλέων ἐμπλησάμενος κῆρ·

νῦν δ᾽ ἂν πολλὰ πάθῃσι φίλου ἀπὸ πατρὸς ἁμαρτὼν
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
οἷος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι νόσφι τοκήων
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται

γυμνόν· ἀτάρ τοι εἵματ᾽ ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ᾽ ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ
οὐδὲν σοί γ᾽ ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.

ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες.

που οι δόλιοι, εσύ κι εγώ, εγεννήσαμε· κι ούτε, Έχτορα, από σένα
τούτος καλό θα ιδεί, αφού πέθανες, μήτε και συ από τούτον
τι απ᾽ τον πολύδακρο τον πόλεμο κι αν θα γλιτώσει τώρα,
πάλε όσο ζει καημοί του μέλλουνται και συφορές περίσσιες·
τι ξένοι άνθρωποι θα του πάρουνε τ᾽ αμπελοχώραφά του.

Τους φίλους το παιδί τους έχασε τη μέρα που ορφανεύει,
μπρος σ᾽ όλους σκύβει το κεφάλι του, το πλημμυράει το κλάμα,
καί διψασμένο πάει, τους συντρόφους για να 'βρει του κυροϋ του,
και σέρνει τούτον άπ᾽ την κάπα του, τον άλλο απ᾽ το χιτώνα.
Κι από σπλαχνιά κανείς κι αν του 'δωσε για μια στιγμή την κούπα,
όμως τα χείλια μόνο του 'βρεξε, τον ουρανίσκο του όχι!
Τον ορφανό από το τραπέζι τους τα μανοκυρουδάτα
τον διώχνουν, τον χτυπούν, τον βρίζουνε με λόγια αγκιδωμένα:
,,Τραβήξου πέρα, κι ο πατέρας σου δεν τρώει μαζί μας τώρα!"
Κλαμένο το παιδί στη μάνα του κινάει και πάει τη χήρα—

ο Καστραφέντης μας! στα γόνατα που πρώτα του κυρού του
μονάχα με μεδούλι εθρέφουνταν, με πλούσια αρνίσια ξίγκια·
κι όντας ο γύπνος πια τον έπαιρνε και σκόλναε το παιχνίδι,
στο κρεβατάκι του εκοιμότανε, στην αγκαλιά της νένας,
σε στρώμα μαλακό, σα χόρταινε κάθε αγαθό η καρδία του.
Μα τώρα που 'χασε τον κύρη του πολλά τον απαντέχουν,
τον Καστραφέντη, όπως τον έκραζαν οι Τρώες, τι εσύ μονάχος
τα καστροπόρτια τους διαφέντευες και τα τρανά τειχιά τους.
Εσένα τώρα δίπλα στ᾽ άρμενα κι αλάργα απ᾽ τους γονιούς σου
σκουλήκια θα σε φαν γοργόστροφα, τους σκύλους σα χορτάσεις,

γυμνός· κι ωστόσο πλήθια κοίτουνται σκουτιά στο αρχοντικό μας,
φασμένα από τις δούλες όμορφα, ψιλά, χαριτωμένα.
Φωτιά τρανή θ᾽ ανάψω, απάνω της να κάψω τα σκουτιά σου,
αχ, δίχως κέρδος σου, τι σάβανο δεν είναι να σου γίνουν,
στους Τρώες μονάχα και στα ταίρια τους να βγει το παίνεμά σου!»
Τέτοια θρηνώντας έλεε, κι έκλαιγαν μαζί της κι οι γυναίκες.

-Ψ- ὣς οἳ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ
ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
οἳ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
Μυρμιδόνας δ᾽ οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεύς,

ἀλλ᾽ ὅ γε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
Μυρμιδόνες ταχύπωλοι ἐμοὶ ἐρίηρες ἑταῖροι
μὴ δή πω ὑπ᾽ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ᾽ αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.

αὐτὰρ ἐπεί κ᾽ ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ᾠμωξαν ἀολλέες, ἦρχε δ᾽ Ἀχιλλεύς.
οἳ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε.

δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλεΐδης ἀδινοῦ ἑξῆρχε γόοιο
χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
χαῖρέ μοι ὦ Πάτροκλε καὶ εἰν Ἄϊδαο δόμοισι·
ἦ

πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην
Ἕκτορα δεῦρ᾽ ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα σέθεν κταμένοιο χολωθείς.
ἦ ῥα καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα

πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίῃς· οἳ δ᾽ ἔντε᾽ ἀφωπλίζοντο ἕκαστος
χάλκεα μαρμαίροντα, λύον δ᾽ ὑψηχέας ἵππους,
κὰδ δ᾽ ἷζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοεικέα δαίνυ.

πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι, πολλοὶ δ᾽ ὄϊες καὶ μηκάδες αἶγες·
πολλοὶ δ᾽ ἀργιόδοντες ὗες θαλέθοντες ἀλοιφῇ
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ᾽ ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.

αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλεΐωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν
σπουδῇ παρπεπιθόντες ἑταίρου χωόμενον κῆρ.
οἳ δ᾽ ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν

Έτσι στο κάστρο ετούτοι εμύρουνταν κι από την άλλη οι Αργίτες,
σύντας πια φτάσαν στον Ελλήσποντο και στα καράβια γύρω,
οι άλλοι σκόρπισαν στα καράβια τους· οι Μυρμιδόνες μόνο
δεν ήθελε ο Αχιλλέας ο αντρόκαρδος να σκορπιστούν ακόμα,
κι έτσι μιλάει στους πολεμόχαρους συντρόφους του γυρνώντας:
« Γοργαλογάδες Μυρμιδόνες μου, σύντροφοι μπιστεμένοι,
κάτω απ᾽ τ᾽ αμάξια τα μονόνυχα να μην ξεζέψουμε άτια,
μόνο ας θρηνήσουμε τον Πάτροκλο, με αλόγατα κι αμάξια
ζυγώνοντας τον τι όσοι πέθαναν άλλη δε λάχαν χάρη.

Και σύντας το πικρό το σύθρηνο θα 'χουμε πια χορτάσει,
τ᾽ άτια θα λύσουμε, το δείπνο μας εδώ όλοι να γνοιαστούμε.»
Είπε ο Αχιλλέας, και πρώτος κίνησε το θρήνο, κι οι άλλοι
ακλούθουν,
και τ᾽ άτια τρεις φορές κυκλόφεραν μπρος στο νεκρό με βόγγους,
κι ήταν η Θέτη που συδαύλιζε του θρήνου τη λαχτάρα.
Ή άμμο πλημμύριζε, πλημμύριζαν και των αντρών οι αρμάτες
από τα δάκρυα, τι πολέμαρχο τέτοιο τρανό είχαν χάσει'
και πρώτος ο Αχιλλέας εκίνησε πικρό το μοιρολόγι,
τα χέρια τ᾽ αντροφόνα απλώνοντας στου ακράνη του τα στήθη:
« Γεια και χαρά σου πάντα, Πάτροκλε, κι ας βρίσκεσαι στον Άδη!

Να που τελεύουν όσα σου 'ταξα πιο πριν, εδώ να σύρω,
να ρίξω στα σκυλιά τον Έχτορα κι ωμό να τον σπαράξουν
και δώδεκα τρανά αρχοντόπουλα μπροστά από την πυρά σου
των Τρωών να σφάξω, τι μου εφρένιασε τα σπλάχνα ο σκοτωμός
σου.»
Αυτά είπε, και δουλειές αταίριαστες του Εχτόρου κάνει τότε'
δίπλα στου Πάτροκλου τον ξάπλωσε την κλίνη, μες στη σκόνη,
τ᾽ απίστομα. Κι εκείνοι ως τ᾽ άρματα τα χάλκινα γδύθηκαν,
τ᾽ αστραποβόλα, λύνουν τ᾽ άλογα τα ψιλοχλιμιντρατα,
και στου Αχιλλέα του φτεροπόδαρου πλάι το καράβι έκατσαν,
αρίφνητοι᾽ κι αυτός τους έστρωνε τη μακαριά να φανέ.

Πλήθος ταυριά τρογύρα εξάπλωναν, με το χαλκό σφαγμένα,
στραφταλιστά, και πλήθος πρόβατα, πλήθος βελάστρες γίδες·
πλήθος ακόμα χοίροι, που 'πλεχαν στο ξίγκι, ασπροδοντάτοι,
καψαλίζονταν πάνω στου Ηφαίστου τη φλόγα τεντωμένοι·
και γύρα απ᾽ το νεκρό ξεχύνουνταν σα βρυσικό το γαίμα.
Κι ωστόσο τον τρανό, φτερόποδο γιο του Πηλέα μαζί τους
παίρναν να παν στον Αγαμέμνονα των Αχαιών οι αρχόντοι,
με πλήθιο κόπο, τι του ακράνη του τον επνιγεν ο πόνος.
Κι ως στο καλύβι του Αγαμέμνονα φτάσαν μαζί, προστάζουν
τους βροντερόφωνους διαλάληδες πα στη φωτιά να στήσουν

ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν
Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἅσσον ἱκέσθαι

πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνον ἄναξ ἀνδρῶν Ἀγάμεμνον

ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν ὅσσ' ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.

ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
οἳ μὲν κακκείοντες ἔβαν κλισίην δὲ ἕκαστος,
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης

κεῖτο βαρὺ στενάχων πολέσιν μετὰ Μυρμιδόνεσσιν
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον·
εὖτε τὸν ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμοῦ
νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν·

ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' ἐϊκυῖα
καὶ φωνήν, καὶ τοῖα περὶ χροῖ εἵματα ἕστο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ.

οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
θάπτέ με ὅττι τάχιστα πύλας Ἀΐδαο περήσω.
τῆλέ με εἴργουσι ψυχαὶ εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὕτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.

καί μοι δὸς τὴν χεῖρ'· ὀλοφύρομαι, οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ λάχε γιγνόμενόν περ·

ευτύς τρανό λεβέτι, τρίποδο, μπας κι ο Αχιλλέας δεχόταν
να λούσει το κορμί, ξεπλένοντας το ματωμένο λύθρο.
Μ' αυτός με πείσμα αρνιόταν, κι άμωσεν όρκο τρανόν ακόμα:
«Μάρτυς μου ο Δίας, απ' τους αθάνατους ο πιο τρανός κι ο κάλλιος,
πρεπό δεν είναι το κεφάλι μου με το νερό να σμίξει,
πριν βάλω στην πυρά τον Πάτροκλο και του σηκώσω μνήμα,
και κόψω τα μαλλιά μου' μέσα μου καημό σαν τούτον άλλο
πια δε θα νιώσω, όσο θα χαίρομαι το φως του Απάνω Κόσμου.
Μα τώρα ας κάτσουμε και το άχαρο τούτο ας γευτούμε δείπνο'
και την αυγή ταχιά, Αγαμέμνονα ρηγάρχη, βγάλε διάτα

να κουβαλήσουν ξύλα, δίνοντας κι ό,τι ταιριάζει ακόμα
να 'χει ο νεκρός μαζί, στ' ανήλιαγα σκοτάδια ως κατεβαίνει.
Κι έτσι η φωτιά θα κάψει η αδάμαστη τούτον εδώ, απ' τα μάτια
να μας χαθεί, καί το άλλο ασκέρι μας θα σύρει στις δουλειές του.»
Είπε, κι αυτοί, γρικώντας, πρόθυμα συνάκουσαν το λόγο,
και κάθε συντροφιά σα σύνταξε γοργά το δείπνο, έκατσαν
κι έτρωγαν, κι είχεν, ως εταίριαζε, καθείς το μερτικό του.
Και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
καθένας πήγε στο καλύβι του να στρώσει, να πλαγιάσει.
Μόνο ο Αχιλλέας στης πολυφούρφουρης της θάλασσας την άκρα

στους πλήθιους μέσα Μυρμιδόνες του στενάζοντας ξαπλώνει,
σε πλάτωμα ανοιχτό, κει που 'σπαζε πα στο γιαλό το κύμα'
κι ο ύπνος, γλυκός χυμένος γύρα του, τον πήρε, λύνοντας του
τις έγνοιες της ψυχής, τι απόκαμε το σταλωτό κορμί του
γύρω στην Τροία την ανεμόδαρτη στον Έχτορα χιμώντας.
Κι ήρθε η ψυχή του δόλιου Πάτροκλου σιμά του, με τον ίδιο
σε όλα του μοιάζοντας, στο ανάριμμα και στα πανώρια μάτια
και στη φωνή, και φόραε πάνω της τα ρούχα τα δικά του'
κι εστάθη πάνω απ' το κεφάλι του κι αυτά του λέει τα λόγια:
« Γιε του Πηλέα, κοιμάσαι ξέγνοιαστος, και μένα λησμονάς με!

Όσο 'μουν ζωντανός, με φρόντιζες, νεκρό μ' αφήνεις τώρα.
θαψ' το κορμί μου δίχως άργητα, να μπω στον Κάτω Κόσμο'
τα ψυχολόγια με αποδιώχνουνε, των πεθαμένων οι ίσκιοι'
περνώντας το ποτάμι, αντάμα τους να σμίξω, δε μ' αφήνουν,
κι όξω απ' τον Άδη τον πλατύπορτο του κάκου τριγυρίζω.
Δωσ' μου το χέρι τώρα, μ' έπνιξεν ο θρήνος, τι απ' τον Άδη
πιά δε γυρνώ, σύντας θ' ανάψετε φωτιά για να με κάφτε.
Πια ζωντανοί μακριά απ' τους συντρόφους τους ακριβούς οι δυο μας
να βουλευτούμε δε θα κάτσουμε· τι εμένα με κατάπιε
του Χάρου η μαύρη μοίρα, που 'λαχα την ώρα που γεννιόμουν.

καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ᾽ Ἀχιλλεῦ,
ἀλλ᾽ ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,

εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ᾽ ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
νήπιος οὐκ ἐθέλων ἀμφ᾽ ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς

ἔτραφέ τ᾽ ἐνδυκέως καὶ σὸν θεράποντ᾽ ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
τίπτέ μοι ἠθείη κεφαλὴ δεῦρ᾽ εἰλήλουθας

καί μοι ταῦτα ἕκαστ᾽ ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ᾽ ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις.
ἀλλά μοι ἄσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο.
ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν

οὐδ᾽ ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς
ᾤχετο τετριγυῖα· ταφὼν δ᾽ ἀνόρουσεν Ἀχιλλεὺς
χερσί τε συμπλατάγησεν, ἔπος δ᾽ ὀλοφυδνὸν ἔειπεν·
ὢ πόποι ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·

παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
καί μοι ἕκαστ᾽ ἐπέτελλεν, ἔϊκτο δὲ θέσκελον αὐτῷ.
ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο·
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠώς

ἀμφὶ νέκυν ἐλεεινόν. ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάς τ᾽ ὄτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ᾽ ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης θεράπων ἀγαπήνορος Ἰδομενῆος.
οἳ δ᾽ ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες

σειράς τ᾽ εὐπλέκτους· πρὸ δ᾽ ἄρ᾽ οὐρῆες κίον αὐτῶν.
πολλὰ δ᾽ ἄναντα κάταντα πάραντά τε δόχμιά τ᾽ ἦλθον·
ἀλλ᾽ ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
αὐτίκ᾽ ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι

Όμως και σένα η Μοίρα σου 'γραψε, θεόμοιαστε Αχιλλέα,
στων Τρωών το κάστρο των τρισεύγενων μπροστά να σ᾽ έβρει ο Χάρος.
Μια πεθυμιά μου ακόμα θα 'λεγα, και κάνε τη, αν μ᾽ ακούσεις:
Των δυο μας, Αχιλλέα, τα κόκαλα μη μας τα βάλουν χώρια·
να μπουν μαζί, ως κι αναστηθήκαμε στο αρχοντικό σας μέσα,
τότε ο Μενοίτιος που παιδόπουλο με πήρε απ᾽ την Οπούντα,
μετά απ᾽ τον άγριο φόνο που 'καμα, και μ᾽ έφερε κοντά σας,
τη μέρα εκείνη που, θυμώνοντας, το αγόρι του Αμφιδάμα
αστόχαστα, άθελα μου εσκότωσα, σαν παίζαμε αστραγάλους.
Έτσι με δέχτηκε ο αλογόχαρος Πηλέας στο αρχοντικό του,

και σύντας γνοιαστικά με ανάστησε, με κάνει σύντροφο σου.
Παρόμοια τώρα και τα κόκαλα των δυο μας ας σκεπάσει
το ίδιο χρυσό σταμνί, που σου 'δωκεν η σεβαστή σου η μάνα.»
Τότε ο Αχιλλέας ο φτεροπόδαρος του απηλογήθη κι είπε:
« Φίλε ακριβέ, σαν τι να σ᾽ έσπρωξε κι ήρθες εδώ σε μένα,
κι έτσι μιλάς και παραγγέλνεις μου το 'να και τ᾽ άλλο; Ωστόσο
θα κάμω εγώ καθώς με αρμήνεψες και θα σε ακούσω σε όλα.
Μα έλα κοντά μου, καν για μια στιγμή να σφιχταγκαλιαστούμε,
κι αντάμα οι δυο μας τον ολόπικρο ν᾽ αποχαρούμε θρήνο!»
Αυτά είπε, κι άπλωσε τα χέρια του, μα δεν τον έπιασε, όχι'

τι κλαψουρίζοντας του εξέφυγε βαθιά η ψυχή στο χώμα,
ίδια καπνός. Ορθός τινάχτηκε τότε ο Αχιλλέας χαμένος,
τα χέρια εχτύπησε θαμάζοντας και τέτοια λέει θρηνώντας:
«Ωχού μου, να λοιπόν που βρίσκεται και μες στον Άδη ακόμα
ψυχή και διακαμός στον άνθρωπο, κι όμως ζωή καθόλου!
τι όλη τη νύχτα αυτή του Πάτροκλου του δόλιου εδώ μπροστά μου
στεκόταν η ψυχή και μύρουνταν πικρά θρηνολογώντας,
και το 'να, τ᾽ άλλο μου παράγγελνε, και του 'μοιάζε περίσσια.»
Αυτά μιλώντας σε όλους άσκωσε του θρήνου τη λαχτάρα·
κλαίγαν ακόμα εκείνοι αλάρωτοι με το νεκρό στη μέση,

η Αυγή σαν πήρε η ροδοδάχτυλη᾽ τότε προστάζει ολούθε
απ᾽ τις καλύβες ο Αγαμέμνονας ο ρήγας, μούλες κι άντρες
να παν να φέρουν ξύλα᾽ κι έτρεχε κι ο αντρόκαρδος Μηριόνης,
ο ακράνης ο πιστός του ατρόμητου του Ιδομενέα, μαζί τους.
Κι αυτοί εκινούσαν, και καλόπλεχτα σκοινιά στα χέρια εκράτουν
και κοφτερά τσεκούρια᾽ κι όδευαν μπροστά τους τα μουλάρια.
Πήραν ανηφόρα, κατηφόρα κι ανάπλαγα και πλευρές,
και σύντας φτάσαν στης πολύπηγης της Ίδας τα φαράγγια,
με βιάση δρυς αψηλοφούντωτους αρχίνησαν να κόβουν
με το χαλκό τον καλοτρόχιστο᾽ γκρεμίζουνταν τα δέντρα

πῖπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο
ἐλδόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά.
πάντες δ᾽ ὑλοτόμοι φιτροὺς φέρον· ὡς γὰρ ἀνώγει
Μηριόνης θεράπων ἀγαπήνορος Ἰδομενῆος.

κὰδ δ᾽ ἄρ᾽ ἐπ᾽ ἀκτῆς βάλλον ἐπισχερώ, ἔνθ᾽ ἄρ᾽ Ἀχιλλεὺς
φράσσατο Πατρόκλῳ μέγα ἠρίον ἠδὲ οἷ αὐτῷ.
αὐτὰρ ἐπεὶ πάντῃ παρακάββαλον ἄσπετον ὕλην
ἧατ᾽ ἄρ᾽ αὖθι μένοντες ἀολλέες. αὐτὰρ Ἀχιλλεὺς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε

χαλκὸν ζώννυσθαι, ζεῦξαι δ᾽ ὑπ᾽ ὄχεσφιν ἕκαστον
ἵππους· οἱ δ᾽ ὄρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον,
ἂν δ᾽ ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε,
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.

θριξὶ δὲ πάντα νέκυν καταείνυσαν, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
ἀχνύμενος· ἔταρον γὰρ ἀμύμονα πέμπ᾽ Ἄϊδος δέ.
οἱ δ᾽ ὅτε χῶρον ἵκανον ὅθί σφισι πέφραδ᾽ Ἀχιλλεὺς
κάτθεσαν, αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.

ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·
ὀχθήσας δ᾽ ἄρα εἶπεν ἰδὼν ἐπὶ οἴνοπα πόντον·
Σπερχεί᾽ ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεὺς

κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν
σοί τε κόμην κερέειν ῥέξειν θ᾽ ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ᾽ ἔνορχα παρ᾽ αὐτόθι μῆλ᾽ ἱερεύσειν
ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
ὣς ἠρᾶθ᾽ ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.

νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν
Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.
ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο.
καί νύ κ᾽ ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο

εἰ μὴ Ἀχιλλεὺς αἶψ᾽ Ἀγαμέμνονι εἶπε παραστάς·
Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι, γόοιο μὲν ἔστι καὶ ἆσαι,
νῦν δ᾽ ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τάδε δ᾽ ἀμφὶ πονησόμεθ᾽ οἷσι μάλιστα

με πάταχο τρανό· κι ως τα 'σκιζαν οι Αργίτες πελεκώντας,
τα δέναν πίσω από τις μούλες τους· κι αυτές βαριά πατούσαν
μες απ᾽ τα σύλλογγα διαβαίνοντας, να κατεβούν στον κάμπο.
Κι όλοι οι λατόμοι εκράτουν κούτσουρα στους ώμους᾽ τέτοια διάτα
είχε ο Μηριόνης βγάλει, ο σύντροφος του γαύρου Ιδομενέα.
Και στο γιαλό αραδίς ξεφόρτωναν, κει που τρανό μνημούρι
λογάριαζε ο Αχιλλέας του Πάτροκλου ν᾽ ασκώσει και δικό του.
Και σύντας πια τρογύρα αρίφνητους κορμούς γραμμή αράδιασαν,
κάθισαν όλοι τους προσμένοντας· τότε ο Αχιλλέας προστάζει
δίχως ν᾽ αργούν οι πολεμόχαροι να ζέψουν Μυρμιδόνες

τ᾽ άτια στ᾽ αμάξια, και τις χάλκινες αρμάτες να ζωστούνε.
Κι αυτοί πετιούνται κι αρματώνουνται, μετά στ᾽ αμάξια πάνω
με βιάση οι αμαξομάχοι επήδηξαν μαζί κι οι αμαξολάτες.
Κινούν τ᾽ αμάξια ομπρός, και πίσω τους σα σύγνεφο η πεζούρα,
χιλιάδες· και στη μέση οι σύντροφοι τον Πάτροκλο σήκωναν,
με τα μαλλιά τους ολοσκέπαστο, που κόβαν και του ρίχναν.
Κι αναβαστούσε το κεφάλι του πίσω ο Αχιλλέας θλιμμένος,
τι για τον Άδη ξεπροβόδιζε τον άψεγό του ακράνη.
Και σύντας πια στο μέρος έφτασαν που είπε ο Αχιλλέας, στο χώμα
τον ακουμπούν, με βιάση αρχίζοντας τα ξύλα να στοιβάζουν.

Τότε ο Αχιλλέας ο γοργοπόδαρος στοχάστηκε αλλά πάλε·
αλάργα απ᾽ την πυρά ετραβήχτηκε, και τα ξανθά του κόβει
μαλλιά, που μακροπλόκαμα έθρεφε στου Σπερχειού τη χάρη,
και με καημό μιλά αγναντεύοντας το πέλαο το κρασάτο:
« Σπερχειέ, του κάκου αλήθεια σου 'ταξεν ο κύρης μου ο Πηλέας,
στην ποθητή πατρίδα αν γύριζα κει πέρα, τα μαλλιά μου
στη χάρη σου να κόψω, κάνοντας θυσία τρανή από πάνω:
πενήντα κριάρια πλάι στους όχτους σου βαρβάτα να σου σφάξω,
πα στις πηγές, οπού 'ναι το άλσος σου κι ο ευωδιαστός βωμός
σου.
Τέτοιαν ευκή είχε κάμει ο γέροντας, μα εσύ το ναι δεν το 'πες!

Τώρα που πίσω πια δεν έρχομαι στη γη την πατρική μου,,
ας πάρει τα μαλλιά μου ο Πάτροκλος ο αντρόκαρδος μαζί του.»
Είπε, και τα μαλλιά του απίθωσε μες στου ακριβού του ακράνη.
τα χέρια, σε όλους ξεσηκώνοντας του θρήνου τη λαχτάρα.
Κι εκεί μοιρολογώντας θα ΄μεναν ως να βουτήξει ο γήλιος,
αν ο Αχιλλέας στον Αγαμέμνονα σιμάθε δέ μιλούσε:
« Εσένα, γιε του Ατρέα, τι Αργίτικο το ασκέρι πάνω απ᾽ όλους
πιο πρόθυμα γρικά᾽ το κλάμα τους καιρός να σταματήσει.
Απ᾽ την πυρά να φύγουν πρόσταξε και να γνοιαστούν το γιόμα,
καί τούτα εμείς θα τα φροντίσουμε, που το νεκρό αγαπούμε

κήδεός ἐστι νέκυς· παρὰ δ᾽ οἵ τ᾽ ἀγοὶ ἄμμι μενόντων.
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἴσας,
κηδεμόνες δὲ παρ᾽ αὖθι μένον καὶ νήεον ὕλην,
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα,

ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ᾽ ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.

ἐν δ᾽ ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας
πρὸς λέχεα κλίνων· πίσυρας δ᾽ ἐριαύχενας ἵππους
ἐσσυμένως ἐνέβαλλε πυρῇ μεγάλα στεναχίζων.
ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν,
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας,

δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον ὄφρα νέμοιτο.
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
χαῖρέ μοι ὦ Πάτροκλε καὶ εἰν Ἀΐδαο δόμοισι·

πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ᾽ οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.
ὣς φάτ᾽ ἀπειλήσας· τὸν δ᾽ οὐ κύνες ἀμφεπένοντο,

ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ
ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
τῷ δ᾽ ἐπὶ κυάνεον νέφος ἦγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίον δέ, κάλυψε δὲ χῶρον ἅπαντα

ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκήλει᾽ ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν.
οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος·
ἔνθ᾽ αὖτ᾽ ἀλλ᾽ ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ᾽ ἀνέμοισι

Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπίσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ λιτάνευεν
ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί,
ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ἶρις
ἀράων ἀΐουσα μετάγγελος ἦλθ᾽ ἀνέμοισιν.

πιότερο απ᾽ όλους μ᾽ ας καθίσουνε μαζί μας κι οι ρηγάδες.»
Κι ο πρωταφέντης Αγαμέμνονας, το λόγο του γρικώντας,
γοργά σκορπάει στα καλοζύγιάστα. καράβια όλο τ᾽ ασκέρι.
Κι όσοι είχανε την έγνοια απόμειναν και σώριαζαν τα ξύλα.
Πυρά, μάκρος καί φάρδος, σήκωσαν ως εκατό ποδάρια·
και βαλαν το νεκρό κατάκορφα με πικραμένα σπλάχνα.
Στεφανοκέρατα, στριφτόζαλα πλήθος έγδερναν βόδια,
κι αρνιά παχιά, κι ως τα συγύρισαν μπρος στην πυρά, τους παίρνει
το πάχος ο Αχιλλέας ο αντρόψυχος, και το νεκρό σκεπάζει
κεφάλι ως πόδια, και τρογύρα του στοιβάζει τα κορμιά τους.

Σταμνιά γεμάτα μέλι κι άλειμμα στοιβάζει ακόμα δίπλα
στο νεκροκρέβατό του, κι έριξε μες στην πυρά με βιάση
τέσσερα αλόγατα αψηλόλαιμα, βαριά θρηνολογώντας.
Κι από τα εννιά σκυλιά που εθρέφουνταν στου ρήγα το τραπέζι
παίρνει διαλέγει δυο, κι ως τα 'σφάξε, μες στην πυρά τα ρίχνει,
μαζί τα δώδεκα αρχοντόπουλα των Τρωών των αντρειωμένων,
σφαγμένα απ᾽ το χαλκό του, κι έβραζαν τα φρένα του απ᾽ το φόνο.
Κι ως έβαλε φωτιά ακατάλυτη στα ξύλα να φουντώσουν,
σέρνει φωνή κι ανακαλέστηκε τον γκαρδιακό του ακράνη:
«Γεια και χαρά σου πάντα, Πάτροκλε, κι ας βρίσκεσαι στον Άδη!

Να που τελεύουν όσα σου 'ταξα πιο πριν των Τρωών των γαύρων
δώδεκα γιοί, τρανά αρχοντόπουλα, σε συντροφεύουν τώρα,
κι όλα τα τρώει η φωτιά· τον Έχτορα, το γιο του Πρίαμου, μόνο
δε θα τον φάει η φωτιά· τον φύλαξα για να τον φαν οι σκύλοι!»
Έτσι μιλούσε φοβερίζοντας· μα οι σκύλοι δε ζύγωναν,
τι είχε την έγνοια και του απόδιωχνε τους σκύλους η Αφροδίτη
μέρα και νύχτα, και με αθάνατο ροδόλαδο άλειφε τον,
μην ξεγδαρθεί, ως θα τον βωλόσουρνε στο χώμα δώθε κείθε.
Κι ο Απόλλωνας ο Φοίβος πάνω του κρεμάει ψηλά απ᾽ τα ουράνια
στη γη βαθύ, γαλάζιο σύγνεφο, κι όλο τον τόπο ισκιώνει,

όσο ο νεκρός κρατούσε, η δύναμη του γήλιου μην προφτάξει
γύρα απ᾽ τα νεύρα κι απ᾽ τις σάρκες του το δέρμα να ξεράνει.
Ωστόσο του νεκρού του Πάτροκλου δε φούντωνεν η φλόγα.
Τότε ο Αχιλλέας ο φτεροπόδαρος στοχάστηκε άλλα πάλε'
πιο πέρα απ᾽ τη φωτιά τραβήχτηκε κι ευκιόταν στους Ανέμους,
Βοριά και Ζέφυρο, περίτρανες θυσίες προσφέρνοντάς τους·
κι απ᾽ τη χρυσή του κούπα κάνοντας πλήθιες σπονδές, να φτάσουν
τους παρακάλαε να φυσήξουνε, τα ξύλα να κορώσουν,
και τους νεκρούς να κάψουν γρήγορα. Κι η φτεροπόδαρη Ίρη
τρέχει γρικώντας τον στους Άνεμους το μήνυμα να φέρει.

οἳ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
βηλῷ ἔπι λιθέῳ· τοὶ δ᾽ ὡς ἴδον ὀφθαλμοῖσι
πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἕ ἕκαστος·
ἣ δ᾽ αὖθ᾽ ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·

οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ᾽ Ὠκεανοῖο ῥέεθρα
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ᾽ ἑκατόμβας
ἀθανάτοις, ἵνα δή καὶ ἐγὼ μεταδαίσομαι ἰρῶν.
ἀλλ᾽ Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλά,

ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί.
ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπεβήσετο, τοὶ δ᾽ ὀρέοντο
ἠχῇ θεσπεσίῃ νέφεα κλονέοντε πάροιθεν.
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα

πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ᾽ ἐρίβωλον ἱκέσθην,
ἐν δὲ πυρῇ πεσέτην, μέγα δ᾽ ἴαχε θεσπιδαὲς πῦρ.
παννύχιοι δ᾽ ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ᾽ ἔβαλλον
φυσῶντες λιγέως· ὃ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
χρυσέου ἐκ κρητῆρος ἐλὼν δέπας ἀμφικύπελλον

οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν
ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας,
ὡς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,

ἑρπύζων παρὰ πυρκαϊὴν ἀδινὰ στεναχίζων.
ἦμος δ᾽ ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλος ὑπείρ ἄλα κίδναται ἠώς,
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
οἳ δ᾽ ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκον δὲ νέεσθαι

Θρῃΐκιον κατὰ πόντον· ὃ δ᾽ ἔστενεν οἴδματι θύων.
Πηλεΐδης δ᾽ ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς
κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν·
οἳ δ᾽ ἀμφ᾽ Ἀτρεΐωνα ἀολλέες ἠγερέθοντο·
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν,

ἕζετο δ᾽ ὀρθωθεὶς καί σφεας πρὸς μῦθον ἔειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ᾽ αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν

Κι αυτοί στου ανταριασμένου Ζέφυρου κάθονταν το τραπέζι
και ξεφάντωναν όλοι᾽ τρέχοντας η Ίριδα εστάθη τότε
στο πέτρινο κατώφλι· κι οι Άνεμοι, μόλις την είδαν, όλοι
πετιούνται απάνω, κι ο καθένας τους την έκραζε κοντά του.
Μα να καθίσει αυτή δεν ήθελε, μον᾽ έτσι τους μιλούσε:
« Δεν κάθουμαι᾽ να γύρω βιάζουμαι στου Ωκεανού το ρέμα,
εκεί που οι Αιθίοπες στους αθάνατους τρανές θυσίες
προσφέρνουν,
να πάρω απ᾽ τα σφαχτά τ᾽ αγιάτικα κι εγώ το μερτικό μου.
Μα το Βοριά και το στριγγόλαλο το Ζέφυρο ο Αχιλλέας
παρακαλάει να 'ρθουν, κι ατίμητες, τρανές θυσίες σας τάζει,

τα ξύλα στην πυρά ν᾽ ανάψετε, που απάνω τους ξαπλώνει
νεκρός ο Πάτροκλος, και μύρουνται γι᾽ αυτόν οι Αργίτες όλοι.»
Ως είπε τούτα, φεύγει τρέχοντας· κι εκείνοι ετινάχτηκαν
με άγριον αχό, κι ομπρός τους έδιωχναν κοπαδιαστά τα νέφη.
Φυσώντας χύθηκαν στο πέλαγο, κι ασκώνουνταν το κύμα
στο σουριχτό τους φυσομάνημα᾽ στην Τροία σα φτάσαν τέλος,
χιμούν στα ξύλα, κι άγρια ασκώθηκε φωτιά τριζοκοπώντας.
Τη φλόγα της πυράς λαμπάδιαζαν ολονυχτίς οι δυο τους
φυσώντας με βουή᾽ διπλόγουβη κρατώντας κι ο Αχιλλέας
μια κούπα ολονυχτίς ανάσερνεν από χρυσό κροντήρι

κρασί, κι απά στη γη το στάλαζε και μούσκευε το χώμα.
κι όλο και την ψυχή του Πάτροκλου του δόλιου ανακαλιόταν.
Πώς μύρεται πατέρας, καίγοντας τα κόκαλα του γιου του,
που ως νιόγαμπρος πεθαίνει, εστιάραξε τους άμοιρους γονιούς
του'
όμοια ο Αχιλλέας βαριαστενάζοντας στις φλόγες πλάι σουρνόταν
και του ακριβού του ακράνη καίγοντας τα κόκαλα εθρηνούσε.
Το αστέρι της αυγής επρόβαινε το φως στη γη μηνώντας,
και πίσω η χαραυγή η κροκόπεπλη στη θάλασσα απλωνόταν,
και τότε, πια η φωτιά εμαράθηκε, χαμήλωσε κι η φλόγα,
κι οι Ανέμοι πίσω στο παλάτι τους κίνησαν να διαγύρουν

μέσα απ᾽ το πέλαο το θρακιώτικο, που θεριεύε βογγώντας.
Τότε ο Αχιλλέας μονάχα εμάκρυνεν απ᾽ την πυρά, και γέρνει
αποσταμένος· κι ήρθε ολόγλυκος ο γύπνος και τον πήρε.
Μα όπως μαζί οι ρηγάδες άρχισαν στο γιο του Ατρέα τρογύρα
να φτάνουν, ξύπνησε απ᾽ το σούσουρο κι από το ποδοβόλι'
πετάχτη απάνω κι ανακάθισε, κι αυτά τους λέει τα λόγια:
« Υγιέ του Ατρέα και σεις οι επίλοιποι των Αχαιών αρχόντοι,
πάρτε και σβηστέ με φλογόμαυρο κρασί τη θράκα πρώτα,
από μιαν άκρη ως άλλη, ως που 'φτάσε της πυρκαγιάς η λύσσα'
μετά ας μαζέψουμε τα κόκαλα, καλά διαλέγοντας τα,

εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ᾽ ἄλλοι ἄνευθεν
ἐσχατιῇ καίοντ᾽ ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι.

τύμβον δ᾽ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ᾽ ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν θ᾽ ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.

πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
κλαίοντες δ᾽ ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν,
ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν·

τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον. αὐτὰρ Ἀχιλλεὺς
αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ᾽ ἔκφερ᾽ ἄεθλα λέβητάς τε τρίποδάς τε

ἵππους θ᾽ ἡμιόνους τε βοῶν τ᾽ ἰφθιμα κάρηνα,
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον.
ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά᾽ ἄεθλα
θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργα ἰδυῖαν
καὶ τρίποδ᾽ ὠτώεντα δυωκαιεικοσίμετρον

τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
ἑξέτε᾽ ἀδμήτην βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
καλὸν τέσσαρα μέτρα κεχανδότα λευκὸν ἔτ᾽ αὔτως·
τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα,

πέμπτῳ δ᾽ ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
ἱππῆας τάδ᾽ ἄεθλα δεδεγμένα κεῖτ᾽ ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοὶ

ἦ τ᾽ ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίην δὲ φεροίμην.
ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δὲ πόρ᾽ αὐτοὺς
πατρὶ ἐμῷ Πηλῆϊ, ὃ δ᾽ αὖτ᾽ ἐμοὶ ἐγγυάλιξεν.
ἀλλ᾽ ἤτοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·

τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο
ἠπίου, ὅς σφωϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε λοέσσας ὕδατι λευκῷ.
τὸν τώ γ᾽ ἑσταότες πενθείετον, οὐδεϊ δέ σφι
χαῖται ἐρηρέδαται, τὼ δ᾽ ἔστατον ἀχνυμένω κῆρ.

του Πάτροκλου᾽ δεν είναι δύσκολο πολύ να ξεχωρίσουν'
τι στης πυράς τη μέση εκοίτουνταν, κι οι άλλοι εκαιγόνταν χώρια,
στις άκρες άκρες, αξεχώριστα, κι άλόγατα κι ανθρώποι.
Κι ας του τα βάλουμε σε ολόχρυσο μετά σταμνί, σε ξίγκι
μέσα διπλό, ως να 'ρθει κι η αράδα μου να κατεβώ στον Άδη.
Όμως το μνήμα του δε θα 'λεγα πολύ τρανό να γένει,
μονάχα τόσο όσο ταιριάζει του· κι έπειτα σεις οι Αργίτες
φαρδύνετέ το κι αψηλώστε το σα λείψω εγώ, και πίσω
θα 'χετε μείνει στα πολύκουπα καράβια εσείς τρογύρα.»
Είπε ο Αχιλλέας ο φτεροπόδαρος, κι αυτοί του άκουσαν όλοι"

πήραν και σβήσαν με φλογόμαυρο κρασί τη θράκα πρώτα,
ως που 'χε φτάσει η φλόγα, κι έμενε πυκνή πεσμένη η στάχτη'
και κλαίοντας μάζευαν σε ολόχρυσο μέσα σταμνί, σε ξίγκι
διπλό χωμένα τ᾽ άσπρα κόκαλα του πρόσχαρου συντρόφου· ·
και με πανί αγανό ως τα τύλιξαν, τα κρύψαν στο καλύβι'
μετά το μνήμα κυκλοχάραξαν και στησαν τα θεμέλια,
τρογύρα απ᾽ την πυρά, και σώρωσαν το χώμα με βιασύνη'
κι ως το σωρώσαν, πήραν κι έφευγαν. Τότε ο Αχιλλέας τ᾽ ασκέρι
λέει να μη φύγει, μον᾽ καθίζοντας ν᾽ ανοίξει τόπο γύρα.
Και στήνει αγώνες, κι από τ᾽ άρμενα για όσους νικήσουν βγάζει

λεβέτια και τριπόδια κι άλογα και βόδια και μουλάρια,
και ακόμα σίδερο σταχτόμαυρο κι ωριοζωσμένες σκλάβες.
Βάζει τρανά βραβεία στους γρήγορους αλογολάτες πρώτα,
μια σκλάβα, τέχνες αψεγάδιαστες που κάτεχε, κι ακόμα
τρανό λεβέτι εικοσιδυόλιτρο, με αρβάλια, να τα πάρει
ο πρώτος· κι έβαζε στο δεύτερο να πάρει μια φοράδα
άζευτη ακόμα, εξαχρονίτικη, μουλάρι γκαστρωμένη·
και για τον τρίτο πάλε αγκίνιαστο λεβέτι βάζει κάτω,
που έπαιρνε λίτρες μέσα τέσσερεις, στραφταλιστό, πανώριο'
και για τον τέταρτο δυο τάλαντα χρυσάφι βάζει ατόφιο,

και κούπα αγκίνιαστη, διπλόγουβη, στερνά του πέμπτου βάζει.
Όρθός στη μέση τότε στέκοντας φωνάζει στους Αργίτες:
« Ύγιέ του Ατρέα και σεις οι επίλοιποι καλαντρειωμένοι Αργίτες,
να τα βραβεία, τους αλογάρηδες που καρτερούν να τρέξουν.
Αν τον αγώνα τώρα εστήναμε γι᾽ άλλου νεκρού τη μνήμη,
σίγουρα εγώ το πρώτο θα 'παιρνα να φέρω στο καλύβι'
τι ειν᾽ τα δικά μου, το κατέχετε, τα πιο γοργόποδα άτια,
τι αθάνατα είναι, στον πατέρα μου του Ποσειδώνα δώρο,
κι εκείνος πάλε εμένα τα 'δωκε, να τα κρατώ δικά μου.
Μα τώρα εγώ με τα μονόνυχα φαριά μου δε θα τρέξω'

τι τέτοιο αμαξολάτη εχάσανε, στον κόσμο ξακουσμένο,
που με νερό καθάριο ως τα 'λουζε, γεμάτος καλοσύνη
με λάδι άκρατο τους περέχυνε κάθε φορά τις χήτες.
Τώρα τον κλαίνε αμετασάλευτα, κι οι χήτες τους στο χώμα
κάτω ακουμπούν και δε σαλεύουνε, τέτοιο καημό που νιώθουν.

ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν, ὅς τις Ἀχαιῶν
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
ὡς φάτο Πηλεΐδης, ταχέες δ᾽ ἱππῆες ἄγερθεν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος
Ἀδμήτου φίλος υἱός, ὃς ἱπποσύνῃ ἐκέκαστο·

τῷ δ᾽ ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης,
ἵππους δὲ Τρῳοὺς ὕπαγε ζυγόν, οὕς ποτ᾽ ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.
τῷ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀτρεΐδης ὦρτο ξανθὸς Μενέλαος
διογενής, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους

Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε Πόδαργον·
τὴν Ἀγαμέμνονι δῶκ᾽ Ἀγχισιάδης Ἐχέπωλος
δῶρ᾽, ἵνα μή οἱ ἔποιθ᾽ ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ᾽ αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ᾽ ὅ γ᾽ ἐν εὐρυχόρῳ Σικυῶνι·

τὴν ὅ γ᾽ ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν.
Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὁπλίσαθ᾽ ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
τοῦ Νηληϊάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστὰς

μυθεῖτ᾽ εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ·
Ἀντίλοχ᾽ ἦτοι μέν σε νέον περ ἐόντ᾽ ἐφίλησαν
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τὼ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ᾽ ἑλισσέμεν· ἀλλά τοι ἵπποι

βάρδιστοι θείειν· τὼ τ᾽ οἴω λοίγι᾽ ἔσεσθαι.
τῶν δ᾽ ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ᾽ ἄγε δὴ σὺ φίλος μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.

μήτι τοι δρυτόμος μέγ᾽ ἀμείνων ἠὲ βίηφι·
μήτι δ᾽ αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
μήτι δ᾽ ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ᾽ ὃς μέν θ᾽ ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς

ἀφραδέως ἐπὶ πολλὸν ἐλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃς δέ κε κέρδεα εἰδῇ ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ᾽ ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν,

ἀλλ᾽ ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον ὅσον τ᾽ ὄργυι᾽ ὑπὲρ αἴης
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ

Μα οι άλλοι Αργίτες, όσοι πέτεστε γοργά πως έχετε άτια
και στεριά αμάξια, μες στο στράτεμα σκωθείτε αλέστα τώρα!»
Είπε ο Αχιλλέας, κι ευτύς μαζώχτηκαν οι αλογολάτες γύρα'
τρανός ασκώθη ρήγας, ο Εύμηλος, ο ακριβογιός του Αδμήτου,
πρώτος απ᾽ όλους, που το ταίρι του στ᾽ αλόγατα δεν είχε.

Ξοπίσω του πετάχτη ο αντρόψυχος γιος του Τυδέα Διομήδης,
κι έζευε ευτύς του Τρώα τ᾽ αλόγατα, που μια φορά είχε αρπάξει
του Αινεία, μα αυτόν τον ίδιο ο Απόλλωνας τον γλίτωσε με δόλο.
Μετά ο ξανθός, αρχοντογέννητος Μενέλαος εσηκώθη,
ο γιος του Ατρέα, τα φτεροπόδαρα φαριά του για να ζέψει,
μαζί με το δικό του Πόδαργο, την Αίθη, μια φοράδα,
που του Αγαμέμνονα την έδωκεν ο Εχέπωλος για δώρο,
ο γιος του Αγχίση, τι δεν ήθελε στην Τροία να πάει μαζί του,
μόνο να μένει εκεί να χαίρεται· τι του 'χε ο Δίας δοσμένο
μεγάλο βιος, και στην απλόχωρη τη Σικυώνα εζούσε.

Αυτή ήταν που 'ζεψε, τη φόρα της μεβιάς κοντοκρατώντας.
Τέταρτος έζεψεν ο Αντίλοχος τα ωριότριχα άλογα του,
ο αρχοντικός υγιός του Νέστορα, του ρήγα του αντρειωμένου'
κι ήταν της Πύλος τ᾽ άτια γέννημα, που του 'σερναν τ᾽ αμάξι
γοργά. Κι ο κύρης του ζυγώνοντας για το καλό του τότε
μιλούσε γνωστικά, κι ας ήτανε κι ο γιος του μυαλωμένος:
« Κι αν είσαι ακόμα νιος, Αντίλοχε, μα ο Δίας κι ο Ποσειδώνας
σε αγάπησαν, και τ᾽ άτια σου 'μαθαν να κυβερνάς με τέχνες
λογής λογής· μπορούσαν να 'λειπαν λοιπόν οι συβουλές μου.
Καλά κατέχεις πως το αμάξι σου να στρίψεις στα σημάδια·

Όμως περίσσια οκνά είναι τ᾽ άτια σου, και λέω πως θα την πάθεις.
Των άλλων τ᾽ άλογα πιο γρήγορα, μ᾽ ατοί τους δεν κατέχουν
να σοφιστούνε τέχνες πιότερες απ᾽ ό,τι εσύ στο νου τους.
Μον᾽ έλα, γιε μου, και στα φρένα σου στοχάσου τέχνες τώρα
λογής λογής, μέσα απ᾽ τα χέρια σου μην τα βραβεία ξεφύγουν.
Ο νους τον κάνει, κι όχι η δύναμη, τον άξιο το λοτόμο᾽
ο νους τον καπετάνιο το άρμενο στο πέλαο το κρασάτο
να κουμαντάρει, σύντας οι άνεμοι το δέρνουν πέρα δώθε᾽
ο νους και τον που τρέχει στ᾽ άλογα βοηθά και πρώτος φτάνει'
τι ο που θαρρεύεται στα γρήγορα κι αμάξια και φαριά του

και κάνει ανέγνοιαστος απόγυρους μεγάλους δώθε κείθε,
χάνουν τον ίσιο δρόμο τ᾽ άτια του και κρατημό δεν έχουν.
Μα ο που λαλεί φαριά πιο μπόσικα και ξέρει πώς κερδίζουν,
στήνει τα μάτια στο ακροσήμαδο, ξυστά το φέρνει βόλτα,
κι ουδέ στιγμή ξεχνάει τα νιόλουρα με σιγουριά να σέρνει.
κι όλο γραμμή τραβάει κοιτάζοντας τον μπροστινό του πάντα.
Σου λέω και το σημάδι ξάστερα, που θα το ιδείς κι ατός σου:
Ως μιαν οργιά απ᾽ το χώμα κούτσουρο ξερό ψηλά προβαίνει,
καν δρυ καν πεύκου—τα βροχόνερα δεν το 'χουν σαπημένο᾽
δυο πέτρες το κρατούν ζερβόδεξα λευκές, εκεί που ο δρόμος

ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ᾽ ἱππόδρομος ἀμφὶς
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ᾽ ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῷ σὺ μάλ᾽ ἐγχρίμψας ἐλάαν σχεδὸν ἄρμα καὶ ἵππους,

αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ
ἦκ᾽ ἐπ᾽ ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι

κύκλου ποιητοῖο· λίθου δ᾽ ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσῃς κατά θ᾽ ἅρματα ἄξῃς·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ
ἔσσεται· ἀλλὰ φίλος φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ᾽ ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,

οὐκ ἔσθ᾽ ὅς κέ σ᾽ ἔλῃσι μετάλμενος οὐδὲ παρέλθῃ,
οὐδ᾽ εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ᾽ ἔτραφεν ἐσθλοί.
ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἄψ ἐνὶ χώρῃ

ἕζετ᾽, ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ᾽ ἔειπε.
Μηριόνης δ᾽ ἄρα πέμπτος ἐϋτριχας ὁπλίσαθ᾽ ἵππους.
ἂν δ᾽ ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
πάλλ᾽ Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δ᾽ ἔλαχε κρείων Εὔμηλος·

τῷ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος,
τῷ δ᾽ ἐπὶ Μηριόνης λάχ᾽ ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδεΐδης ὄχ᾽ ἄριστος ἐὼν λάχ᾽ ἐλαυνέμεν ἵππους.
στὰν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ᾽ Ἀχιλλεὺς
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἶσεν

ἀντίθεον Φοίνικα ὀπάονα πατρὸς ἑοῖο,
ὡς μεμνέῳτο δρόμους καὶ ἀληθείην ἀποείποι.
οἳ δ᾽ ἅμα πάντες ἐφ᾽ ἵπποιιν μάστιγας ἄειραν,
πέπληγόν θ᾽ ἱμᾶσιν, ὁμόκλησάν τ᾽ ἐπέεσσιν
ἐσσυμένως· οἳ δ᾽ ὦκα διέπρησσον πεδίοιο

νόσφι νεῶν ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ᾽ ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα,
χαῖται δ᾽ ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο.
ἅρματα δ᾽ ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
ἄλλοτε δ᾽ ἀΐξασκε μετήορα· τοὶ δ᾽ ἐλατῆρες

γωνιάζει, κι όμως η αλογόστρατος παντού στρωτή τροχύρα.
Κάποιου το μνήμα θα 'ν᾽ που πέθανε σε χρόνια περασμένα,
για κι ακροσήμαδο που το 'στησαν παλιών καιρών ανθρώποι'
αυτό είναι το σημάδι που 'βαλε τώρα ο Αχιλλέας ο γαύρος.
Κι εσύ τ᾽ αμάξια και τ᾽ αλόγατα ξυστά αποδίπλα πέρνα,
και το κορμί σου στο καλόπλεχτο το αμάξι γέρνε μέσα,
ζερβά σου λίγο, και νυμάτιζε και το δεξιό φαρί σου,
και μπήξε του φωνή, λασκάροντας στα χέρια σου τα γκέμια.
Μα το ζερβό σου βάλε το άλογο να στρίψει το σημάδι
ξυστά, που να θαρρείς πως πάνω του το κεφαλάρι αγγίζει

της στέριας ρόδας σου· όμως πρόσεξε στην πέτρα μη χτυπήσεις,
να μη λαβώσεις και τ᾽ αλόγατα και σπάσεις και τ᾽ αμάξι,
τρανή στους άλλους αναγάλλιαση, ντροπή στον ίδιο εσένα.
Έχε ανοιχτά λοιπόν τα μάτια σου, καλέ μου, και φυλάξου᾽
τι μια και στρίψεις το ακροσήμαδο λαλώντας τ᾽ αλογά σου,
δε θα σε φτάσει ουτ᾽ ένας τρέχοντας, μηδέ θα σε περάσει,
με τον Αρείονα ακόμα πίσω σου κι αν έτρεχε το γαύρο,
το άτι του Αδράστου το φτερόποδο, που από θεούς κρατούσε,
μηδέ με τ᾽ άτια του Λαομέδοντα, που εδώ στην Τροία θραφήκαν.»
Σαν είπε τούτα ο γέρο Νέστορας κι αρμήνεψε του γιου του

το κάθε τι ως την άκρη, κάθισε στη θέση του γυρνώντας.
Και πέμπτος ο Μηριόνης έζεψε τα ωριότριχα άλογά του.
Κι όλοι στ᾽ αμάξια τότε ανέβηκαν και ρίξανε τους κλήρους·
κι ως ο Αχιλλέας τους ανατάραζε, πρώτος πετιέται ο κλήρος
του Αντίλοχου, του γιου του Νέστορα, κι από κοντά του Ευμήλου᾽
μετά ο Μενέλαος βγαίνει, ο αντρόκαρδος υγιός του Ατρέα, στον κλήρο,
μετά ο Μηριόνης βγαίνει τέταρτος να τρέξει, κι ο Διομήδης,
περίσσια ο κάλλιος τους, στο αμάξι του στερνός να τρέξει βγαίνει.
Κι ως πήραν θέση, το ακροσήμαδο τους έδειξε ο Αχιλλέας.
πέρα μακριά στον κάμπο, κι έβαλε σιμά του εκεί να στέκει

ο ισόθεος Φοίνικας βλεπάτορας, ο ακράνης του κυρού του,
να 'χει την έγνοια του στο τρέξιμο, να πει την πάσα αλήθεια.
Κι εκείνοι όλοι μαζί πα στ᾽ άτια τους σήκωσαν τα μαστίγια,
και τα χτυπούσαν με τα νιόλουρα, και με φωνές τ᾽ αγγρίζαν,
γιομάτοι ορμή᾽ κι αυτά δρασκέλιζαν φτερόποδα τον κάμπο,
γοργά από τ᾽ άρμενα αλαργαίνοντας· κι ανέβαινε τ᾽ αψηλού
κάτω απ᾽ τα στήθη τους σα σύγνεφο για ανεμοζάλη η σκόνη,
κι οι πλούσιες χήτες τους κυμάτιζαν με την πνοή του ανέμου'
και μια στη γη τ᾽ αμάξια εσούρνονταν την πολυθρόφα απάνω,
και μια ψηλά πηδούσαν μέτωρα᾽ κι εντός οι αμαξολάτες

ἔστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις, οἳ δ᾽ ἐπέτοντο κονίοντες πεδίοιο.
ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
ἄψ ἐφ᾽ ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου

φαίνετ᾽, ἄφαρ δ᾽ ἵπποισι τάθη δρόμος· ὦκα δ᾽ ἔπειτα
αἶ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
τὰς δὲ μετ᾽ ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρῳϊοι, οὐδέ τι πολλὸν ἄνευθ᾽ ἔσαν, ἀλλὰ μάλ᾽ ἐγγύς·
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐΐκτην,

πνοιῇ δ᾽ Εὐμήλοιο μετάφρενον εὐρέε τ᾽ ὤμω
θέρμετ᾽· ἐπ᾽ αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.
καί νύ κεν ἢ παρέλασσ᾽ ἢ ἀμφήριστον ἔθηκεν,
εἰ μὴ Τυδέος υἱῖ κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.

τοῖο δ᾽ ἀπ᾽ ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο,
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
οἳ δέ οἱ ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
οὐδ᾽ ἄρ᾽ Ἀθηναίην ἐλεφηράμενος λάθ᾽ Ἀπόλλων
Τυδεΐδην, μάλα δ᾽ ὦκα μετέσσυτο ποιμένα λαῶν,

δῶκε δέ οἱ μάστιγα, μένος δ᾽ ἵπποισιν ἐνῆκεν·
ἣ δὲ μετ᾽ Ἀδμήτου υἱὸν κοτέουσ᾽ ἐβεβήκει,
ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἳ δέ οἱ ἵπποι
ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ᾽ ἐπὶ γαῖαν ἐλύσθη.
αὐτὸς δ᾽ ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,

ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε,
θρυλίχθη δὲ μέτωπον ἐπ᾽ ὀφρύσι· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδεΐδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη

ἵπποις ἦκε μένος καὶ ἐπ᾽ αὐτῷ κῦδος ἔθηκε.
τῷ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀτρεΐδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ᾽ ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
ἔμβητον καὶ σφῶϊ· τιταίνετον ὅττι τάχιστα.
ἦτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω

Τυδεΐδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος καὶ ἐπ᾽ αὐτῷ κῦδος ἔθηκεν·
ἵππους δ᾽ Ἀτρεΐδαο κιχάνετε, μὴ δὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη θῆλυς ἐοῦσα· τί ἢ λείπεσθε φέριστοι;

στέκαν ολόρθοι, και σπαρτάριζε βαθιά η καρδιά τους, όλοι
τη νίκη ως λαχταρούσαν κι έσκουζε καθένας στ᾽ άλογα του
να πιλαλούν, κι αυτά πετούσανε στον κάμπο μες στη σκόνη.
Μα ως το στερνό το δρόμο τ᾽ άλογα κάναν γοργά, να γύρουν
στο ψαρί πέλαο πίσω, φάνηκε του καθενούς η άξιότη.
Πετούσαν τρέχοντας τ᾽ αλόγατα, κι άπ᾽ όλα πρώτες πρώτες
του γιου του Αδμήτου οι γοργοπόδαρες ξεχύνουνταν φοράδες·
ξοπίσω του του Τρώα τ᾽ αλόγατα χιμούσαν τα βαρβάτα,
που 'χε ο Διομήδης, όχι αλάργα του, σιμά σιμά του, τόσο
που να θαρρείς πως καβαλίκευαν κάθε στιγμή τ᾽ αμάξι᾽

κι ο Εύμηλος πλάτη κι ώμους ένιωθε την καφτερή πνοή τους,
κι όπως πετούσαν, τα κεφάλια τους απάνω του ακουμπούσαν.
Και θα τον πέρναε, για θα του 'παιρνε τη σιγουριά της νίκης,
αν του Διομήδη ξάφνου ο Απόλλωνας το αστραφτερό μαστίγι᾽
μεσ᾽ απ᾽ τα χέρια του δεν τίναζε στη γη, θυμό γιομάτος.
Κι εκείνον απ᾽ το πείσμα κλάματα τον πήραν, τις φοράδες
ακόμα πιο γοργά ξανοίγοντας να ξεμακραίνουν μπρος του,
και τα δικά του πίσω που 'μεναν, χωρίς μαστίγι ως τρέχαν.
Ωστόσο η πονηριά του Απόλλωνα δεν ξέφυγε το μάτι
της Αθηνάς, που εχύθη τρέχοντας, και το μαστίγι βάζει

στο χέρι του Διομήδη, δίνοντας και στ᾽ άλογά του φόρα.
Μετά πεισματωμένη στου Αδμήτου το γιο με βιάση τρέχει,
και σπάζει το ζυγό απ᾽ τ᾽ αμάξι του᾽ δεξιά ζερβά εχωρίσαν
στη δημοσιά οι φοράδες τρέχοντας, και το τιμόνι πέφτει'
κι αυτός γκρεμίστη από το αμάξι του κυλώντας πλάι στη ρόδα,
κι αγκώνες γύρα ολούθε ξέγδαρε και στόμα και ρουθούνια,
κι απά στα φρύδια του το μέτωπο τσακίστη, και γιομώσαν
δάκρυα τα μάτια του, και πιάστηκεν η δυνατή φωνή του.
Τότε ο Διομήδης, τα μονόνυχα λαξεύοντας φαριά του,
πήρε να τρέχει, πίσω αφήνοντας τους άλλους· τι η Παλλάδα

τ᾽ άτια του εφτέρωνε, χαρίζοντας τρανή στον ίδιο δόξα.
Πίσω ο ξανθός Μενέλαος έρχουνταν, ο γιος του Ατρέα, τρεχάτος·
και τότε ο Αντίλοχος εφώναξε στα γονικά φαριά του:
«Ομπρός και σεις, βιαστείτε! Γρήγορα τραβάτε όσο μπορείτε!
Να παραβγείτε δε σας γύρεψα μαθές εγώ μ᾽ εκείνα,
του αντρόκαρδου Διομήδη τ᾽ άλογα, που τώρα γρηγοράδα
τους έδωκε η Αθηνά, χαρίζοντας τρανή στον ίδιο δόξα'
καν όμως του Μενέλαου τ᾽ άλογα προφτάστε χέρι χέρι,
πίσω μη μένετε, κι απάνω σας της Αίθης —μιας φοράδας!—
πέσει η ντροπή. Τι μου αργοσούρνεστε, τέτοια φαριά αντρειωμένα;

ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται, αὐτίκα δ᾽ ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,
αἴ κ᾽ ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
ἀλλ᾽ ἐφομαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα·

ταῦτα δ᾽ ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.
ὡς ἔφαθ᾽, οἳ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ᾽ ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης.

ῥωχμὸς ἦν γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ
ἐξέρρηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
τῇ ῥ᾽ εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.

Ἀτρεΐδης δ᾽ ἔδεισε καὶ Ἀντιλόχῳ ἐγεγώνει·
Ἀντίλοχ᾽ ἀφραδέως ἱππάζεαι, ἀλλ᾽ ἄνεχ᾽ ἵππους·
στεινωπὸς γὰρ ὁδός, τάχα δ᾽ εὐρυτέρη παρελάσσαι·
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας.
ὡς ἔφατ᾽, Ἀντίλοχος δ᾽ ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε

κέντρῳ ἐπισπέρχων ὡς οὐκ ἀΐοντι ἐοικώς.
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
ὅν τ᾽ αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης,
τόσσον ἐπιδραμέτην· αἳ δ᾽ ἠρώησαν ὀπίσσω
Ἀτρεΐδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν

μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
δίφρους τ᾽ ἀνστρέψειαν ἐϋπλεκέας, κατὰ δ᾽ αὐτοὶ
ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης.
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ᾽ οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·

ἔρρ᾽, ἐπεὶ οὔ σ᾽ ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ᾽ οὐ μὰν οὐδ᾽ ὣς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.
ὡς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
μή μοι ἐρύκεσθον μὴ δ᾽ ἔστατον ἀχνυμένω κῆρ.
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα

ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.
ὡς ἔφαθ᾽, οἳ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
Ἀργεῖοι δ᾽ ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
ἵππους· τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.

Ακούστε τώρα κάποιο λόγο μου, που σίγουρα θα γένει:
Δεν έχει πια ακριβοταγίσματα να ιδείτε από το ρήγα
το Νέστορα· τι ευτύς σας έσφαξε με κοφτερό μαχαίρι,
βραβείο πιο δεύτερο αν κερδίσουμε με την οκνιά μας τώρα.
Τρέχτε λοιπόν και κυνηγάτε τα, τα δυνατά σας βάλτε !
Τ᾽ άλλα τα γνοιάζομαι μονάχος μου, θα βρω μαθές τον τρόπο,
στη στενωσιά του δρόμου μπαίνοντας· δεν το ξεχνώ καθόλου!»
Είπε, και τ᾽ ατια, που φοβήθηκαν του ρήγα τις φοβέρες,
πήραν με ορμή να τρέχουν πιότερη, και γρήγορα μπροστά του
τη στενωσιά ξεκρίνει ο Αντίλοχος του βουλιαγμένου δρόμου'

τι απ᾽ τα βροχόνερα, που ελίμναζαν η γης είχε καθίσει,
κι όλο τον τόπο γύρω εγούβωσαν και χάλασαν το δρόμο.
Στη μέση εκεί ο Μενέλαος έτρεχε, τ᾽ αμάξια μην σκουντρήξουν'
όμως ο Αντίλοχος λαξεύοντας όξω απ᾽ το δρόμο βγάζει
τους μαύρους του, και πήρε γρήγορα ξοπίσω του να τρέχει.
Και τότε ο γιος του Ατρέα του Αντίλοχου φωνάζει φοβισμένος:
«Δίχως μυαλό τραβάς, Αντίλοχε! Τ᾽ αλόγατά σου βαστά,
τι είναι στενός ο δρόμος. Πέρνα με, σα θα πλατύνει πάλε'
ζημιά, αν σκουντρήξεις με το αμάξι σου, θα κάνεις και στους δυο μας!»
Αυτά είπε, ωστόσο ο γιος του Νέστορα με πιο μεγάλη ακόμη

κεντούσε ορμή να τρέχουν τ᾽ άλογα μπροστά, κουφός λες κι ήταν.
Όσο ένας δίσκος φτάνει, που έριξε, τινάζοντας τα χέρια,
κάποιος λεβέντης, που τη νιότη του ζητάει να δοκιμάσει,
τόσο και τ᾽ άτια του προσπέρασαν, και τ᾽ άλλα έμειναν πίσω,
του γιου του Ατρέα᾽ τι ατός του θέλησε τη φόρα τους να κόψει,
μπας και σκουντρήξουν τα μονόνυχα φαριά τους μες στο δρόμο,
και 'ρθουν τα στεριά αμάξια ανάποδα, και κυλιστούν κι ατοί τους
στον κουρνιαχτό, από τη λαχτάρα τους τη νίκη να κερδέψουν.
Τότε ο ξανθός Μενέλαος χόλιασε μαζί του και φωνάζει:
«Αντίλοχε, όσο εσύ κακότροπος κανείς δε βρίσκεται άλλος!

Αϊ να χαθείς! και σε περνούσαμε για γνωστικόν οι Αργίτες!
Μα κι έτσι το βραβείο δε γίνεται να πάρεις δίχως όρκο!»
Είπε᾽ μετά φωνή στ᾽ αλόγατα να τα γκαρδιώσει σέρνει:
«Μη σταματάτε, μην οκνεύετε, κι ας είστε πικραμένα'
πιο πρώτα τα δικά τους γόνατα και πόδια θ᾽ αποστάσουν
παρ᾽ ό,τι εσάς· τι εκείνα τ᾽ άφησεν η νιότη και τα δυο τους.»
Είπε, και τ᾽ άτια, που φοβήθηκαν του ρήγα τους τα λόγια,
πήραν με ορμή να τρέχουν πιότερη, και τά 'φτασαν σε λίγο.
Κι ωστόσο μαζωμένοι εκάθουνταν οι Αργίτες και θωρούσαν
τ᾽ αλόγατα· κι αυτά πετούσανε στον κάμπο, μες στη σκόνη.

πρῶτος δ᾽ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἐφράσαθ᾽ ἵππους·
ἦστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
τοῖο δ᾽ ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας
ἔγνω, φράσσατο δ᾽ ἵππον ἀριπρεπέα προΰχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ

λευκὸν σῆμα τέτυκτο περίτροχον ἠΰτε μήνη.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
οἷος ἐγὼν ἵππους αὐγάζομαι ἦε καὶ ὑμεῖς;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,

ἄλλος δ᾽ ἡνίοχος ἰνδάλλεται· αἵ δέ που αὐτοῦ
ἔβλαβεν ἐν πεδίῳ, αἵ κεῖσέ γε φέρτεραι ἦσαν·
ἦτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
νῦν δ᾽ οὔ πῃ δύναμαι ἰδέειν· πάντῃ δέ μοι ὄσσε
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι·

ἦε τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
εὖ σχεθέειν περὶ τέρμα καὶ οὐκ ἐτύχησεν ἑλίξας·
ἔνθά μιν ἐκπεσέειν ὀΐω σύν θ᾽ ἅρματα ἆξαι,
αἵ δ᾽ ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε

εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
Αἰτωλὸς γενεήν, μετὰ δ᾽ Ἀργείοισιν ἀνάσσει
Τυδέος ἱπποδάμου υἱὸς κρατερὸς Διομήδης.
τὸν δ᾽ αἰσχρῶς ἐνένιπεν Ὀϊλῆος ταχὺς Αἴας·
Ἰδομενεῦ τί πάρος λαβρεύεαι; αἵ δέ τ᾽ ἄνευθεν

ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
οὔτε νεώτατός ἐσσι μετ᾽ Ἀργείοισι τοσοῦτον,
οὔτέ τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
ἀλλ᾽ αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.

ἵπποι δ᾽ αὐταὶ ἔασι παροίτεραι, αἵ τὸ πάρος περ,
Εὐμήλου, ἐν δ᾽ αὐτὸς ἔχων εὔληρα βέβηκε.
τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Αἶαν νεῖκος ἄριστε κακοφραδὲς ἄλλά τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.

δεῦρό νυν ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος,
ἴστορα δ᾽ Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ὁππότεραι πρόσθ᾽ ἵπποι, ἵνα γνώῃς ἀποτίνων.
ὣς ἔφατ᾽, ὄρνυτο δ᾽ αὐτίκ᾽ Ὀϊλῆος ταχὺς Αἴας
χωόμενος χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι·

Πρώτος ο Ιδομενέας τα ξέκρινε, των Κρητικών ο ρήγας·
τι όξω απ᾽ τη μάζωξη, σε ξέφαντο, πολύ ψηλά εκαθόταν
και τον αμαξολάτη αγρίκησε, που φώναζε από πέρα,
κι απείκασε ποιος ήταν γνώρισε και το άλογο απ᾽ το χρώμα,
που 'τρεχε ομπρός απ᾽ όλα᾽ στο άλλο του κορμί ήταν ρούσο, μόνο
που 'χε άσπρη, στρογγυλή στο μέτωπο σαν το φεγγάρι βούλα.
Ορθός πετάχτη τότε, στάθηκε, και κράζει στους Αργίτες:
« Φίλοι μου εσείς, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
θωράτε πέρα εκεί τ᾽ αλόγατα και σεις, για εγώ μονάχα;
Σαν άλλα τ᾽ άλογα μου φαίνουνται που τρέχουν τώρα πρώτα,

σαν άλλος δείχνει ο αμαξολάτης τους· κάποια ζημιά οι φοράδες
στον κάμπο θα 'παθαν, κει που 'τρεχαν ομπρός απ᾽ όλα τ᾽ άλλα.
Κι όμως τις είδα πρώτες τρέχοντας να στρίβουν το σημάδι,
μα τώρα πουθενά δε φαίνουνται· κλωθογυρίζω ολούθε
τα μάτια, να τις βρω γυρεύοντας στης Τροίας τον κάμπο μέσα.
Του άμαξολάτη τάχα εξέφυγαν τα γκέμια, και δεν είχε
πια πώς να κυβερνήσει τ᾽ άτια του, και λάθεψε ως γυρνούσε;
Θαρρώ κει κάτω πως γκρεμίστηκε και τσάκισε τ᾽ αμάξι,
και ξεστράτισαν κι οι φοράδες του στη φόρα τους απάνω.
Όμως σκωθείτε και κοιτάχτε τον και σεις᾽ τι τα δικά μου·

δεν καλοβλέπουν μάτια· θα 'λεγα γι᾽ αυτόν πως είναι ωστόσο
της Αιτωλίας η φύτρα, ο κύβερνος μες στους Αργίτες τώρα,
που ο αλογατάς Τυδέας τον γέννησεν—είναι ο τρανός Διομήδης!»
Μα ο γοργοπόδης Αίαντας τα 'βαλε μαζί του, ο γιος του Οιλέα:
«Ιδομενέα, πολλά τα λόγια σου, πριν καλοϊδείς᾽ τι αλάργα
τ᾽ αναεροκυκλοπόδικα άλογα στον κάμπο ακόμα τρέχουν.
Μήτε και μου είσαι ο παρανιότερος θαρρώ μες στους Αργίτες,
μήτε τα μάτια σου καλύτερα ξεκρίνουν απ᾽ των άλλων,
μον᾽ είσαι πάντα σου μωρόλογος᾽ κι ουδέ σου πρέπει αλήθεια
πολλά να λες, τι έχει καλύτερους εδώ από σένα κι άλλους.

Οι ίδιες φοράδες τώρα τρέχουνε μπροστά, καθώς και πρώτα,
του Εύμηλου λέω, που στέκει απάνω τους με τα λουριά στο χέρι.»
Όλο θυμό του απηλογήθηκε των Κρητικών ο ρήγας:
«Αίαντα κακόγνωμε, ο καλύτερος στους τσακωμούς, και στ᾽ άλλα
μες στους Αργίτες ο χειρότερος· τόσο άτσαλη η ψυχή σου!
Ομπρός, ας βάλουμε και στοίχημα, τριπόδι για λεβέτι,
κι ας μπει κριτής μας ο Αγαμέμνονας, ο γιος του Ατρέα, να ιδούμε,
ποια τα φαριά που πρωτοφτάνουνε, πλερώνοντας να μάθεις!»
Είπε, κι ο γιος του Οιλέα πετάχτηκε μεμιάς ο γοργοπόδης,
θυμό γιομάτος, λόγια θέλοντας βαριά να του πετάξει'

καί νύ κε δὴ προτέρω ἔτ᾽ ἔρις γένετ᾽ ἀμφοτέροισιν,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ φάτο μῦθον·
μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν
Αἶαν Ἰδομενεῦ τε κακοῖς, ἐπεὶ οὐδὲ ἔοικε.
καὶ δ᾽ ἄλλῳ νεμεσᾶτον ὅτις τοιαῦτά γε ῥέζοι.

ἀλλ᾽ ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἳ δὲ τάχ᾽ αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ᾽ ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
ἵππους Ἀργείων, οἵ τε πάροιθεν.
ὡς φάτο, Τυδεΐδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,

μάστι δ᾽ αἰὲν ἔλαυνε κατωμαδόν· οἳ δέ οἱ ἵπποι
ὑψόσ᾽ ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον.
αἰεὶ δ᾽ ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον,
ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ

γίγνετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ᾽ ἀνεκήκιεν ἱδρὼς
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
αὐτὸς δ᾽ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,

κλῖνε δ᾽ ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν
ἴφθιμος Σθένελος, ἀλλ᾽ ἐσσυμένως λάβ᾽ ἄεθλον,
δῶκε δ᾽ ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
καὶ τρίποδ᾽ ὠτώεντα φέρειν· ὃ δ᾽ ἔλυεν ὑφ᾽ ἵππους.
τῷ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους

κέρδεσιν, οὔ τι τάχει γε, παραφθάμενος Μενέλαον·
ἀλλὰ καὶ ὣς Μενέλαος ἔχ᾽ ἐγγύθεν ὠκέας ἵππους.
ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥα ἄνακτα
ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι·
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι

οὐραῖαι· ὃ δέ τ᾽ ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
χώρη μεσσηγὺς πολέος πεδίοιο θέοντος·
τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
λείπετ᾽· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ

ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης·
εἰ δέ κ᾽ ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
τώ κέν μιν παρέλασσ᾽ οὐδ᾽ ἀμφίριστον ἔθηκεν.
αὐτὰρ Μηριόνης θεράπων ἐΰς Ἰδομενῆος
λείπετ᾽ ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·

βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,
ἤκιστος δ᾽ ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ᾽ ἐν ἀγῶνι.
υἱὸς δ᾽ Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων
ἔλκων ἅρματα καλὰ ἐλαύνων πρόσσοθεν ἵππους.
τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς,

και τότε πια ο καβγάς τους θα 'παιρνε ν᾽ ανάψει κι άλλο ακόμα,
αν ο Αχιλλέας ευτύς δε σκώνουνταν να τους μιλήσει ατός του:
« Αφήστε τώρα τα μαλώματα πια, Ιδομενέα, στην άκρη,
Αίαντα, και συ, και τα πικρόλογα᾽ δε σας ταιριάζουν, όχι'
Εσείς καί με άλλον θα τα βάζατε, παρόμοια αν έφερνόταν.
Όμπρός, καθίστε εδώ στη μάζωξη και τ᾽ άλογα θωράτε'
τι εκείνοι να κερδέψουν βιάζουνται τη νίκη, κι όπου να 'ναι
φτάνουν εδώ, και τότε τ᾽ άλογα τ᾽ Αργίτικα ο καθείς σας
θα καλοϊδεί, ποια πίσω απόμειναν και ποια δρομοΰνε πρώτα.»
Είπε, και να ο Διομήδης τρέχοντας που σίμωνε από πέρα,

κι όλο χτυπούσε απά στις πλάτες τους με το μαστίγι τ᾽ άτια,
κι αυτά, ψηλά πηδώντας, βιάζουνταν το δρόμο να τελέψουν.
Κι ο άμαξολάτης πάνω εχάνουνταν στον κουρνιαχτό που ασκώναν
και πίσω απ᾽ τ᾽ άτια τα γοργόποδα το αμάξι ερχόταν, που 'χε
πλουμιά κι από καλάι και μάλαμα· και μόλις που εχαράζαν
στη σκόνη τη βαθιά τ᾽ αχνάρια τους της ρόδας τα στεφάνια
ξοπίσω᾽ και τα δυο τ᾽ αλόγατα σαν αστραπή πετούσαν.
Κι εστάθη αναμεσός στη σύναξη, και σπειρωτός ιδρώτας
στη γης απ᾽ των αλόγων στάλαζε το σβέρκο και τα στήθη.
Κι ατός του επήδηξε απ᾽ τ᾽ ολόφωτο το αμάξι απά στο χώμα,

γερτό ακουμπώντας το μαστίγι του πα στο ζυγό. Δε χάνει
τότε καιρό κι ο γαύρος Σθένελος, μον᾽ το βραβείο τρεχάτος
παίρνει και δίνει στους συντρόφους του, το αρβαλωτό λεβέτι
και τη γυναίκα᾽ και τ᾽ αλόγατα γοργά ξεζεύει ατός του.
Ξοπίσω του έφτασεν ο Αντίλοχος κεντρίζοντας τους μαύρους,
που το Μενέλαο πριν προσπέρασε με δόλο, κι όχι αξιότη'
μα κι έτσι εκείνος τον εζύγωνε με τα γοργά του τ᾽ άτια.
Όσο σιμά είναι η ρόδα στο άλογο, το βασιλιά που σέρνει
μέσα στο αμάξι του, και χύνεται στον κάμπο δρασκελώντας,
κι οι τρίχες της ουράς του αγγίζουνε της ρόδας άκρην άκρη

το γύρο, ως κυκλοφέρνει τρέχοντας σιμά τους, μήτε ο τόπος
πολύς αναμεσό τους, το άλογο σαν τρέχει μες στον κάμπο·
τόσο είχε μόνο απ᾽ τον Αντίλοχο πίσω ο Μενέλαος μείνει,
κι όμως πιο πριν ξοπίσω του έρχουνταν ως ένα δισκοπέτι.
Ωστόσο γρήγορα τον έφτασε, τι όλο και πιο με φόρα
η Αίθη, η φοράδα του Αγαμέμνονα, χιμούσε η ομορφοτρίχα.
Κι αν είχαν κι άλλο δρόμο να 'τρεχαν ακόμα οι δυο τους τότε,
θα τον περνούσε, αξεσυνέριστα τη νίκη παίρνοντας του.
Μετά ο Μηριόνης φτάνει, ο σύντροφος του Ιδομενέα του γαύρου,
απ᾽ το Μενέλαο τον περίλαμπρο μια κονταριά πιο πίσω·

τι απ᾽ όλα έλαχαν πιο αργοσάλευτα τα ωριότριχα άλογα του,
κι ατός του πιο αχαμνός άλόγατα να κυβερνά σε αγώνες.
Στερνός ο γιος ερχόταν του Αδμήτου, κι έσερνε πίσω ατός του
τ᾽ όμορφο αμάξι του, τ᾽ αλόγατα μπροστά του πιλαλώντας.
Κι όπως τον είδε, ο φτεροπόδαρος τον πόνεσε Αχιλλέας,

στὰς δ᾽ ἄρ᾽ ἐν Ἀργείοις ἔπεα πτερόεντ᾽ ἀγόρευε·
λοῖσθος ἀνὴρ ὥριστος ἐλαύνει μώνυχας ἵππους·
ἀλλ᾽ ἄγε δή οἱ δῶμεν ἀέθλιον ὡς ἐπιεικὲς
δεύτερ᾽· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐπῄνεον ὡς ἐκέλευε.

καί νύ κέ οἱ πόρεν ἵππον, ἐπῄνησαν γὰρ Ἀχαιοί,
εἰ μὴ ἄρ᾽ Ἀντίλοχος μεγαθύμου Νέστορος υἱὸς
Πηλεΐδην Ἀχιλῆα δίκῃ ἠμείψατ᾽ ἀναστάς·
ὦ Ἀχιλεῦ μάλα τοι κεχολώσομαι αἴ κε τελέσσῃς
τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον

τὰ φρονέων ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ᾽ ἵππω
αὐτός τ᾽ ἐσθλὸς ἐών· ἀλλ᾽ ὤφελεν ἀθανάτοισιν
εὔχεσθαι· τό κεν οὔ τι πανύστατος ἦλθε διώκων.
εἰ δέ μιν οἰκτίρεις καί τοι φίλος ἔπλετο θυμῷ
ἔστί τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκὸς

καὶ πρόβατ᾽, εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι·
τῶν οἱ ἔπειτ᾽ ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ᾽ αἰνήσωσιν Ἀχαιοί.
τὴν δ᾽ ἐγὼ οὐ δώσω· περὶ δ᾽ αὐτῆς πειρηθήτω
ἀνδρῶν ὅς κ᾽ ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι.

ὣς φάτο, μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς
χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχ᾽, εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.

δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται.
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
οἰσέμεναι κλισίηθεν· ὃ δ᾽ ὤχετο καί οἱ ἔνεικεν,

Εὐμήλῳ δ᾽ ἐν χερσὶ τίθει· ὃ δὲ δέξατο χαίρων.
τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ᾽ ἄρα κῆρυξ
χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τε κέλευσεν
Ἀργείους· ὃ δ᾽ ἔπειτα μετηύδα ἰσόθεος φώς·

Ἀντίλοχε πρόσθεν πεπνυμένε ποῖον ἔρεξας.
ᾗσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες
ἦσαν.
ἀλλ᾽ ἄγετ᾽ Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μὴ δ᾽ ἐπ᾽ ἀρωγῇ,

κι έτσι μιλούσε με ανεμάρπαστα μες στους Αργίτες λόγια:
«Να ο πιο τρανός που φτάνει ολόστερνος λαλώντας τ᾽ άλογα του!
Ομπρός, ελατέ να του δώσουμε βραβείο, καθώς ταιριάζει,
το δεύτερο· το πρώτο θα 'λεγα να πάρει ο Διομήδης.»
Αυτά είπε, κι όλοι τους χαρούμενοι στη γνώμη του συγκλίναν'

και τη φοράδα θα του χάριζε, τι οι Δαναοί το θέλαν,
ο Αντίλοχος, ο γιος του αντρόκαρδου Νεστόρου, αν δε σκωνόταν,
στον αντρειανό Αχιλλέα το δίκιο του να πει και να φωνάξει:
«Αν Αχιλλέα, το λόγο που 'βγαλες τον κάνεις πράξη τώρα,
πολύ μαζί σου εγώ θα θύμωνα᾽ τι το βραβείο μου παίρνεις,
τάχα πως έσπασε το αμάξι του, σκόρπισαν τ᾽ άλογα του,
κι ατός του, όσο καλός, γκρεμίστηκε᾽ μ᾽ αν στους θεούς ευκιόταν,
ως πρέπει, ολόστερνος δε θα 'ρχουνταν, πιο πίσω από τους
άλλους.
Μ᾽ αν τον λυπάσαι και στα σπλάχνα σου γι᾽ αυτόν αγάπη νιώθεις,
έχεις χαλκό, κι έχεις και μάλαμα περίσσιο στο καλύβι,

κι έχεις και σκλάβες και μονόνυχα φαριά κι αρνιά και γίδες·
πάρε απ᾽ αυτά μετά και δώσε του πιο πλούσιο ακόμα δώρο,
για τώρα ευτύς εδώ, χαρούμενοι κι οι Αργίτες να συγκλίνουν.
Μα εγώ δε δίνω τη φοράδα μου, κι ομπρός, ας δοκιμάσει
όποιου βολεί να 'ρθεΐ για χάρη της μαζί μου να παλέψει!»
Έτσι μιλούσε, κι αχνογέλασε στον ακριβό του ακράνη
τότε ο Αχιλλέας ο φτεροπόδαρος, χαρούμενος μαζί του,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Αυτό που εζήτησες, Αντίλοχε, θα σου το κάνω τώρα,
κι ένα άλλο δώρο απ᾽ το καλύβι μου στον Εύμηλο θα δώσω.

Θα του χαρίσω εγώ το θώρακα, του Αστεροπαίου που επήρα,
το χάλκινο, χυτό που ζώνει τον καλάι τρογύρα ολούθε,
κι αστράφτει μες στο φως αλάκερος᾽ μεγάλο βιος αξίζει.»
Είπε, κι ευτύς τον Αυτομέδοντα, το σύντροφο του, κράζει
να του τον φέρει απ᾽ το καλύβι του᾽ κι εκείνος πάει, τον φέρνει,
και βάζει τον στα χέρια του Εύμηλου, που όλο χαρά τον δέχτη.
Μα τότε κι ο Μενέλαος βράζοντας σηκώθη αναμεσό τους,
με τον Αντίλοχο ακατάπαυτα θυμώνοντας· κι ο κράχτης
το σκήπτρο βάζει μες στα χέρια του, και να σωπάσουν όλοι ·
προστάζει οί Αργίτες· τότε μίλησεν ο ισόθεος άντρας κι είπε:

«Εσύ ήσουν γνωστικός, Αντίλοχε, μα τι 'ναι αυτά που κάνεις;
Και την αξία μου τώρα εντρόπιασες και τ᾽ άτια αντίσκοψές μου,
μπροστά τους τα δικά σου βάζοντας, που πιο αχαμνά πολύ 'ναι.
Και τώρα ομπρός, Αργίτες άρχοντες και πρωτοκεφαλάδες,
ακριβοδίκια εδώ δικάστε μας· δε θέλω εγώ κανένας
να πει από τους Αργίτες κάποτε τους χαλκοθωρακάτους:

μή ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων·
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε.
εἰ δ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς δικάσω, καί μ᾽ οὔ τινά φημι

ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
Ἀντίλοχ᾽ εἰ δ᾽ ἄγε δεῦρο διοτρεφές, ἣ θέμις ἐστί,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἰμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ᾗ περ τὸ πρόσθεν ἔλαυνες,
ἵππων ἁψάμενος γαιήοχον ἐννοσίγαιον

ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.
τὸν δ᾽ αὖτ᾽ Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
ἄνσχεο νῦν· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
σεῖο ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
οἶσθ᾽ οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·

κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
τώ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
δώσω, τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε διοτρεφὲς ἤματα πάντα

ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός.
ἦ ῥα καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
ἐν χείρεσσι τίθει Μενελάου· τοῖο δὲ θυμὸς
ἰάνθη ὡς εἴ τε περὶ σταχύεσσιν ἔερση
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·

ὡς ἄρα σοὶ Μενέλαε μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχε νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ᾽ ἀεσίφρων
ἧσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.

δεύτερον αὖτ᾽ ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ᾽ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν.
ἀλλὰ σὺ γὰρ δὴ πολλὰ πάθες καὶ πολλὰ μόγησας
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς εἵνεκ᾽ ἐμεῖο·
τώ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον

δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
ἵππον ἄγειν· ὃ δ᾽ ἔπειτα λέβηθ᾽ ἕλε παμφανόωντα.
Μηριόνης δ᾽ ἀνάειρε δύω χρυσοῖο τάλαντα

,,Τότε ο Μενέλαος τον Αντίλοχο ζορίζοντας του πήρε
με δόλο τη φοράδα᾽ τ᾽ άτια του περίσσια πιο αχαμνά 'ταν,
μα πιο τρανό το βασιλίκι του, πιο πλήθια η δύναμη του."
Όμως θα κρίνω εγώ μονάχος μου, κι ούτε Αχαιός κανένας

θα 'χει μαζί μου λέω παράπονο᾽ τι θα 'ναι δίκια η κρίση:
Αντίλοχε αντρειανέ, για ζύγωσε, κι όπως ορίζει η τάξη,
στάσου στο αμάξι ομπρός και στ᾽ άτια σου, και κράτα και στο χέρι
το λυγερό μαστίγι, τ᾽ άλογα που πριν με αυτό λαλούσες·
και στ᾽ άτια το δεξί σου βάζοντας, στον Ποσειδώνα ορκίσου
πως δεν αμπόδισες ξεπίτηδες το αμάξι μου με δόλο.»
Και τότε ο γνωστικός Αντίλοχος απηλογιά του δίνει:
« Τρανέ Μενέλαε, μη συχύζεσαι, τι εγώ μπροστά σου στέκω
πολύ πιο νιος, και συ στη δύναμη περνάς με και στα χρόνια.
Του άγουρου τ᾽ άπρεπα καμώματα τα ξέρεις δίχως άλλο'

τι ο νους του παίρνει αγέρα γρήγορα, κι είναι αχαμνή η βουλή του.
Γι᾽ αυτό και τώρα υπομονέψου το, και τη φοράδα ατός μου
θα σου τη δώσω, αυτή που εκέρδισα᾽ κι ακόμα από δικού μου
τίποτα αν ήταν άλλο που 'θελες, ευτύς θα το 'χα κάλλιο
να σου το δώσω, αρχοντογέννητε, παρά να με μισήσουν
όλοι οι θεοί, και την αγάπη σου να χάσω εγώ για πάντα.»
Είπε, και παίρνει ο γιος του αντρόκαρδου Νεστόρου τη φοράδα,
και στο Μενέλαο παραδίνει τη· κι εκείνου ευτύς το σπλάχνο
γλύκανε εντός του. Πώς ολόγυρα πέφτει η δροσιά στα στάχυα,
σαν πήραν τα σπαρτά και ψώμωσαν, κι οι κάμποι τρικυμίζουν

όμοια και σε, Μενέλαε, γλύκανε το σπλάχνο τότε εντός σου·
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
«Για τώρα ατός μου θέλω, Αντίλοχε, ν᾽ αφήσω το θυμό μου'
τι εσύ δεν ήσουν ασυλλόγιστος μηδέ άμυαλος ποτέ σου'
κι ήταν η νιότη που σου γύρισε το νου για λίγο τώρα.
Μα άλλη φορά να παίζεις άσκημα μη θες με πιο τρανούς σου'
τι άλλος Αργίτης δε θα μου άλλαζε τόσο εύκολα τη γνώμη.
Μα ωστόσο εσύ για μένα εμόχτησες πολύ, πολλά έχεις πάθει,
μαζί κι ο αντρόκαρδος ο κύρης σου και το τρανό σου αδέρφι.
Γι᾽ αυτό σου κάνω, αφού μου πρόσπεσες, τη χάρη᾽ τη φοράδα,

κι ας είναι και δικιά μου, πάρε τη, να μάθουν κι όλοι ετούτοι
πως άσπλαχνη καρδιά κι αμέρωτη δεν είχα εγώ ποτέ μου.»
Είπε, καί δίνει στο Νοήμονα, του Αντίλοχου το φίλο,
το άλογο ευτύς, κι ατός του εκράτησε το αστραφτερό λεβέτι.
Και το χρυσάφι, τα δυο τάλαντα, πήρε μετά ο Μηριόνης.

τέτρατος, ὡς ἔλασεν. πέμπτον δ᾽ ὑπελείπετ᾽ ἄεθλον,
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς
Ἀργείων ἀν᾽ ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
τῇ νῦν, καὶ σοὶ τοῦτο γέρον κειμήλιον ἔστω
Πατρόκλοιο τάφου μνῆμ᾽ ἔμμεναι· οὐ γὰρ ἔτ᾽ αὐτὸν

ὄψῃ ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ᾽ ἄεθλον
αὖτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδ᾽ ἔτ᾽ ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσι
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.
ὡς εἰπὼν ἐν χερσὶ τίθει· ὃ δ᾽ ἐδέξατο χαίρων,

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ναὶ δὴ ταῦτά γε πάντα τέκος κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα φίλος πόδες, οὐδέ τι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ᾽ ὡς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη

ὡς ὁπότε κρείοντ᾽ Ἄμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ, παῖδες δ᾽ ἔθεσαν βασιλῆος ἄεθλα·
ἔνθ᾽ οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ᾽, οὔτ᾽ ἄρ᾽ Ἐπειῶν
οὔτ᾽ αὐτῶν Πυλίων οὔτ᾽ Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Ἤνοπος υἱόν,

Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ᾽ ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἵοισίν μ᾽ ἵπποισι παρήλασαν Ἀκτορίωνε
πλήθει πρόσθε βαλόντες ἀγασσάμενοι περὶ νίκης,

οὕνεκα δὴ τὰ μέγιστα παρ᾽ αὐτόθι λείπετ᾽ ἄεθλα.
οἳ δ᾽ ἄρ᾽ ἔσαν δίδυμοι· ὃ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ᾽, ὃ δ᾽ ἄρα μάστιγι κέλευεν.
ὥς ποτ᾽ ἔον· νῦν αὖτε νεώτεροι ἀντιόωντων
ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ

πείθεσθαι, τότε δ᾽ αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ᾽ ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
τοῦτο δ᾽ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω,
τιμῆς ἥς τέ μ᾽ ἔοικε τετιμῆσθαι μετ᾽ Ἀχαιοῖς.

σοὶ δὲ θεοὶ τῶνδ᾽ ἀντὶ χάριν μενοεικέα δοῖεν.
ὡς φάτο, Πηλεΐδης δὲ πολὺν καθ᾽ ὅμιλον Ἀχαιῶν
ᾤχετ᾽, ἐπεὶ πάντ᾽ αἶνον ἐπέκλυε Νηλεΐδαο.
αὐτὰρ ὃ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
ἡμίονον ταλαεργὸν ἄγων κατέδησ᾽ ἐν ἀγῶνι

ἐξέτε᾽ ἀδμήτην, ἥ τ᾽ ἀλγίστη δαμάσασθαι·
τῷ δ᾽ ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,

σαν που 'ρθε τέταρτος· κι ως έμενε πια το βραβείο το πέμπτο,
η κούπα η δίγουβη, του Νέστορα τη χάρισε ο Αχιλλέας.
Κι ως ήρθε ομπρός του μες στη σύναξη βαστώντας τη, του λέει:
« Δέξου και συ την κούπα, γέροντα, και φύλαχ'τη, απ᾽ το ξόδι
να 'χεις μια θύμηση του Πάτροκλου᾽ τι πια μες στους Αργίτες

δε θα τον δεις ποτέ σου· χάρισμα σου δίνω αυτό να το 'χεις᾽
τι μήτε στης πυγμής το αγώνισμα θα πάρεις μέρος τώρα,
κι ουδέ και στο κονταροχτύπημα, κι ουδέ στην πάλη, κι ούτε
θα βγεις να τρέξεις· τα γεράματα σ᾽ έχουν πλακώσει τα έρμα!»
Έτσι μιλώντας του την έδωκε, κι αυτός την αποδέχτη
όλο χαρά, και με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Γιε μου, όλα τούτα που μου μίλησες σωστά καί δίκια αλήθεια'
τι δε με ακούν, καλέ, τα γόνατα πια τώρα, ουδέ τα χέρια
σαλεύουν σαν και πριν ανάλαφρα δεξόζερβα στους ώμους.
Αχ, νιος και να 'μουν, αξεθύμαστη τη δύναμη μου να 'χα,

σαν τότε, στο Βουπράσιο που 'γινε του Αμαρυγκέα το ξόδι, ·
στων Επειών το κάστρο, κι έστησαν οι γιοί του ρήγα αγώνες·
τι εκεί δε στάθηκε παρόμοιος μου μήτε Επειός κανένας
μήτε Αιτωλός αλήθεια αντρόψυχος, και μήτε καν Πυλιώτης.
Στην πυγμαχία του Ηνόπου ενίκησα το γιο, τον Κλυτομήδη,
στην πάλη τον Αγκαίο, που αντίμαχος μου εστάθη, απ᾽ την
Πλευρώνα·
τον Ίφικλο στο δρόμο επέρασα, κι ας ήταν φτεροπόδης,
και στο κοντάρι τον Πολύδωρο και το Φυλέα κερδίζω.
Στ᾽ άλογα μόνο με προσπέρασαν οι γιοι του Αχτόρου τότε,
που ήτανε δυο και πίσω με άφησαν, τη νίκη λαχταρώντας·

τι εδώ τα πιο τρανά μας πρόσμεναν βραβεία μες σ᾽ όλα τ᾽ άλλα᾽
κι ήταν αδέρφια διδυμάρικα᾽ τα γκέμια εκράτα ο πρώτος,
τα γκέμια εκράτα αυτός, κι ο δεύτερος μαστίγωνε τους μαύρους.
Τέτοιος εστάθηκα᾽ μ᾽ ας γνοιάζουνται πια τώρα οι νιότεροί μου
σ᾽ έτοιες δουλειές. Κι εγώ, που τ᾽ άραχλα γεράματα με ζώσαν,
αναμερίζω, κι ας ξεχώριζα στους αντρειωμένους τότε.
Μα τώρα σύρε, για το σύντροφο ξακλούθα τους αγώνες,
κι αυτό το παίρνω εγώ χαρούμενος, και φραίνεται η καρδιά μου
που δεν ξεχνάς με (τι σε αγάπησα κι εγώ) και το θυμάσαι
να με τιμάς, σαν που ταιριάζει μου μες στους Αργίτες όλους.

Οι αθάνατοι γι᾽ αυτά ας σου δώσουνε τ᾽ ό,τι ποθεί η καρδιά σου!»
Αυτά είπε, κι ο Αχιλλέας ξανάγυρε μες στο πολύ τ᾽ ασκέρι,
τα λόγια τα καλά του Νέστορα σαν άκουσε ως την άκρη.
Και τότε τα βραβεία της άσπλαχνης της πυγμαχίας πιθώνει᾽
φέρνει και δένει μπρος στη σύναξη γομάρικο μουλάρι,
εξάχρονο, άστρωτο, που ζόρικο πολύ'ναι να το στρώσεις.
Κι ακόμα βάζει κούπα δίγουβη να πάρει ο νικημένος.
Ορθός στη μέση τότε στέκοντας στους Αχαιούς φωνάζει:
« Υγιέ του Ατρέα και σεις επίλοιποι καλαντρειωμένοι Αργίτες,
άντρες για τοϋτα δυο ας φωνάξουμε, τους πιο τρανούς, ολόρθοι

πὺξ μάλ᾽ ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ᾽ Ἀπόλλων
δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλισίην δὲ νεέσθω·
αὐτὰρ ὃ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.
ὣς ἔφατ᾽, ὄρνυτο δ᾽ αὐτίκ᾽ ἀνὴρ ἠΰς τε μέγας τε

εἰδὼς πυγμαχίης υἱὸς Πανοπῆος Ἐπειός,
ἅψατο δ᾽ ἡμιόνου ταλαεργοῦ φώνησέν τε·
ἄσσον ἴτω ὅς τις δέπας οἴσεται ἀμφικύπελλον·
ἡμίονον δ᾽ οὔ φημί τιν᾽ ἀξέμεν ἄλλον Ἀχαιῶν
πυγμῇ νικήσαντ᾽, ἐπεὶ εὔχομαι εἶναι ἄριστος.

οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι; οὐδ᾽ ἄρα πως ἦν
ἐν πάντεσσ᾽ ἔργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
ἀντικρὺ χρόα τε ῥήξω σύν τ᾽ ὀστέ᾽ ἀράξω.
κηδεμόνες δέ οἱ ἐνθάδ᾽ ἀολλέες αὖθι μενόντων,

οἵ κέ μιν ἐξοίσουσιν ἐμῇς ὑπὸ χερσὶ δαμέντα.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Εὐρύαλος δέ οἱ οἷος ἀνίστατο ἰσόθεος φὼς
Μηκιστῆος υἱὸς Ταλαϊονίδαο ἄνακτος,
ὅς ποτε Θήβας δ᾽ ἦλθε δεδουπότος Οἰδιπόδαο

ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
τὸν μὲν Τυδεΐδης δουρὶ κλυτὸς ἀμφεπονεῖτο
θαρσύνων ἔπεσιν, μέγα δ᾽ αὐτῷ βούλετο νίκην.
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
δῶκεν ἰμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.

τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα,
ἄντα δ᾽ ἀνασχομένω χερσὶ στιβαρῇσιν ἄμ᾽ ἄμφω
σύν ῥ᾽ ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.
δεινὸς δὲ χρόμαδος γενύων γένετ᾽, ἔρρεε δ᾽ ἰδρὼς
πάντοθεν ἐκ μελέων· ἐπὶ δ᾽ ὄρνυτο δῖος Ἐπειός,

κόψε δὲ παπτήναντα παρήϊον· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἐστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
θίν᾽ ἐν φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν,
ὣς πληγεὶς ἀνέπαλτ᾽· αὐτὰρ μεγάθυμος Ἐπειὸς

χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ᾽ ἀμφέσταν ἑταῖροι,
οἵ μιν ἄγον δι᾽ ἀγῶνος ἐφελκομένοισι πόδεσσιν
αἷμα παχὺ πτύοντα κάρη βάλλονθ᾽ ἑτέρωσε·
κὰδ δ᾽ ἀλλοφρονέοντα μετὰ σφίσιν εἶσαν ἄγοντες,
αὐτοὶ δ᾽ οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.

Πηλεΐδης δ᾽ αἶψ᾽ ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα
δεικνύμενος Δαναοῖσι παλαισμοσύνης ἀλεγεινῆς,
τῷ μὲν νικήσαντι μέγαν τρίποδ᾽ ἐμπυριβήτην,
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ᾽ ἐς μέσσον ἔθηκε,

να χτυπηθούνε με τους γρόθους τους᾽ και σ᾽ όποιον απ᾽ τους δυο τους
μπρος σε όλονών εδώ τα μάτια μας τη νίκη δώσει ο Φοίβος,
τη μούλα ας πάρει τη γομάρικη να γύρει στο καλύβι"
κι ο νικημένος τη διπλόγουβη την κούπα θα κερδέψει.»
Αυτά είπε, κι ο Επειός, ο αντρόκαρδος υγιός του Πανοπέα,
πετάχτη ευτύς, ο αρχοντοκάμωτος της πυγμαχίας τεχνίτης·
βάζει το χέρι στη γομάρικη τη μούλα και φωνάζει:
«Άς βγει μπροστά μου ο που τη δίγουβη την κούπα θα κερδέψει'
Αργίτης άλλος λέω δε δύνεται τη μούλα να μου πάρει,
νικώντας στις γροθιές· καλύτερος δε βρίσκεται από μένα.

Δε φτάνει τάχα που στον πόλεμο μου λείπει η αξία; τι αλήθεια
όλα μαζί κανείς δε γίνεται να τα κατέχει πλέρια.
Μ᾽ ακούστε τώρα κάποιο λόγο μου, που σίγουρα θα γένει:
Θα του τσακίσω εγώ τα κόκαλα, θα σκίσω το κορμί του
πέρα για πέρα᾽ ας μείνουν δίπλα του τώρα οι δικοί του μόνο,
σα θα 'χει σκοτωθεί απ᾽ τα χέρια μου, για να τον κουβαλήσουν!»
Αυτά είπε, κι όλοι γύρω απόμειναν και δεν έβγαναν άχνα'
ένας μονάχα ασκώθη, ο Ευρύπυλος ο ισόθεος, αντικρύ του,
του Ταλαού τ᾽ αγγόνι, του άρχοντα του Μηκιστέα βλαστάρι,
που πήγε κάποτε στου Οιδίποδα, σαν πέθανε, το ξόδι,

στη Θήβα, κι όλους τους απόγονους του Κάδμου ενίκησέ τους.
Κι ο ξακουστός Διομήδης έτρεξε να τον γνοιαστεί, με λόγια
γκαρδιώνοντάς τον τι λαχτάριζε τη νίκη αυτός να πάρει.
Ζωνάρι γύρα από τη μέση του σφιχτό του βάζει πρώτα,
μετά καλοκομμένα του 'δωσε γερά λουριά ταυρίσια.
Κι ως ζώστηκαν κι οι δυο, προχώρεσαν στη μέση από τ᾽ αλώνι,
κι αντίκρα ασκώνοντας τα χέρια τους τα σταλωμένα οι δυο τους
ο ένας στον άλλο απάνω εχίμιξε κι ήρθαν μεμιάς στα χέρια'
και τρίζαν άγρια τα σαγόνια τους, κι ολούθε το κορμί τους
στάλαζε ιδρώτα᾽ κι ο αρχοντόγεννος Επειός χιμάει, κι ως ο άλλος

που να του δώσει ολούθε κοίταζε, στο μάγουλο χτυπά τον,
κι αυτός πολληώρα ορθός δεν κράτησε· μεμιάς στη γη σωριάστη.
Πώς στου Βοριά το πρώτο φύσημα, σαν ο γιαλός σγουραίνει
φυκόσπαρτος, ψηλά τινάζουνται τα ψάρια, και στο κύμα
ξανά βουτούν όμοια ετινάχτηκε κι εκείνος χτυπημένος.
Τότε ο Επειός ορθό τον άσκωσε, και γύρα του οι σύντροφοι
τον παίρναν όξω από τη σύναξη· τα πόδια του σουρνόνταν,
κι αίμα πηχτό ξερνούσε, κι έγερνε στο πλάι την κεφαλή του.
Κι ως λιγωμένο πια τον έβαλαν να κάτσει αναμεσό τους,
τρέξαν εκείνοι και τη δίγουβη την κούπα εκουβαλήσαν.

Τότε ο Αχιλλέας προστάζει γρήγορα και φέρνουν άλλα πάλε
βραβεία για το άσπλαχνο το πάλεμα, μπρος στους Αργίτες όλους:
τρανό τριπόδι σ᾽ όποιον κέρδιζε, για τη φωτιά φτιαγμένο,
που οι Δαναοί, όπως το 'δαν, δώδεκα το ξετιμήσαν βόδια·
κι ακόμα μια γυναίκα σκλάβα του, να πάρει ο νικημένος,

πολλὰ δ᾽ ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον.
ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ᾽ Ὀδυσεὺς πολύμητις ἀνίστατο κέρδεα εἰδώς.

ζωσαμένω δ᾽ ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
ἀγκὰς δ᾽ ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν
ὡς ὅτ᾽ ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων
δώματος ὑψηλοῖο βίας ἀνέμων ἀλεείνων.
τετρίγει δ᾽ ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν

ἑλκόμενα στερεῶς· κατὰ δὲ νότιος ῥέεν ἱδρώς,
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἳ δὲ μάλ᾽ αἰεὶ
νίκης ἱέσθην τρίποδος πέρι ποιητοῖο·
οὔτ᾽ Ὀδυσεὺς δύνατο σφῆλαι οὔδει τε πελάσσαι,

οὔτ᾽ Αἴας δύνατο, κρατερὴ δ᾽ ἔχεν ἷς Ὀδυσῆος.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀνίαζον ἐϋκνήμιδας Ἀχαιούς,
δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ
ἦ μ᾽ ἀνάειρ᾽, ἢ ἐγὼ σέ· τὰ δ᾽ αὖ Διὶ πάντα μελήσει.

ὡς εἰπὼν ἀνάειρε· δόλου δ᾽ οὐ λήθετ᾽ Ὀδυσσεύς·
κόψ᾽ ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,
κὰδ δ᾽ ἔβαλ᾽ ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
κάππεσε· λαοὶ δ᾽ αὖ θηεῦντό τε θάμβησάν τε.
δεύτερος αὖτ᾽ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,

κίνησεν δ᾽ ἄρα τυτθὸν ἀπὸ χθονός, οὐδ᾽ ἔτ᾽ ἄειρεν,
ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ᾽ ἐπάλαιον,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκε·

μηκέτ᾽ ἐρείδεσθον, μὴ δὲ τρίβεσθε κακοῖσι·
νίκη δ᾽ ἀμφοτέροισιν· ἀέθλια δ᾽ ἶσ᾽ ἀνελόντες
ἔρχεσθ᾽, ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο,
καί ῥ᾽ ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας.

Πηλεΐδης δ᾽ αἶψ᾽ ἄλλα τίθει ταχυτῆτος ἄεθλα
ἀργύρεον κρητῆρα τετυγμένον· ἓξ δ᾽ ἄρα μέτρα
χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ᾽ αἶαν
πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
Φοίνικες δ᾽ ἄγον ἄνδρες ἐπ᾽ ἠεροειδέα πόντον,

στῆσαν δ᾽ ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἱὸς δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἄεθλον οὗ ἑτάροιο,
ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·

πολυτεχνίτρα, που όλοι τέσσερα την ξετιμούσαν βόδια.
Ορθός στη μέση τότε στέκοντας φωνάζει στους Αργίτες:
« Σκωθείτε οι δυο που θα παλέψετε και τον αγώνα ετούτον!»
Είπε, κι ο μέγας Αίας πετάχτηκεν, ο γιος του Τελαμώνα,
κι ασκώθη κι ο Οδυσσέας, που κάτεχε τέχνες πολλές καί δόλους.

Κι ως ζώστηκαν κι οι δυο, προχώρεσαν στη μέση από τ᾽ αλώνι,
κι αγκαλιαστά στο απάλε επιάστηκαν με τα γερά τους χέρια,
σαν τις ψαλίδες, που άξιος μάστορας πα στη σκεπή καρφώνει
σπιτιού αψηλού, να στέκει ακλόνητο, σύντας φυσούν οι ανέμοι.
Στα θρασεμένα μέσα χέρια τους, καθώς μεβιάς τραβούσαν,
τρίζαν οι ράχες τους, κι εχύνουνταν ο ιδρώτας τους ποτάμι,
και τα πλευρά τους κι οι ώμοι εγέμισαν με μελανιές ολούθε,
ματοκομμένες, μαυροκόκκινες᾽ μ᾽ αυτοί τη νίκη πάντα
λαχτάριζαν, το καλοδούλευτο τριπόδι ποιος θα πάρει.
Μα ούτε ο Οδυσσέας μπορούσε σπρώχνοντας στη γη να τον
ξαπλώσει,

ούτε κι ο μέγας Αίας, τι ατράνταχτα βαστούσε κι ο Οδυσσέας.
Όμως οι Αργίτες πια οι πολέμαρχοι σαν πήραν να βαριούνται,
ο μέγας Αίαντας έτσι εμίλησεν, ο γιος του Τελαμώνα:
«Γιε του Λαέρτη αρχοντογέννητε, πολύτεχνε Οδυσσέα,
όποιος τον άλλο ασκώσει, κι έπειτα το θέλει ο Δίας ας γένει!»
Αυτά είπε, κι αψηλά τον άσκωσε᾽ μα κι ο Οδυσσέας το δόλο
δεν τον ξεχνούσε, μον᾽ τον κλώτσησε στο γόνατο άπο πίσω'
και κείνου ελύθη η ορμή, κι ανάσκελα ξαπλώθη'κι ο Οδυσσέας
έπεσε απάνω του, και σάστισε θωρώντας τους τ᾽ άσκέρι.
Πήρε ο Οδυσσέας μετά ο πολύπαθος να τον ασκώσει απάνω,

και λίγο από τη γη τον σάλεψε, μα που να τον ασκώσει!
Τρικλοποδιά του βάζει, κι έπεσαν στη γη μαζί κι οι δυο τους,
και μες στον κουρνιαχτό κυλίστηκαν ο ένας στον άλλο πλάι.
Τρίτη φορά ξανά θα ρίχνουνταν για να πιαστούν στο απάλε,
αν ο Αχιλλέας γοργά δε σκώνουνταν να τους κρατήσει ατός του:
«Αφήστε τώρα πια το πάλεμα και μην καταπονάστε'
κι οι δυο νικάτε, κι έτσι παίρνοντας το ίδιο βραβείο καθένας
παραμερίστε, κι άλλοι να 'ρθούνε ν᾽ αγωνιστούν Αργίτες.»
Είπε, κι αυτοί δέχτηκαν πρόθυμα, χωρίς να παρακούσουν,
κι απ᾽ το κορμί τη σκόνη εσφούγγιξαν και βαλαν τους χιτώνες.

Βραβεία καινούργια για το τρέξιμο τότε ο Αχιλλέας πιθώνει,
καλόφτιαστο κροντήρι ολάργυρο, που εχώραε λίτρες έξι,
κι άλλο, στη γης ακέρια αν έψαχνες, τη χάρη του δεν είχε.
Μαστόροι ξακουστοί το δούλεψαν με τέχνη, απ᾽ τη Σιδώνα,
και Φοίνικες το φέραν σκίζοντας το ανταριασμένο κύμα,
κι ως στο λιμάνι άραξαν φτάνοντας, στο Θόαντα το χάρισαν.
Κι ήταν αυτό που ο γαύρος Πάτροκλος είχε απ᾽ τον Εύνηο πάρει
για του Λυκάονα το ξαγόρασμα, του γιου του Πρίαμου, τότε.
Τώρα ο Αχιλλέας βραβείο στου ακράνη του το απίθωνε το ξόδι,
για να το πάρει ο πιο αλαφρόποδος απ᾽ όλους στον αγώνα.

δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ,
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ ἔθηκε.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
ὣς ἔφατ᾽, ὄρνυτο δ᾽ αὐτίκ᾽ Ὀϊλῆος ταχὺς Αἴας,

ἂν δ᾽ Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
Ἀντίλοχος· ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
στὰν δὲ μεταστοιχί· σήμηνε δὲ τέρματ᾽ Ἀχιλλεύς.
τοῖσι δ᾽ ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ᾽ ἔπειτα
ἔκφερ᾽ Ὀϊλιάδης· ἐπὶ δ᾽ ὄρνυτο δῖος Ὀδυσσεὺς

ἄγχι μάλ᾽, ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
στήθεός ἐστι κανών, ὅν τ᾽ εὖ μάλα χερσὶ τανύσσῃ
πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ᾽ ἴσχει
στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν, αὐτὰρ ὄπισθεν
ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·

κὰδ δ᾽ ἄρα οἱ κεφαλῆς χέ᾽ ἀϋτμένα δῖος Ὀδυσσεὺς
αἰεὶ ῥίμφα θέων· ἴαχον δ᾽ ἐπὶ πάντες Ἀχαιοὶ
νίκης ἰεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ᾽ Ὀδυσσεὺς
εὔχετ᾽ Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·

κλῦθι θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν.
ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλον ἐπαΐξασθαι ἄεθλον,
ἔνθ᾽ Αἴας μὲν ὄλισθε θέων, βλάψεν γὰρ Ἀθήνη,

τῇ ῥα βοῶν κέχυτ᾽ ὄνθος ἀποκταμένων ἐριμύκων,
οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
ἐν δ᾽ ὄνθου βοέου πλῆτο στόμα τε ῥῖνάς τε·
κρητῆρ᾽ αὖτ᾽ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
ὡς ἦλθε φθάμενος· ὃ δὲ βοῦν ἔλε φαίδιμος Αἴας.

στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο
ὄνθον ἀποπτύων, μετὰ δ᾽ Ἀργείοισιν ἔειπεν·
ὤ πόποι ἦ μ᾽ ἔβλαψε θεὰ πόδας, ἦ τὸ πάρος περ
μήτηρ ὡς Ὀδυσῆϊ παρίσταται ἠδ᾽ ἐπαρήγει.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν.

Ἀντίλοχος δ᾽ ἄρα δὴ λοισθήϊον ἔκφερ᾽ ἄεθλον
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
εἰδόσιν ὔμμ᾽ ἐρέω πᾶσιν φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.
Αἴας μὲν γὰρ ἐμεῖ᾽ ὀλίγον προγενέστερός ἐστιν,

Και βάζει βόδι για το δεύτερο, τρανό, καλοθρεμμένο,
κι ακόμα για τον τρίτο τάλαντο μισό χρυσάφι βάζει.
Ορθός στη μέση τότε στέκοντας φωνάζει στους Αργίτες:
« Σκωθεῖτε εσείς που θα παλέψετε και τον αγώνα ετούτον!»
Είπε, κι ο γιος του Οιλέα πετάχτηκε μεμιάς ο γοργοπόδης,
μετά ο Οδυσσέας ο πολυκάτεχος, κι ο Αντίλοχος ξοπίσω,
ο γιος του Νέστορα, απ᾽ τους νιότερους ο πιο γερός στα πόδια.
Κι ως πήραν θέση, το ακροσήμαδο τους έδειξε ο Αχιλλέας.
Κι απ᾽ το σημάδι όπως ξεκίνησαν, ο γιος του Οιλέα σε λίγο
τραβούσε πρώτος, και ξοπίσω του χιμούσεν ο Οδυσσέας

κοντά κοντά του. Πώς στης όμορφης το στήθος ανυφάντρας
κοντοζυγώνει το ξυλόχτενο, καθώς το κρούει, με βιάση,
το υφάδι απ᾽ το στημόνι ανάμεσα περνώντας, κι ως το στήθος
το φέρνει· τόσο λίγο πίσω του δρομούσε κι ο Οδυσσέας
στ᾽ άχνάρια του πατώντας, γύρα τους πριν κατακάτσει η σκόνη,
χύνοντας πίσω την ανάσα του στην κεφαλή του απάνω,
γοργά δρομώντας πάντα" κι έσερναν φωνές οι Αργίτες όλοι.
Και τον γκαρδιώναν, όπως έτρεχε τη νίκη λαχταρώντας.
Ξάφνου ο Οδυσσέας, εκεί που εδρόμιζαν κι ήταν κοντά να
φτάσουν,
τη γλαυκομάτα ανακαλέστηκε την Αθηνά στο νου του:

«Άκου, θεά, και δράμε, δύναμη στα πόδια να μου δώσεις!»
Αυτά είπε, κι η Αθηνά του επάκουσε την προσευκή η Παλλάδα,
και το κορμί του κάνει ανάλαφρο, χέρια ψηλά και πόδια·
και σύντας λίγο πια τους έλειπε πα στο βραβείο να πέσουν,
ο γαύρος Αίας δρομώντας γλίστρησε —τον ζάβωσε η Παλλάδα—
κει που η σβουνιά απ᾽ τα βόδια απλώνουνταν τα
βαριομουγκαλάτα,
που 'χε ο Αχιλλέας ο φτεροπόδαρος στον Πάτροκλο σφαγμένα,
και γιόμωσαν σβουνιές το στόμα του και τα ρουθούνια ολούθε.
Τότε ο Οδυσσέας ο πολυβάσανος ασκώνει το κροντήρι,
πρώτος ως έφτασε᾽ πήρε έπειτα κι ο γαύρος Αίας το βόδι,

στάθη το βόδι από τα κέρατα κρατώντας το θρεμμένο,
και τις σβουνιές με βιάση φτύνοντας φωνάζει στους Αργίτες:
«Ώχού, η θεά και πώς μου μπέρδεψε τα πόδια, αυτή που πάντα
ίδια μητέρα παραστέκοντας τον Οδυσσέα συντρέχει!»
Αυτά είπε, κι όλοι τότε γέλασαν καλόκαρδοι μαζί του.
Και παίρνει ο Αντίλοχος τ᾽ ολόστερνο βραβείο μαθές στα χέρια
χαμογελώντας, κι έτσι μίλησε μες στους Αργίτες κι είπε:
«θα σας το πω, κι ας το κατέχετε κι ατοί σας όλοι, φίλοι'
Τους γεροντότερους οι αθάνατοι τιμούν και τώρα ακόμα·
τι αν είναι λίγο ο Αίας τρανότερος απ᾽ ό,τι εγώ, μα τούτος

οὗτος δὲ προτέρης γενεῆς προτέρων τ᾽ ἀνθρώπων·
ὠμογέροντα δέ μίν φασ᾽ ἔμμεναι· ἀργαλέον δὲ
ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
ὣς φάτο, κύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
τὸν δ᾽ Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·

Ἀντίλοχ᾽ οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δ᾽ ἐδέξατο χαίρων.
αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος
θῆκ᾽ ἐς ἀγῶνα φέρων, κατὰ δ᾽ ἀσπίδα καὶ
τρυφάλειαν

τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
τεύχεα ἐσσαμένω ταμεσίχροα χαλκὸν ἐλόντε
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.

ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν,
ψαύσῃ δ᾽ ἐνδίνων διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα,
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον
καλὸν Θρῃΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ᾽ ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·

καί σφιν δαῖτ᾽ ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν.
ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ᾽ ἄρα Τυδεΐδης ὦρτο, κρατερὸς Διομήδης.
οἳ δ᾽ ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι

δεινὸν δερκομένω· θάμβος δ᾽ ἔχε πάντας Ἀχαιούς.
ἀλλ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὁρμήθησαν.
ἔνθ᾽ Αἴας μὲν ἔπειτα κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην
νύξ᾽, οὐδὲ χρό᾽ ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ·

Τυδεΐδης δ᾽ ἄρ᾽ ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
αἰὲν ἐπ᾽ αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
καὶ τότε δή ῥ᾽ Αἴαντι περιδείσαντες Ἀχαιοὶ
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ᾽ ἀνελέσθαι.
αὐτὰρ Τυδεΐδῃ δῶκεν μέγα φάσγανον ἥρως

σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι.
αὐτὰρ Πηλεΐδης θῆκεν σόλον αὐτοχόωνον
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος·
ἀλλ᾽ ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
τὸν δ᾽ ἄγετ᾽ ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.

λογιέται μιας γενιάς που πέρασε κι ανθρώπων που πέρασαν
τον παίρνουν λένε τα γεράματα᾽ μα δεν μπορεί κανένας
να παραβγεί μ᾽ αυτόν στο τρέξιμο, ξον ο Αχιλλέας μονάχα.»
Τέτοια μιλούσε, το γοργόποδο γιο του Πηλέα τιμώντας.
Τότε ο Αχιλλέας γυρνώντας μίλησε κι απηλογιά του δίνει:
«Ο λόγος σου καλός, Αντίλοχε, δεν πάει χαμένος, όχι,
τι εγώ μισό από πάνω τάλαντο χρυσάφι θα σου βάλω.»
Είπε και το 'δωσε'χαρούμενος στα χέρια αυτός το δέχτη.
Τότε ο Αχιλλέας ευτύς μακρόισκιωτο κοντάρι λέει και φέρνουν
και το πιθώνει ομπρός στη σύναξη, και κράνος και σκουτάρι,

την ώρια αρμάτα που 'χε ο Πάτροκλος του Σαρπηδόνα γδύσει.
Ορθός στη μέση τότε στέκοντας φωνάζει στους Αργίτες:
«Άντρες για τούτα δυο ας φωνάξουμε, τους πιο παλικαράδες,
ν᾽ αρματωθούν, χαλκό στα χέρια τους ν᾽ αδράξουν σαρκοκόφτη,
κι εδώ να βγουν μπροστά στη σύναξη, να χτυπηθούν οι δυο τους.
Κι όποιος αγγίξει πρώτος τ᾽ όμορφο του άλλου κορμί και φτάσει
κάπως πιο μέσα, την αρμάτα του περνώντας και το δέρμα,
θα 'χει από μένα το θρακιώτικο, το ασημοκαρφωμένο,
πανώριο αυτό ξιφάρι χάρισμα, του Αστεροπαίου που επήρα.
Τ᾽ άρματα πάλε ας τα μοιράσουνε μισά μισά ο καθένας,

κι ακόμα δείπνο θα τους στρώσουμε μες στα καλύβια πλούσιο.»
Είπε, κι ο μέγας Αίας πετάχτηκεν, ο γιος του Τελαμώνα,
μαζί πετάχτή κι ο λιοντόκαρδος γιος του Τυδέα Διομήδης.
Κι ως αρματώθηκαν, καθένας τους μες στους δικούς του, εβγήκαν
εκεί στη μέση, και λαχτάριζαν κι οι δυο τους να παλέψουν
αγριοκοιτάζοντας, και σάστιζαν θωρώντας όλοι οι Αργίτες.
Κι όπως τρεχάτοι κοντοζύγωσαν ο ένας του άλλου χιμώντας,
τρεις πήρανε φορές τ᾽ απίδρομο και τρεις ξανά εζυγώσαν.
Τον βρήκε ο μέγας Αίας τ᾽ ολόκυκλο σκουτάρι τότε, ωστόσο
δε φτάνει στο κορμί, τι ο θώρακας τον φύλαγε από μέσα.

Κι ο άλλος ζητούσε με τ᾽ ολάστραφτο κοντάρι να του ρίξει,
πιο πάνω απ᾽ το τρανό σκουτάρι του, πα στο λαιμό αν τον έβρει.
Κι οι Αργίτες για τον Αίαντα τρόμαξαν, κι ευτύς να σταματήσουν
φωνάζουν, το βραβείο᾽ να πάρουνε στα δυο χωρίζοντας το.
Μα το σπαθί με το θηκάρι του και το καλοκομμένο
λουρί του στου Τυδέα σιμώνοντας το γιο ο Αχιλλέας το δίνει.
Δίσκο ο Αχιλλέας χυμένο, αδούλευτο μετά πιθώνει κάτω,
που ο δυνατός Ηετίωνας άλλοτε τον έριχνε, όσο ζούσε'
μα σύντας ο Αχιλλέας ο γρήγορος τον σκότωσε, του πήρε
κι αυτό το δίσκο στα καράβια του μαζί με το άλλο βιος του.

στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
ποιμὴν οὐδ᾽ ἀροτὴρ εἶσ᾽ ἐς πόλιν, ἀλλὰ παρέξει.
ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα μενεπτόλεμος Πολυποίτης,
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
ἂν δ᾽ Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός.
ἑξείης δ᾽ ἵσταντο, σόλον δ᾽ ἕλε δῖος Ἐπειός,
ἦκε δὲ δινήσας· γέλασαν δ᾽ ἐπὶ πάντες Ἀχαιοί.
δεύτερος αὖτ᾽ ἀφέηκε Λεοντεὺς ὄζος Ἄρηος·
τὸ τρίτον αὖτ᾽ ἔρριψε μέγας Τελαμώνιος Αἴας
χειρὸς ἄπο στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων.
ἀλλ᾽ ὅτε δὴ σόλον εἶλε μενεπτόλεμος Πολυποίτης,
ὅσσόν τίς τ᾽ ἔρριψε καλαύροπα βουκόλος ἀνήρ,
ἣ δέ θ᾽ ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας,
τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δὲ βόησαν.
ἀνστάντες δ᾽ ἔταροι Πολυποίταο κρατεροῖο
νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
αὐτὰρ ὃ τοξευτῇσι τίθει ἰόεντα σίδηρον,
κὰδ δ᾽ ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ᾽ ἡμιπέλεκκα,
ἱστὸν δ᾽ ἔστησεν νηὸς κυανοπρῴροιο
τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῇ μηρίνθῳ δῆσεν ποδός, ἧς ἄρ᾽ ἀνώγει
τοξεύειν· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
πάντας ἀειράμενος πελέκεας οἶκον δὲ φερέσθω·
ὃς δέ κε μηρίνθοιο τύχῃ ὄρνιθος ἁμαρτών,
ἥσσων γὰρ δὴ κεῖνος, ὃ δ᾽ οἴσεται ἡμιπέλεκκα.
ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα βίη Τεύκροιο ἄνακτος,
ἂν δ᾽ ἄρα Μηριόνης θεράπων ἐΰς Ἰδομενῆος.
κλήρους δ᾽ ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες,
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν· αὐτίκα δ᾽ ἰὸν
ἧκεν ἐπικρατέως, οὐδ᾽ ἠπείλησεν ἄνακτι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὄρνιθος μὲν ἅμαρτε· μέγηρε γάρ οἱ τό γ᾽ Ἀπόλλων·
αὐτὰρ ὃ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ᾽ ὄρνις·
ἀντικρὺ δ᾽ ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.
ἣ μὲν ἔπειτ᾽ ἴῆξε πρὸς οὐρανόν, ἣ δὲ παρείθη
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
σπερχόμενος δ᾽ ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
τόξον· ἀτὰρ δὴ οἰϊστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
αὐτίκα δ᾽ ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὕψι δ᾽ ὑπὸ νεφέων εἶδε τρήρωνα πέλειαν·

Ορθός στη μέση τότε στέκοντας φωνάζει στους Αργίτες:
« Σκωθεῖτε εσείς που θα παλέψετε και τον αγώνα ετούτον!
τι όσο μακριά και να σου απλώνουνται τα καρπερά χωράφια,
θα 'χεις να παίρνεις στην ανάγκη σου και πέντε χρόνια αράδα
από το δίσκο αυτό᾽ το σίδερο βοσκάρης για ζευγάς σου
ποτέ δε θα το πει πως του 'λειψε κι έχει να πάει στη χώρα.»
Είπε, κι ευτύς απάνω ο αντρόψυχος πετάχτη Πολυποίτης,
πετάχτη κι ο Λιοντέας ο ισόθεος με την άκρατη ορμή του,
κι ο Επειός ο αρχοντογέννητος κι ο Αίας του Τελαμώνα.
Κι ως στάθηκαν γραμμή, στα χέρια του παίρνει ο Επειός το δίσκο
και τον πετάει με ορμή᾽ και ξέσπασαν οι Δαναοί στα γέλια.
Δεύτερος πάλε ο πολεμόχαρος τον έριξε Λιοντέας·
τρίτος ο μέγας Αίας τον πέταξεν, ο γιος του Τελαμώνα,
με χέρι δυνατό, και πέρασε των άλλων τα σημάδια.
Όμως στερνός το δίσκο ο αντρόψυχος σαν πήρε Πολυποίτης,
όσο ο βουκόλος την αγκλίτσα του την απολυταρίχνει,
και μέσα αυτή πετάει σβουρίζοντας στα βόδια που βοσκούνε,
τόσο το αλώνι ακέριο επέρασε που έριχναν, κι όλοι εσύραν
φωνή. Κι οι σύντροφοι πετάχτηκαν του γαύρου Πολυποίτη
κι έφεραν το βραβείο στου ρήγα τους τα βαθουλά καράβια.
Σίδερο τότε βαθυγάλαζο για τους δοξαρομάχους
πιθώνει, δέκα μονοπέλεκα, διπλά πελέκια δέκα,
και γαλαζόπλωρου πλεούμενου στυλώνει το κατάρτι
μακριά στον άμμο᾽ απάνω τρέμουλη μια περιστέρα δένει
μ᾽ ένα ψιλό σκοινί απ᾽ το πόδι της, και βάζει τη σημάδι:
«Όποιος σας τώρα εκεί την τρέμουλη χτυπήσει περιστέρα,
όλα ας τα πάρει για το σπίτι του τα δίκοπα πελέκια.
Μ᾽ αν το πουλί κανείς λαθεύοντας βρει το σκοινί μονάχα,
θα πάρει αυτός τα μονοπέλεκα, τι δε φελά ως ο πρώτος.»
Είπε, κι ο Τεύκρος ο λιοντόκαρδος ασκώθη ευτύς ο ρήγας,
μετά κι ο αρχοντικός ο σύντροφος του Ιδομενέα Μηριόνης.
Ρίχνουν τους κλήρους, μες σε χάλκινο ταρακουνούν τους κράνος,
κι όπως του Τεύκρου ο κλήρος έλαχε, σαϊτεύει εκείνος πρώτος
γοργά με δύναμη, κι ουδ᾽ έταξε στο βασιλιά το Φοίβο
αρνιά πολλά μονοχρονίτικα στη χάρη του να σφάξει·
και το πουλί λαθεύει—ο Απόλλωνας του αρνήθη αύτη τη χάρη—
και το σκοινί μονάχα επέτυχε, που του 'δενε το πόδι.
Κι ως η πικρή σαγίτα το 'κοψε στα δυο, το περιστέρι
στον ουρανό χιμίζει λεύτερο, και το σκοινί στο χώμα
κρεμάει λασκάροντας, και χούγιαξαν ευτύς οι Αργίτες όλοι.
Γοργά ο Μηριόνης τότε του άρπαξε το τόξο από τα χέρια,
τι εκράτας κιόλα τη σαγίτα του, σαν έριχνεν εκείνος.
Αμέσως κάνει στον Απόλλωνα το μακρορίχτη τάμα,
αρνιά πολλά μονοχρονίτικα στη χάρη του να σφάξει.
Θωράει ψηλά, κάτω άπ᾽ τα σύγνεφα, την τρέμια περιστέρα,

τῇ ῥ᾽ ὅ γε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην,
ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἄψ ἐπὶ γαίῃ
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἥ ὄρνις
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο
αὐχέν᾽ ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.

ὠκὺς δ᾽ ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ
κάππεσε· λαοὶ δ᾽ αὖ θηεῦντό τε θάμβησάν τε.
ἂν δ᾽ ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
Τεῦκρος δ᾽ ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος,

κὰδ δὲ λέβητ᾽ ἄπυρον βοὸς ἄξιον ἀνθεμόεντα
θῆκ᾽ ἐς ἀγῶνα φέρων· καί ῥ᾽ ἥμονες ἄνδρες ἀνέσταν·
ἂν μὲν ἄρ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ᾽ ἄρα Μηριόνης, θεράπων ἑῢς Ἰδομενῆος.
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·

Ἀτρεΐδη· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων
ἠδ᾽ ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ᾽ ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.

ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ᾽ ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

κι ως γύρους έφερνε, τη χτύπησε στη φτερούγα από κάτω.
Πέρα μεριά η σαγίτα εδιάβηκε, και πίσω στου Μηριόνη
το πόδι ομπρός γυρνώντας μπήχτηκε στη γη᾽ κι η περιστέρα
στου γαλαζόπλωρου πλεούμενου καθίζει το κατάρτι·
με το λαιμό γερμένο αρχίνησε να σιγοφτερακίζει,

μα γρήγορα η ζωή της κόπηκε κι αλάργα πάει και πέφτει᾽
κι όλοι που εθώρουν τότε εθάμαξαν και μείναν σαστισμένοι.
Μαζί τα δέκα διπλοπέλεκα παίρνει ο Μηριόνης τότε,
κι ο Τεύκρος τα μονά, και στ᾽ άρμενα τα βαθουλά τα πάνε.
Τότε ο Αχιλλέας ευτύς μακρόισκιωτο κοντάρι λέει και φέρνουν
και πλουμιστό λεβέτι αγκίνιαστο, που θ᾽ αξιζε ένα βόδι,
σε όλους μπροστά, κι ευτύς ασκώθηκαν τρανοί κονταρομάχοι,
ο πρωταφέντης Αγαμέμνονας, ο μέγας γιος του Ατρέα,
μαζί του κι ο αντρειωμένος σύντροφος του Ιδομενέα Μηριόνης.
Μα τότε ο αρχοντικός, γοργόποδος τους μίλησε Αχιλλέας:

« Υγιέ του Ατρέα, το ξέρουμε όλοι μας ο πιο τρανός πως είσαι,
κι απ᾽ όλους πρώτος και στη δύναμη και στ᾽ άρματα λογιέσαι.
Γι᾽ αυτό και το βραβείο μου παίρνοντας, στα βαθουλά καράβια
πήγαινε τώρα, και θα δώσουμε, φτάνει να θέλεις—χάρη
κι εγώ σου το ζητώ—το χάλκινο κοντάρι στο Μηριόνη.»
Είπε, κι ο μέγας Αγαμέμνονας εσύγκλινε στο λόγο'
πήρε ο Μηριόνης το μακρόισκιωτο κοντάρι, κι ο ρηγάρχης
στον κράχτη του Ταλθύβιο τ᾽ όμορφο βραβείο που πήρε δίνει.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ -Ω-

-Ω- λῦτο δ᾽ ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἔκαστοι
ἐσκίδναντ᾽ ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος

ἦρει πανδαμάτωρ, ἀλλ᾽ ἐστρέφετ᾽ ἔνθα καὶ ἔνθα
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ,
ἠδ᾽ ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων·
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν,

ἄλλοτ᾽ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ᾽ αὖτε
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ᾽ ὀρθὸς ἀναστὰς
δινεύεσκ᾽ ἀλύων παρὰ θῖν᾽ ἁλός· οὐδέ μιν ἠὼς
φαινομένη λήθεσκεν ὑπείρ ἄλα τ᾽ ἠϊόνας τε.
ἀλλ᾽ ὅ γ᾽ ἐπεὶ ζεύξειεν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,

Ἕκτορα δ᾽ ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
τρὶς δ᾽ ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τὸν δέ τ᾽ ἔασκεν
ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ᾽ Ἀπόλλων
πᾶσαν ἀεικείην ἄπεχε χροῒ φῶτ᾽ ἐλεαίρων

καὶ τεθνηότα περ· περὶ δ᾽ αἰγίδι πάντα κάλυπτε
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
ὣς ὃ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ᾽ ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ᾽ ὀτρύνεσκον ἐΰσκοπον ἀργεϊφόντην.

ἔνθ᾽ ἄλλοις μὲν πᾶσιν ἐήνδανεν, οὐδέ ποθ᾽ Ἥρῃ
οὐδὲ Ποσειδάων᾽ οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ᾽ ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς Ἀλεξάνδρου ἕνεκ᾽ ἄτης,
ὃς νείκεσσε θεὰς ὅτε οἱ μέσσαυλον ἵκοντο,

τὴν δ᾽ ἧνησ᾽ ἣ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο δυωδεκάτη γένετ᾽ ἠώς,
καὶ τότ᾽ ἄρ᾽ ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
σχέτλιοί ἐστε θεοί, δηλήμονες· οὔ νύ ποθ᾽ ὑμῖν
Ἕκτωρ μηρί᾽ ἔκηε βοῶν αἰγῶν τε τελείων;

τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι
ᾗ τ᾽ ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ
καὶ πατέρι Πριάμῳ λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν.
ἀλλ᾽ ὀλοῷ Ἀχιλῆϊ θεοὶ βούλεσθ᾽ ἐπαρήγειν,
ᾧ

Λύθηκε η σύναξη· στα γρήγορα καράβια του τ᾽ ασκέρι
πίσω γυρνάει σκορπώντας, κι όλοι τους το δείπνο να χαρούνε
και το γλυκό τον ύπνο εγνοιάζουνταν. Μόνο ο Αχιλλέας θρηνούσε
το σύντροφο του αναθυμάμενος, κι ουδέ καθόλου ο γύπνος
ο παντοδαμαστής τον έπιανε, μον᾽ γύρναε δώθε κείθε,
αναθιβάνοντας του Πάτροκλου την αντριγιά, τη νιότη,
τα όσα κι οι δυο μαζί αντραγάθησαν, τα όσα μαζί ετραβήξαν
μέσα σε τόσα αντροπαλέματα και κύματα αγριεμένα.
Τούτα στο νου του εκλωθογύριζε κι αστέρευτα θρηνούσε,

πα στο πλευρό τη μια κοιτάμενος, τ᾽ ανάσκελα την άλλη,
την άλλη απίστομα᾽ καί κάποτε πετιόταν ξάφνου ολόρθος
και στο γιαλό τρογύρναε ξέφρενος. Κι η κάθε αυγή, το κύμα
και το ακρογιάλι γύρα ως φώτιζε, τον έβρισκε στο πόδι.
Τότε μεμιάς στο αμάξι του έζευε τα γρήγορα άλογα του
τον Έχτορα ξοπίσω δένοντας, στη γη να βωλοσούρνει.
Και τρεις φορές το γύρο ως του 'κανε στου Πάτροκλου το μνήμα,
γύριζε πίσω στο καλύβι του᾽ κι αυτόν τον παρατούσε
στον κουρνιαχτό απλωτό τ᾽ απίστομα. Μα το κορμί του βλάβος
δεν άφηνε κανένα ο Απόλλωνας να πάθει᾽ τον πονούσε,

νεκρός κι ας ήταν. Με τ᾽ ολόχρυσο σκουτάρι του τρογύρα
τον σκέπαζε όλο, ως τον βωλόσουρνε μην ξεγδαρθεί στο χώμα.

Έτσι ο Αχιλλέας με λύσσα εντρόπιαζε τον Έχτορα το θείο'
όμως θωρώντας τον οι αθάνατοι θεοί τον σπλαχνιζόνταν,
και τον Αργοφονιά τον άγρυπνο να του τον κλέψει έσπρωχναν.
Οι άλλοι θεοί το θέλαν όλοι τους, μονάχα ο Ποσειδώνας
κι η Ήρα μαζί τους αντιμάχουνταν κι η γλαυκομάτα κόρη,
που αποξαρχής ως τώρα αδιάκοπα την άγια Τροία μισούσαν
και το λαό της και το ρήγα της, απ᾽ αφορμή του Πάρη,
τις δυο θεές που καταφρόνεσε, σαν ήρθαν στο μαντρί του,

κι εκείνη ετίμησε που του άναψε λαχτάρα φαρμακούσα.

Μα όταν περνώντας μέρες έντεκα ξημέρωσε και πάλε,
μίλησε τότε στους αθάνατους ο Απόλλωνας ο Φοίβος:
«Θεοί κακόπραγοι κι ανέσπλαχνοι! ποτέ μεριά βοδίσια
στη χάρη σας δεν έκαψε ο Έχτορας, ποτέ μεριά από γίδια;
και τώρα πια νεκρός που κοίτεται δε βάσταξε η καρδιά σας
να τον γλιτώσετε, η γυναίκα του να τόνε ιδεί κι ο γιος του
κι ο γέρο Πρίαμος κι η μητέρα του κι οι Τρώες, που θα τον καίγαν
στις φλόγες πάνω και θα του 'καναν και τιμημένο ξόδι.
Το 'χετε κάλλιο να συντρέχετε τον άσπλαχνο Αχιλλέα,

οὔτ᾽ ἄρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ᾽ ὡς ἄγρια οἶδεν,
ὅς τ᾽ ἐπεὶ ἄρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξας εἶσ᾽ ἐπὶ μῆλα βροτῶν ἵνα δαῖτα λάβῃσιν·
ὡς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς

γίγνεται, ἥ τ᾽ ἄνδρας μέγα σίνεται ἠδ᾽ ὀνίνησι.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ᾽ ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκε·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.

αὐτὰρ ὅ γ᾽ Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ᾽ ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ᾽ ἄμεινον.
μὴ ἀγαθῷ περ ἐόντι νεμεσσηθέωμέν οἱ ἡμεῖς·
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
εἴη κεν καὶ τοῦτο τεὸν ἔπος ἀργυρότοξε
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε γυναῖκά τε θήσατο μαζόν·
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ

θρέψά τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν
Πηλέϊ, ὃς περὶ κῆρι φίλος γένετ᾽ ἀθανάτοισι.
πάντες δ᾽ ἀντιάασθε θεοὶ γάμου· ἐν δὲ σὺ τοῖσι
δαίνυ᾽ ἔχων φόρμιγγα κακῶν ἔταρ᾽, αἰὲν ἄπιστε.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

Ἥρη μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν·
οὐ μὲν γὰρ τιμή γε μί᾽ ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίῳ εἰσίν·
ὡς γὰρ ἔμοιγ᾽, ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης

λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ᾽ ἤτοι κλέψαι μὲν ἐάσομεν, οὐδέ πῃ ἔστι,
λάθρῃ Ἀχιλλῆος θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτάς τε καὶ ἦμαρ.
ἀλλ᾽ εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,

ὄφρά τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ.
ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης
ἔνθορε μείλανι πόντῳ· ἐπεστονάχησε δὲ λίμνη.

που είναι η καρδιά του πάντα αμέρωτη στα στήθη, κι είναι ο νους του
γεμάτος αδικία, κι η γνώμη του σκληρή, καθώς του λιόντα,
που η γαύρη του τον σπρώχνει δύναμη κι η πέρφανη καρδιά του
στου κόσμου τα κοπάδια πέφτοντας να φάει και να χορτάσει'
παρόμοια κι ο Αχιλλέας συμπόνεση καμιά δεν έχει, μήτε
ντροπή, που αλί στον που την έχασε, χαρά στον που την έχει!
Θαρρώ να χάσει κι άλλος έτυχε και πιο ακριβό δικό του,
για απ᾽ την κοιλιά την ίδια αδέρφι του για και παιδί του ακόμα᾽
μ᾽ αφού τον έκλαψε και δάρθηκε, σωπαίνει και μερώνει,
τι οι Μοίρες την καρδιά στον άνθρωπο βασταγερή τη δώσαν.

Όμως αυτός το θείο τον Έχτορα, σαν πήρε τη ζωή του,
δεμένο πίσω από το αμάξι του. στού ακράνη του το μνήμα
τον βωλοσούρνει᾽ τέτοιο φέρσιμο δε θα 'βγει σε καλό του.
Μην πέσει στη δικιά μας όργητα, με όσην αντρεία κι αν έχει·
τι ό,τι ντροπιάζει αυτός μανιάζοντας ανέψυχο είναι χώμα.»

Θυμό γιομάτη η χιονοβράχιονη του μίλησε Ήρα τότε:
«Τι λόγια αυτά είναι, Ασημοδόξαρε! μιλάς με τα σωστά σου;
το ίδιο τιμάτε με τον Έχτορα τον Αχιλλέα, κι ας ήταν
θνητός ο πρώτος, κι ας εβύζαξε θνητής γυναίκας γάλα;
Όμως θεά είναι αυτή που γέννησε τον Αχιλλέα, κι ατή μου

μ᾽ έγνοια μεγάλη την ανάστησα, και σε θνητό τη δίνω
γυναίκα, τον Πηλέα, που αγάπησαν όλοι οι θεοί περίσσια.
Κι όλοι ήστε εκεί οι θεοί στο γάμο του, και συ μαζί γλεντούσες
με την κιθάρα, πάντα σου άπιστε και των κακών ακράνη!»

Γυρνώντας τότε ο Δίας της μίλησεν ο νεφελοστοιβάχτης:
« Ήρα, δε θέλω τους αθάνατους καθόλου ν᾽ αποπαίρνεις.
Ίδια τιμή στους δυο δε δίνουμε᾽ μα κι ο Έχτορας απ᾽ όλους
στην Τροία που ζούνε την αγάπη μας την πιο τρανή είχε πάντα,
και τη δικιά μου πάντα έγνοιάζουνταν να μου προσφέρει δώρα'
τι απ᾽ το βωμό μου τα χαρίσματα ποτέ τους δεν έλειπαν,

η κνίσα κι οι σπονδές᾽ τι οι αθάνατοι δε λάχαμε άλλη χάρη
Μ᾽ αλήθεια, την κλεψιά ας αφήσουμε, τι βολετό δεν είναι
κρυφά απ᾽ τον Αχιλλέα ν᾽ αρπάξουμε τον Έχτορα το γαύρο'
τι παραστέκει η μάνα του άγρυπνη μέρα και νύχτα πάντα.
Μόνο θεός κανείς να φώναζε τη Θέτη εδώ να μου 'ρθει,
για να της πω ένα λόγο φρόνιμο, κι έτσι ο Αχιλλέας να πάρει
δώρα απ᾽ τον Πρίαμο, και τον Έχτορα να τον γυρίσει πίσω.»

Αυτά είπε, κι η ανεμόποδη Ίριδα χιμάει μαντατοφόρα,
κι ευτύς στη Σαμοθράκη ανάμεσα και στην απόγκρεμη Ίμπρο
πηδάει στο πέλαο, κι αντιλάλησε το μαύρο κύμα γύρα'

δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
ἥ τε κατ᾽ ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ᾽ ἰχθύσι κῆρα φέρουσα.
εὗρε δ᾽ ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δ᾽ ἄρ᾽ ἄλλαι
εἴαθ᾽ ὁμηγερέες ἅλιαι θεαί· ἣ δ᾽ ἐνὶ μέσσῃς

κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
φθίσεσθ᾽ ἐν Τροίῃ ἐριβώλακι τηλόθι πάτρης.
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
ὄρσο Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·

τίπτέ με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
μίσγεσθ᾽ ἀθανάτοισιν, ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
εἶμι μέν, οὐδ᾽ ἅλιον ἔπος ἔσσεται ὅττί κεν εἴπῃ.
ὣς ἄρα φωνήσασα κάλυμμ᾽ ἕλε δῖα θεάων
κυάνεον, τοῦ δ᾽ οὔ τι μελάντερον ἔπλετο ἔσθος.

βῆ δ᾽ ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
ἡγεῖτ᾽· ἀμφὶ δ᾽ ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
ἀκτὴν δ᾽ ἐξαναβᾶσαι ἐς οὐρανὸν ἀϊχθήτην,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην, περὶ δ᾽ ἄλλοι ἅπαντες
εἵαθ᾽ ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.

ἡ δ᾽ ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ᾽ Ἀθήνη.
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε
καί ῥ᾽ εὔφρην᾽ ἐπέεσσι· Θέτις δ᾽ ὥρεξε πιοῦσα.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ἤλυθες Οὐλυμπον δὲ θεὰ Θέτι κηδομένη περ,

πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ
αὐτός·
ἀλλὰ καὶ ὧς ἐρέω τοῦ σ᾽ εἵνεκα δεῦρο κάλεσσα.
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ·
κλέψαι δ᾽ ὀτρύνουσιν ἐΰσκοπον ἀργεϊφόντην·

αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ᾽ ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῷ ἐπίτειλον·
σκύζεσθαί οἱ ἐπὲ θεούς, ἐμὲ δ᾽ ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν

Ἕκτορ᾽ ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ᾽ ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.

και στο βυθό μεμιάς εβούτηξε, σαν αγκιστριού βαρίδι,
που περασμένο από το κέρατο βοδιού καλοθρεμμένου
κάτω βουτάει, να φέρει θάνατο στα λιμασμένα ψάρια.
Μες στο βαθύ το σπήλιο αντάμωσε τη Θέτη, και τρογύρα
οι άλλες θεές του πέλαου κάθουνταν κι εκείνη αναμεσό τους
θρηνούσε για το γιο τον άψεγο, που η Μοίρα να πεθάνει
στην Τροία τη χωματούσα του 'γραφε, μακριά από την πατρίδα.
Κι η Ίριδα εστάθη η γοργοπόδαρη κοντά της και της είπε:
« Για σήκω, Θέτη, ο Δίας σε φώναξε, που 'ναι οι βουλές του
αιώνιες.»

Και τότε η Θέτη η χιοναστράγαλη γυρνάει κι απηλογιέται:

«Σαν τι με θέλει ο τρανοδύναμος θεός; Εγώ δειλιάζω
με άλλους να σμίγω τώρα αθάνατους· ανείπωτη έχω πίκρα.
Ωστόσο λέω να πάω, κι ο λόγος του θα γένει, όποιος και να 'ναι.»

Ως είπε αυτά η θεά η πανέμνοστη, παίρνει φοράει μια σκέπη
μαύρη᾽ σκουτί πιο σκοτεινόχρωμο στον κόσμο δεν εστάθη.
Και παίρνει δρόμο, κι η ανεμόποδη, γοργή τραβούσεν Ίρη
μπροστά, κι ολόγυρα τους άνοιγε της θάλασσας το κύμα.
Κι ως στο γιαλό ανέβηκαν, τράβηξαν ψηλά κατά τα ουράνια,
κι εκεί αντάμωσαν το βροντόλαλο του Κρόνου υγιό, και γύρα
τους αναιώνιους, τρισμακάριστους θεούς συγκαθισμένους.

Κι εκείνη, ως η Αθηνά τραβήχτηκε, στο πλάι του Δία καθίζει,
κι η Ήρα χρυσό, πανώριο απίθωσε στο χέρι της ποτήρι
με λόγια πρόσχαρα, κι η Θέτιδα το δίνει πίσω, ως ήπιε.
Και τότε ο κύρης των αθάνατων και των θνητών της κάνει:
« Ήρθες λοιπόν, θεά, στον Όλυμπο, κι ας σε συμπνίγει ο πόνος,
βαθιά κι ας νιώθεις πίκρα αβάσταχτη" καλά κι εγώ το ξέρω.
Μα κι έτσι θα σου πω τι μ᾽ έκανε να σε φωνάξω να 'ρθεις:
Εννιά παν μέρες τώρα που 'στησαν για το κορμί του Εχτόρου
και για το γιο σου αμάχη οι αθάνατοι τον καστροπολεμίτη,
και τον Αργοφονιά τον άγρυπνο να του τον κλέψει σπρώχνουν.

Μα εγώ τη δόξα τούτη εκράτησα να μείνει του Αχιλλέα,
τι την αγάπη και το σέβας σου για πάντα θέλω να 'χω.
Δράμε λοιπόν στο ασκέρι γρήγορα και μήνυσε του γιου σου,
πες του, οι θεοί μαζί του εθύμωσαν, κι εγώ βαριά χολιάζω
περίσσια απ᾽ όλους τους αθάνατους, τι απά στη μάνητα του
κρατάει τον Έχτορα μπρος στ᾽ άρμενα και δεν τον δίνει πίσω.
Μπορεί να με ντραπεί, τον Έχτορα να πει να λευτερώσει.
Κι εγώ στον Πρίαμο τον αντρόκαρδο την Ίριδα θα στείλω,
των Αχαιών να δράμει τ᾽ άρμενα και του Αχιλλέα με δώρα
Τι ρίσσια την ψυχή μερώνοντας το γιο του να λυτρώσει.»

ὣς ἔφατ’, οὐδ’ ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
βῆ δὲ κατ’ Οὐλύμποιο καρήνων ἀΐξασα,
ἷξεν δ’ ἐς κλισίην οὗ υἱέος· ἔνθ’ ἄρα τόν γε
εὗρ’ ἀδινὰ στενάχοντα· φίλοι δ’ ἀμφ’ αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον·

τοῖσι δ’ ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
ἡ δὲ μάλ’ ἄγχ’ αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·
τέκνον ἐμὸν τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην μεμνημένος οὔτέ τι σίτου

οὔτ’ εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ’· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ’ ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
σκύζεσθαι σοί φησι θεούς, ἐὲ δ’ ἔξοχα πάντων

ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ’ ἔχεις παρὰ νηυσὶ κορωνίσιν οὐδ’ ἀπέλυσας.
ἀλλ’ ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.
τὴν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς
Ἀχιλλεύς·
τῇδ’ εἴῃ· ὃς ἄποινα φέροι καὶ νεκρὸν ἄγοιτο,

εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.
ὣς οἵ γ’ ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ’ ἀγόρευον.
Ἶριν δ’ ὄτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
βάσκ’ ἴθι Ἶρι ταχεῖα λιποῦσ’ ἕδος Οὐλύμποιο

ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱὸν ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν τά κε θυμὸν ἰήνῃ
οἷον, μὴ δέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ’ ἰθύνοι

ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μὴ δέ τί οἱ θάνατος μελέτω φρεσὶ μὴ δέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν ἀργεϊφόντην,
ὃς ἄξει εἷός κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.

αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ’ αὐτὸς κτενέει ἀπό τ’ ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ’ ἄφρων οὔτ’ ἄσκοπος οὔτ’ ἀλιτήμων,
ἀλλὰ μάλ’ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
ὣς ἔφατ’, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.

Είπε, κι η Θέτη η χιοναστράγαλη γρικάει την προσταγή του,
και τις κορφές του Ολύμπου αφήνοντας να κατεβαίνει επήρε,
και στο καλύβι φτάνει γρήγορα του γιου της, και τον βρίσκει
βαριά που στέναζε, και γύρα του με βιάση οι συντρόφοι του
πηγαινορχόνταν ετοιμάζοντας πουρνό πουρνό να φάνε'
και στο καλύβι είχαν παχιόμαλλο, τρανό κριάρι σφάξει.
Κι η σεβαστή του η μάνα εκάθισε κοντά του, στο πλευρό του,
το χέρι απλώνει και τον χάιδεψε κι αυτά του λέει τα λόγια:
«Ως πότε, γιε μου, θα πικραίνεσαι και θα χτυπιέσαι; ως πότε
τα σωθικά σου θα σπαράζουνται; κι ουδέ ψωμιού θυμάσαι

κι ουδέ φίλιου; Γλυκό το αγκάλιασμα, να σμίξεις με γυναίκα’
γιατί καιρός πολύς δε σου 'μεινε πια να μου ζήσεις’ κιόλα
δίπλα σου η Μοίρα η τρανοδύναμη κι ο Χάρος παραστέκουν.
Μον’ άκουσέ με τώρα, μήνυμα σου φέρνω από το Δία'
μαζί σου λέει οι θεοί πως θύμωσαν, κι αυτός βαριά χολιάζει
περίσσια απ’ όλους τους αθάνατους, τι πα στη μάνητα σου
κρατάς τον Έχτορα μπρος στ’ άρμενα και δεν τον δίνεις πίσω.
Δωσ’ τον λοιπόν, και το ξαγόρασμα προσδέξου του κορμιού του.»

Τότε ο Αχιλλέας ο γοργοπόδαρος γυρνάει κι απηλογιέται:
« Καλά! Την ξαγορά ας μου φέρουνε και το νεκρό ας τον πάρουν,

μια κι έτσι ορίζει ο ρήγας του Ολύμπου, που το καλό μου θέλει.»

Αυτά κουβέντιαζαν μπρος στ’ άρμενα τα συναγμένα οι δυο τους,
γιος και μητέρα, κι ανεμάρπαστα περίσσια λόγια άλλαζαν.
Την Ίρη ωστόσο ο Δίας επρόσταξε να πάει στην Τροία την άγια:
«Ίριδα, Ομπρός, μη στέκεις, του Ολύμπου παράτα το παλάτι,
και στον τρανό τον Πρίαμο μήνυσε μέσα στης Τροίας το κάστρο,
στων Αχαιών να δράμει τ’ άρμενα και του Αχιλλέα με δώρα
περίσσια την ψυχή μερώνοντας το γιο του να λυτρώσει—
αυτός μονάχος, δίχως σύντροφο κανένα Τρώα, και μόνο
έναν διαλάλη ας πάρει γέροντα, να κυβερνάει τις μούλες

και το καρότσι το καλότροχο, και το νεκρό να φέρει
που σκότωσε ο Αχιλλέας ο αντρόψυχος στο κάστρο πίσω πάλε.
Μηδέ να βάλει ο νους του θάνατο, να μη σκιαχτεί καθόλου'
τι, πες του, τον Ερμή θα στείλουμε για να 'χει συνεβγάλτη,
που θα τον πάει, το δρόμο δείχνοντας, ως του Αχιλλέα την πόρτα.
Και σύντας στου Αχιλλέα του αντρόκαρδου τον μπάσει το καλύβι,
μήτε κι ατός του με τα χέρια του θα τον σκοτώσει, μήτε
κι άλλον θ’ αφήσει’ τι ούτε αστόχαστος ούτε άμυαλος λογιέται,
άνομος ούτε’ τον ικέτη του θα σεβαστεί περίσσια.»

Αυτά είπε, κι η ανεμόποδη Ίριδα χιμάει μαντατοφόρα,

ἶξεν δ᾽ ἐς Πριάμοιο, κίχεν δ᾽ ἐνοπήν τε γόον τε.
παῖδες μὲν πατέρ᾽ ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
δάκρυσιν εἵματ᾽ ἔφυρον, ὃ δ᾽ ἐν μέσσοισι γεραιὸς
ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλὴ
κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος

τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
θυγατέρες δ᾽ ἀνὰ δώματ᾽ ἰδὲ νυοὶ ὠδύροντο
τῶν μιμνησκόμεναι οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
χερσὶν ὑπ᾽ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα

τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
θάρσει Δαρδανίδη Πρίαμε φρεσί, μὴ δέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ᾽ ἱκάνω
ἀλλ᾽ ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.

λύσασθαί σ᾽ ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν τά κε θυμὸν ἰήνῃ
οἷον, μὴ δέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ᾽ ἰθύνοι
ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις

νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μὴ δέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖος γάρ τοι πομπὸς ἅμ᾽ ἕψεται ἀργεϊφόντης,
ὅς σ᾽ ἄξει εἷός κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,

οὔτ᾽ αὐτὸς κτενέει ἀπό τ᾽ ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἔστ᾽ ἄφρων οὔτ᾽ ἄσκοπος οὔτ᾽ ἀλιτήμων,
ἀλλὰ μάλ᾽ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
ἦ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ ὅ γ᾽ υἷας ἄμαξαν ἐΰτροχον ἡμιονείην

ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ᾽ αὐτῆς.
αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα
κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει·
ἐς δ᾽ ἄλοχον Ἑκάβην ἐκαλέσσατο φώνησέν τε·
δαιμονίη Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε

λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν τά κε θυμὸν ἰήνῃ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ τί τοι φρεσὶν εἶδεται εἶναι;
αἰνῶς γάρ μ᾽ αὐτόν γε μένος καὶ θυμὸς ἄνωγε
κεῖσ᾽ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.

ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ·
ὤ μοι πῇ δή τοι φρένες οἴχονθ᾽, ᾗς τὸ πάρος περ
ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἷος
ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς

κι ως έφτασε στου Πρίαμου, γρίκησε φωνές και μοιρολόγια·
οι γιοι κάθονταν στον αυλόγυρο, στον κύρη τους τροχύρα,
με τα σκουτιά απ᾽ τα δάκρυα μούσκεμα, κι ο γέροντας στη μέση
κουκουλωμένος μες στην κάπα του σφιχτά, κι απάνωθέ του
λάσπη πολλή χυμένην έβλεπες στην κεφαλή, στο σβέρκο,
που ατός του ο γέροντας εσώριασε, μες στην αυλή ως κυλιούνταν.
Στις κάμαρες τροχύρα οι κόρες του κι οι νύφες του εθρηνούσαν,
όλους εκείνους μνημονεύοντας, περίσσιοι κι αντρειωμένοι
που πέσαν από χέρια Αργίτικα και τη ζωή τους χάσαν.
Κι εκείνη με του Δία το μήνυμα στον Πρίαμο δίπλα εστάθη

μιλώντας του σιγά, και σύγκορμος να τρέμει αυτός αρχίζει:
« Μη σκιάζεσαι, σπορά του Δάρδανου! Κουράγιο, Πρίαμε, κάμε᾽
Κακό κανένα δε στοχάζομαι για σένα εδώ που φτάνω,
μον᾽ θέλω το καλό σου· μήνυμα τώρα απ᾽ το Δία σου φέρνω,
που ας είναι αλάργα, όμως σε γνοιάζεται και σε ψυχοπονιέται.
Ο ρήγας του Ολύμπου τον Έχτορα μηνά σου να λυτρώσεις,
με δώρα του Αχιλλέα μερώνοντας τα μανιασμένα σπλάχνα—
εσύ μονάχος, δίχως σύντροφο κανένα Τρώα, και μόνο
έναν διαλάλη πάρε γέροντα, να κυβερνάει τις μούλες
και το καρότσι το καλότροχο, και το νεκρό να φέρει

που σκότωσε ο Αχιλλέας ο αντρόψυχος στο κάστρο πίσω πάλε.
Μηδέ να βάλει ο νους σου θάνατο, να μη σκιαχτείς καθόλου'
τι, ως μου 'πε, τον Ερμή θα στείλουμε για να 'χεις συνεβγάλτη,
που θα σε πάει, το δρόμο δείχνοντας, ως στου Αχιλλέα την πόρτα.
Και σύντας στου Αχιλλέα του αντρόκαρδου σε μπάσει το καλύβι,
μήτε κι ατός του με τα χέρια του θα σε σκοτώσει, μήτε
κι άλλον θ᾽ αφήσει᾽ τι ούτε αστόχαστος ούτε άμυαλος λογιέται,
άνομος ούτε᾽ τον ικέτη του θα σεβαστεί περίσσια.»

Σαν είπε αυτά η γοργόποδη Ίριδα, μισεύει πίσω πάλι,
κι αυτός στους γιους του το καλότροχο καρότσι με τις μούλες

να του ετοιμάσουν λέει, κι απάνω του να δέσουν το κασόνι᾽
κι εκείνος στο κελάρι ετράβηξε το μοσχομυρισμένο,
το κέδρινο, το αψηλοτάβανο, με τα περίσσια πλούτη,
και στην Εκάβη, τη γυναίκα του, μιλάει φωνάζοντας τη:
«Μαντατοφόρος απ᾽ τον Όλυμπο μου 'ρθε απ᾽ το Δία, καλή μου,
στων Αχαιών να δράμω τ᾽ άρμενα, και του Αχιλλέα με δώρα
περίσσια την ψυχή μερώνοντας το γιο μας να λυτρώσω.
Μον᾽ έλα τώρα, πες τη γνώμη σου, σαν πώς το βλέπει ο νους σου;
τι εμέ τον ίδιο αλήθεια ακράτητα καρδιά καί νους με σπρώχνουν
εκεί να δράμω στα λημέρια τους, στ᾽ Αργίτικα καράβια.»

Αυτά είπε, όμως εκείνη ξέσπασε σε θρήνο κι αποκρίθη:
«Ωχού μου, η γνώση σου τι να 'γινε, γι᾽ αυτή που πριν περίσσια
κι όσοι από σένα εδώ αφεντεύουνται κι οι ξένοι σε δόξαζαν;
Πώς το μπορείς να πας μονάχος σου στ᾽ Αργίτικα καράβια,
τον άντρα ν᾽ αντικρίσεις, που άμετρους και ψυχωμένους γιους σου

υἱέας ἐξενάριξε· σιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ σ᾽ αἰρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε οὔ σ᾽ ἐλεήσει,
οὐδέ τί σ᾽ αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ· τῷ δ᾽ ὥς ποθι Μοῖρα κραταιὴ

γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι ἑῶν ἀπάνευθε τοκήων
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἦπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ᾽ ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ έ κακιζόμενόν γε κατέκτα,

ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
ἑσταότ᾽ οὔτε φόβου μεμνημένον οὔτ᾽ ἀλεωρῆς.
τὴν δ᾽ αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
μή μ᾽ ἐθέλοντ᾽ ἰέναι κατερύκανε, μὴ δέ μοι αὐτὴ
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.

εἰ μὲν γάρ τίς μ᾽ ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ οἵ μάντιες εἰσι θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ᾽, αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον
ἄντην,
εἶμι καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα

τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
ἀγκὰς ἑλόντ᾽ ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
ἦ καὶ φωριαμῶν ἐπιθήματα κάλ᾽ ἀνέῳγεν·
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,

δώδεκα δ᾽ ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα λευκά, τόσους δ᾽ ἐπὶ τοῖσι χιτῶνας.
χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
ἐκ δὲ δύ᾽ αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῇκες πόρον ἄνδρες

ἐξεσίην ἐλθόντι μέγα κτέρας· οὐδέ νυ τοῦ περ
φείσατ᾽ ἐνὶ μεγάροις ὃ γέρων, περὶ δ᾽ ἤθελε θυμῷ
λύσασθαι φίλον υἱόν. ὃ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέργειν ἔπεσσ᾽ αἰσχροῖσιν ἐνίσσων·
ἔρρετε λωβητῆρες ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν

οἴκοι ἔνεστι γόος, ὅτι μ᾽ ἤλθετε κηδήσοντες;
ἦ ὀνόσασθ᾽ ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκε
παῖδ᾽ ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἔγωγε

Σου χάλασε; Καρδιά από σίδερο στα στήθια αλήθεια κλείνεις!
τι αν πέσεις τώρα εσύ στα χέρια του και σε αντικρίσει ομπρός του
ο άπιστος τούτος και σκληρόψυχος, μηδέ σπλαχνιά θα νιώσει
μηδέ ντροπή για σε. Καλύτερα καθούμενοι στο σπίτι
μακριάθε να τον κλαίμε. Του 'κλωσε τέτοια η σκληρή του η Μοίρα

από τη μέρα που τον γέννησα, σαν πρόβαλε στον κόσμο,
να τόνε φαν σκυλιά γοργόποδα, μακριά από τους γονιούς του,
όξω απ᾽ την πόρτα αντρός ανέσπλαχνου—το σκώτι του που να 'χα,
με δαγκωνιές βαθιές να το 'τρωγα, να πάρω το αίμα πίσω
του γιου μου καν! τι δεν εδείλιασε την ώρα του χαμού του,
μον᾽ στάθη ομπρός του διαφεντεύοντας τους Τρώες και τις
Τρωάδες
τις λυγερές, και μήτε που 'βαλε φευγιό και φόβο ο νους του.»

Κι ο θεοπρόσωπος ο γέροντας απηλογήθη τότε:
« Μη με αμποδάς να φύγω, ως θέλω το, και μη μου γίνεσαι όρνιο
μέσα στο σπίτι κακοσήμαδο᾽ τη γνώμη δε μου αλλάζεις'

τι αν άλλος μου 'φερνε το μήνυμα, θνητός κανείς, απ᾽ όσους
με τα θυμιάματα μαντεύουνται για με τα ζώα που σφάζουν,
πως είναι ψέματα θα το 'λεγα και θα τραβούσα χέρι.
Μα τώρα ήταν θεός που αγρίκησα κι αντίκρισα μπροστά μου.
θα πάω λοιπόν, του ανέμου ο λόγος μου δε θα χαθεί. Κι αν ίσως
στων Δαναών τα πλοία μου μέλλεται να σκοτωθώ, μακάρι!
Στην αγκαλιά μονάχα να 'παιρνα το γιο μου, κι ο Αχιλλέας
την ίδια τη στιγμή ας με σκότωνε, σαν πια χορτάσω θρήνο!»

Είπε, κι απ᾽ τις κασέλες σήκωσε τα ωριόπλουμα καπάκια,
και βγάζει πρώτα εκείθε δώδεκα πεντάμορφα κιλίμια,

κάπες μονές διαλέγει δώδεκα, σκεπάσματα άλλα τόσα,
και δώδεκα φλοκάτες όμορφες, χιτώνες άλλους τόσους·
μετά χρυσάφι δέκα τάλαντα ζυγιάζει, και χωρίζει
και δυο τριπόδια που στραφτάλιζαν και τέσσερα λεβέτια'
στερνά μιαν ώρια κούπα εδιάλεξε, που του 'χαν οι Θρακιώτες
χαρίσει—βιος τρανό—στη χώρα τους σαν πήγε αποκρισάρης'
μηδέ κι αυτή ελυπήθη ο γέροντας στο αρχοντικό του μέσα,
το γιο του να λυτρώσει θέλοντας. Κι απ᾽ την αυλή του διώχνει
όλους μετά τους Τρώες και με άσκημα τους αποπαίρνει λόγια:
«Όξω, κορμιά χαμένα, αδιάντροποι! Δεν έχετε να κλαίτε

και σεις στα σπίτια σας, μον᾽ μου 'ρθατε για να με φαρμακώστε;
Λέτε δε φτάνουνε τα βάσανα που μου 'χει ο Δίας σταλμένα,
το γιο να χάσω τον καλύτερο; Μα ωστόσο θα το νιώστε
και σεις· τι οι Αργίτες, τώρα που 'λειψεν εκείνος, δίχως άλλο
θα σας σκοτώνουν πιο ανεμπόδιστα. Μα εγώ, ας γινόταν, θέ μου

πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖσιν ἰδεῖν βαίην δόμον Ἄϊδος εἴσω.
ἦ καὶ σκηπανίῳ δίεπ᾽ ἀνέρας· οἱ δ᾽ ἴσαν ἔξω
σπερχομένοιο γέροντος· ὃ δ᾽ υἱάσιν οἷσιν ὁμόκλα
νεικείων Ἕλενόν τε Πάριν τ᾽ Ἀγάθωνά τε δῖον

Πάμμονά τ᾽ Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Δηΐφοβόν τε καὶ Ἱππόθοον καὶ δῖον Ἀγαυόν·
ἐννέα τοῖς ὃ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
σπεύσατέ μοι κακὰ τέκνα κατηφόνες· αἴθ᾽ ἅμα πάντες
Ἕκτορος ὠφέλετ᾽ ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.

ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι,
Μήστορά τ᾽ ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ᾽, ὃς θεὸς ἔσκε μετ᾽ ἀνδράσιν, οὐδὲ ἐῴκει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι ἀλλὰ θεοῖο.

τοὺς μὲν ἀπώλεσ᾽ Ἄρης, τὰ δ᾽ ἐλέγχεα πάντα λέλειπται
ψεῦσταί τ᾽ ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι
ἀρνῶν ἠδ᾽ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ᾽ ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;

ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πατρὸς ὑποδείσαντες ὁμοκλὴν
ἐκ μὲν ἅμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ᾽ αὐτῆς,
κὰδ δ᾽ ἀπὸ πασσαλόφι ζυγὸν ἧρεον ἡμιόνειον
πύξινον ὀμφαλόεν εὖ οἰήκεσσιν ἀρηρός·

ἐκ δ᾽ ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ.
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ
πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἔστορι βάλλον,
τρὶς δ᾽ ἑκάτερθεν ἔδησαν ἐπ᾽ ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ᾽ ἔκαμψαν.

ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ᾽ ἀπήνης
νήεον Ἕκτορέης κεφαλῆς ἀπερείσι᾽ ἄποινα,
ζεῦξαν δ᾽ ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὃ γεραιὸς

αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστῃ ἐπὶ φάτνῃ.
τῷ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε᾽ ἔχοντες·
ἀγχίμολον δέ σφ᾽ ἦλθ᾽ Ἑκάβη τετιηότι θυμῷ
οἶνον ἔχουσ᾽ ἐν χειρὶ μελίφρονα δεξιτερῇφι

πριν αντικρίσω μπρος στα μάτια μου το κάστρο να πατιέται
κι απ᾽ άκρη ως άκρη να κουρσεύεται, να βρίσκομαι στον Άδη!»

Είπε, και με ραβδί διασκόρπιζε τον κόσμο· εκείνοι έφυγαν
μπροστά στο γέροντα που εβιάζουνταν κι αυτός τους γιους του τότε
φωνάζει αράθυμος, τον Έλενο, το βροντερό Πολίτη,

τον Πάμμονα και τον Αντίφονο, το Δήφοβο, τον Πάρη,
και τον Ιππόθοο, τον Αγάθωνα, το Δίο τον αντρειωμένο'
και τους εννιά του γιους ο γέροντας μαλώνοντας προστάζει:
« Παιδιά χαμένα κι αφιλότιμα, βοηθάτε τώρα! Αχ να 'ταν
μπρος στα καράβια αντίς τον Έχτορα να 'χαν εσάς σκοτώσει!
Ωχού μου εμένα του βαριόμοιρου! Τους πιο αντρειωμένους είχα
γεννήσει γιους στους Τρώες ανάμεσα, και δε μου απόμεινε ένας!
Σκοτώθηκε κι ο ισόθεος Μήστορας κι ο αντρόκαρδος Τρωίλος,
κι ο μέγας Έχτορας, που φάνταζε θεός στους άντρες μέσα,
κι έμοιαζε ενός θεού το γέννημα, κι όχι θνητού πως ήταν.

Τούτοι χαλάστηκαν στον πόλεμο, κι έμειναν οι χαμένοι,
χορευταράδες, ψεύτες όλοι τους, στους χοροπήδους πρώτοι,
άξιοι μονάχα τ᾽ αρνοκάτσικα των άλλων Τρωών ν᾽ αρπάζουν.
Τι στέκεστε έτσι και δεν πιάνετε το κάρο να ετοιμάστε,
κι απάνω τούτα να φορτώσετε, να μπούμε πια στο δρόμο;»

Έτσι μιλάει, κι αυτοί τον κύρη τους που εφώναζε σκιάχτηκαν,
κι όξω τράβηξαν το καλότροχο, πεντάμορφο, καινούργιο
καρότσι για τις μούλες, κι έδεσαν απάνω το κασόνι'
τον πυξαρένιο ευτύς κατέβασαν αφαλωτό ζυγό τους,
που στο καρφί ψηλά ανακρέμουνταν, με τα καλά κρικέλια'

βγάζουν μαζί και τα ζύγόλουρα, πήχες εννιά το μάκρος·
και το ζυγό στο καλοκάμωτο τιμόνι έβαλαν πάνω,
στην άκραν άκρα ομπρός, και πέρασαν τον κρίκο απά στη σφήνα,
και δέσαν τα λουριά δεξόζερβα πα στο κλειδί τρεις γύρους·
κι αφού ως την άκρα τα σφιχτόδεσαν, τα σφίξαν στο γλωσσίδι.
Μετά το βιος έβγαλαν το άμετρο, την ξαγορά του Εχτόρου,
απ᾽ το κελάρι, και το στοίβαξαν στο τορνευτό καρότσι,
και τις γερές, τις ατσαλόνυχες με βιάση έζευαν μούλες,
δώρο ακριβό, οι Μυσοί που κάποτε στον Πρίαμο το χάρισαν.
Και δέσαν στο ζυγό και τ᾽ άλογα, που ο γέροντας ατός του

στο τορνευτό παχνί τα τάγιζε, βιος ακριβό δικό του.

Έτσι γνοιάζονταν για το ζέψιμο μες στο αψηλό παλάτι
ο γέρο Πρίαμος κι ο διαλάλης του, κι οι δυο τους μυαλωμένοι.

χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
στῆ δ᾽ ἵππων προπάροιθεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τῇ σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ᾽ ἰκέσθαι
ἆψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἄρ σέ γε θυμὸς
ὀτρύνει ἐπὶ νῆας ἐμεῖο μὲν οὐκ ἐθελούσης.

ἀλλ᾽ εὔχεο σύ γ᾽ ἔπειτα κελαινεφέϊ Κρονίωνι
Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται,
αἴτει δ᾽ οἰωνὸν ταχὺν ἄγγελον, ὅς τέ οἱ αὐτῷ
φίλτατος οἰωνῶν, καί εὐ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρά μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώσει ἐὸν ἄγγελον εὐρύοπα Ζεύς,
οὐκ ἂν ἔγωγέ σ᾽ ἔπειτα ἐποτρύνουσα κελοίμην
νῆας ἐπ᾽ Ἀργείων ἰέναι μάλα περ μεμαῶτα.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
ὦ γύναι οὐ μέν τοι τόδ᾽ ἐφιεμένῃ ἀπιθήσω.
ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν αἴ κ᾽ ἐλεήσῃ.
ἦ ῥα καὶ ἀμφίπολον ταμίην ὄτρυν᾽ ὃ γεραιὸς
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἣ δὲ παρέστη
χέρνιβον ἀμφίπολος πρόχοόν θ᾽ ἅμα χερσὶν ἔχουσα.
νιψάμενος δὲ κύπελλον ἐδέξατο φῆς ἀλόχοιο·
εὔχετ᾽ ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λείβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ Ἰδηθεν μεδέων κύδιστε μέγιστε
δός μ᾽ ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ᾽ ἐλεεινόν,
πέμψον δ᾽ οἰωνὸν ταχὺν ἄγγελον, ὅς τε σοὶ αὐτῷ
φίλτατος οἰωνῶν, καί εὐ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρά μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεὺς
αὐτίκα δ᾽ αἰετὸν ἧκε τελειότατον πετεηνῶν
μόρφνον θηρητῆρ᾽ ὃν καὶ περκνὸν καλέουσιν.
ὅσση δ᾽ ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο εὖ κληῖσ᾽ ἀραρυῖα,
τόσσ᾽ ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφι
δεξιὸς ἀΐξας διὰ ἄστεος· οἳ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
σπερχόμενος δ᾽ ὃ γεραιὸς ἑοῦ ἐπεβήσετο δίφρου,
ἐκ δ᾽ ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,

Κι η Εκάβη τότε εκεί τους ζύγωσε με μαραμένα σπλάχνα,
κρατώντας στο δεξί το χέρι της μαλαματένια κούπα,
σπονδές να κάνουν με γλυκόπιοτο κρασί, πριχού κινήσουν.
Στάθη λοιπόν ομπρός στ᾽ αλόγατα κι αυτά μιλάει και κρένει:
« Στο Δία πατέρα πάρε πρόσφερε σπονδή, κι ευκήσου να 'ρθεις
γερός απ᾽ τους οχτρούς στο σπίτι σου, μια κι η καρδιά σου τόσο
στων Δαναών σε σπρώχνει τ᾽ άρμενα, χωρίς εγώ να θέλω.

Ευκήσου καν στο μαυροσύγνεφο το Δία, που απά στην Ίδα
θρονιάζει κι αγναντεύει αλάκερη την ξακουσμένη Τροία,
και για σημάδι ζήτα γρήγορο μαντάτορά του, τ᾽ όρνιο
το πιο ακριβό του, με τη δύναμη την πιο τρανή, να σου 'ρθει
δεξιά μεριά, που ως πια τα μάτια σου το ιδούν, για τα καράβια
των Δαναών να φύγεις ξέθαρρος των γοργαλογατάδων.
Ο Δίας αν όμως ο βροντόλαλος δικό του αποκρισάρη
δεν πει να στείλει, εγώ θα σου 'λεγα ν᾽ αλλάξεις γνώμη τώρα
και να μην πας στα πλοία τ᾽ Αργίτικα, κι ας λαχταρά η καρδιά σου.»

Και τότε ο Πρίαμος ο θεόμορφος γυρνάει κι απηλογιέται:

« Θα την ακούσω την αρμήνια σου, καλή μου, τι ταιριάζει
στο Δία ν᾽ ασκώνουμε τα χέρια μας, μπας και μας συμπονέσει.»

Ως είπε τούτα, την κελάρισσα νερό γοργά προστάζει
στα χέρια να του χύσει γάργαρο᾽ κι εκείνη τρέχει δίπλα
στο γέροντα, σταμνί στα χέρια της κρατώντας και λεγένι.
Κι όπως ενίφτη, απ᾽ τη γυναίκα του την κούπα παίρνει, κι ορθιος
στη μέση της αυλής προσεύκουνταν, και στάλαζε στο χώμα,
στον ουρανό τα μάτια ασκώνοντας, κι έτσι μιλάει και κράζει:
« Πατέρα Δία, τρανέ κι ασύγκριτε, που κυβερνάς την Ίδα,
σαν έρθω στου Αχιλλέα, συμπόνεση κι αγάπη να 'βρω δωσ᾽ μου'

και για σημάδι στείλε γρήγορο μαντάτορά σου, τ᾽ όρνιο.
το πιο ακριβό σου, με τη δύναμη την πιο τρανή, να μου 'ρθει
δεξιά μεριά, που ως πια τα ματιά μου το ιδούν, για τα καράβια
των Δαναών να φύγω ξέθαρρος των γοργαλογατάδων.»

Είπε, κι ο Δίας ο βαθυστόχαστος τον άκουσε που ευκήθη,
κι αϊτό του στέλνει, απ᾽ τα πετούμενα το πιο που φανερώνει
το θέλημα του, μαύρο κι άρπαγο—το λένε και μαυρόρνιο—
κι όσο φαρδιά είναι τα πορτόφυλλα, τα στεριά, τα δεμένα,
σε σπίτι μέσα αψηλοτάβανο βαρβάτου νοικοκύρη,
τόσο απλώνονταν κι οι φτερούγες του᾽ κι από το κάστρο απάνω

δεξιά μεριά χιμώντας φάνηκε᾽ κι εκείνοι, σαν τον είδαν,
πήραν χαρά τρανή, κι εγλύκαναν μέσα ολονώ τα σπλάχνα.

Με βιάση ανέβη τότε ο γέροντας στο αμάξι του, και βγήκε

τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
ἵπποι, τοὺς ὃ γέρων ἐφέπων μάστιγι κέλευε
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ᾽ ἅμα πάντες ἕποντο
πόλλ᾽ ὀλοφυρόμενοι ὡς εἰ θάνατον δὲ κιόντα.
οἳ δ᾽ ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ᾽ ἀφίκοντο,

οἳ μὲν ἄρ᾽ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο
παῖδες καὶ γαμβροί, τὼ δ᾽ οὐ λάθον εὐρύοπα Ζῆν
ἐς πεδίον προφανέντε· ἰδὼν δ᾽ ἐλέησε γέροντα,
αἶψα δ᾽ ἄρ᾽ Ἑρμείαν υἱὸν φίλον ἀντίον ηὔδα·
Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν

ἀνδρὶ ἑταιρίσσαι, καί τ᾽ ἔκλυες ᾧ κ᾽ ἐθέλῃσθα,
βάσκ᾽ ἴθι καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὡς ἄγαγ᾽, ὡς μήτ᾽ ἄρ τις ἴδῃ μήτ᾽ ἄρ τε νοήσῃ
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεΐωνα δ᾽ ἱκέσθαι.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε διάκτορος ἀργεϊφόντης.

αὐτίκ᾽ ἔπειθ᾽ ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ᾽ ὑγρὴν
ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει·

τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς ἀργεϊφόντης.
αἶψα δ᾽ ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε,
βῆ δ᾽ ἰέναι κούρῳ αἰσυμνητῆρι ἐοικὼς
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
οἳ δ᾽ ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,

στῆσαν ἄρ᾽ ἡμιόνους τε καὶ ἵππους ὄφρα πίοιεν
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἦλυθε γαῖαν.
τὸν δ᾽ ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνησέν τε·
φράζεο Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.

ἄνδρ᾽ ὁρόω, τάχα δ᾽ ἄμμε διαρραίσεσθαι ὀΐω.
ἀλλ᾽ ἄγε δὴ φεύγωμεν ἐφ᾽ ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύσομεν αἴ κ᾽ ἐλεήσῃ.
ὣς φάτο, σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ᾽ αἰνῶς,
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι,

στῆ δὲ ταφὼν· αὐτὸς δ᾽ ἐριούνιος ἐγγύθεν ἐλθὼν
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προσέειπε·
πῇ πάτερ ὣδ᾽ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι᾽ ἀμβροσίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ γ᾽ ἔδεισας μένεα πνείοντας Ἀχαιούς,

περνώντας μέσα απ᾽ την αυλόπορτα και το βουερό χαγιάτι'
ομπρός τραβούσε ο πολυκάτεχος Ιδαίος, και τα μουλάρια
που σέρναν το καρότσι εκέντριζε᾽ και τ᾽ άλογα ξοπίσω,
κυβερνημένα από το γέροντα, που εκράτα το μαστίγι,
γοργά μεσ᾽ απ᾽ το κάστρο εδρόμιζαν. Κι όλοι οι εδικοί με θρήνους
τον ακλουθούσαν, λες και πήγαινε το Χάρο ν᾽ ανταμώσει.
Μ᾽ από την πόλη ως κατηφόρισαν και πιάσαν πια τον κάμπο,

οι άλλοι, γαμπροί και γιοί, πισώστρεψαν και διάγυραν στο κάστρο.
Ωστόσο εκείνοι οι δυο σαν πρόβαλαν στον κάμπο, ο μακροβίγλης
ο Δίας τους είδε και συμπόνεσε το γέροντα θωρώντας,
και στον Ερμή γυρνώντας μίλησε, τον ακριβό το γιο του:
« Ερμή, πολυαγαπάς και χαίρεσαι θνητούς να συντροφεύεις,
κι όποιον σου αρέσει ακούς, στη γνώμη του μετά χαράς συγκλίνεις.
Στα βαθουλά τα πλοία τ᾽ Αργίτικα τον Πρίαμο τρέχα τώρα
συνέβγαλέ τον, έτσι που άλλος τους να μην τον νιώσει Αργίτης,
και μήτε να τον δει στη στράτα του, πριν φτάσει στου Αχιλλέα.»

Είπε, κι ο Αργοφονιάς τον άκουσεν ευτύς ο ψυχολάτης,

και δίχως άργητα στα πόδια του χρυσά περνάει σαντάλια,
πανώρια, αθάνατα, που ανάλαφρα, σαν την πνοή του ανέμου,
τον φέρναν πάνω απ᾽ τις απέραντες στεριές και τα πελάγη,
και πήρε το ραβδί στο χέρι του, που των θνητών τα μάτια
γητεύει σε όσους θέλει κλειώντας τα, κι άλλους ξυπνά απ᾽ τον ύπνο'
με αυτό και τότε ο τρανοδύναμος Αργοφονιάς πετούσε,
κι ομπρός στην Τροία και στον Ελλήσποντο σε λίγην ώρα φτάνει.
Και κίνησε με αρχόντου μοιάζοντας υγιό, τα μαγουλά του
μόλις που χνούδισαν, κι η νιότη του στην πιο γλυκιά της ώρα.

Εκείνοι ωστόσο απ᾽ του Ίλου ως πέρασαν το μέγα μνήμα δίπλα,

τ᾽ αλόγατά τους και τις μούλες τους σταμάτησαν να πιούνε -
στον ποταμό, τι πια περίσσευε στους κάμπους το σκοτάδι.
Και ξαφνικά θωρεί που εσίμωνε και ξεχωρίζει ο κράχτης
τον νέον Ερμή, κι ευτύς γυρίζοντας στον Πρίαμο συντυχαίνει:
« Έχε το νου, σπορά του Δάρδανου, φρόνεση τώρα θέλει'
κάποιον θωρώ, και λέω πως γρήγορα κομμάτια θα μας κάνει.
Μον᾽ έλα βιάσου, κι ας του δίνουμε πα στ᾽ άτια, για τα γόνα
παρακαλώντας ας του πιάσουμε, μπας και μας συμπονέσει.»

Είπε, κι ο νους του γέρου εσάστισε, τον έπιασε τρομάρα,
κι ορθές οι τρίχες του σηκώθηκαν πα στο σκεβρό κορμί του,

και στάθη σα χαμένος. Ζύγωσεν ο Πρωτοκλέφτης τότε,
στο γέροντα έδωσε το χέρι του, τον ρώτησε και του 'πε:
« Για που, πατέρα, με τις μούλες σου τραβάς και τ᾽ άλογα σου
μέσα στη νύχτα την αθάνατη, που όλοι οι θνητοί κοιμούνται;
κι ουδέ καθόλου τους ανήμερους φοβήθηκες Αργίτες,

οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασι;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ᾽ ὀνείατ᾽ ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ᾽ αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.

ἀλλ᾽ ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
οὕτω πῃ τάδε γ᾽ ἐστὶ φίλον τέκος ὡς ἀγορεύεις.
ἀλλ᾽ ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,

ὅς μοι τοιόνδ᾽ ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός,
πέπνυσαί τε νόῳ, μακάρων δ᾽ ἔξεσσι τοκήων.
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.

ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἄνδρας ἐς ἀλλοδαπούς ἵνα περ τάδε τοι σόα μίμνῃ,
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε

σὸς πάϊς· οὐ μὲν γάρ τι μάχης ἐπιδεύετ᾽ Ἀχαιῶν.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
τίς δὲ σύ ἐσσι φέριστε τέων δ᾽ ἔξεσσι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες.
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·

πειρᾷ ἐμεῖο γεραιὲ καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ᾽ ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε δαΐζων ὀξέϊ χαλκῷ·
ἡμεῖς δ᾽ ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς

εἶα μάρνασθαι κεχολωμένος Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ᾽ ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ᾽ ἔξειμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ γ᾽ ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·

τῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ᾽ ἕπεσθαι.
νῦν δ᾽ ἦλθον πεδίον δ᾽ ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ἄστυ μάχην ἐλίκωπες Ἀχαιοί.
ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.

που οχτροί σου φοβεροί κι αντίμαχοι γυρνούν στα μέρη ετούτα;
Αν απ᾽ αυτούς κανένας σ᾽ έβλεπε με τόσο βιος που σέρνεις
μες στη γοργή νυχτιά την άφωτη, πώς θα σου ερχόταν τότε;
Πια νιος δεν είσαι συ, και γέροντας ο σύντροφός σου ετούτος,
και δε γλιτώνετε, μανιάζοντας αν σας ριχτεί κανένας.

Όμως κακό από εμέ μη σκιάζεσαι, μον᾽ θα σε διαφεντέψω,
κι αν άλλος σου ριχτεί᾽ τον κύρη μου πολύ μου τον θυμίζεις.»

Κι ο θεοπρόσωπος ο γέροντας του απηλογήθη τότε:
« Έτσι είναι αλήθεια αυτά, καλόπαιδο, καθώς τ᾽ αναθιβάνεις'
μα ένας θεός το χέρι του άπλωσε και τώρα πάνωθέ μου,
που τέτοιο συνεβγάλτη μου 'πεψε να βγει μπροστά μου τώρα,
στην ώρα πάνω, μ᾽ έτοιο ανάριμμα, μ᾽ έτοιο αρχοντίσιο διώμα'
κι ακόμα γνωστικά τα λόγια σου᾽ καλότυχοι οι γονιοί σου!»

Κι ο Αργοφονιάς του απηλογήθηκεν ο ψυχολάτης τότε:
« Τα που 'πες, δίχως άλλο, γέροντα, σωστά και δίκια ειν᾽ όλα,

μον᾽ έλα τώρα, δωσ᾽ μου απόκριση και πες την πάσα αλήθεια:
Το διαλεχτό σου βιος, το αρίφνητο, στα ξένα φευγατίζεις,
σε ανθρώπους μακρινούς, στον πόλεμο να μην τα χάσεις όλα;
για παρατάτε κιόλας σύψυχοι της άγιας Τροίας το κάστρο,
πάνω στο φόβο σας, που εχάσατε τον πιο αντρειωμένο τώρα,
το γιο σου, που στη μάχη ουτ᾽ ένας μας δεν τον περνούσε
Αργίτης;»

Κι ο θεοπρόσωπος ο γέροντας του απηλογήθη τότε:
« Ποιος να 'σαι τάχα εσύ, αρχοντόπουλο, και ποιοί οι γονιοί σου εσένα,
που έτσι καλά του γιου μου του άμοιρου τη μοίρα αναστορίζεις;»

Κι ο Αργοφονιάς του απηλογήθηκεν ο ψυχολάτης τότε:

«Σε δοκιμή με βάζεις, γέροντα, ρωτώντας για το γιο σου,
το θείο τον Έχτορα᾽ τα μάτια μου στη δοξαντρούσα μάχη
συχνά τον είδαν, κι όταν στρίμωχνε χαλνώντας τους Αργίτες
στα πλοία σιμά και τους μακέλευε με μυτερό κοντάρι·
και μεις σαστίζαμε και στέκαμε᾽ τι να 'βγούμε στη μάχη
δεν άφηνε ο Αχιλλέας, χολιάζοντας με τον υγιό του Ατρέα'
τι ένα καράβι εδώ μας έφερε, κι είμαι δικός του ακράνης,
των Μυρμιδόνων φύτρα ο κύρης μου—Πολύχτορα τον λένε—
έχει περίσσιο βιος, μα εγέρασε πια τώρα σαν κι εσένα·
κι εγέννησε έξι γιους κι ολόστερνον εμένα, και τον κλήρο

σα ρίξαμε όλοι, εγώ είμαι που 'λαχε να 'ρθώ με τα φουσάτα.
Και τώρα απ᾽ τα καράβια εκίνησα στον κάμπο, τι άμα φέξει
οι Δαναοί θ᾽ ανοίξουν πόλεμο στο κάστρο σας τρογύρα'
τι πια βαρέθηκαν να κάθουνται, κι ως λαχταρούν άπάλε,

τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
εἴς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
ᾗσι κυσὶν μελεΐστὶ ταμὼν προύθηκεν Ἀχιλλεύς.

τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
ὦ γέρον οὔ πω τόν γε κύνες φάγον οὐδ᾽ οἰωνοί,
ἀλλ᾽ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηΐ
αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
ἔσθουσ᾽, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως ἠὼς ὅτε δῖα φανήῃ,
οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθὼν
οἷον ἐερσήεις κεῖται, περὶ δ᾽ αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ᾽ ἕλκεα πάντα μέμυκεν
ὅσσ᾽ ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.
ὣς φάτο, γήθησεν δ᾽ ὸ γέρων, καὶ ἀμείβετο μύθῳ·
τέκος, ἦ ῥ᾽ ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις, ἐπεὶ οὔ ποτ᾽ ἐμὸς πάϊς, εἴ ποτ᾽ ἔην γε,
λήθετ᾽ ἐνὶ μεγάροισι θεῶν οἵ Ὄλυμπον ἔχουσι·
τώ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ᾽ ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρά κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι.
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
πειρᾷ ἐμεῖο γεραιὲ νεωτέρου, οὐδέ με πείσεις,
ὅς με κέλῃ σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ᾽ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
ἐνδυκέως ἐν νηῒ θοῇ ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.
καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
ἐν δ᾽ ἔπνευσ᾽ ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
ἀλλ᾽ ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
οἳ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,

πια δεν μπορούν οι βασιλιάδες μας να τους ανακρατήσουν.»

Κι ο θεοπρόσωπος ο γέροντας του απηλογήθη τότε:
«Αν του Αχιλλέα του αρχοντογέννητου λογιέσαι, ως λες, ακράνης,
τη χάρη κάνε μου κι ιστόρα μου σωστά την πάσα αλήθεια:
Ο γιος μου ακόμα τάχα κοίτεται μπρος στα καράβια, η κιόλα
τον πέταξε ο Αχιλλέας στους σκύλους του, κοψίδια κάνοντας τον;»

Κι ο Αργοφονιάς του απηλογήθηκεν ο ψυχολάτης τότε:
« Δεν τον έφαγαν, όχι, γέροντα, τα όρνια κι οι σκύλοι ακόμα'
πλάι στου Αχιλλέα την πρύμνα ανέβλαβος κοίτεται ο γιος σου
πάντα,
μες στο καλύβι. Μέρες δώδεκα που κοίτεται πέρασαν,
και το κορμί του δεν εσάπισε, κι-ουδέ και τα σκουλήκια
τον έχουν φάει, που όσους σκοτώνουνται στον πόλεμο τους τρώνε.
Απ᾽ του ακριβού του ακράνη ολόγυρα το μνήμα δίχως σπλάχνος
τον σούρνει αλήθεια κάθε χάραμα, σύντας η αυγή προβάλει'
κακό κανένα όμως δεν του 'κανε᾽ πηγαίνοντας κι ατός σου
θα το θαμάξεις, που 'ναι ολόδροσος, και γύρα του έχουν φύγει
τα γαίματα, και μένει αμάλαγος, και κλείσαν κι οι πληγές του,
που τόσες στο κορμί του ρίχνοντας με το χαλκό του άνοιξαν.
Έτσι γνοιάζονται οι τρισμακάριστοι θεοί για τον υγιό σου,
ας είναι και νεκρός· κατάκαρδα μαθές τον αγάπησαν.»

Είπε, κι ο γέρος αναγάλλιασε κι απηλογιά του δίνει:
« Παιδί μου, δώρα στους αθάνατους καλό 'ναι να χαρίζεις
παράξια· τους θεούς δεν ξέχασε, στον Όλυμπο που ζούνε,
κι ο γιος μου—γιο ποτέ αν αξιώθηκα!—στο αρχοντικό του μέσα.
Και τώρα αυτοί του το θυμήθηκαν, κι ας είναι πεθαμένος.
Μον᾽ έλα, τούτη την πανέμορφη δέξου από μένα κούπα,
και γίνε μου σκεπός κι οδήγα με με των θεών τη χάρη, -
ως στου Αχιλλέα να φτάσω απείραχτος και να 'μπω το καλύβι.»

Κι ο Αργοφονιάς του απηλογήθηκεν ο ψυχολάτης τότε:
« Σε πειρασμό με βάζεις, γέροντα, τον νιον εμένα᾽ ωστόσο
του κάκου πολεμάς καί σπρώχνεις με τα δώρα σου να πάρω
κρυφά απ᾽ τον Αχιλλέα· τον ντρέπουμαι περίσσια, και φοβούμαι
να πάρω από δικά του, γρήγορα μην έβγει σε κακό μου.
Ωστόσο εγώ θα σε συντρόφευα κι ως το ακουσμένο το Άργος
με την καρδιά μου, σε πλεούμενο για και πεζός μαζί σου,
και θα 'βλεπε τι αξίζω, αν του 'ρχονταν να σου ριχτεί κανένας.»

Αυτά είπε ο Ερμής, κι αμέσως πήδηξε πα στο ζεμένο αμάξι,
και δίχως άργητα τα νιόλουρα και το μαστίγι αρπάζει,
και τα μουλάρια και τ᾽ αλόγατα πέρφανη ορμή γιομίζει.
Μα σύντας πια στους πύργους έφτασαν των πλοίων και στο
χαντάκι.

τοῖσι δ᾽ ἐφ᾽ ὕπνον ἔχευε διάκτορος ἀργεϊφόντης
πᾶσιν, ἄφαρ δ᾽ ὤϊξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
ἐς δ᾽ ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ᾽ ἐπ᾽ ἀπήνης.
ἀλλ᾽ ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι

δοῦρ᾽ ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
λαχνήεντ᾽ ὄροφον λειμωνόθεν ἀμήσαντες·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
σταυροῖσιν πυκινοῖσι· θύρην δ᾽ ἔχε μοῦνος ἐπιβλὴς
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί,

τρεῖς δ᾽ ἀναοίγεσκον μεγάλην κληῖδα θυράων
τῶν ἄλλων· Ἀχιλεὺς δ᾽ ἄρ᾽ ἐπιρρήσσεσκε καὶ οἷος·
δή ῥα τόθ᾽ Ἑρμείας ἐριούνιος ᾧξε γέροντι,
ἐς δ᾽ ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλεΐωνι,
ἐξ ἵππων δ᾽ ἀπέβαινεν ἐπὶ χθόνα φώνησέν τε·

ὦ γέρον ἦτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
ἀλλ᾽ ἦτοι μὲν ἐγὼ πάλιν εἶσομαι, οὐδ᾽ Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·

τύνη δ᾽ εἰσελθὼν λαβὲ γούνατα Πηλεΐωνος,
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.
ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ᾽ ἐξ ἵππων ἅλτο χαμᾶζε,

Ἰδαῖον δὲ κατ᾽ αὖθι λίπεν· ὃ δὲ μίμνεν ἐρύκων
ἵππους ἡμιόνους τε· γέρων δ᾽ ἰθὺς κίεν οἴκου,
τῇ ῥ᾽ Ἀχιλεὺς ἴζεσκε Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
εὗρ᾽, ἕταροι δ᾽ ἀπάνευθε καθήατο· τὼ δὲ δύ᾽ οἴω
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος ὄζος Ἄρηος

ποίπνυον παρεόντε· νέον δ᾽ ἀπέληγεν ἐδωδῆς
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺς δ᾽ ἔλαθ᾽ εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ᾽ ἄρα στὰς
χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας
δεινὰς ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.

ὡς δ᾽ ὅτ᾽ ἂν ἄνδρ᾽ ἄτη πυκινὴ λάβῃ, ὅς τ᾽ ἐνὶ πάτρῃ
φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ᾽ ἔχει εἰσορόωντας,
ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα·
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.

στην ώρα πάνω που οι βαρδιάτορες το δείπνο τους συντάζαν,
σε όλων τα μάτια πάνω εστάλαξεν ο Ψυχολάτης ύπνο'
κι όπως ανοίγει τις καστρόπορτες, τα μάνταλα τραβώντας,
μπάζει τον Πρίαμο ευτύς, και πίσω του το αμάξι με τα δώρο
Καί σύντας στου Αχιλλέα τ᾽ ορθόψηλο καλύβι ομπρός έφτασαν,
που οι Μυρμιδόνες για το ρήγα τους από κορμούς κομμένους

ελάτου είχαν στελιώσει, κι έριξαν και στέγαση από πάνω,
τριφύλλια φουντωτά σωριάζοντας, κομμένα από λιβάδι'
και γύρα έφτιασαν για το ρήγα τους με σταυρωτά παλούκια
μεγάλη αύλή᾽ κι εσφάλνα η πόρτα του μ᾽ έναν μονάχα σύρτη
ελάτινο, που τρεις παιδεύουνταν Αργίτες να τον σπρώξουν,
και τρεις ξανά το μέγα μάνταλο ν᾽ ανοίξουνε της πόρτας'
μόνο ο Αχιλλέας και δίχως βόηθηση τον έσπρωχνε μονάχος᾽
όμως ο Ερμής στο γέροντα άνοιξεν ο πρωτοκλέφτης τότε·
κι ως του γοργού Αχιλλέα συνέμπασε τα πλούσια δώρα μέσα,
στο χώμα από το αμάξι επήδηξε κι αυτά του συντυχαίνει:

«Αθάνατος λογιέμαι, γέροντα, θεός, μαζί σου που 'ρθα,
ο Ερμής σταλμένο μ᾽ έχει ο κύρης μου να σου σταθώ στη στράτα.
Ωστόσο φεύγω εγώ᾽ δε θα 'θελα ν᾽ αντικριστώ στα μάτια
με του Πηλέα το γιο, τι αθάνατος θεός πρεπό δεν είναι
έτσι να δείχνει πια ολοφάνερα σ᾽ έναν θνητόν αγάπη.
Μα εσύ, σα μπεις, από τα γόνατα τον Αχιλλέα να πιάσεις,
και στον πατέρα και στη μάνα του την ομορφομαλλούσα
να τον ξορκίσεις, και στο τέκνο του, να μαλακώσει η οργή του.»

Αυτά είπε ο Ερμής, κι ευτύς στον Όλυμπο τον αψηλό μισεύει'
κι ο Πρίαμος τότε από το αμάξι του πηδάει στο χώμα κάτω,

κι έμεινε ο Ιδαίος εκεί προσμένοντας, κι είχε το νου μη φύγουν
τ᾽ άτια κι οι μούλες τους. Κι ο γέροντας γραμμή τραβάει στο σπίτι,
κει που ο Αχιλλέας ο αρχοντογέννητος βρισκόταν, και τον βλέπει
μπροστά του. Οι συντρόφοι του απόμακρα καθόνταν δυο μονάχα
τρογύρα τον γνοιάζονταν, ο Άλκιμος, ο γαύρος πολέμαρχος,
κι ο ψυχωμένος Αυτομέδοντας᾽ τι ότι είχε ξετελέψει.
που 'τρωγε κι έπινε, και στέκουνταν πλάι το τραπέζι ακόμα.
Και μπαίνει ο μέγας Πρίαμος άνιωστος, τον Αχιλλέα ζυγώνει,
τα δυο του πιάνει αμέσως γόνατα, και τ᾽ αντροφόνα χέρια,
τα φοβερά, φιλεί, που του 'χανε πολλούς υγιούς σκοτώσει.

Σε συφορά βαριά πώς έπεσε κανείς, ποτ τύχει κάποιον
να 'χει σκοτώσει μες στον τόπο του, και σε άλλες χώρες φτάνει,
σε πλούσιου αρχόντου σπίτι, κι όλοι τους σαστίζουν που τον βλέπουν
παρόμοια κι ο Αχιλλέας εσάστισε να ιδεί τον Πρίαμο ομπρός του

τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
τηλίκου ὥς περ ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ·
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ᾽, οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.

ἀλλ᾽ ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων
χαίρει τ᾽ ἐν θυμῷ, ἐπί τ᾽ ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι.

πεντήκοντά μοι ἦσαν ὅτ᾽ ἤλυθον υἷες Ἀχαιῶν·
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ᾽ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ᾽ ἔλυσεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς,

τὸν σὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης
Ἕκτορα· τοῦ νῦν εἵνεχ᾽ ἱκάνω νῆας Ἀχαιῶν
λυσόμενος παρὰ σεῖο, φέρω δ᾽ ἀπερείσι᾽ ἄποινα.
ἀλλ᾽ αἰδεῖο θεοὺς Ἀχιλεῦ, αὐτόν τ᾽ ἐλέησον
μνησάμενος σοῦ πατρός· ἐγὼ δ᾽ ἐλεεινότερός περ,

ἔτλην δ᾽ οἷ᾽ οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ᾽ ὀρέγεσθαι.
ὣς φάτο, τῷ δ᾽ ἄρα πατρὸς ὑφ᾽ ἵμερον ὦρσε γόοιο·
ἁψάμενος δ᾽ ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω ὃ μὲν Ἕκτορος ἀνδροφόνοιο

κλαῖ᾽ ἀδινὰ προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ᾽, ἄλλοτε δ᾽ αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ᾽ ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
καί οἱ ἀπὸ πραπίδων ἦλθ᾽ ἵμερος ἠδ᾽ ἀπὸ γυίων,

αὐτίκ᾽ ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη
οἰκτίρων πολιόν τε κάρη πολιόν τε γένειον,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ἆ δείλ᾽, ἦ δὴ πολλὰ κάκ᾽ ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἷος

ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
ἀλλ᾽ ἄγε δὴ κατ᾽ ἄρ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ·
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο·

Σαστίσαν γύρα του κι οι σύντροφοι, κι ο ένας τον άλλο εθώρουν.
Κι ο Πρίαμος τότε τέτοια αρχίνησε να λέει παρακαλώντας:
« Βάλε στο νου, Αχιλλέα θεόμορφε, τον κύρη το δικό σου'
ενός καιρού 'μαστε, στην τελείωση των γερατιών των έρμων.
Μπορεί κι αυτός απ᾽ τους γειτόνους του να τυραννιέται γύρα,
κι ούτε ένα απ᾽ το κακό κι απ᾽ το άδικο διαφεντευτή δεν έχει.

Μα εκείνος, ζωντανός ακούγοντας πως είσαι, αναγαλλιάζει
βαθιά στα φρένα, και νυχτόημερα τον δυναμώνει η ελπίδα,
τον ακριβό του υγιό πως κάποτε θα ιδεί απ την Τροία να γέρνει.
Μα εγώ ο τρισάμοιρος, που αξιώθηκα τους γιους τους πιο
αντρειωμένους
στην Τροία να κάνω την απλόχωρη, καί δε μου απόμεινε ένας!
Είχα πενήντα γιους, σαν έφτασαν οι Αργίτες εδώ πέρα'
οι δεκαεννιά απ᾽ την ίδια εβγήκανε κοιλιά, τους άλλους όλους
μες στο παλάτι μου τους γέννησαν άλλες γυναίκες που 'χα.
Οι πιο πολλοί απ᾽ τον Άρη εχάθηκαν τον άγριο, και τον έναν,
ξεχωριστό, που μου παράστεκε την Τροία και μας τους ίδιους,

την πατρική του γη ως διαφέντευε, τον σκότωσες πριν λίγες
μέρες, τον Έχτορα. Για χάρη του στα πλοία σας φτάνω τώρα,
να τον λυτρώσω με την άμετρη την ξαγορά που φέρνω.
Έλα, σεβάσου τους αθάνατους, συμπόνεσε και μένα,
τον κύρη σου, Αχιλλέα, θυμάμενος᾽ πιο αξίζω εγώ συμπόνια'
τι εβάστηξα ό,τι δεν εβάστηξε κανείς θνητός στον κόσμο,
του αντρούς πού τους υγιούς μου εσκότωσε το χέρι να φιλήσω!»

Είπε, και τον καημό του εφούντωσε για το δικό του κύρη,
κι έσπρωξε ανάλαφρα το γέροντα, το χέρι πιάνοντας του.
Μαζί τους έπνιξαν οι θύμησες, τον έναν του αντρειωμένου

του Εχτόρου, κι έκλαιγεν, ως σούρνονταν μπρος στου Αχιλλέα τα
πόδια'
θρηνούσε κι ο Αχιλλέας, τον κύρη του θυμάμενος, και πότε
τον Πάτροκλο, κι ως πέρα οι θρήνοι τους γιόμιζαν το καλύβι.
Μα σύντας ο Αχιλλέας εχόρτασεν ο αρχοντικός το κλάμα,
κι ο πόθος απ᾽ τα σπλάχνα του έφυγε κι από τα γόνατα του,
πετάχτη απ᾽ το θρονί κι ανάσκωσε το γέροντα απ᾽ το χέρι,
ψυχοπονώντας τον για το άσπρο του κεφάλι, τ᾽ άσπρα γένια,
και κράζοντας τον με ανεμάρπαστα του συντυχαίνει λόγια:
« Άμοιρε εσύ και που ποτίστηκες πικρά φαρμάκια τόσα!
Μονάχος να 'ρθεις πώς το βάσταξες στ᾽ Αργίτικα καράβια,

τον άντρα ν᾽ αντικρίσεις, που άμετρους και ψυχωμένους γιους σου
σου χάλασα; Καρδιά από σίδερο στα στήθια αλήθεια κλείνεις!
Μον᾽ έλα, στο θρονί για κάθισε, και τους καημούς μας όλους
να γαληνέψουν ας αφήσουμε, κι ας καίγεται η καρδιά μας·
όχι, δε βγαίνει τίποτα όφελος απ᾽ το φριχτό το κλάμα.
Τέτοια οι θεοί μαθές στους άμοιρους θνητούς έκλωσαν μοίρα,

ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων·
ᾧ μέν κ᾽ ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,

ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ᾽ ἐσθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
καί έ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ᾽ οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
ὡς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα

ἐκ γενετῆς· πάντας γὰρ ἐπ᾽ ἀνθρώπους ἐκέκαστο
ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
ἀλλ᾽ ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττί οἱ οὔ τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,

ἀλλ᾽ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σὲ γέρον τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω Μάκαρος ἔδος ἐντὸς ἐέργει

καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
τῶν σε γέρον πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγον Οὐρανίωνες
αἰεί τοι περὶ ἄστυ μάχαι τ᾽ ἀνδροκτασίαι τε.
ἄνσχεο, μὴ δ᾽ ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·

οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱὸς ἑῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
μή πω μ᾽ ἐς θρόνον ἵζε διοτρεφὲς ὄφρά κεν Ἕκτωρ
κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής, ἀλλὰ τάχιστα

λῦσον ἵν᾽ ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
πολλά, τά τοι φέρομεν· σὺ δὲ τῶνδ᾽ ἀπόναιο, καὶ ἔλθοις
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

μηκέτι νῦν μ᾽ ἐρέθιζε γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθε
μήτηρ, ἥ μ᾽ ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δέ σε γιγνώσκω Πρίαμε φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ᾽ ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

να ζουν με πίκρες και με βάσανα, κι αυτοί περνούν ανέγνοιοι.
Μπροστά στου Δία την πόρτα βρίσκουνται στημένα δυο πιθάρια,
να 'χει να δίνει, το 'να βάσανα, το άλλο αγαθά γεμάτο.
Κι αν δώσει ο Δίας ο κεραυνόχαρος μαζί απ᾽ τα δυο σε κάποιον,

πότε λαχαίνει τούτος βάσανα, πότε χαρές μεγάλες.
Μ᾽ απ᾽ τα κακά μονάχα αν του 'δωσε, τον πνίγει η καταφρόνια,
τον κυνηγάει λιμάγρα αβάσταχτη στην άγια γης απάνω,
και τριγυρνάει κι απ᾽ τους αθάνατους κι απ᾽ τους θνητούς
διωγμένος.
Έτσι οι θεοί απ᾽ τα γεννητάτα του και στον Πηλέα χαρίσαν
δώρα μεγάλα, και ξεχώριζε μες στους ανθρώπους όλους
σε πλούτη κι αγαθά, κι αφέντευε στους Μυρμιδόνες μέσα,
και μια θεά για να 'χει του 'δωκαν, θνητός κι ας ήταν, ταίρι.
Όμως ο Δίας με δίχως βάσανα δεν άφησε και τούτον
γιους στο παλάτι του δε γέννησε, του θρόνου κληρονόμους·

έναν υγιό μονάχα αξιώθηκε λιγόχρονο, που μήτε
καν τώρα που γερνά τον γνοιάζομαι, τι απ᾽ την πατρίδα αλάργα
κάθουμαι εδώ στην Τροία, τα τέκνα σου να τυραννώ και σένα!
Και συ πιο πριν, ακούμε, γέροντα, χαιράμενος περνούσες'
τι απ᾽ όσους ζουν στη Λέσβο ανάμεσα, στου Μάκαρα τη χώρα,
και στη Φρυγία και στον απέραντον Ελλήσποντο από πάνω,
δε σε νικούσε ουτ᾽ ένας, γέροντα, σε υγιούς και πλούτη, λένε.
Μ᾽ απ᾽ τη στιγμή οι θεοί που σ᾽ έριξαν σ᾽ έτοιο κακό, μιαν ώρα
γύρω απ᾽ το κάστρο δε σου απόλειψαν οι σκοτωμοί κι οι μάχες.
Υπομονέψου ωστόσο, αδιάκοπα μη δέρνεσαι του κάκου'

δε βγαίνει από τη λύπη τίποτα· το γιο σου δε γυρίζεις
πίσω ξανά· πιο πριν απάντεχε κι άλλο κακό να σ᾽ έβρει!»

Κι ο θεοπρόσωπος ο γέροντας απηλογήθη τότε:
« Μη μου ζητάς, αρχοντογέννητε, να κάτσω· ακόμα ο γιος μου
παραριγμένος κάπου κοίτεται μες στο καλύβι· αχ έλα,
για λύτρωσε τον, με τα μάτια μου να τον ιδώ, και δέξου
την πλούσια ξαγορά που φέρνουμε᾽ γεια και χαρά σου, παρ᾽ τη!
Κι έτσι να γύρεις στην πατρίδα σου γερός, αφού με αφήκες
και μένα ζωντανό, να χαίρουμαι του ήλιου το φως ακόμα.»

Τότε ο Αχιλλέας ο γοργοπόδαρος ταυροκοιτώντας του 'πε:

«Μη με φουρκίζεις τώρα, γέροντα! το 'χω κι εγώ στο νου μου
να σου λυτρώσω πια τον Έχτορα᾽ τι ήρθε απ᾽ το Δία μηνύτρα
η ίδια η μητέρα μου, του γέροντα της θάλασσας η κόρη.
Κι εγώ το νιώθω, Πρίαμε, σίγουρα, το νου μου δεν ξεφεύγει,
κάποιος θεός εδώ πως σ᾽ έφερε στ᾽ Αργίτικα καράβια'

οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ᾽ ἡβῶν,
ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ᾽ ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τὼ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μή σε γέρον οὐδ᾽ αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω

καὶ ἱκέτην περ ἐόντα, Διὸς δ᾽ ἀλίτωμαι ἐφετμάς.
ὣς ἔφατ᾽, ἔδεισεν δ᾽ ὃ γέρων καὶ ἐπείθετο μύθῳ.
Πηλεΐδης δ᾽ οἴκοιο λέων ὡς ἆλτο θύραζε
οὐκ οἶος, ἅμα τῷ γε δύω θεράποντες ἕποντο
ἥρως Αὐτομέδων ἠδ᾽ Ἄλκιμος, οὕς ῥα μάλιστα

τῖ᾽ Ἀχιλεὺς ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα,
οἳ τόθ᾽ ὑπὸ ζυγόφιν λύον ἵππους ἠμιόνους τε,
ἐς δ᾽ ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
κὰδ δ᾽ ἐπὶ δίφρου εἶσαν· ἐϋξέστου δ᾽ ἀπ᾽ ἀπήνης
ᾖρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι᾽ ἄποινα.

κὰδ δ᾽ ἔλιπον δύο φάρε᾽ ἐΰννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσας δοίη οἶκον δὲ φέρεσθαι.
δμῳὰς δ᾽ ἐκκαλέσας λοῦσαι κέλετ᾽ ἀμφί τ᾽ ἀλεῖψαι
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν,
μή ὃ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο

παῖδα ἰδών, Ἀχιλῆϊ δ᾽ ὀρινθείη φίλον ἦτορ,
καί ἑ κατακτείνειε, Διὸς δ᾽ ἀλίτηται ἐφετμάς.
τὸν δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸς τόν γ᾽ Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,

σὺν δ᾽ ἕταροι ἤειραν ἐϋξέστην ἐπ᾽ ἀπήνην.
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
μή μοι Πάτροκλε σκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἀΐδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.

σοὶ δ᾽ αὖ ἐγὼ καὶ τῶνδ᾽ ἀποδάσσομαι ὅσσ᾽ ἐπέοικεν.
ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς,
ἕζετο δ᾽ ἐν κλισμῷ πολυδαιδάλῳ ἔνθεν ἀνέστη
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
υἱὸς μὲν δή τοι λέλυται γέρον ὡς ἐκέλευες,

κεῖται δ᾽ ἐν λεχέεσσ᾽· ἅμα δ᾽ ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ᾽ ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο
ἓξ μὲν θυγατέρες, ἓξ δ᾽ υἱέες ἡβώοντες.

τι άλλος κανείς ως τα λημέρια μας δε θα βαστούσε να 'ρθει,
κι ας ήταν νιος· οι φυλάκτορες θα τόνε βλέπαν κι ούτε
το σύρτη από την πόρτα μου εύκολα μπορούσε να κουνήσει.
Γι᾽ αυτό τα φρένα μες στον πόνο μου μη μου ταράζεις τώρα,
και σένα απ᾽ το καλύβι, γέροντα, τον ίδιο μην πετάξω,

κι ας είσαι ικέτης μου᾽ το θέλημα του Δία πατώντας έτσι.»

Είπε, κι ο γέροντας φοβήθηκε κι υπάκουσε στο λόγο.
Τότε ο Αχιλλέας σα λιόντας πήδηξε κι όξω απ᾽ την πόρτα εβγήκε,
όχι μονάχος του᾽ τον Άλκιμο πήρε μαζί του ακόμα
και τον αντρόκαρδο Αυτομέδοντα, τους δυο πιστούς συντρόφους,
που απ᾽ τον καιρό που έχάθη ο Πάτροκλος πιο απ᾽ όλους
αγαπούσε.
Και πιάνουν τότε οι τρεις και τ᾽ άλογα ξεζεύουν και τις μούλες,
κι ως φέραν μέσα το βροντόφωνο του γέροντα διαλάλη,
να κάτσει σε σκαμνί τον έβαλαν κι από το στέριο κάρο
το βιος ξεφόρτωσαν το αρίφνητο, την ξαγορά του Εχτόρου'

κι αφήκαν μόνο ένα καλόφαντο πανί και δυο κιλίμια,
να 'ναι ο νεκρός, ως θα τον έπαιρναν να φύγουν, σκεπασμένος.
Μετά τις σκλάβες όξω εφώναξε και λέει να τον ασκώσουν
πέρα μακριά, κι αφού τον λούσουνε, να τον αλείψουν μύρα·
τι αλλιώς, το γιο του ο Πρίαμος βλέποντας, μπορούσε στον καημό
του
ν᾽ αφήσει να ξεσπάσει η πίκρα του᾽ κι αν θύμωνε ο Αχιλλέας,
θα τον εσκότωνε, το θέλημα του Δία πατώντας έτσι.
Κι ως οι γυναίκες τον απόλουσαν και τον άλειψαν μύρα
και γύρα το χιτώνα του 'βαλαν και τ᾽ όμορφο κιλίμι,
πήρε ο Αχιλλέας και τον απίθωσε στο στρώμα πάνω ατός του,

κι οι σύντροφοι του τον εσήκωσαν στο τορνευτό καρότσι.
Τότε ο Αχιλλέας θρηνώντας έκραξε το σύντροφο του κι είπε:
« Μη μου χολιάζεις, όχι, Πάτροκλε, σα μάθεις και στον Άδη
το θείο τον Έχτορα πως λύτρωσα και δίνω πίσω᾽ τι όσα
μου 'δωσε ο κύρης του γι᾽ αντίμεμα του πεταμού δεν είναι.
Και συ απ᾽ αυτά θα πάρεις, έννοια σου, το μερτικό που πρέπει.»

Είπε ο Αχιλλέας ο αρχοντογέννητος, και στο καλύβι πίσω
μπαίνοντας κάθισε στ᾽ ωριόπλουμο θρονί, που πριν καθόταν,
στον τοίχο αντίκρα, κι έτσι εμίλησε στο γέροντα γυρνώντας:
«Ο γιος σου, Πρίαμε, πια λυτρώθηκε, το θέλημα σου εγίνη,

κι απά στο στρώμα τώρα κοίτεται᾽ θα τόνε ιδείς κι ατός σου
ευτύς ως φέξει, κουβαλώντας τον᾽ καιρός για δείπνο τώρα.
Κι η Νιόβη ακόμα η καλοπλέξουδη στερνά να φάει θυμήθη,
που δώδεκα παιδιά της έχασε στο αρχοντικό της μέσα,
γιους έξι στον ανθό της νιότης τους και θυγατέρες έξι·

τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ᾽ ἀργυρέοιο βιοῖο
χωόμενος Νιόβῃ, τὰς δ᾽ Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ᾽ ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ·
φῆ δοιὼ τεκέειν, ἣ δ᾽ αὐτὴ γείνατο πολλούς·
τὼ δ᾽ ἄρα καὶ δοιὼ περ ἐόντ᾽ ἀπὸ πάντας ὄλεσσαν.

οἳ μὲν ἄρ᾽ ἐννῆμαρ κέατ᾽ ἐν φόνῳ, οὐδέ τις ἦεν
κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
τοὺς δ᾽ ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
ἣ δ᾽ ἄρα σίτου μνήσατ᾽, ἐπεὶ κάμε δάκρυ χέουσα.
νῦν δέ που ἐν πέτρῃσιν ἐν οὔρεσιν οἰοπόλοισιν

ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
νυμφάων, αἵ τ᾽ ἀμφ᾽ Ἀχελώϊον ἐρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα δῖε γεραιὲ
σίτου· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα

Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
ἦ καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
σφάξ᾽· ἕταροι δ᾽ ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.

Αὐτομέδων δ᾽ ἄρα σῖτον ἐλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἳ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ᾽ Ἀχιλῆα

ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει·
αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς
εἰσορόων ὄψίν τ᾽ ἀγαθὴν καὶ μῦθον ἀκούων.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·

λέξον νῦν με τάχιστα διοτρεφές, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν
ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν,
ἀλλ᾽ αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω

αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην.
ἦ ῥ᾽, Ἀχιλεὺς δ᾽ ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε
δέμνι᾽ ὑπ᾽ αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ

τους γιους ο Απόλλωνας τους σκότωσε με το αργυρό δοξάρι
θυμώνοντας της Νιόβης, κι η Άρτεμη τις κόρες η δοξεύτρα,
με τη Λητώ τη ροδομάγουλη καθώς συνεριζόταν,
τάχα παιδιά πολλά πως γέννησε, και δυο η Λητώ μονάχα'
όμως εκείνοι, δυο κι ας ήτανε, της τα σκότωσαν όλα.

Μέρες εννιά κοιτόνταν στο αίμα τους, κι ουτ᾽ ένας δε βρισκόταν
για να τα θάψει᾽ τι είχε γύρω τους τον κόσμο ο Δίας πετρώσει.
Τέλος, στις δέκα απάνω, τα 'θαψαν οι αθάνατοι του Ολύμπου'
κι αύτη να κλαίει σαν πια κουράστηκε, στερνά να φάει θυμήθη.
Τώρα σε βράχια κάπου, ανάμεσα σε απάτητα φαράγγια,
στη Σίπυλο, που λεν πως διάλεξαν οι αθάνατες νεράιδες
να 'χουν λημέρι, και χορεύουνε στον Αχελώο τρογύρα,
κλωσάει τους πόνους τους θεόσταλτους, κι ας έχει γίνει πέτρα.
Ομπρός λοιπόν, σεβάσμιε γέροντα, κι εμείς να φάμε τώρα,
κι έχεις καιρό να κλάψεις έπειτα τον ακριβό το γιο σου,

στο κάστρο ως θα τον μπάσεις᾽ κλάματα —αλλά στ᾽ αλήθεια
αξίζει!»

Είπε ο Αχιλλέας, και σβέλτος πήδηξε, κι αρνί κάτασπρο σφάζει·
κι οι σύντροφοί του, ευτύς που το 'γδαραν, το γνοιάστηκαν ως
πρέπει,
το λιάνισαν μετά και πέρασαν στις σούβλες τα κομμάτια,
κι ως στη φωτιά με τέχνη τα 'ψησαν, τ᾽ αποτραβήξαν όλα.
Τότε ο Αυτομέδοντας μες σε όμορφα πανέρια στο τραπέζι
ψωμί μοιράζει, κι ο πανέμνοστος γιος του Πηλέα το κρέας.
Κι έτσι πια εκείνοι ομπρός τους στα έτοιμα φαγιά τα χέρια άπλωσαν
και σύντας του πιοτού θαράπεψαν και του φαγιού τον πόθο,
να καμαρώνει ο Πρίαμος άρχισε τον Αχιλλέα, θωρώντας

πόσο τρανός φαινόταν κι όμορφος, με τους θεούς παρόμοιος.
Ωστόσο κι ο Αχιλλέας καμάρωνε το γέροντα αντικρύ του,
το αρχοντικό του θώρι βλέποντας, το λόγο του γρικώντας.
Μα πια σα χόρτασαν θαμάζοντας ο ένας τον άλλο, πρώτος
Ο Πρίαμος πήρε ο θεοπρόσωπος κι αρχίνησε να λέει:
« Βάλε με τώρα, αρχοντογέννητε, να γείρω σε κλινάρι,
καιρό μη χάνεις, τον ολόγλυκο τον ύπνο να χαρούμε᾽
τι μάτι ακόμα εγώ δε σφάλιξα στα βλέφαρα από κάτω
από την ώρα που τα χέρια σου νεκρό το γιο μου έριξαν,
μον᾽ όλο κλαίω και τα φαρμάκια μου τα μύρια αναχαράζω,

μες στη φραγμένη αυλή μου ως κοίτουμαι, στη λάσπη κυλισμένος.
Μα τώρα και κρασί κατέβασα φλογάτο απ᾽ το λαιμό μου
και ψωμί γεύτηκα᾽ πρωτύτερα θροφή δεν είχα αγγίξει.»
Αυτά είπε, κι ο Αχιλλέας τους συντρόφους προστάζει και τις δούλες
στο σκεπαστό να στρώσουν γρήγορα, και βυσσινιά να βάλουν

πορφύρε᾽ ἐμβαλέειν, στορέσαι τ᾽ ἐφύπερθε τάπητας,
χλαίνας τ᾽ ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
αἳ δ᾽ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
αἶψα δ᾽ ἄρα στόρεσαν δοιὼ λέχε᾽ ἐγκονέουσαι.
τὸν δ᾽ ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

ώρια στρωσίδια, κι από πάνω τους ν᾽ απλώσουν αντρομίδες,
κι ακόμα και σγουρές για σκέπασμα φλοκάτες από πάνω.
Κι εκείνες βγήκαν απ᾽ την κάμαρα με τα δαδιά στα χέρια,
και γρήγορα, με βιάση ως δούλευαν, τους στρώσαν δυο κλινάρια.

Τότε ο Αχιλλέας ο γοργοπόδαρος πειράζοντας τον είπε:

ἐκτὸς μὲν δὴ λέξο γέρον φίλε, μή τις Ἀχαιῶν
ἐνθάδ᾽ ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἢ θέμις ἐστί·
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ᾽ ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,

καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·

Κι ο θεοπρόσωπος ο γέροντας του απηλογήθη τότε:

εἰ μὲν δή μ᾽ ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων Ἀχιλεῦ κεχαρισμένα θείης.
οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ᾽ ὕλη
ἀξέμεν ἐξ ὄρεος, μάλα δὲ Τρῶες δεδίασιν.
ἐννῆμαρ μέν κ᾽ αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,

τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός,
ἐνδεκάτῃ δέ κε τύμβον ἐπ᾽ αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν εἴ περ ἀνάγκη.
τὸν δ᾽ αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
ἔσται τοι καὶ ταῦτα γέρον Πρίαμ᾽ ὡς σὺ κελεύεις·

Αν να με αφήσεις θες τον Έχτορα τον αντρειανό να θάψω,
αυτό, Αχιλλέα, να κάνεις, κι άμετρη θα σου χρωστούσα χάρη:
Κλεισμένοι στο καστρί βρισκόμαστε, το ξέρεις, κι είναι αλάργα
τα ξύλα απ᾽ το βουνό ως να φέρουμε, κι οί Τρώες δειλιούν περίσσια.
Μέρες εννιά μες στο παλάτι μου θα τον μοιρολογούμε,
στις δέκα πάνω θα τον θάψουμε κι η μακαριά θα γένει,
μετά, στις έντεκα, από πάνω του θ᾽ ασκώσουμε μνημούρι,
και πια στις δώδεκα στον πόλεμο θα μπούμε, αν είναι ανάγκη.»

Και τότε ο αρχοντικός, γοργόποδος του μίλησε Αχιλλέας:
«Και τούτα θα σου γίνουν, γέροντα, καθώς τα θέλεις τώρα'

σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας.
ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει᾽ ἐνὶ θυμῷ.
οἳ μὲν ἄρ᾽ ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε᾽ ἔχοντες,

αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δὲ Βρισηΐς παρελέξατο καλλιπάρῃος.
ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ᾽ οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν

θα ορίσω να σκολάσει ο πόλεμος όσον καιρό γυρεύεις.»

Αυτά είπε, κι έπιασε το γέροντα στο χέρι το δεξιό του,
πα στον αρμό, καμιά στα σπλάχνα του μην έχει πια τρομάρα.·
Έτσι σε λίγο στον αυλόγυρο κοιμόντουσαν εκείνοι,
ο γέρο Πρίαμος κι ο διαλάλης του, κι οι δυο τους μυαλωμένοι.
Κοιμόταν κι ο Αχιλλέας στο στέριο του μέσα βαθιά καλύβι,
και δίπλα του είχε η ροδομάγουλη ξαπλώσει Βρισοπούλα.

Οι άλλοι, θνητοί καστροπολέμαρχοι κι αθάνατοι, εκοιμόνταν
ολονυχτίς, απ᾽ τον ολόγλυκο τον ύπνο δαμασμένοι'
μονάχα τον Ερμή δεν έπιανε τον πρωτοκλέφτη ο γύπνος,

ὀρμαίνοντ᾽ ἀνὰ θυμὸν ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
ὦ γέρον οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ᾽ εὕδεις
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ᾽ εἴασεν Ἀχιλλεύς.

τι μες στο νου του στριφογύριζε το πως θα ξεμακρύνει
το βασιλιά τον Πρίαμο απ᾽ τ᾽ άρμενα, κρυφά απ᾽ τους θυροκράτες'
τρέχει και στέκεται από πάνω του κι αυτά του λέει τα λόγια:
« Κακό δε βάζει ο νους σου, γέροντα, κι έτσι κοιμάσαι ανέγνοιος
μες στους αντίμαγους, απείραγτο μια κι ο Αχιλλέας σ᾽ αφήκε

καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ᾽ ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ᾽ Ἀγαμέμνων
γνώῃ σ᾽ Ἀτρεΐδης, γνώωσι δὲ πάντες Ἀχαιοί.
ὣς ἔφατ᾽, ἔδεισεν δ᾽ ὃ γέρων, κήρυκα δ᾽ ἀνίστη.

Το γιο σου τώρα κι αν ελύτρωσες με τα πολλά σου δώρα,
όμως οι γιοι σου λέω που απόμειναν για τη ζωή σου εσένα
τριπλά θα δώσουν, ο Αγαμέμνονας, ο γιος του Ατρέα, σα μάθει
εδώ πως βρίσκεσαι, κι αντάμα του το μάθουν κι οι άλλοι Αργίτες.»

Είπε, κι ο γέροντας ετρόμαξε, και ξύπνησε τον κράχτη,

τοῖσιν δ᾽ Ἑρμείας ζεῦξ᾽ ἵππους ἠμιόνους τε,
ῥίμφα δ᾽ ἄρ᾽ αὐτὸς ἔλαυνε κατὰ στρατόν, οὐδέ τις ἔγνω.
ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἑρμείας μὲν ἔπειτ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,

κι ο Ερμής τις μούλες και τ᾽ αλόγατα τους ζεύει, και με βιάση ·
μέσα απ᾽ τ᾽ ασκέρι τους διαπέρασε, κι ουδέ ψυχή τους είδε.

Μα σύντας φτάσαν στου ωριορέματου του ποταμού το διάβα,
στου πολυστρόβιλου του Σκάμαντρου, που είχε γεννήσει ο Δίας,
ο Ερμής για τον τρανό τον Όλυμπο ξανακινάει και φεύγει.
Κι ως φάνη απά στη γης απλώνοντας η Αυγή η κροκομαντούσα,
εκείνοι προς το κάστρο τ᾽ άλογα με στεναγμούς και θρήνους
κεντούσαν το νεκρό τον έσερναν οι μούλες, και κανένας
πριν άλλος άντρας για ομορφόζωνη γυναίκα δεν τους είδε
εξόν απ᾽ τη Κασσάντρα, που έμοιαζε με τη χρυσή Αφροδίτη·

Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν,
οἳ δ᾽ εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος
ἔγνω πρόσθ᾽ ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ᾽ ἄρα Κασσάνδρη ἰκέλη χρυσῇ Ἀφροδίτῃ

τι ως είχε ανέβει απά στα Πέργαμα, στο αμάξι; ορθό να στέκει
τον ακριβό της κύρη εξέκρινε, μαζί και το διαλάλη.
Κι ως είδε το νεκρό να κοίτεται στο κάρο με τις μούλες,
σέρνει τρανή φωνή σκληρίζοντας σε όλο το κάστρο γύρα:
« Ελάτε, Τρώες και Τρωαδίτισσες, τον Έχτορα να ιδείτε,
που άλλες φορές αναγαλλιάζατε, σα γύριζε απ᾽ τη μάχη
γερός, τι αλήθεια κι ήταν σε όλους μας η πιο τρανή αναγάλλια!»

Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ᾽ εἰσενόησεν
ἑσταότ᾽ ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
τὸν δ᾽ ἄρ᾽ ἐφ᾽ ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·
ὄψεσθε Τρῶες καὶ Τρῳάδες Ἕκτορ᾽ ἰόντες,

Αυτά είπε, και κανείς δεν έμεινε μήτε άντρας μες στο κάστρο
μήτε γυναίκα, τι ανεβάσταχτος τους έπνιγε όλους πόνος.
Στις πόρτες έσμιξαν το γέροντα, με το νεκρό που ερχόταν

εἴ ποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι
χαίρετ᾽, ἐπεὶ μέγα χάρμα πόλει τ᾽ ἦν παντί τε δήμῳ.
ὣς ἔφατ᾽, οὐδέ τις αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.

κι απ᾽ όλους πρώτες η γυναίκα του κι η σεβαστή του η μάνα
συρομαδιούνταν στο καλότροχο χιμίζοντας καρότσι,
κι ανακρατούσαν το κεφάλι του, κι όλοι εθρηνούσαν γύρω.
Κι όλη τη μέρα αυτή θα δέρνουνταν, ως να βουτήξει ό γήλιος,
χύνοντας δάκρυα για τον Έχτορα στο καστροπόρτι απόξω,
αν απ᾽ το αμάξι απάνω ο γέροντας δε φώναζε στον κόσμο:
« Στις μούλες να διαβούν ανοίξετε! Και σαν τον κουβαλήσω
στο σπίτι μέσα, να χορτάσετε μπορείτε τότε θρήνο.»

πρῶται τόν γ᾽ ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην ἐπ᾽ ἄμαξαν ἐϋτροχον ἀΐξασαι
ἁπτόμεναι κεφαλῆς· κλαίων δ᾽ ἀμφίσταθ᾽ ὅμιλος.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δάκρυ χέοντες ὀδύροντο πρὸ πυλάων,

Είπε, κι εκείνοι επαραμέρισαν, για να διαβεί τ᾽ αμάξι.
Κι αφού τον μπάσαν μες στο σπίτι του το ξακουστό, τον βαλαν

εἰ μὴ ἄρ᾽ ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμον δέ.
ὣς ἔφαθ᾽, οἳ δὲ διέστησαν καὶ εἶξαν ἀπήνῃ.
οἳ δ᾽ ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα

πα σε κλινάρι, και του αράδισαν τραγουδιστάδες δίπλα,
το μοιρολόι που πρώτοι αρχίνιζαν, και το θλιφτό σκοπό τους
μοιρολογούσαν, κι αποκρίνουνταν με κλάματα οι γυναίκες.
Πρώτη η Αντρομάχη η χιονοβράχιονη κινάει το μοιρολόγι,

τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ᾽ εἶσαν ἀοιδοὺς
θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν
οἳ μὲν ἄρ᾽ ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ᾽ Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·

κρατώντας το κεφάλι του Έχτορα του αντροφονιά στα χέρια:

ἄνερ ἀπ᾽ αἰῶνος νέος ὤλεο, κἀδ δέ με χήρην
λείπεις ἐν μεγάροισι· πάϊς δ᾽ ἔτι νήπιος αὔτως
ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ᾽ ἄκρης
πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν

ῥύσκευ, ἔχες δ᾽ ἀλόχους κεδνὰς καὶ νήπια τέκνα,
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ᾽ αὖ τέκος ἢ ἐμοὶ αὐτῇ
ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν

ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου λυγρὸν ὄλεθρον
χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ᾽ ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαΐ λυγρῇ·

τὼ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας
Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνῄσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ

μεμνῄμην νύκτάς τε καὶ ἤματα δάκρυ χέουσα.
ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ᾽ αὖθ᾽ Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν·

οἳ δ᾽ ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
πέρνασχ᾽ ὅν τιν᾽ ἔλεσκε πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Σάμον ἔς τ᾽ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,

πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ᾽ ἑτάροιο
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ᾽ ὣς.
νῦν δέ μοι ἐρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
κεῖσαι, τῷ ἴκελος ὅν τ᾽ ἀργυρότοξος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.

ὣς ἔφατο κλαίουσα, γόον δ᾽ ἀλίαστον ὄρινε.
τῇσι δ᾽ ἔπειθ᾽ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ᾽ ἄγαγε Τροίηνδ᾽· ὡς πρὶν ὤφελλον ὀλέσθαι.

« Άντρα μου, εχάθης πα στα νιάτα σου, κι εμένα αφήνεις χήρα
στο σπίτι μέσα, κι είναι ανήλικο, μικρό παιδάκι ο γιος μας,
που οι δόλιοι, εσύ κι εγώ, γεννήσαμε, κι ουδέ που θα προφτάσει
να μας τρανέψει λέω᾽ πρωτύτερα συθέμελο το κάστρο
θα πατηθεί, τι αλήθεια εχάθηκες εσύ ο διαφεντευτής του,

που τις σεμνές γυναίκες γλίτωνες και τα μωρά παιδιά τους.
Σε λίγο τούτες μέσα στ᾽ άρμενα τα βαθουλά μισεύουν,
το ίδιο κι εγώ᾽ κι εσύ για αντάμα μου θα ταξιδέψεις, γιε μου,
κι εκεί να κάνεις θα σε βάζουνε δουλειές αταίριαστες σου,
μοχτώντας μπρος σε αφέντη ανήμερο, για θα σε αρπάξει κάποιος
απ᾽ τους Αργίτες, κι απ᾽ τους πύργους μας θα σε γκρεμίσει, αλί μου,
όλο θυμό, που ο μέγας Έχτορας του σκότωσε για αδέρφι·
για γιο για κύρη᾽ τι την άμετρη τη γη περίσσιοι Αργίτες
έχουν δαγκάσει κάτω απ᾽ του Έχτορα τα χέρια αλήθεια ως τώρα.
Δεν ήταν μαλακός ο κύρης σου στην άγρια μέσα μάχη·

γι᾽ αυτό χτυπιέται ο κόσμος σύψυχος στο κάστρο τώρα ολούθε'
και στους γονιούς σου πένθος, Έχτορα, και κλάματα χαρίζεις,
όμως εμένα απ᾽ όλους πότισες το πιο πικρό φαρμάκι'
τι από το στρώμα σου πεθαίνοντας δε μου άπλωσες τα χέρια,,
κι ούτε καμιά απ᾽ το στόμα σου άκουσα παρηγοριάς κουβέντα,
μέρα και νύχτα εγώ στους θρήνους μου να την κρατώ στο νου μου!»

Τέτοια θρηνώντας έλεε, κι έκλαιγαν μαζί της κι οι γυναίκες.
Κι η Εκάβη αναμεσό τους κίνησε πικρό το μοιρολόγι:
« Έχτορα εσύ, που απ᾽ όλους πιότερο τους γιους μου σε αγαπούσα,
όσο μου εζούσες πριν, οι αθάνατοι σου 'χαν περίσσια αγάπη,

όμως και τώρα λέω σε γνοιάστηκαν, κι ας είσαι σκοτωμένος.
Τους άλλους ο Αχιλλέας ο γρήγορος σαν έπιανε τους γιους μου,
πέρα απ᾽ τη θάλασσα την άκαρπη στην Ίμπρο τους πουλούσε,
στη Σαμοθράκη, στην ολόισκιωτη, καταχνιασμένη Λήμνο.
Όμως εσένα σε θανάτωσε με το μακρύ κοντάρι,
κι όλο στο μνήμα γύρω σ᾽ έσουρνε του ακράνη του, που του 'χες
σκοτώσει εσύ᾽ μα κι έτσι ο Πάτροκλος δεν αναστήθηκε, όχι!
Και τώρα ολόδροσος στο σπίτι σου μου κοίτεσαι, πριν λίγο
σα να σκοτώθης, λες κι ο Απόλλωνας ο Ασημοδοξαράτος
με τις απόνετες σαγίτες του σ᾽ έχει απαλά σκοτώσει.»

Έτσι τον έκλαιε, κι όλοι γύρα της αλάγιαστα εθρηνούσαν.
Κι η Ελένη αναμεσό τους κίνησε στερνή το μοιρολόγι:
« Έχτορα εσύ, που απ᾽ τ᾽ αντραδέρφια μου πιο απ᾽ όλους αγαπούσα,
άντρας μου ο Πάρης ο πεντάμορφος λογιέται, που εδώ πέρα

ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ᾽ οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ᾽ ἀσύφηλον·
ἀλλ᾽ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,

ἡ ἐκυρή, ἐκυρὸς δὲ πατὴρ ὡς ἤπιος αἰεί,
ἀλλὰ σὺ τὸν ἐπέεσσι παραιφάμενος κατέρυκες
σῇ τ᾽ ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
τὼ σέ θ᾽ ἅμα κλαίω καὶ ἔμ᾽ ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ᾽ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ

ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.
ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δ᾽ ἔστενε δῆμος ἀπείρων.
λαοῖσιν δ᾽ ὃ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
ἄξετε νῦν Τρῶες ξύλα ἄστυ δέ, μὴ δέ τι θυμῷ
δείσητ᾽ Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς

πέμπων μ᾽ ὧδ᾽ ἐπέτελλε μελαινάων ἀπὸ νηῶν
μὴ πρὶν πημανέειν πρὶν δωδεκάτη μόλῃ ἠώς.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ὑπ᾽ ἀμάξῃσιν βόας ἡμιόνους τε
ζεύγνυσαν, αἶψα δ᾽ ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·

ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
καὶ τότ᾽ ἄρ᾽ ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ᾽ ἔβαλον πῦρ.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
τῆμος ἄρ᾽ ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.

αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ᾽ ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.

καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἐλόντες
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν.
αἶψα δ᾽ ἄρ᾽ ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθε
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι·
ῥίμφα δὲ σῆμ᾽ ἔχεαν, περὶ δὲ σκοποὶ ἥατο πάντῃ,

μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
εὖ συναγειρόμενοι δαίνυντ᾽ ἐρικυδέα δαῖτα
δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.
ὣς οἵ γ᾽ ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

μ᾽ έχει φερμένη—αχ και να πέθαινα πριν γίνουν όλα ετούτα!
Είκοσι χρόνια κιόλα εδιάβηκαν από τη μαύρη μέρα
που έφυγα εκείθε και παράτησα τη γη την πατρική μου,
κι όμως πικρό σου εγώ δεν άκουσα μήτε άσκημο σου λόγο·
κι άλλος τυχόν μαζί μου αν τα 'βαζε στο σπίτι—για κουνιάδα
για αντράδερφος για συννυφάδα μου μαθές ωριομαντούσα

για η πεθερά (τι σαν πατέρας μου γλυκός ο πεθερός μου),
εσύ μιλώντας τον αμπόδιζες, του γύριζες τη γνώμη
με την περίσσια καλοσύνη σου, με τα γλυκά σου λόγια.
Γι᾽ αυτό και σένα τώρα αλάρωτα και μένα κλαίω την έρμη·
τι πια στην Τροία κανείς δεν έμεινε να θέλει το καλό μου,
μήτε να δείχνει μου συμπόνεση᾽ με σιχάθηκαν όλοι!»

Τέτοια θρηνώντας έλεε, κι έκλαιγε κι ο κόσμος όλος γύρα.
Και τότε ο γέρο Πρίαμος μίλησε γυρνώντας στο λαό του:
«Όμπρός οι Τρώες, να κουβαλήσετε στο κάστρο εδώ τα ξύλα,
και μη φοβάστε να σας στήσουνε κρυφό καρτέρι οι Αργίτες·

τι ως ο Αχιλλέας με ξεπροβόδιζεν από τα πλοία, μου το 'πε,
πριν ξημερώσουν μέρες δώδεκα πως δε θα μας χτυπήσουν.»

Είπε, κι εκείνοι ευτύς στα κάρα τους βόδια και μούλες ζεύουν,
και δίχως άργητα μαζεύουνται μετά μπροστά απ᾽ το κάστρο.
Μέρες εννιά περνούν, κι αρίφνητα φορτώματα σώριαζαν
κι όντας στις δέκα πάνω επρόβαλεν η Αυγή η λαμπροφωτούσα,
τον αντρειωμένο έβγαζαν Έχτορα με θρήνους, και στα ξύλα
ψηλά από πάνω τον απίθωσαν, κι ευτύς φωτιά του έβαλαν.

Κι η Αυγή σα φάνη η πουρνογέννητη και ροδοδαχτυλάτη,
τρογύρα απ᾽ την πυρά εμαζώχτηκαν του ξακουσμένου Εχτόρου

ο κόσμος όλος· κι ως συνάχτηκαν κι όλοι μαζί βρέθηκαν,
πήραν και σβήσαν με φλογόμαυρο κρασί τη θράκα πρώτα
από μιαν άκρη ως άλλη, ως που 'φτασε της πυρκαγιάς η λύσσα'
μετά μάζεψαν τ᾽ άσπρα κόκαλα τ᾽ αδέρφια κι οι συντρόφοι
θρηνώντας, κι έτρεχαν τα κλάματα στα μαγουλά τους βρύση.
Κι ως τα σύναξαν, σε κατάχρυση τα βαλαν μέσα θήκη,
με βυσσινί απαλό περίγυρα σκουτί σκεπάζοντας τα,
και σε ανοιγμένο λάκκο τα 'χωσαν με βιάση, κι από πάνω
με πέτρες κλειδωτές τον έστρωσαν μεγάλες πέρα ως πέρα'
και βιαστικά το χώμα εσώρωσαν, και γύρα έστησαν βάρδιες,

μην τύχει πριν και πέσουν πάνω τους οι Αργίτες οι αντρειωμένοι.
Κι ως πια ψηλά το χώμα εσώρωσαν, γυρνούν και φεύγουν πίσω'
μετά σε πλούσιες τάβλες έτρωγαν, με τάξη συναγμένοι,
μέσα στου Πριάμου, του τρισεύγενου ρηγάρχη, το παλάτι.

Έτσι τον έθαψαν τον Έχτορα, το γαύρο αλογομάχο.

ΤΕΛΟΣ